Cap. IV. *Unus Christus virginitatem edocuit, aperte prædicans regnum cœlorum. Dei similitudo, divinarum virtutum luce perficienda.*

De humano itaque genere dictum est, quomodo C a sororum conjugiis ad continentiam usque, sensim per ætatum gradus profecerit; superest ut et de virginitate dicamus. Hoc igitur quanta fuerit facultas, nobis connitendum Atque id in primis disquiramus necesse est, quid tandem causæ sit, cum multi prophetæ et justi multa ac præclara tum docuerint, tum ipsi præstiterint, nullus tamen virginitatem aut laudibus celebrarit, aut propositum ejus assumpserit? Soli nimirum Domino disciplina hæc sancienda servabatur, qui et solus in mundum adveniens, homines docuit in Deum transire. Decebat enim qui princeps sacerdotum esset principesque prophetarum et princeps angelorum, eumdem etiam virginum principem audire. Antiquitus autem nec-dum homo perfectus erat : ac ideo virginitatem D (rem utique perfectam) capere necdum poterat. Adhuc enim qui ad Dei imaginem formatus erat, id quoque quod est ad similitudinem recipere debebat. Quod ut perficeret, Verbum in mundum missum, nostram prius formam multis peccatorum

Περὶ μὲν οὖν καιρῶν τῆς ἀνθρωποτήτος, ὅπως ἀρξαμένη ἀπὸ τῆς ἀδελφομιξίας, ὠδευσεν ἐπὶ τὴν ἐγκράτειαν, εἴρηται · περὶ δὲ παρθενίας λείπεται · ὅσον οὖν δυνατὸν, πειρατέον φράσαι (25). Καὶ πρῶτον ἐξεταστέον, δι' ἣν αἰτίαν πολλῶν προφητῶν καὶ δικαίων πολλὰ καὶ καλὰ διδαξάντων καὶ ἐργασαμένων, παρθενίαν οὐδεὶς οὔτε ἐνεγκωμίασεν, οὔτε εἵλετο. Μόνῳ γὰρ ἄρα ἐφυλάσσετο τοῦτο πρεσβεῦσαι τὸ μάθημα τῷ Κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδίδαξε χωρεῖν εἰς Θεόν. Ἔπρεπε γὰρ τῷ ἀρχιερεῖ καὶ ἀρχιπροφήτῃ καὶ ἀρχαγγέλῳ, τούτῳ καὶ ἀρχιπαρθένῳ προσαγορευθῆναι. Τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ἄνθρωπος ἦν · καὶ διὰ τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι τὴν παρθενίαν ἴσχυεν. Ἔτι γὰρ ἔχρῃζε, κατ' εἰκόνα Θεοῦ γεγονὼς, καὶ τὸ καθ' ὁμοίωσιν ἀπολαβεῖν · ὅπερ τελεσιουργῆσαι καταπεμφθεὶς ὁ Λόγος εἰς τὸν κόσμον, τὴν ἡμετέραν μορφὴν πρότερον ἀνέλαβε, πολλοῖς ἁμαρτήμασι κατεστιγμένην, ἵνα δὴ τὴν θείαν ἡμεῖς, δι' οὓς αὐτὸς ἐφόρεσε, πάλιν χωρῆσαι δυνηθῶμεν. Καθ' ὁμοίωσιν γὰρ ἀκριβωθῆναι τότε πάρεστι Θεοῦ, ὁπότε δὴ τοὺς αὐτοῦ χαρακτῆρας τῆς

[11] *Prov.* v, 15, 18. [12] *Cap.* v, *vers* 8. [13] *Sap.* IV 3. [14] *Eccli.* XXIII, 1, 5, 6. [15] *Sap.* IV, 1, 2.

(21) *Ἰδία.* Non bene Possinius, sive qui ei imposuit, imperitus scriba, *ἡδεῖα, dulcis;* qua voce hæc auctoritas nihil ad intentum Methodii faceret, de singularitate conjugii, non de illius seu rei maritalis dulcedine. Adde nihil ejusmodi sacrum textum sic pervium habere. Combefis.

(22) *Πολύγονον.* Vide Augustinum *De doctr. Christ.*, lib. II, cap. 12, n. 18. Id.

(23) *Καρδίας.* Sixt., κοιλίας, *ventris.* Sic et Vulg. Id.

(24) *Κρεῖσσον.* Paulo aliter Vulg., etsi totidem verbis reddit Possinius. Id.

(25) *Φράσαι.* Cod. Vat., φάναι. Id.

Digitized by Google

κατὰ ἄνθρωπον πολιτείας, ζωγράφων δίκην ἐπιστημόνων, ἐν ἑαυτοῖς ὥσπερ σανίσιν ἐντυπωσάμενοι κατέχωμεν, ἣν αὐτὸς ἐφανέρωσε μαθητεύοντες τρίβον. Ταύτῃ γὰρ ἠρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα Θεὸς ὤν, ὅπως, ὥσπερ ἐν πίνακι θεῖον ἐκτύπωμα βίου βλέποντες, ἔχωμεν καὶ ἡμεῖς τὸν γράψαντα μιμεῖσθαι. Οὐ γὰρ, ἕτερα φρονῶν, ἕτερα ἐποίει· οὐδὲ μὴν, ἕτερα νομίζων εἶναι τὰ καλὰ, ἐδίδασκεν ἕτερα· ἀλλ' ἅπερ ἦν ἀληθῶς ὠφέλιμα καὶ καλὰ, ταῦτα καὶ ἐδίδασκε καὶ ἐποίει.

A maculis compunctam suscepit, ut nos scilicet propter quos gestavit, divinam rursus capere valeremus. Ad Dei enim similitudinem accurate effingi id demum est, ejus characteres et lineamenta in vitæ humanæ consuetudinem imitando transferre : pari arte qua periti pictores, objecti oculis exemplaris ductus et colores in paratis tabulis ad vivum exprimunt; quod assequemur, dum ostensam ab eo viam ac disciplinam condiscamus atque sequamur. Eo quippe consilio placuit humanam carnem, Deus cum esset, induere, ut velut in tabula divinum vitæ exemplar propositum cernentes, nos quoque auctorem imitari possemus. Non enim alia sentiens, alia faciebat; at neque alia bona esse existimans, alia docebat : sed quæ vere utilia honestaque erant, hæc et docebat atque præstabat.

Cap. V. *Christus incorruptam carnem in virginitate servans, ad virginitatem excolendam allicit. Virginum exiguus numerus, præ multitudine aliorum sanctorum.*

Τί οὖν ὁ Κύριος, ἡ ἀλήθεια καὶ φῶς ἐπραγματεύσατο κατελθών; Ἄφθορον ἐφύλαξεν ἐν παρθενίᾳ τὴν σάρκα κοσμήσας (26)· καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν καθ' ὁμοίωσιν ἔσεσθαι Θεοῦ καὶ Χριστοῦ, φιλοτιμώμεθα τὴν παρθενίαν τιμᾷν. Ὁμοίωσις γὰρ Θεοῦ φθορᾶς ἀποφυγή. Ὅτι· δὲ καὶ ἀρχιπαρθένος, ὃν τρόπον καὶ ἀρχιποιμὴν καὶ ἀρχιπροφήτης γέγονεν ὁ Λόγος ἐνανθρωπήσας τῆς Ἐκκλησίας, καὶ ὁ Χριστόληπτος ἡμῖν παρέστησεν ἐν βιβλίῳ τῆς Ἀποκαλύψεως Ἰωάννης, λέγων· *Καὶ εἶδον· καὶ ἰδοὺ τὸ Ἀρνίον ἑστὼς ἐπὶ τὸ ὄρος Σιὼν, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν. Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤκουσα, ὡς φωνὴ κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. Καὶ ᾄδουσι καινὴν ᾠδὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων. Καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. Οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν. Οὗτοί εἰσιν οἱ ἀκολουθήσαντες τῷ Ἀρνίῳ ὅπου ἂν ὑπάγῃ.* Τοῦ χοροῦ τῶν παρθένων ἐξάρχοντα δεικνύων τὸν Κύριον.

B Quid igitur Dominus, ipse veritas et lumen, molitus est, in mundum veniens? Nempe homo factus, incorruptam carnem in virginitate servavit. Et nos itaque, si ad Christi Dei nostri similitudinem enitimur, virginitatem colere magnifice studeamus. Dei enim simulacrum, corruptionis fuga. Quod autem etiam principem virginum, haud secus ac principem pastorum ac prophetarum Ecclesiæ, Verbum homo factum prætulerit, ipse nobis Christi numine afflatus Joannes in libro Apocalysis ostendit, quibus ait : *Et vidi; et ecce Agnus stans supra montem Sion, et cum eo centum quadraginta quatuor millia, habentes nomen ejus et nomen Patris ejus, scriptum in frontibus suis. Et audivi vocem e cœlo, tanquam vocem aquarum multarum, et tanquam* C *vocem tonitrui magni. Et vox quam audivi, sicut vox citharœdorum citharizantium in citharis suis. Et cantabant quasi canticum novum in conspectu throni, et quatuor animalium et seniorum. Et nemo poterat discere canticum, nisi illa centum quadraginta quatuor millia, qui empti sunt de terra. Hi sunt qui cum mulieribus non sunt coinquinati : virgines enim sunt. Illi sequuntur Agnum quocunque ierit* [16]. En ut Dominum principem ostendat atque auspicem chori virginum.

Ἐπίστησον δὲ πρὸς τούτοις, ὅπως τὸ ἀξίωμα τῆς παρθενίας μέγιστον παρὰ τῷ Θεῷ. *Οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων* (27) *ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ Ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοι γάρ εἰσι, καὶ ἀκολουθοῦσι,* φησὶ, D *τῷ Ἀρνίῳ ὅπου ἂν ὑπάγῃ.* Σαφῶς ἡμᾶς κἀντεῦθεν διδάσκειν βούλεται, ὅτι ἐν ἀριθμῷ τοσούτῳ, τουτέστιν ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρσι χιλιάσιν, ἀπάνωθεν τὸ πλῆθος περιώριστο τῶν παρθένων, τῶν ἄλλων ἁγίων εἰς πλῆθος ἀόριστον ὀχλιζομένων. Τί γὰρ παρεγγυᾷ καὶ περὶ τῶν λοιπῶν διαλεγόμενος, προσεκτέον. *Καὶ εἶδον ἀπὸ πάσης γλώττης καὶ φυλῆς καὶ παντὸς ἔθνους πλῆθος πολὺ, ὃ ἀριθμῆσαι*

Animadverte insuper quam vere maxima sit virginitatis dignitas apud Deum. *Hi empti sunt ex hominibus primitiæ Deo et Agno, et in ore ipsorum non est inventum mendacium : sine macula enim sunt; et sequuntur Agnum,* inquit, *quocunque ierit.* Clare nos et hinc docere vult, tantulo numero (nimirum quadraginta quatuor millium) definitam a principio fuisse multitudinem virginum, cum infinita multitudo sit aliorum sanctorum. Quid enim et de aliis disserens insinuet, considerandum. *Et vidi ex omni tribu et lingua et ex omni natione, multitudinem magnam quam dinumerare nemo poterat* [17]. Constat igitur, ut dicebam, aliorum quidem

[16] *Apoc.* XIV, 1-4. [17] *Apoc.* VII, 9.

(26) *Σάρκα κοσμήσας.* Ἐνανθρωπήσας. ID.
(27) *Ἀνθρώπων.* Possinius, ἐθνῶν, *ex gentibus,* non bene. ID.

Digitized by Google

sanctorum numero superiorem multitudinem inducere; virginum vero exiguum plane numerum, si ejus cum aliorum innumera multitudine ratio habeatur

A αὐτὸ οὐδεὶς ἠδύνατο. Οὐκοῦν συνέστηκεν, ὡς ἔφην, ἐπὶ μὲν τῶν ἄλλων ἁγίων αὐτὸν πλῆθὺν ἄφατον εἰσάγειν· ἐπὶ δὲ τῶν ἐν παρθενίᾳ βραχύτατον ἀριθμὸν, ὡς πρὸς σύγκρισιν τῶν εἰς ἀναρίθμητον πλῆθος συντελούντων.

Hæc mea, o Arete, de virginitate, ait, oratio est: in qua si quid omisi, suppleat, cui lampadem dicturæ trado, Theophila.

Οὗτος, ὦ Ἀρετὴ, ὁ παρ' ἐμοῦ σοι περὶ παρθενίας λόγος. Εἰ δέ τι παρέλιπον, ἀποπληρούτω διαδεξαμένη με Θεοφίλα.

ORATIO II.

THEOPHILA.

ΛΟΓΟΣ Β.

ΘΕΟΦΙΛΑ.

Cap. I. *Non sublatæ nuptiæ, virginitatis præconio.*

In his itaque exorsa Theophila est. Quandoquidem quam Marcella bene cœperat orationem, non sufficienter absolvit, operæ pretium existimo, ut finem sermoni imponere satagam. Etenim ad virginitatem per intervalla profecisse hominem, Deo illum certis vicibus atque gradibus promovente, præclare mihi disputatum apparet; quod autem intulit, non esse deinceps procreandis liberis dandam operam, haud probare possim. Manifeste siquidem ex Scripturis mihi intelligere videor, noluisse Dei Verbum, postquam virginitatem mundo intulit, omnino abrogare conjugium. Non enim quoniam sideribus luna major est, continuo cæterarum stellarum lumen exstinguitur.

B Εἰπεῖν οὖν ἔφη τὴν Θεοφίλαν. Ὅτι δοκεῖ μοι ἀναγκαῖον εἶναι, ἐπειδὴ καλῶς ἡ Μαρκέλλα ὁρμήσασα ἐπὶ τὸν λόγον, οὐχ ἱκανῶς ἐπλήρωσεν, ἐμὲ πειρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. Τὸ μετὰ γὰρ εἰς παρθενίαν ἐκ προβάσεως προκόψαι τὸν ἄνθρωπον, Θεοῦ παρορμήσαντος αὐτὸν κατὰ καιρὸν καὶ καιρὸν, δοκεῖ μοι καλῶς διελέσθαι· τὸ δὲ μηκέτι χρῆναι λέγειν τοὐντεῦθεν τεκνογονεῖν, οὐ καλῶς. Ἐγὼ γὰρ καθεωρακέναι μοι δοκῶ σαφῶς ἀπὸ τῶν Γραφῶν, ὅτι παρθενίας ἐλθούσης, ὁ Λόγος οὐκ ἀνεῖλε πάντη τὴν τεκνογονίαν. Οὐ γὰρ ἐπειδὴ τῶν ἀστέρων ἡ σελήνη μείζων ἐστὶ, παρὰ τοῦτο τῶν ἄλλων ἀστέρων τὸ φῶς ἀναιρεῖται.

Incipiamus autem a Genesi, ut antiquissimæ Scripturæ suum ordinis primatum assignemus. Profecto Dei sententia et præceptum illud [18] propagandi generis, etiam hodie viget et servatur: Deo etiamnum hominis formandi opifice. Hoc etenim plane manifestum est, nunc quoque velut pictor tabellam, sic Deum mundum efficere, uti sane etiam Dominus docuit, dum ait: *Pater meus usque modo operatur* [19]. Verum ubi flumina cursum suum absolverint, seque vasto maris alveo reddiderint; ubi lumen a tenebris perfecte separatum fuerit (nunc enim adhuc in ista separatione laboramus); ubi fructus suos cum reptilibus et quadrupedibus edere deinceps arida desierit, et expletus erit præfinitus hominum numerus, tunc sane a generando abstinendum erit. Nunc enim edenda Dei imagine suam hominem conferre operam necesse est, dum adhuc stat mundus, novisque quotidie molibus ejus fabrica adimpletur. *Crescite*, enim, inquit, *et multiplicamini* [20]. Nec fas est Creatoris præceptum abominari, ex quo nobis est quod exsistimus. Principium enim generationis hominum seminis in genitale arvum demissio est, ut ex ossibus os et ex carne caro, arcana vi desumpta, in alterum rursus hominem ejusdem artificis opera condantur. Sic enim impleri putandum eam sententiam: *Hoc nunc os ex ossibus meis, et caro de carne mea* [21].

C Ἀρξώμεθα δὲ ἀπὸ τῆς Γενέσεως, ἵνα δὴ καὶ πρεσβεύωμεν μᾶλλον τὴν Γραφήν. Ἡ γὰρ ἀπόφασις τοῦ Θεοῦ, καὶ τὸ διάταγμα τὸ ἐπὶ τῆς τεκνοποιίας, ὁμολογουμένως μέχρι καὶ νῦν συμπληροῦται· πλάσαντος τὸν ἄνθρωπον ἔτι τοῦ δημιουργοῦ. Τοῦτο γὰρ καὶ πάντη καταφανὲς, ὡς ἄρα τὸν κόσμον ἀκμὴν ἐργάζεται ζωγραφῶν ὁ Θεὸς, ὥσπερ δὴ καὶ ὁ Κύριος ἐδίδαξεν, Ἕως ἄρτι ὁ Πατήρ μου ἐργάζεται, λέγων. Ἀλλ' ὁπόταν οἱ ποταμοὶ ἤδη λωφήσωσιν, εἰς τὸ τῆς θαλάσσης εἰσβάλλοντες ἀγγεῖον, καὶ τὸ φῶς τελείως χωρισθῇ τοῦ σκότους, (νῦν γὰρ ἔτι διαχωρίζεται·) καὶ τοὺς καρποὺς μετὰ τῶν ἑρπετῶν καὶ τετραπόδων ἀναδιδόναι παύσηται λοιπὸν ἡ ξηρὰ, καὶ ὁ προωρισμένος τῶν ἀνθρώπων ἀριθμὸς ἀναπληρωθῇ· τότε δὴ λοιπὸν καὶ τῆς παιδοποιίας ἀφεκτέον. Νῦν γὰρ εἰς τὴν D εἰκόνα τοῦ Θεοῦ τὸν ἄνθρωπον ἀνάγκη συνεργεῖν, ἔτι συνεστῶτος τοῦ κόσμου καὶ τεκταινομένου. Αὐξάνεσθε γὰρ, ἐλέχθη, καὶ πληθύνεσθε. Καὶ οὐ χρὴ τὸ διάταγμα βδελύσσεσθαι τοῦ Δημιουργοῦ, ἐξ οὗ δὴ καὶ αὐταὶ γεγόναμεν. Ἀρχὴ γὰρ γενέσεως ἀνθρώπων ἡ τοῦ σπέρματος εἰς τοὺς αὐλακας τῆς μήτρας γίνεται καταβολὴ, ὅπως τὸ ἐκ τῶν ὀστέων ὀστοῦν, καὶ ἡ ἐκ τῆς σαρκὸς σὰρξ ἕτερος ἄνθρωπος ἀοράτῳ ληφθέντα δυνάμει πάλιν ἀπὸ τοῦ αὐτοῦ τεχνίτου δημιουργηθῶσι. Ταύτῃ γὰρ ἐκείνην ἠγητέον πληροῦσθαι τὴν φωνήν· *Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου.*

[18] *Gen.* I, 28. [19] *Joan.* V, 17. [20] *Gen.* I, 28. [21] *Gen.* II, 23.

Digitized by Google

CAP. II. *Generatio, affinis primæ Evæ ex costa et esse Adæ formationi. Deus hominum conditor in consueta generatione.*

Τοῦτο γὰρ ἴσως ἠνίσσετο καὶ ἡ μετὰ τὸν ὕπνον ἔκστασις ἐπιβληθεῖσα τῷ πρωτοπλάστῳ, προδιατυποῦμένη τὴν ἐπὶ τῆς φιλοτησίας θέλξιν τοῦ ἀνδρὸς, ὁπότε διψήσας τέκνων ἐξίσταται, ταῖς παιδογόνοις ζηλυνόμενος καθ' ὕπνον ἡδοναῖς, ἵνα πάλιν τι, ἀπὸ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς ἀποσπασθὲν, ἕτερος ἄνθρωπος, ὡς ἔφην, ἀναπληρωθῇ. Ἐκταρασσομένης γὰρ τῆς ἁρμονίας τῶν σωμάτων ἐν τοῖς κατὰ συνουσίαν ἐρεθισμοῖς, ὡς οἱ τετελεσμένοι τὴν γαμήλιον ἡμᾶς διδάσκουσι τελετὴν, πᾶν τὸ μυελῶδες τοῦ αἵματος καὶ γονιμώτατον, ὅπερ ἐστὶν ὑγρὸν ὀστοῦν, ἐκ πάντων ἐπαθροιζόμενον τῶν μελῶν, ἀφροποιῆσαν καὶ θρομβωθὲν, δι' ὧν παιδογόνων εἰς τὴν ἔμψυχον τῆς θηλείας ἐξύεται γῆν. Εἰκότως ἄρα ἕνεκεν τούτου καταλιπεῖν λέλεκται τὸν πατέρα καὶ τὴν μητέρα, τότε πάντων ἀθρόως ἀμνημονήσας, ὅτε φιλοστόργοις ἑνούμενος τῇ γυναικὶ συμπλοκαῖς, κάτοχος ἐπιθυμίας γίνεται γεννητικῆς, παρέχων ἀφαιρεῖσθαι τῷ θείῳ τὴν πλευρὰν δημιουργῷ, ὅπως ἐξ υἱοῦ δὴ καὶ αὐτὸς πατὴρ πάλιν ἐκφανῇ.

A Id enim forsitan innuebat illa per somnium primo homini injecta exstasis, viri inter muliebres amplexus mulcedinem illam præfigurans, cum liberorum sitiens a se quasi excedit, genitalibus per somnum effeminatus deliciis, ut rursum ab ejus ossibus et carne decerptus delibatusque, alius, uti dicebam, homo impleatur. Turbata enim corporum harmonia titillationibus coitus, uti nos docent, qui opus maritale experti sunt, medullosa quæque ac prolifica pars sanguinis, quod os quoddam liquidum est, ex cunctis coacta membris, spumoso coagulo concrescens, per naturales meatus in vivam feminæ humum expluitur. Merito propter hoc dictum est, derelicturum hominem patrem et matrem, cunctis repente per hæc intervalla memoria elabentibus, dum conjugatibus mulieri agglutinatus complexibus, genitalis impos libidinis evadit: tollendam costam divino præbens artifici, ut ex filio idem rursus pater exsistat.

Οὐκοῦν εἰσέτι πλάσσοντος καὶ νῦν δὴ τὸν ἄνθρωπον τοῦ Θεοῦ, πῶς οὐ τολμηρὸν τὸ βδελύσσεσθαι τὴν παιδουργίαν, ἣν αὐτὸς οὐκ ἐπαισχύνεται ταῖς ἁμιάντοις ὁ Παντοκράτωρ ἐργαζόμενος χερσί; *Πρὸ τοῦ γάρ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε*, τῷ Ἱερεμίᾳ φησί. Τῷ δὲ Ἰώβ· *Μὴ σὺ, λαβὼν πηλὸν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸ ἐποίησας*, ἔφη, *ἐπὶ τῆς γῆς*; Καὶ ὁ Ἰὼβ πρὸς αὐτὸν εὐκτικῶς (28) φέρεται, λέγων τό· *Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με.* Πῶς δὲ οὐκ ἄτοπον τὸ, ἀπαγορεύεσθαι γάμων συναλλαγὰς, προσδοκωμένων ἔτι καὶ μεθ' ἡμᾶς ἔσεσθαι μαρτύρων, καὶ τῶν ἀντιτασσομένων τῷ πονηρῷ, δι' οὓς δὴ καὶ τὰς ἡμέρας ὁ λόγος ἐπηγγείλατο κολοβωθήσεσθαι; Εἰ γὰρ φαῦλον, ὡς ἔοικε, ἀπεντεῦθεν νενόμισται τῷ Θεῷ τὸ παιδοσπορεῖν, δι' ἣν αἰτίαν οἱ παρὰ δόγμα φυόμενοι καὶ τὴν βουλὴν τὴν θείαν, εὐάρεστοι δυνήσονται παραστῆναι τῷ Θεῷ; Ἢ πῶς οὐκ ἀνάγκη εἶναι κίβδηλον, ἀλλὰ μὴ θεοφυὲς (29) τὸ τεχθὲν, εἰ παρὰ τὴν γνώμην καὶ τὸ διάταγμα δίκην παραχαράγματος πλάσσεται τῆς δυνάμεως; ἵνα δὴ καὶ ἀνθρώποις δύνασθαι δῶμεν ἀνθρωποπλαστεῖν.

Quamobrem, Deo etiamnum quotidie per nuptialem ejusmodi congressum hominem formante, quomodo non temerarium fuerit abominari liberorum procreationem, cui suas immaculatas immiscere manus omnipotens Creator haud indecorum ducat? *Priusquam* enim, inquit, *formarem te in utero, novi te*, Jeremiam alloquens [22]. Et Jobo ait [23]: *Numquid tu accepto limo effinxisti animal, et vocale illud fecisti super terram?* Jobus autem contra Deo supplex accedit, dicens [24]: *Manus tuæ fecerunt me, et plasmaverunt me.* Quomodo vero non absurdum fuerit prohibere congressus nuptiales, cum exspectentur etiam post nos futuri martyres, et qui nequissimo restituri sunt, ob quos etiam breviandos dies illos pollicitus est divinus sermo [25]? Quod si malum, ut aiebas, ex hoc tempore Deo visum est, liberis operam dare, quo pacto illi quos futuros Christus prædixit, martyres et sancti, contra Dei adeo placitum et voluntatem nati, usque ei chari et accepti esse poterunt? Aut quomodo non plagiaria nescio qua suppositum arte ac manu, non divina satione natum illud quodcunque fateri necesse est, quod præter mentem ac contra præscriptum creantis potentiæ subditilium exstiterit? ut et facultatem condendi hominis hominibus tribuendam quis velit.

CAP. III. *Locus Scripturæ vexatus. Spurii, non solum fideles, sed et quandoque prælati.*

Καὶ ἡ Μαρκέλλα ὑπολαβοῦσα, ὦ Θεοφίλα, μέγα σφάλμα, ἔφη, καὶ ἐναντίον οἷς εἶπας ἀναφαίνεται· καὶ οἴει λελῆθέναι παρωσαμένη τηλικοῦτον νέφος; Ἥκει γὰρ ἐκεῖνος ὁ λόγος, ὃν ἴσως, ἀπαιτῶν σε τις ὡς σοφωτάτην, λέξει. Περὶ τῶν ἐκ μοιχείας ἀνόμως φυομένων τί φῄς; Ἔδωκας γὰρ εἰσελθεῖν εἰς τὸν κό-

D Hic Marcella interpellans, Gravis error, o Theophila, in tua, inquit, oratione apparet, qui eam secum ipsam committit, contraria prius a te dictis astruens: et putas te latere tanta offusa nube? Occurrit tamen ille tibi ex adverso sermo, quo te aliquis ut sapientissimam adiens interrogare iste pa-

[22] *Jer.* I, 5. [23] *Job* XXXIII, 14, *sec. LXX.* [24] *Job* X, 8. [25] *Matth.* XXIV, 22; *Marc.* XIII, 20.

(28) *Εὐκτικῶς.* Allatius, εὐσεβῶς. Sic et codex Mazar. COMBEFIS.

(29) *Θεοφυές.* Ita cod. Vat. At Allatius et ms. Mazar., θεοφιλές, *Deo charum* ID.

Digitized by Google

cto possit. De iis qui ex adulterio illigitime generantur, heus tu quid dicis? Concessisti enim nulla posse ratione fieri ut quis veniat in mundum, quin divinæ ei majestatis nutus ductor exstiterit, parato ei qui sit nasciturus, a Deo corpusculo. Et ne confugias velut in arcem securam, prolato testimonio Scripturæ, dicentis : *Filii autem adulterorum maturitatem non consequentur* [16]; refellet te leniter, dicens : Atqui videmus haud raro illegitimis conceptos copulis maturescere in partus vitales valentesque adolescere.

Si autem argute iterum distinguens dicas, Ego vero, heus tu, maturitatis nomine quam non consequantur, justitiam Christianam intelligo, cujus illi compotes non sunt, reponet statim : Atqui, o beata, multi ex iniquo sati semine, nihilo secius, non solum gregi fidelium adunati, verum etiam ut illis præessent haud raro sortiti sunt. Quare cum communi omnium sensu et experientia notissimum sit, ortos ex adulterio utrovis modo quod perfectum est adipisci, non est putandum de conceptibus aut partubus propheticum illud Spiritus sancti oraculum esse intelligendum ; sed forte potius de illis qui adulterant veritatem : qui nimirum sophisticis decretis corrumpentes Scripturas, immaturam gignunt sapientiam, quod pietati errorem commisceant. Itaque, hoc quoque tibi effugio præcluso, i modo, et ex adulterio quoque conceptos fetus, responde, Deo bene volente generari. Dixisti enim, fieri non posse ut ad maturitatem et consummationem perveniat humanus fetus, nisi Dominus formam animumque indiderit.

σμον ἀμήχανον εἶναι καὶ ἀδύνατον, μὴ χειραγωγηθέντα τῷ θελήματι τῆς μεγαλοσύνης (30), κατασκευασθέντος αὐτοῦ τοῦ σκηνώματος πρὸς τοῦ Θεοῦ. Καὶ ἵνα μὴ καταφύγῃς ὥσπερ εἰς τειχίον ἐχέγγυον, προχειριζομένη τὴν λέγουσαν Γραφὴν, *Τέκνα δὲ μοιχῶν ἀτελεσφόρητα*, ἀποκρούσεταί σε πράως εἰπὼν, ὅτι· Καὶ μὴν τελεσφόροις πολλαχῶς ὠδῖσιν ὥριμον καρπὸν τοὺς ἐκ παρανόμων συλληφθέντας ὧδε συναλλαγῶν ὁρῶμεν φυομένους.

Εἰ δ' αὖ πάλιν σοφιζομένη φαίης, Ὦ οὗτος, ἐγὼ τὸ ἀτελεσφόρητον ἐπὶ τῶν τελειουμένων ἡγοῦμαι τάσσεσθαι τῇ Χριστοδιδάκτῳ δικαιοσύνῃ, λελέξεται· Καὶ μὴν, ὦ μακαρία, πλεῖστοι τεχθέντες ἐξ ἀδίκου σποράς οὐδὲν ἧττον οὐ μόνον τῇ ποίμνῃ συναγελάζεσθαι καταριθμοῦνται τῶν ἀδελφῶν, ἀλλὰ καὶ καθηγεῖσθαι τούτων κληροῦνται πολλαχῶς. Οὐκοῦν ὄντος φανεροῦ, καὶ πάντων ἱστορούντων, καὶ τὰ ἐκ μοιχείας φυόμενα τελεσιουργεῖσθαι, οὐ χρὴ νομίζειν περὶ συλλήψεων καὶ τόκων τὸ Πνεῦμα προπεφητευκέναι· ἀλλ' ἴσως περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες κλεψισόφοις νοθεύοντες δόγμασι τὰς Γραφὰς, ἀτελεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσεβείᾳ συγκρίνοντες τὴν πλάνην. Διὸ καὶ ταύτης σου τῆς προφάσεως ἐξῃρημένης, ἴσθι δὴ, εἰ καὶ τὰ ἐκ μοιχείας εὐδοκοῦντος, ἀπόκριναι, γεννῶνται τοῦ Θεοῦ. Ἐφης γὰρ, εἶναι ἀδύνατον, ἀνθρώπου τελεσφορηθῆναι γονὴν, μὴ μορφώσαντος αὐτὴν καὶ ψυχώσαντος τοῦ Κυρίου.

Cap. IV. *Humana generatio, Deique in ea opus declaratum.*

Hic Theophila, velut robusti lacertis adversarii media correpta, vertigine tentata quadam est ; tum ægre tandem spiritu resumpto, Rem, inquit, o beata, quæris, ad sui plenam declarationem exemplo quodam indigentem, cujus beneficio melius intelligas, Dei vim creatricem per omnia quidem pertingentem, præcipue tamen ipsam a se humanam præstare generationem, augendo quæ in genitalem sunt seminata terram. Neque enim id quod seminatur culpandum est : sed in eo omnis culpa residet, qui in alienum agrum, furtivis cubilibus, veluti mercede brevis voluptatis, propriam impudenter sementem vendit. Informa enim, quæso, animo, talem quamdam imaginem nostri in vitam ortus ac generationis. Cogita domum, cujus altissimis montibus ingressus adjaceat, ipsaque longe in multam et inferne capacem demissa sit profunditatem ; quæ denique a summo capite ab ingressu multa retro foramina habeat, ac cujus figura ea parte orbicularis exsistat. — Informo, inquit Marcella, quam jubes imaginem. — Jam imaginare sedentem intus operari plasten statuas plurimas, ex limo quem ei per ea quæ dixi foramina, multi assidue homines

Καὶ ἡ Θεοφίλα, ἀπὸ γενναίου ὥσπερ ληφθεῖσα τῶν μέσων ἀνταγωνιστοῦ, ἐσκοτοδινίασε, καὶ μόλα μόλις ἀναπνεύσασα, ἔφη· Ἐρωτᾷς ἐρώτημα διὰ παραδείγματος, ὦ μακαρία, χρῄζον ἀποδειχθῆναι, ἵν' ἔτι μᾶλλον εἰδῇς, ὡς διὰ πάντων ἡ ποιητικὴ δύναμις διήκουσα τοῦ Θεοῦ, πλέον εἰς τὴν τῶν ἀνθρώπων γένεσιν αὐτουργεῖ, αὔξουσα τὰ εἰς γόνιμον φυτευόμενα γῆν. Οὐ γὰρ τὸ σπειρόμενον αἰτιατέον, ἀλλὰ τὸν εἰς ἀλλοτρίαν ἄρουραν κλεψιγάμοις εὐναῖς, οἷα μισθωτὸν ὀλίγης ἡδονῆς, τὴν ἰδίαν ἀναισχύντως πιπράσκοντα σποράν. Ἀπείκασον γὰρ τοιούτῳ τινὶ τὴν ἡμετέραν γένεσιν εἰς τὸν βίον, οἷον οἴκῳ παρακειμένην ἔχοντι τὴν εἴσοδον δρεσιν ὑψηλοῖς· διήκειν δὲ τὸν οἶκον ἐπὶ πολὺ κάτω, μέχρις ἄκρων τῆς εἰσόδου ἔχοντα πολλὰς ὀπὰς ἐκ τῶν ὀπίσω, καὶ περιφερῆ κατὰ τοῦτο τὸ μέρος γεγονότα. — Ἀπεικάζω, ἔφη ἡ Μαρκέλλα.— Οὐκοῦν ἀπόλαβε ἔνδον καθεζόμενον ἐργάζεσθαι πλάστην πολλοὺς ἀνδριάντας· τούτῳ δ' αὖ τὴν ὕλην τοῦ πηλοῦ διὰ τῶν ὀπῶν ἔξωθεν νόησον ὑπὸ πυλλῶν ἀνθρώπων ἀνενδεῶς χορηγεῖσθαι, οὐδενὸς αὐτὸν ὁρῶντος τὸν τεχνίτην. Δὸς δὲ κεχαλύφθαι τὸν οἶκον ὁμίχλῃ καὶ νεφέλαις, καὶ μηδὲν αὐτοῖς ἔξωθεν εἶναι καταφανὲς ἢ μόνας τὰς ὀπάς. Δεδόσθω, ἔφη, καὶ τοῦτο. Ἔχειν δὲ ἕκα-

[16] *Sap.* III, 16.

(30) *Μεγαλοσύνης.* Ms. Maz. et Allat., δυνάμεως. Combefis.

Digitized by Google

στον αὐτῶν τῶν συμπονούντων εἰς τὴν τοῦ πηλοῦ συγκομιδὴν ἀπονεμημένην αὐτῷ μίαν ὀπὴν, εἰς ἣν χρὴ μόνον αὐτὸν φέροντα τὴν ἰδίαν ὕλην ἀποτίθεσθαι, μὴ ἁπτόμενον ἑτέρας. Εἰ δ' αὖ περιέργως ἀνεψγνύναι τὴν ἑτέρῳ κεκληρωμένην ἐπιχειροίη, πῦρ αὐτῷ καὶ μάστιγας ἀπειλητέον.

A congerant, nemine ipsum artificem vidente. Fac etiam occultari domum nebulis ac caligine, nihilque illis qui exterius materiam ministrant, præter sola foramina, conspicuum esse. Detur, inquit, et hoc. Habere item unumquemque collaborantium in luti comportationem assignatum sibi foramen unum, per quod solum oportet eum materiam propriam deponere, nulla ratione tangendo aliud quodcunque : proposita etiam pœna ignis et verberum, ei qui curiosius tentaverit aperire foramen alteri assignatum.

Οὐκοῦν τὰ μετὰ ταῦτα λοιπὸν δὴ θεώρησον. Ἔνδοθεν τὸν πλάστην περιερχόμενον τὰς ὀπὰς, καὶ τὸν εὑρισκόμενον ἐν ἑκάστῃ πηλὸν κατ' ἰδίαν λαμβάνοντα πλάττειν, καὶ μηνῶν περιόδοις ἀποπλάσαντα, πάλιν ἀποδιδόναι τοῖς ἔξω διὰ τῆς αὐτῆς τὸν πλάστην ὀπῆς, ἔχοντα τοιαύτην ἐντολὴν, πάντα τὸν δυνάμενον δημιουργηθῆναι πηλὸν ἀδιαφόρως ἐργάζεσθαι, κἂν εἰς B ἀλλοτρίαν ὑπό τινος εἰσοχετεύηται κακοτρόπως ὀπήν. Οὐδὲν γὰρ ἠδικηκέναι τὴν ὕλην· διὸ ὡς ἀναιτίαν μὲν δὴ χρῆναι πλάττεσθαι καὶ μορφοῦσθαι. Τὸν δὲ παρὰ τὸ διάταγμα καὶ τὴν ἐντολὴν εἰς ἀλλοτρίαν αὐτὴν ἀποτιθέμενον ὀπὴν ὡς ἀλάστορά τε καὶ παραβάτην τιμωρεῖσθαι. Οὐ γὰρ τὸν πηλὸν αἰτιατέον, ἀλλ' ἐκεῖνον τὸν παρὰ τὸ ὅσιον τοῦτο πεποιηκότα· ἀκρασίας γὰρ χάριν εἰς ἀλλοτρίαν ἀποκομίσας ὀπὴν ἀπέθετο λαθραίως τῇ βίᾳ. — Ἀληθέστατα λέγεις.

Tum jam mihi deinceps figulum interius foramina circumeuntem considera, et quamcunque sub unoquoque materiam offenderit, hanc fingentem, certisque mensium periodis efformatam statuam, per idem rursus foramen emittere : quippe cui hæc posita lex sit, ut nullo discrimine, quamcunque aptam operi oblatam sibi argillam fingat ac figuret, etiamsi perverse per alienum a quopiam demissa foramen fuerit. Nihil enim peccasse materiam ; ac propterea tanquam innoxiam fingi eam oportere atque formari. Eum vero qui contra interdictum in alienum ipsam foramen deposuit, ut sceleratum et transgressorem, merito pœna mulctandum esse. Non enim in lutum culpa referenda, sed in illum qui rem præter fas gessit. Impudicitiæ enim actus stimulis, in alienam vi furtim destinatam rimam intulit ac deposuit. — Verissima loqueris.

Cap V. *Idem argumentum persequitur S. Pater.*

Οὐκοῦν λοιπὸν δὴ καιρὸς τούτων ἤδη προδιηνυσμένων, ταύτην σε πᾶσαν προσάπτειν, ὦ σοφωτάτη, C τὴν εἰκόνα τοῖς ἤδη ἔμπροσθεν εἰρημένοις. Τὸν μὲν οἶκον ἀφομοιοῦσαν τῇ ἀοράτῳ τῆς γενέσεως ἡμῶν φύσει· τὴν δὲ προσκειμένην εἴσοδον τοῖς ὄρεσι τῇ ἀπὸ τῶν οὐρανῶν εἰς τὰ σώματα καταβάσει καὶ καταπομπῇ (31) τῶν ψυχῶν· τὰς δὲ ὀπὰς τῷ θηλυκῷ καὶ γυναικείῳ γένει· τὸν δὲ πλάστην τῇ ποιητικῇ δυνάμει τοῦ Θεοῦ, ἥτις, ἐπικαλύμματι τῆς γενέσεως ἡμῶν τῇ φύσει χρωμένη, ἔνδον ἡμᾶς ἀοράτως ἀνθρωποπλαστεῖ (32), τὰ ἐνδύματα ταῖς ψυχαῖς ἐργαζομέ-

Ergo his hactenus ita præparatis, restat ut omnem hanc similitudinem, o sapientissima, his quæ jam superius dicta sunt, adhibeas. Et domum qui dem illam, inaspectabilem generationis nostræ naturam esse intelligas : aditum autem adjacentem montibus, descensum e cœlis animarum in corpora, et quod in illa mittuntur : foramina vero, femininum sexum ac muliebrem : plasten quoque, creatricem Dei potentiam, quæ pro generationis velo, nostra utens natura, inaspectabili ratione intus nos humana forma effingit, animarum indumenta con-

(31) *Καταβάσει καὶ καταπομπῇ.* Locus hic difficilior, quo videtur Methodius ipsam Origenis præexsistentiæ animorum opinionem sequi, ac quasi illi pridem πολιτείαν suam nacti in cœlis, inde in corpora sic a Deo formata descendant ac demittantur : sive alias hæc illis pœna est et carcer, ut Origenes voluit ; sive natura, quod exponi possit Methodius, nec ita palam adversatur fidei. Erudite admodum hanc spartam adornavit Leo Allatius, ac Methodium vindicavit ; cum is qui illius occupavit Methodiani *Symposii* editionem, subolere sibi difficile aliquid nec indicaverit. Putem ipse Methodium nihil aliud velle, quod ita exprimit, quam animorum naturam significare, quæ a Deo sit et cœlestis, nec a materia proficiscatur, velut animæ reliquorum viventium, sed a Deo proprio parente supra vim omnem actionis humanæ illiusque supplemento, exeat ; qui singulas singulis formatis corporibus jure quasi naturæ, eaque quam sibi præfixit lege, animas tribuat, ne humana actio ad prolem ordinata, sui insufficientia et præstantia effectus, cassa maneat. Hinc certe nostra dicta cœlestis origo, et qua nobis inest ut in Deum auctorem nostrum vergamus, etsi inefficaci conatu, nisi Dei ipsius gratia adjuvetur. Hæc fere mens scho- D liastæ quem adducit Allatius ex suo codice, acerrimum ac eruditum Methodii vindicem : quem certe tantum Origenis adversarium, præcipuo hoc illius errore haud putandum est ita abreptum esse : vel saltem fautores Origenis illi ausos aspergere, cum statim fraus ex reliquis viri scriptis ipsaque hac ejus lucubratione prodenda foret. Hac eadem ratione Gregorius Theologus *in Christi Natalem et sanctum Pascha*, hominem vocat οὐράνιον καὶ ἐπίγειον ζῶον καὶ μικρὸν κόσμον· *cœleste et terrestre animal ac parvum mundum* : utraque scilicet natura constantem, qua ipse major mundus conflatur, spiritali et corporea : qui ipse maxime opus sit, ratione cujus *usque modo Pater operatur*, uti supra citavit Methodius : non sola argillæ membris humanis efformatione, sed magis animi, qui Dei proprium opus ac fabrica, nova in finem usque mundi, per singulas hominum generationes, editione, a seque creatione. Combefis.

(32) *Ἥτις... ἀνθρωποπλαστεῖ.* Sic et Possinius. At Allatius : ἥτις αἰτία τῆς γενέσεως ἡμῶν, ὡς ἔφην, τῇ φύσει χρωμένης ἐστίν· αὕτη δὲ ἴσως ἀνθρωποπλαστεῖ. Neque aliter legit in cod. Mazar. editor Lupareus, omissis solummodo δὲ ἴσως post αὕτη. Galland.

Digitized by Google

cinnans. Qui denique lutum argillamque comportant, mares ac viros exprimere cogitandi sunt, cum illi liberorum agente siti in naturales feminæ meatus semen injiciunt, haud secus ac illi argillam in foramina important. Semini enim, quadam divinæ creatricis potentiæ, ut sic dicam, participatione asperso, haud imputandi exæstuantes impuræ libidinis ardores. Ars porro in subjecta sibi materia, quod suum est, agit. Nullam vero rem ex se ac per se ipsam malam esse, existimandum est, sed talem fieri per abutentium operationem. Honeste videlicet et caste exhibita, honesta evadit; turpiter vero et indecenter administrata, turpis fit. In quo enim male meruit ferrum propter agriculturam et artes inventum, de iis qui ad mutuas illud cædes acuunt? In quo aurum aut argentum, aut æs, et, ut verbo colligam, omnis materia atque metalla, dum se mollia præbent ac tractabilia, de his qui ingratis in auctorem suum animis, in statuas varie distinctas efformatasque, hæc adoranda proponunt? Certe si quis furto quæsita vellera textrinæ præbuerit, in unum hunc scopum intuens ars, quod subjectum est fabricatur, ut structuram admittat, nihil respuens eorum quæ illi ad usum suum apta objecta sunt. Nam neque quod furto ablatum est, in crimen vocandum sit, quippe inanimum. Lanam itaque elaborare ac concinnare, nihil prohibet; qui vero injusta eam manu furtoque abstulit, is pœna afficiendus. Sic corruptores nuptiarum, ac qui concinnæ castæque vitæ, velut citharæ, temere chordas rumpunt, effrenes inflammatæ cupiditatis æstus in adulteria laxantes, ipsi quidem cruciandi puniendique sunt: nocent enim graviter, ex alienis hortis inconcessos furando concubitus; semen vero ipsum, uti et illic vellera, formandum est animaque donandum.

A νη. Τοὺς δὲ κομίζοντας τὴν ὕλην τοῦ πηλοῦ, τῷ ἀνδρείῳ καὶ ἀῤῥενικῷ παραβλητέον· ὁπότε, διψήσαντες τέκνων, εἰς τοὺς κατὰ φύσιν τῆς θηλείας φερομένους πόρους ἐγκαταβάλλουσι τὴν σποράν, ὥσπερ κἀκεῖ τὸν πηλὸν εἰς τὰς ὀπάς. Θείας γὰρ, ὡς ἔπος εἰπεῖν, μοίρας τῆς δημιουργικῆς τὸ σπέρμα μεταλαμβάνον, οὐκ αὐτὸ αἴτιον νομιστέον εἶναι τῶν τῆς ἀκολασίας ὑπεκκαυμάτων. Ἡ μὲν γὰρ τέχνη τὴν ὑποκειμένην ὕλην ἀεὶ τεκταίνεται. Οὐδὲν γὰρ αὐτόθι καθ' ἑαυτὸ τῶν πραγμάτων ἡγητέον εἶναι κακὸν, ἀλλὰ παρὰ τὴν πρᾶξιν τῶν χρωμένων τοιῶσδε γίνεσθαι. Κοσμίως μὲν γὰρ πραττόμενον καὶ σωφρόνως, κόσμιον ἀπέβη· αἰσχρῶς δὲ καὶ ἀσχημόνως, αἰσχρόν. Τί γὰρ ἠδίκησε σίδηρος γεωργικῆς χάριν καὶ τεχνῶν εὑρεθεὶς, τοὺς εἰς ἀλληλοφόνους αὐτὸν θήξαντας μάχας;

B Τί δὲ χρυσὸς ἢ ἄργυρος, ἢ χαλκὸς, καὶ συλλήβδην ἡ εὐέργαστος ἅπασα γῆ, τοὺς πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργὸν, ἐν τῷ παρατρέπεσθαι τὰ ἀπ' αὐτῶν ποικιλλόμενα βρέτη (33); Κἂν γὰρ ἀπὸ κλεψιμαίων τῇ ὑφαντικῇ παρέχοιτό τις ἔρια τέχνη, πρὸς ἓν μόνον ἀποβλέπουσα τοῦτο ἡ τέχνη, δημιουργεῖ τὴν ὑποκειμένην, εἰ δέξεται τὴν κατασκευὴν, οὐδὲν ἀποβαλλομένη τῶν ἑαυτῇ χρησίμων· ἐπεὶ μηδὲν αἴτιόν ἐστιν ἐνταῦθα τὸ κλαπὲν ἄψυχον ὄν. Διὸ δὴ αὐτὸ μὲν ἐργαστέον καὶ κοσμητέον· τὸν δὲ ὑφελόμενον ἀδίκῳ φορᾷ τιμωρητέον. Ἀτὰρ δὴ καὶ τοὺς δηλήμονας τῶν γάμων, καὶ διαῤῥήκτας τῆς εὐαρμοστίας τοῦ βίου τῶν χορδῶν φλεγμαίνοντας οἴστρῳ, καὶ τὴν ὄρεξιν εἰς μοιχείαν ἐκκαλουμένους,

C αὐτοὺς μὲν βασανιστέον καὶ τιμωρητέον· ἀπ' ἀλλοτρίων γὰρ κήπων τὰς παιδογόνους λυμαίνονται κλέπτοντες συμπλοκάς· τὴν δὲ σποράν, ὥσπερ δὴ κἀκεῖ τὰ ἔρια, μορφωτέον καὶ ψυχωτέον.

Cap. VI. *Etiam adulterinorum partuum cura Deo, iis angeli curatores dati.*

Et quid opus tanta exemplorum vi frustra sermonem producere, cum satis liqueat Dei profecto opus esse, corporum structuram? Quando enim natura brevi adeo tempore, nisi Deo adjutorium subministrante, tantum opus perficeret? Quis enim incompactam compegit ossium substantiam? Quis vero colligavit, ut nervis extenderentur ac remitterentur ad juncturas artuum sic membra flectentia? Quis cuniculos sanguini, mollemque spiritui arteriam præparavit? Aut quis alius humorem sanguine imbutum, exque limo mollem palpam, fermento prope dilatavit; nisi solus summus artifex, qui vivum nos hominem, rationalem sui effigiem

Καὶ τί δεῖ παραδείγμασι τοσούτοις κεχρημένην (34) μηκύνειν τὸν λόγον; Οὐδὲ γὰρ ἂν οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἔξω θείας κομιδῆς ἔργον ἐξήνυσε φύσις. Τίς γὰρ ὀστέων ἄπηκτον ἔπηξεν οὐσίαν; Τίς δὲ ξυνέδησε ἐπιτείνεσθαι νεύροις καὶ ἀνίεσθαι περὶ τὰς ἁρμογὰς καμπτόμενα τὰ μέλη; Τίς δ' ὑπονόμους κατεσκεύασε τῷ αἵματι, καὶ μαλακὴν ἀρτηρίαν τῷ

D πνεύματι; Ἢ τίς ἄλλος (35) ἐξύμωσε χυμὸν δεύσας αἵματι, καὶ μαλθακὴν ἐκ χοὸς σάρκα; Ἢ μόνος ὁ ἀριστοτέχνης τὴν λογικωτάτην εἰκόνα καὶ ἔμψυχον, τὸν ἄνθρωπον, ἡμᾶς, ἑαυτοῦ τεκταινόμενος, καὶ κηροπλαστῶν ἐξ ὑγρῶν καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ; Τίς γάρ ἐστιν ὁ προμηθούμενος μὴ συμ-

(33) *Ποικιλλόμενα βρέτη.* Variam lectionem in voce ποικιλλόμενα Vat. cod. agnoscit etiam Allatius. Ad hæc Possinius pro βρέτη, fallentibus oculis, vel etiam illudente scriba, βρέφη legit; quod et conatur reddere, cum sit nullius hic frugis. Non enim metalla enumerata bene ad liberos componantur, sed ad statuas et simulacra, quæ sic varia ex illis Græci colenda efformabant, invita natura, in contemptum Dei. Vox quoque πηλικωμένοι ipsa non satis Græca, ut undique pateat, unam duntaxat probatam lectionem, quam ex Allat. et Maz. cod. sequor Combefis.

(34) *Κεχρημένην.* Allat. et Possin., καταχρωμένην. Gall.

(35) *Ἢ τίς ἄλλος.* Monstro quodam codex Vat. Ἢ τίς Θεός· quod et Possinius sequitur. Accepi, non ut novam lectionem, sed ut partem textus, quo exponitur mira fabrica humani corporis: quod ex parvo humore ac spuma quasi fermento dilatetur massa corporis, in dura ossa ac mollem carnem cruentumque humorem exporrecta. Combefis.

Digitized by Google

πνίγεσθαι τῷ ὑγρῷ καὶ τῇ συνοχῇ τῶν ἀγγείων, ἐπικλυζόμενον ἔσω τὸ ἔμβρυον; Ἢ τίς ὁ μετὰ τὸ λοχευθῆναι καὶ εἰς φῶς ἀνελθεῖν, εἰς μέγεθος καὶ κάλλος καὶ ῥώμην ἐξ ἀσθενοῦς καὶ βραχέος μεταβάλλων ἢ μὴ αὐτὸς οὗτος ὁ ἀριστοτέχνης, ὡς ἔφην, Θεὸς, τῇ ποιητικῇ δυνάμει τῷ Χριστῷ μετασχηματίζων καὶ μεταζωγραφῶν τὰς ἰδέας; * Ὅθεν δὴ καὶ τημελούχοις ἀγγέλοις, κἂν ἐκ μοιχείας ὦσι τὰ ἀποτικτόμενα, παραδίδοσθαι παρειλήφαμεν ἐν θεοπνεύστοις γράμμασιν. Εἰ γὰρ παρὰ τὴν γνώμην ἐγίνοντο καὶ τὸν θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ Θεοῦ, πῶς ἀγγέλοις ταῦτα παρεδίδοτο τραφησόμενα μετὰ πολλῆς ἀναπαύσεως καὶ ῥαστώνης; Πῶς δὲ καὶ κατηγορήσοντα σφῶν αὐτῶν τοὺς γονεῖς εὐπαρρησιάστως εἰς τὸ δικαστήριον ἐκλήσκον τοῦ Χριστοῦ; Σὺ οὐκ ἐφθόνησας ἡμῖν, ὦ Κύριε, τὸ κοινὸν, λέγοντα, τοῦτο φῶς· οὗτοι δὲ ἡμᾶς εἰς θάνατον ἐξέθεντο, καταφρονήσαντες τῆς σῆς ἐντολῆς. Ἐκ γὰρ ἀνόμων, φησὶν, τέκνα γεννώμενα μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ πιθανῶν λόγων.

A fabricatus, ex humanis tenuissimisque seminibus, velut ex cera, in vulva effingit? Ad cujus enim id curam spectat, ne tum humido, tumque vasculorum angustiis suffocetur, intus innatans utero gestatus imperfectus fetus? Quis a partu jam editum inque lucem susceptum, sic imbecillem exiguumque in molem et formam ac robur idoneum provehit? nisi ille idem, ut dixi, supremus artifex Deus, creatrice vi, quasi Christo exemplari figuras ducens atque ad vivum species depingens? Unde et tutelaribus angelis, etiam ex adulterio susceptas proles commendari, ex divinis litteris accepimus. Si enim invita beatæ illius naturæ, Dei scilicet, voluntate, præterque ejus consilium ac legem exsisterent, quomodo angelis traderentur blande admodum ac indulgenter educandæ? Quomodo etiam B suos genitores accusaturæ, libere ad Christi tribunal citarent? Tu quidem, Domine, inquiunt, non invidisti nobis commune hoc lumen; hi autem nos in mortem exposuerunt, contempto tuo mandato. *Ex illegitimis* enim *somnis*, inquit, *filii qui nascuntur, testes sunt nequitiæ adversus parentes in interrogatione persuasibilium sermonum* [27].

Cap. VII. *Anima rationalis ab ipso Deo. Castitas non una bona, etsi melior et honoratior.*

Καὶ τάχα μὲν οὖν δὴ χώραν ἕξει πιθανολογῶν τις ἐν οὐ κριτικοῖς καὶ φρονίμοις ἀνδράσι, τὸν χιτῶνα τῆς ψυχῆς τὸν σάρκινον τοῦτον ὑπὸ ἀνθρώπων φυτευόμενον αὐτοματὶ μορφοῦσθαι παρὰ τὴν ἀπόφασιν τοῦ Θεοῦ· οὐ μὴν ἤδη (37) καὶ τῆς ψυχῆς τὴν ἀθάνατον οὐσίαν μετὰ τοῦ θνητοῦ σπείρεσθαι διδάσκων πιστευθήσεται σώματος. Τὸ * γὰρ ἀθάνατον καὶ ἀγήρων μόνος ὁ Παντοκράτωρ ἐμφυσᾷ ἡμῖν, καὶ μόνος τῶν ἀοράτων ἐστὶ καὶ ἀνολέθρων ποιητής. Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο, φησὶν, ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Ἀμέλει τοὺς χειροτέχνας τούτους ἀντιώμενος ὁ λόγος, ἐπὶ λύμῃ τῶν ἀνθρώπων τὰ ἀνδροείκελα κατασκευάζοντας ἀγάλματα, οὐκ αἰσθόμενα τὸν ἴδιον ποιητὴν, ἐν τῇ παναρέτῳ Σοφίᾳ φησί· Σποδὸς ἡ καρδία αὐτῶν, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτῶν· ὅτι ἠγνόησαν τὸν πλάσαντα αὐτοὺς, καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα αὐτοῖς πνεῦμα ζωτικόν. Οὗτός ἐστι πάντων ἀνθρώπων ποιητὴς, ὁ Θεός. Διὸ καὶ πάντας ἀνθρώπους, κατὰ τὸν Ἀπόστολον, σώζεσθαι βούλεται, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Καὶ ἐπειδὴ τοῦτο μόλις τέλος ἔσχε, λοιπὸν δὴ τὰ μετὰ ταῦτα λεκτέον. Ὁπότ-

Et adhuc locum habebit aliquis probabiliter disputandi apud imperitos et imprudentes, tunicam hanc animæ carneam, ab hominibus satam, casu formari præter Dei sententiam; immortalem tamen animi substantiam cum mortali ac fragili corpore seminari qui doceat, fidem non merebitur. Quod C enim mortis seniique expers est, solus utique nobis inspirat Omnipotens, solusque invisibilium incorruptibiliumque creator est. *Inspiravit* enim, inquit, *in faciem ejus spiraculum vitæ : et factus est homo in animam viventem* [28]. Denique artifices illos increpans Scriptura, qui ad hominum perniciem humana forma statuas concinnarent, nullo ejus sensu præditas, quo auctore fiant, in libro Sapientiæ, omnis scilicet virtutis officina, ait : *Cinis est eor eorum, et terra supervacua spes eorum, et luto vilior vita eorum : quoniam ignorarunt qui se finxit, et qui inspiravit illis animam quæ operatur; et qui insufflavit eis spiritum vitalem* [29]. Hic cunctorum hominum conditor est, Deus. Propterea que, ut scribit Apo- D stolus, *Vult omnes homines salvos fieri, et ad agnitionem veritatis venire* [30]. Et quoniam hoc vix tandem caput expedivimus, quæ supersunt deinceps dicenda sunt. Ubi enim quis eorum quæ ex humana

[27] *Sap.* IV, 6. [28] *Gen.* II,7. [29] *Sap.* XV, 10, 11. [30] *I Tim.* II, 4.

(36) Ὕπνων. Sic et Vulg. emendata, cum pro *somnus* irrepsisset *omnes*, ut testatur Nobilius. Combefis.

(37) Οὐ μὴν ἤδη. Planum argumentum Methodii. Etsi admitti possit corpus sic a natura formari, velut fere in reliquis animantibus, vi scilicet seminis : de animo tamen qui sit immortalis, qui dicat, nullam fidem mereri, sed a Deo ἀμέσως fieri et dari. Possinius tamen, interrogate legens, id affirmat quod negat Methodius : quanquam ex fide ejus qui de corpore ita sentit, quasi arguat Methodius unum ex altero sequi; quod esset argumentum a minori ad majus affirmate, proinde nullius consequentiæ. Contra, dato priore membro, alterum nulla probabilitatis specie dari posse aut admitti, ex ipsa rei indole evincit et locis Scripturæ : quod utique gravis theologi est. Apud Allatium etiam particula *non* obrepsit, mendo ut videtur typographico; qua submota, omnia constant. Id.

Digitized by Google

ratione homini accidunt, consideratione natura duce diligenter didicerit, sane noverit haud abominandam liberorum procreationem, cum tamen castimonia majori laude atque honore coronanda sit. Neque enim eo quod mel cæteris dulcius est ac suavius, continuo reliqua amara reputare convenit, quæcunque in fructibus jucundi saporis partem aliquam a natura sortita sunt. Et horum quidem idoneum testem producemus Paulum, cujus illa sunt : *Qui matrimonio jungit virginem suam, bene facit; et qui non jungit, melius facit* [31]. Non enim scilicet id proponendo quod melius ac dulcius est, aliud omnino Scriptura sublatum voluit; sed unicuique quod proprium est ac utile, tribuendum decernit. Sunt quibus nondum concessit potiri virginitate : sunt quos non amplius titillationibus erubescentes inquinari permittit, sed jam inde meditari, deincepsque cogitare vult, angelicæ puritatis æmulam corporum transformationem; ubi juxta verax Domini oraculum : *Non nubunt, neque nubuntur* [32]. Quandoquidem non omnibus incontaminatus ille, et quo regnum cœlorum præbeatur [33], eunuchismus creditur : sed illis duntaxat, qui et semper virentem et incontaminatum virginitatis florem valent servare. Florentissimo enim et maxime variegato prato comparari Ecclesiam habet propheticus sermo, non modo virginitatis distinctam et coronatam floribus, sed et conjugii et continentiæ. *In fimbriis* enim *aureis variegata astat regina a dextris* sponsi [34].

Hæc tibi pro viribus ego meis, o Arete, confero ad susceptum pro veritate sermonem. — Quibus a Theophila dictis, lene a cunctis virginibus exstitisse murmur narrabat Theopatra, illis sermonem laudantibus. Ubi autem susurrus quievit, post longum silentium, assurrexisse Thaliam (ei quippe tertio loco mandatum erat post Theophilam concertare). Ea igitur sequens hinc et ipsa exorsa est.

A αν γάρ τις τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ βδελύσσεσθαι παιδοποιΐαν· ἐπαινεῖν δὲ καὶ προτιμᾶν ἁγνείαν. Οὐδὲ γάρ, ἐπειδὴ τῶν ἄλλων ἡδύτερόν ἐστι καὶ προσηνέστερον τὸ μέλι, τὰ λοιπὰ δὴ ταύτῃ νομίζεσθαι προσήκει πικρά, ὁπόσα δὴ τῇ ἐμφύτῳ γλυκασίᾳ κεκέρασται τῶν ἀκροδρύων. Καὶ τούτων μὲν ἐχέγγυον μάρτυρα παρέξομαι τὸν Παῦλον, *Ὥστε καὶ ὁ γαμίζων*, λέγοντα, *τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ· καὶ ὁ μὴ γαμίζων κρεῖσσον ποιεῖ.* Οὐ γὰρ δὴ τῇ τοῦ κρείττονος καὶ γλυκυτέρου παραθέσει τὸ ἕτερον ἀνεῖλεν ἀπαγορεῦσαι ὁ λόγος· ἀλλ' ἑκάστῳ τὸ οἰκεῖον καὶ λυσιτελὲς ἀπονέμειν διαθεσμοθετεῖ. Τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησε παρθενίας τυχεῖν· τοὺς δὲ οὐκέτι βούλεται χραίνεσθαι φοινισ- B σομένους ἐρεθισμοῖς, ἀλλὰ μελετᾷν ἀπεντεῦθεν ἤδη καὶ φαντάζεσθαι τὴν ἰσάγγελον μεταστοιχείωσιν τῶν σωμάτων· ἔνθα *οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται*, κατὰ τοὺς ἀψευδεῖς τοῦ Κυρίου χρησμούς· ἐπεὶ μηδὲ πᾶσιν ὁ ἀμόλυντος καὶ παρεκτικὸς τῆς βασιλείας τῶν οὐρανῶν εὐνουχισμὸς ἐμπιστεύεται· ἀλλὰ μόνοις δηλονότι τοῖς καὶ δυναμένοις τὸ ἀειθαλὲς ἄνθος, καὶ ἄχραντον τῆς παρθενίας τηρῆσαι. Ἀνθηροτάτῳ γὰρ καὶ ποικιλωτάτῳ λειμῶνι ἀπεικάζεσθαι λόγος ἔχει προφητικὸς τὴν Ἐκκλησίαν, οὐ μόνον τοῖς τῆς ἁγνείας πεποικιλμένην καὶ κατεστεμμένην ἄνθεσιν, ἀλλὰ καὶ τοῖς τῆς τεκνογονίας καὶ τοῖς ἐγκρατείας. *Ἐν κροσσωτοῖς* γὰρ *χρυσοῖς πεποικιλμένη ἀπὸ δεξιῶν ἡ βασίλισσα παρίσταται* τοῦ νυμφίου.

C

Ταῦτά σοι κατὰ δύναμιν κἀγὼ τὸν ἐμαυτῆς, ὦ Ἀρετή, εἰς τὸν περὶ τῆς ἀληθείας συμβάλλομαι λόγον. — Εἰπούσης δὲ ταῦτα τῆς Θεοφίλας, θόρυβον ἡδὺν ἐκ πασῶν ἡ Θεοπάτρα ἔφη γεγονέναι τῶν παρθένων, ἐπαινουσῶν τὸν λόγον. Ὡς δὲ ἡσύχασεν, σιωπῆς ἐπὶ πολὺ γενομένης, ἀναστῆναι τὴν Θάλειαν· ταύτῃ γὰρ ἐκ τρίτου ἐπετέτραπτο μετὰ τὴν Θεοφίλαν ἀγωνίζεσθαι. Ὑπολαβοῦσα οὖν ἐντεῦθεν, ὡς οἶμαι, ἤδη καὶ αὐτή.

ORATIO III.

THALIA.

ΛΟΓΟΣ Γ'.

ΘΑΛΕΙΑ.

Cap. I. *Locus Geneseos* II, 23, 24, *cum textu Paulino Ephes.* V, 29-32, *collatus.*

Mihi videris, o Theophila, et actione et eruditione cunctis præcellere, nec cuiquam sapientiæ laude cedere. Non enim est qui reprehendere possit orationem tuam, vel si contentiosus et pervicax sit. Unum tamen in ea me, aliis præclare dictis, o beata, videtur turbare, ac quasi injecto scrupulo moleste habere, dum mecum reputo, haud frustra spiritu plenissimum ac sapientem virum, Paulum dico, in Christum et Ecclesiam relaturum conjun-

D Σύ μοι δοκεῖς, ὦ Θεοφίλα, ἔφη, καὶ τῇ πράξει καὶ τῷ λόγῳ πασῶν κρατιστεύειν, καὶ σοφίας τὰ δεύτερα φέρεσθαι οὐδενός. Οὐ γάρ ἐστιν ὅστις αἰτιάσεταί σου τὸν λόγον, οὐδ' εἰ παντάπασι φιλόνεικος εἴη καὶ ἀντιλογικός. Πλὴν ἐκεῖνό με μόνον, τῶν ἄλλων ὀρθῶς εἰρημένων, ὦ μακαρία, δοκεῖ ταράττειν τε καὶ ἀνιᾶν, ἀναλογιζομένην, ὡς οὐκ ἂν ὁ πνευματικώτατος σοφὸς ἀνήρ, τὸν Παῦλον λέγω, ματαίως ἀνέφερεν εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν, τὴν σύνερξιν (38) τοῦ

[31] *I Cor.* VII, 38. [32] *Matth.* XXII, 30. [33] *Matth.* XIX, 12. [34] *Psal.* XLIV, 10.

(38) *Τὴν σύνερξιν.* Malui retinere Vat. vocem, quod etiam in reliquis postmodum repetatur, ut appareat glossema esse quod Allat. et Maz. hic σύζευξιν habent : quasi rariorem vocem, ut solet, coæmuniore exponant. Ea utitur Plato in eam ipsam rem, pro viri et uxoris quasi in secreto, copulatione, quæ nuptiarum mysterium est, quod Apostolus in Christum et Ecclesiam transfert. Combef.

Digitized by Google

πρωτοπλάστου καὶ τῆς γυναικὸς, εἰ μηδὲν ὑψηλότερον ἐφαντάζετο τῶν ῥητῶν καὶ τῆς ἱστορίας ἡ Γραφή. Εἰ γὰρ ὅλως εἰς τὸν περὶ συνελεύσεως ἀνδρός τε καὶ γυναικὸς δεῖ παραλαμβάνεσθαι τύπον ψιλῶς τὴν Γραφὴν, τίνος δὴ χάριν ὁ Ἀπόστολος, τούτων ἐπιμνησθεὶς, καὶ εἰς τὴν τοῦ Πνεύματος ἡμᾶς, οἶμαι, χειραγωγῶν ὁδὸν, εἰς Χριστὸν καὶ εἰς Ἐκκλησίαν ἀναφέρων, ἀλληγορεῖ τὰ κατὰ τὴν Εὔαν καὶ τὸν Ἀδάμ;

Ἡ μὲν γὰρ λέξις τῆς Γενέσεως οὕτω φησί· *Καὶ εἶπεν ὁ Ἀδάμ· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.* Ὁ δὲ Ἀπόστολος, εἰς αὐτὴν δὴ ταύτην ἐπισκεπτόμενος τὴν περικοπὴν, οὐκέτι κατὰ τὸ κείμενον αὐτὴν, ὡς ἔφην, αἰσθητῶς ἐπὶ συνέρξεως βούλεται παραλαμβάνεσθαι γυναικός τε καὶ ἀνδρὸς, ὥσπερ δὴ καὶ σύ. Σὺ γὰρ, φυσικώτερον ἐπεξεργαζομένη τὸν λόγον, συλλήψεων πέρι καὶ τοκετῶν ἔδωκας μόνον ἀποφαίνεσθαι τὴν Γραφήν. Ἵνα γὰρ τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἄνθρωπος ἕτερος ληφθὲν γεννηθῇ, ταύτῃ συνεῖναι τὰ ζῶα σπαργῶντα δρυῶν εἶκην (39) ἐν ὥρᾳ τοῦ κύειν. Ἐκεῖνος δὲ, πνευματικώτερον εἰς Χριστὸν ἀναπέμψας τὸν λόγον, διδάσκων οὕτως ἔφη· *Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ. Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν. ἀλλ' ἐκτρέφει καὶ θάλπει, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν· ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν.*

ctionem primi hominis ac mulieris [35], si nihil sublimius Scriptura innueret, quam quod ex nudis ipsis verbis ac historia, pervio sensu haberi potest. Si enim omnino de viri ac mulieris congressu nude locus Scripturæ accipi debet, quid causæ est cur Apostolus eum citans, et ad Spiritus, puto, nos manu ducens viam, quæ de Adamo et Eva memorantur, per allegoriam in Christum transfert et in Ecclesiam?

Locus Geneseos sic habet. *Et dixit Adam, Hoc nunc os ex ossibus meis, et caro de carne mea: hæc vocabitur mulier, quoniam de viro sumpta est. Propter hoc relinquet homo patrem suum et matrem suam, et adhærebit uxori suæ: et erunt duo in carnem unam* [36]. Apostolus autem eam sententiam considerans, nequaquam illam prout jacet, juxta sensum ut dixi ac sonum litteræ, de viri ac feminæ copula vult accipi, quemadmodum tu facis, naturali modo de conceptibus solummodo ac partubus Scripturam istam interpretando. Sic enim posuisti: Ut os ex ossibus homo alter sumptum gigneretur, coire viva corpora, distendique ac tumere, arborum instar, cum prægnant. Paulus autem, spiritaliter ad Christum hæc referens, in hunc nos modum edocet [37]: *Qui suam uxorem diligit, se ipsum diligit. Nemo enim unquam carnem suam odio habuit, sed nutrit et fovet eam, sicut et Christus Ecclesiam: quia membra sumus corporis ejus. Propter hoc relinquet homo patrem suum et matrem, et adhærebit uxori suæ; et erunt duo in carnem unam. Sacramentum hoc magnum est; ego autem dico, in Christum et in Ecclesiam.*

A

B

C

CAP. II. *Apostoli Pauli digressiones. Ejus doctrinæ character, nihil in eo dissentaneum. Suffixus Origenes, qui improbe omnia ad allegoriam trahit.*

Μὴ κινείτω δέ σε, εἰ περὶ ἑτέρων διαλεγόμενος εἰς ἕτερα μετεπηδᾷ· ὥστε νομίζειν ἀναμιγνύναι καὶ παρεμβάλλειν αὐτὸν ἀνόμοια τοῖς προκειμένοις, παρεκβαίνοντα τοῦ σκέμματος, ὥσπερ δὴ καὶ νῦν. Περὶ τῆς ἁγνείας γὰρ ἐθελήσας, ὡς εἰκὸς, μεμελημένως αὐτῷ κρατυνθῆναι λόγον, προδιορθοῦται πρότερον τὴν ἐπιχείρησιν, τῷ λειοτέρῳ τῆς φράσεως ἀρχόμενος τύπῳ. Ὁ γάρ τοι χαρακτὴρ αὐτῷ τῶν λόγων, ποικιλώτατος ὤν, καὶ κατὰ παραύξησιν ἐξειργασμένος, ἄρχεται μὲν ἐπιπολαιότερον, προχεῖται δὲ εἰς τὸ ὑψηλότερον καὶ μεγαλοπρεπές· εἶτ' αὖθις εἰς βαθύτητα μεταβάλλων, ὁτὲ μὲν εἰς τὸ ἁπλούστερον καὶ ἀφελὲς, ὁτὲ δὲ εἰς τὸ δεινότερον καταλήγει καὶ λεπτὸν, οὐδὲν ἀλλότριον ἐπεισάγων τῶν κεφαλαίων ταῖς ἐξαλλαγαῖς· ἀλλὰ πάντα κατά τινα θαυμαστὴν οἰκειότητα συμπεριγράφων εἰς ἓν τὸ προκείμενον

Nec vero te moveat, quod aliis de rebus instituto sermone, ad alia transilit, ut permiscere doctrinam videatur eaque intercalare quæ argumento dissideant, ab instituta digrediens consideratione, uti se res in verbis inductis habet. Nam cum de castitate, ut apparet, sedulo doctrinam tradere ac confirmare vellet, insinuat se prius, et molles quasi aditus ad eum scopum captat, leniori ac plausibiliori utens sermonis ingressu. Est enim ejus dictionis character admodum varius, et ad rem sensim augendam comparatus. Ac ipso quidem exordio rem levius attingens, moxque se in altiora ac magnifica diffundens: tum rursus in profunditatem sese demittens, interdum in simplex aliquid et facile, interdum in difficilius aliquid et subtilius desinit; nec quidquam tamen per istas alternationes alienum a scopo in-

D

tum extremis, eoque illis idem, identitate scilicet partium in toto. Paulo aliter formatur hæc ratio apud Photium: post verba enim non longe superius posita, ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσι: ita arguit, τοῦτο δὲ, ἤτοι ταυτὸν ὄν, ἡνῶται θατέρῳ τῶν δύο· καὶ ἀνάγκη πάλιν ἢ ἕνωσιν ἢ χωρισμὸν πρὸς τὸ ἕτερον ζητεῖν. Ἕνωσιν γὰρ ἀδύνατον ἰδεῖν, εἴπερ θατέρῳ ταυτὸν εἶναι καὶ ἡνῶσθαι δέδοται· ἡνοῦτο γὰρ οὕτως ἄν καὶ τὸ ἐξ ἀρχῆς, ᾧ ταυτὸν εἶναι τοῦτο ἐδόθη. Εἰ δὲ κεχωρίσθαι ἀπαιτεῖ ὁ λόγος, πάλιν τὸ χωρίζον ἀπαιτητέον, ἕως ἂν ἀπείρων ἡμῖν ἀγενήτων ἐσμὸς ἀναφανῇ. Ego sic redderem: *Hoc autem* (nempe separans) *velut quod sit idem alteri duorum, illi unitum est: rursumque necesse erit quærere aut conjunctionem aut separationem ab altero. Unionem enim videre, impossibile fuerit, si quidem concessum est, esse idem cum altero, et illi unitum. Sic enim uniretur etiam primum illud, cum quo istud idem esse concessum fuit. Quod si ratio docet separatum: rursus quærendum est quo separetur, donec infinitorum ingenitorum nobis copia occurrat.* Est hæc ratio satis facilis et consequens: nisi quod ubique minus probabiliter videtur supponere, distingui aliqua necessario, non se ipsis, sed per alia. Valet nihilominus illa ad hominem, et supposita crassa illa æstimatione de Deo, in qua erant Valentiniani.

(18) *Ac neque rursum ambo ut partes uniri.* Μήτ' αὖ πάλιν, ὡς μέρη ἡνῶσθαι Photiana, μηδ' αὖ πάλιν [ὡς] ἐν μέρει ἡνῶσθαι, nempe Deum uniri vel ut in parte: vel, ut pars unitur parti. Est altera probatio ab altero modo unionis, per modum contigui: locatique et loci: quæ et ipsa ad hominem procedit.

(19) *Quomodo eam elaboravit?* Πῶς ταύτην ἐδημιούργησε, similitudine artificum, quos oportet esse nonnihil loco discretos a materia quam componunt et perficiunt; sic Archimedes nonnullum locum extra universum quærebat, toti illi ciendo et sede movendo. Interpres passim τὸ δημιουργεῖν reddit *creare*, quod hoc loco non congruit, ubi agitur de formatione materiæ, adversus eos qui ipsam a se et ingenitam dicebant. Ut ergo non tulerint aures, ut faber dicatur creare ferrum, ita neque ut Deus, eo sensu, dicatur creare materiam.

(20) *Velut ipso diviso a se ipso.* Velut in loco communi et proprio, ut quovis modo sequatur aliquid absonum vel divisio Dei; vel indigni et turpis, ceu in vase et loco proprio, continentia, cum probro continentis: unde quod sequitur ἢ ὡς ἐν τόπῳ, videtur supplendum addito ἰδίῳ, nisi legendum est ἀγγείῳ, cujus continentiæ exemplum statim in terra ponat, hoc est, vase terreo et fictili continente aquam: qua continentia, vas dicitur, vel in honorem, vel in contumeliam, I Tim. II.

(21) *Ἐκ τῶν.* Forte ἐξω τῶν.

Digitized by Google

της ἐποιησάμην λόγον εἰς ἀπόδειξιν τοῦ ὅτι ἀδύνατον ὑπάρχειν αὐτὴν ἀγένητον· ἐπεὶ δὲ τὴν τῶν κακῶν γένεσιν αἰτίαν φῂς εἶναι τῆς τοιαύτης ὑπονοίας, διὰ τοῦτο ἐπὶ τὴν ἐξέτασιν τούτων ἔρχεσθαί μοι δοκεῖ. Φανεροῦ γὰρ γινομένου τοῦ λόγου, καθ' ὃν τρόπον ἐστὶ τὰ κακὰ, καὶ ὅτι οὐχ οἷόν τε ἐστὶν αἴτιον τῶν κακῶν εἰπεῖν τὸν Θεὸν, ἐκ τοῦ ὕλην αὐτῷ ὑποτιθέναι τὴν τοιαύτην ὑπόνοιαν, ἀναιρεῖσθαί μοι δοκεῖ· ὅτι, εἰ τὰς ποιότητας μὴ οὔσας ἐδημιούργησεν ὁ Θεὸς, καὶ τὰς οὐσίας ὁμοίως. Φῂς τοίνυν ἄποιον ὕλην συνυπάρχειν τῷ Θεῷ, ἐξ ἧς τὴν τοῦ κόσμου γένεσιν ἐδημιούργησεν;

A Deum, locum dicamus (24) incompositorum et turpium, atque malorum : quod minus decens mihi videtur, quin etiam periculosum. Nam ideo vis esse materiam, ut ne Deum malorum auctorem affirmaveris : cumque hoc velis cavere, malorum conceptaculum, eum dicis. Quod si materiam extra subsistentia creata existimans, increatam dixisses exsistere, multis de ea locutus essem, probando non posse fieri, ut ea increata sit. Quia vero malorum ortum, ejuscemodi opinionis dicis causam, propterea visum est, ut ad istorum examen progrediar. Declarato enim, quomodo fiant mala, quodque Deus malorum auctor dici nequeat, suggerente materia ejusmodi opinionem, mihi confici videtur, ut si Deus qualitates quæ non erant, creavit, simili etiam ratione substantias crearit. Ain' ergo materiam nudam qualitate et informem, Deo coexsistere, ex qua mundum creaverit?

ΟΥΑΛ. Οὕτω μοι δοκεῖ.

B VAL. Ita mihi videtur.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ Θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες· τῶν ποιοτήτων γέγονε ποιητὴς ὁ Θεός.

ORTH. Ergo si materia sine qualitate et informis fuit, mundus vero factus est a Deo; in mundo autem sunt qualitates; utique qualitatum conditor fuit Deus.

ΟΥΑΛ. Οὕτως ἔχει.

VAL. Ita est.

ΟΡΘΟΔ. Ἐπεὶ δέ σου καὶ λέγοντος πρόσθεν ἤκουον, ὡς ἀδύνατον ἐξ οὐκ ὄντων γίνεσθαί τι, πρὸς ἐρώτησιν ἀπόκρινε τὴν ἐμήν· δοκεῖ σοι τὰς τοῦ κόσμου ποιότητας μὴ ἐξ ὑποκειμένων ποιοτήτων γεγονέναι;

ORTH. Quia porro in superioribus dicentem audivi, non posse aliquid ex nihilo fieri, responde ad meam quæstionem : Videnturne tibi qualitates mundi, ex non subjectis qualitatibus factæ?

ΟΥΑΛ. Δοκεῖ.

VAL. Videntur.

ΟΡΘΟΔ. Ἕτερον δέ τι παρὰ τὰς οὐσίας ὑπάρχειν αὐτάς;

ORTH. Et has esse aliquid aliud a substantia existimas?

ΟΥΑΛ. Οὕτως ἔχει.

VAL. Ita, aliud.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ μήτε ἐξ ὑποκειμένων ποιοτήτων τὰς ποιότητας ἐδημιούργησεν ὁ Θεὸς, μήτε ἐκ C τῶν οὐσιῶν ὑπάρχουσι, τῷ μηδὲ οὐσίας αὐτὰς εἶναι· ἐκ μὴ ὄντων αὐτὰς ὑπὸ Θεοῦ γεγονέναι ἀνάγκη εἰπεῖν. Ὅθεν περιττῶς ἐδόκεις μοι λέγειν, ἀδύνατον δοξάζειν ἐξ οὐκ ὄντων γεγονέναι τι πρὸς τοῦ Θεοῦ. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ὧδε ἐχέτω. Καὶ γὰρ παρ' ἡμῖν ὁρῶμεν ἀνθρώπους ἐξ οὐκ ὄντων ποιοῦντάς τινα, εἰ καὶ τὰ μάλιστα δοκοῦσιν οὗτοι ποιεῖν ἔν τινι. Οἷον ἐπὶ τῶν ἀρχιτεκτόνων τὸ παράδειγμα λάβωμεν· καὶ γὰρ οὗτοι ποιοῦσι πόλεις οὐκ ἐκ πόλεων, καὶ ναοὺς ὁμοίως οὐκ ἐκ ναῶν (22). Ἀτελής.

ORTH. Cum ergo Deus qualitates ex non subjectis qualitatibus condiderit, nec illæ sint factæ ex substantiis, cum non sint substantiæ : necesse erit dicere, illas ex nihilo a Deo creatas esse. Quare videbaris superflue dicere esse inopinabile, quod Deus aliquid ex nihilo creaverit. Enimvero ea sit ejus rei decisio. Nam etiam apud nos, quædam videmus hominum opera fieri ex nihilo, quanquam ipsi maxime videantur facere in aliquo. Ut si exemplum ab architectis capiamus : nam et illi urbes condunt ex non urbibus, et templa ex non templis. *Imperfectus.*

ΛΟΙΠΑ ΕΚ ΤΩΝ ΦΩΤΙΟΥ.

RELIQUA EX PHOTIO.

(*Biblioth.* cod. CCXXXVI.)

Εἰ δ', ὅτι τούτοις οὐσίαι ὑπόκεινται, οἴει ἐξ (οὐκ) ὄντων (23) αὐτὰς ταῦτα ποιεῖν, τῷ λόγῳ σφάλλῃ. Οὐδὲ γὰρ ἡ οὐσία ἐστὶν ἡ ποιοῦσα τὴν πόλιν, ἢ τοὺς ναοὺς, ἀλλ' ἡ περὶ τὴν οὐσίαν τέχνη, ἢ οὐκ ἐξ ὑποκειμένης τινὸς τέχνης ἐν ταῖς οὐσίαις γίνεται· ἀλλ' ἐξ οὐκ οὔσης ἐν αὐταῖς γίνεται. Ἀπαντήσειν δέ μοι δοκεῖς οὕτω τῷ λόγῳ· ὅτι τεχνίτης τῇ ἐν τῇ οὐσίᾳ

D Quod si, quia his substantiæ subjectæ sint, existimas (eos) non hæc facere ex nihilo, verbo falleris. Neque enim substantia condit civitatem aut templa, sed ars quæ versatur circa substantiam : eaque, non ex subjecta aliqua arte quæ sit in substantiis, sed ex non arte in illis, procreatur. Videris tamen ita rationi posse occurrere : ut nimirum

(22) *Ἐκ ναῶν.* Huc usque Meursii editio. Photius vero l. c. post verba οὐκ ἐκ ναῶν, subdit statim quæ sequuntur : Εἰ δ' ὅτι, κ. τ. λ. Quæ quidem doctissimus Lamius, una cum tertio operis Methodiani excerpto ex codice Sirmondi descripto, hausit ex edito Combefisiano, et in præfatione ad vol. VIII operum Meursii exhibuit, pag. v-x, quo nimirum ab eodem Meursio Methodiana evulgata compleret. GALL.

(23) *Ἐξ (οὐκ) ὄντων.* Deest μή, aut supervacaneum τὸ οὐκ. Statim vero forte legendum αὐτούς, ut referatur ad *architectos*, de quibus paulo superius.

(24) *Locum dicamus.* Τόπον εἶναι. Photiana, mendose, αἴτιον, tota enim argumentatio in loco est, a quo arguit ad causam; ut quorum Deus nequierit esse causa, nec debeat esse locus et conceptaculum, δοχεῖον, ut statim subditur.

Digitized by Google

artificem arte quam in substantia habeat, dicas operari (25). Ad hoc respondeo : Neque homini adnasci artem ex subjecta arte; nam neque concedi potest, ipsam in se substantiam, artem esse. Ars enim accidentibus adcensetur, iisque, quorum tunc sit esse, cum in substantia aliqua procreata fuerint. Homo quidem, sine etiam tectonica fuerit : at illa, nisi prius exsistente homine, nulla erit. Quare dicendum necessario, habere artes natura, ut ex nihilo fiant in hominibus. Ergo si ita habere ostendimus in hominibus ; quomodo non æquum erit dicere, posse a Deo, non solum qualitates, sed et substantias, fieri ex nihilo? Dum enim possibile videtur ut aliquod ex nihilo fiat, posse etiam substantias ex nihilo fieri ostenditur.

Iterum vero instituta de malis disputatio resumatur. Mala, utrum substantiæ videntur vel qualitates substantiarum?

VAL. Qualitates.

ORTH. Materia vero, eratne sine qualitatibus et informis?

VAL. Maxime.

ORTH. Hæc ergo nomina substantiæ junguntur ex iis quæ ipsi accidunt. Neque enim homicidium est substantia, neque quidquam aliorum malorum; sed agnominatur ab operationibus. Nam neque homicidium est homo ; sed is, ob illud perpetratum quadam velut nominis deflexione, homicida agnominatur; cum ipse haudquaquam sit homicidium: atque, ut compendio dicam, nihil quidquam ex aliis malis est substantia : sed potest dici mala, quod malorum quidpiam egerit. Simili modo ratiocinare, si quid aliud quod sit causa malorum, mente confinxeris : nempe etiam illud malum esse, quod hominibus cooperetur, et suggerat ut mala faciant. Est enim et ipse malus, ob ea quæ facit. Propterea enim dicitur esse malus, quod sit auctor malorum. Porro, quod quis facit, non ipse est qui facit, sed ejus operatio, unde sibi cognomen mali asciscit. Nam si id ipsum dixerimus esse quod facit ; cum faciat cædes et adulteria et hoc genus similia, ipse illa erit. Quod si ipse, illa est; habet suum esse, cum illa sunt : ubi autem non fuerint, etiam ipse desinit esse. Fiunt autem hæc ab hominibus : erunt ergo homines horum auctores ; et ut sint vel non sint, causæ. Atqui si ob ea quæ quisque facit, malus est, quæ autem facit, principium habent ; consequens fit, ut et ille cœperit esse malus, cœperintque etiam ista mala. Quod si verum est, nemo igitur ante omne principium æternumque malus est, ac neque mala sunt increata.

A τέχνῃ ποιεῖ. Φημὶ δὲ πρὸς τοῦτο, ὅτι οὐδὲ ἐν τῷ ἀνθρώπῳ ἔκ τινος ὑποκειμένης τέχνης προσγίνεται· οὐδὲ γὰρ ἔνεστι τὴν ἐφ' ἑαυτῆς οὐσίαν δοῦναι τὴν τέχνην. Τῶν γὰρ συμβεβηκότων ἐστὶ, καὶ τῶν τότε τὸ εἶναι ἐχόντων, ὁπόταν ἐν οὐσίᾳ τινὶ γένηται. Ὁ μὲν γὰρ ἄνθρωπος καὶ χωρὶς τῆς τεκτονικῆς ἔσται, ἡ δὲ οὐκ ἔσται, ἐὰν μὴ πρότερον ἄνθρωπος ᾖ. Ὅθεν, τὰς τέχνας ἐξ οὐκ ὄντων εἰς ἀνθρώπους πεφυκέναι γίνεσθαι, λέγειν ἀναγκαῖον. Εἰ τοίνυν τοῦτο οὕτως ἔχειν ἐπ' ἀνθρώπων ἐδείξαμεν, πῶς οὐχὶ προσῆκε τὸν Θεὸν μὴ μόνον ποιότητας, ἐξ οὐκ ὄντων φάναι δύνασθαι ποιεῖν, ἀλλὰ καὶ οὐσίας; Τὸ γὰρ δυνατὸν φανῆναι τὸ γίνεσθαί τι ἐξ οὐκ ὄντων, καὶ τὰς οὐσίας οὕτως ἔχειν δείκνυται.

B Πάλιν δὲ διαληπτέον τῶν κακῶν πέρι. Τὰ κακὰ πότερον οὐσίαι σοι δοκοῦσιν εἶναι, ἢ ποιότητες οὐσιῶν;

ΟΥΑΛ. Ποιότητες.

ΟΡΘΟΔ. Ἡ δὲ ὕλη ἄποιος ἦν καὶ ἀσχημάτιστος;

ΟΥΑΛ. Οὕτω.

C ΟΡΘΟΔ. Πέπλεκται ἄρα τὰ ὀνόματα ταῦτα τῇ οὐσίᾳ ἐκ τῶν συμβεβηκότων αὐτῇ. Οὔτε γάρ ἐστιν ὁ φόνος ἡ οὐσία, οὔτε τι τῶν ἄλλων κακῶν· ἀλλ' ἐκ τῶν ἐνεργειῶν παρονομάζεται. Οὔτε γὰρ φόνος ὁ ἄνθρωπος· ἀλλὰ τῷ ἐνεργηκέναι τοῦτον, παρωνύμως φονεὺς παρονομάζεται, μὴ ὢν φόνος αὐτός· οὔτε, συλλήβδην εἰπεῖν, τι τῶν ἄλλων κακῶν ἐστιν ἡ οὐσία· ἀλλὰ τῷ πρᾶξαί τι τῶν κακῶν κακὴ λέγεσθαι δύναται. Ὁμοίως ἐπινόησον, εἴ τι ἕτερον ἀναπλάττεις ἐν τῷ νῷ, κακῶν τοῖς ἀνθρώποις αἴτιον, ὡς κἀκεῖνο κακὸν (26), ἐν τῷ τούτοις ἐνεργεῖν, καὶ ὑποβάλλειν ποιεῖν τὰ κακά. Ἔστι γὰρ καὶ αὐτὸς κακὸς, ἐξ ὧν ποιεῖ. Διὰ γὰρ τοῦτο κακὸς εἶναι λέγεται, ὅτι (τῶν) κακῶν ἐστι ποιητής· ἃ δέ τις ποιεῖ, οὐκ ἔστιν αὐτὸς, ἀλλ' ἐνέργεια αὐτοῦ, ἀφ' ὧν τὴν προσηγορίαν τοῦ κακὸς (27) λέγεσθαι λαμβάνει. Εἰ γὰρ αὐτὸν εἴποιμεν εἶναι ἃ ποιεῖ· ποιεῖ δὲ φόνους, καὶ μοιχείας, καὶ ὅσα ὅμοια· αὐτὸς ἔσται ταῦτα. Εἰ δὲ αὐτός ἐστι ταῦτα· ὅτε γίνεται, τὴν σύστασιν ἔχει· οὐ γινόμενα δὲ, καὶ τοῦ εἶναι παύεται. Γίνεται δὲ ταῦτα πρὸς ἀνθρώπων· ἔσονται ἄρα τούτων οἱ ἄνθρωποι ποιηταὶ, καὶ τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι αἴτιοι. Ἀλλ' εἰ ἐξ ὧν ἐνεργεῖ ἕκαστος, ὑπάρχει κακός· ἃ δὲ ἐνεργεῖ, ἀρχὴν τοῦ εἶναι λαμβάνει· ἤρξατο κἀκεῖνος εἶναι κακός· ἤρξατο δὲ καὶ ταῦτα τὰ κακά. Εἰ δ' οὕτως ἔχει, οὐκ ἔστιν ἀνάρχως τις κακὸς, οὐδὲ ἀγέννητα τὰ κακά.

D

(25) *Ut nimirum artificem arte quam in substantia habeat, dicas operari*, τῇ ἐν τῇ οὐσίᾳ τέχνῃ ποιεῖ. Non bene interpres Photii, *per artem aliquid in substantia fieri*. Qui enim hoc ad propositum, quo quæritur, num ars ex præjacente arte fiat, in habente, vel ut ex arte quam artifex substantialiter habeat, ut ista solutio contendit; vel ex nihilo sui, tanquam verum accidens, quod tantum sit, cum in substantia aliqua fuerit factum; quod Methodius intendit, ut eo evincat, posse Deum aliquid majus, nempe ex nihilo etiam subjecti et absolute; nec solum accidentia, sed et substantias creare, eoque non habuisse opus materia adjutrice? Reliqua nihil fere felicius reddita, conati sumus restituere : et quisque adverterit, collata utraque versione, et sibi ipsa, et textui.

(26) *Κἀκεῖνο κακόν*. Al. κἀκεῖνος κακός.

(27) *Κακός*. Al. κακοῦ.

Digitized by Google

ΟΥΑΛ. Ἀλλὰ τὸν μὲν πρὸς τὸν ἕτερον λόγον ἱκανως, ὦ φίλε, πεποιηκέναι μοι δοκεῖς. Ἐξ ὧν γὰρ προλαβὼν ἔδωκε τῷ λόγῳ, ἐκ τούτων συνάγειν ἔδοξας καλῶς. Ὡς ἀληθῶς γὰρ, εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, τῶν δὲ ποιοτήτων δημιουργὸς ὁ Θεός· ποιότητες δὲ τὰ κακά· τῶν κακῶν ἔσται ποιητὴς ὁ Θεός. Ἐμοὶ δὲ ψεῦδος δοκεῖ, τὴν ὕλην ἄποιον λέγειν· οὐδὲ γὰρ ἔνεστιν εἰπεῖν περὶ τῆς τινος οὐσίας, ὡς ἔστιν ἄποιος. Ἀλλὰ μὴν, καὶ ἐν ᾧ ἄποιον εἶναι λέγει, τὴν ποιότητα αὐτῆς εἶναι μηνύεις, ὁποία ἐστὶν ἡ ὕλη διαγραφόμενος· ὅπερ ἐστὶ ποιότητος εἶδος. Ὅθεν, εἴ σοι φίλον ἐστὶν, ἄνωθεν ἄρχου τοῦ λόγου· ἐμοὶ γὰρ ἡ ὕλη ποιότητας ἀνάρχως ἔχειν δοκεῖ. Οὕτω γὰρ καὶ τὰ κακὰ ἐκ τῆς ἀπορρίας αὐτῆς εἶναι λέγω, ὦ φίλε.

ΟΡΘΟΔ. Εἰ ἔμποιος ἦν ἀνάρχως ἡ ὕλη, τίνος (ἆρα) ἔσται ποιητὴς ὁ Θεός; Εἴτε γὰρ οὐσίας ἐροῦμεν, προεῖναί φαμεν· εἴτε αὖ ποιότητας, καὶ ταύτας ὑπάρχειν λέγομεν. Οὐκοῦν οὐσίας τε οὔσης, καὶ ποιοτήτων, περιττὸν εἶναί μοι δοκεῖ, δημιουργὸν λέγειν τὸν Θεόν. Ἀλλὰ ἀπόκριναι ἐρωτώμενος· τίνι τρόπῳ δημιουργὸν εἶναι φῂς τὸν Θεόν; πότερον, ὅτι τὰς οὐσίας ἔτρεψεν ἐκείνας εἰς τὸ μηκέτι ὑπάρχειν, αἵπερ ἦσάν ποτε· ἢ ὅτι τὰς μὲν οὐσίας ἐφύλαξε, τὰς δὲ ποιότητας τούτων ἔτρεψε;

ΟΥΑΛ. Οὔτι μοι δοκεῖ ἀλλαγὴν οὐσιῶν γεγονέναι, ἀλλὰ μόνον ποιοτήτων· καθ' ἃς δημιουργὸν εἶναι λέγομεν τὸν Θεόν. Καὶ ὥσπερ εἴ τύχοι λέγειν ἐκ λίθων οἰκίαν γεγονέναι, ἐφ' ὧν οὐκ ἔνεστιν εἰπεῖν, ὡς οὐκέτι λίθοι μένουσι τῇ οὐσίᾳ, οἰκία λεγόμενοι οἱ λίθοι· τῇ γὰρ ποιότητι τῆς συνθέσεως τὴν οἰκίαν γεγονέναι φημί· οὕτω μοι δοκεῖ καὶ τὸν Θεὸν, ὑπομενούσης τῆς οὐσίας, τροπήν τινα τῶν ποιοτήτων αὐτῆς πεποιηκέναι, καθ' ἣν τὴν τοῦδε τοῦ κόσμου γένεσιν πρὸς τοῦ Θεοῦ γεγονέναι φημί.

ΟΡΘΟΔ. Πότερον καὶ σοὶ δοκεῖ τὰ κακὰ ποιότητες οὐσιῶν εἶναι;

ΟΥΑΛ. Δοκεῖ.

ΟΡΘΟΔ. Ἄνωθεν δὲ ἦσαν αἱ ποιότητες αὗται ἐν τῇ ὕλῃ, ἢ ἀρχὴν ἔσχον τοῦ εἶναι;

ΟΥΑΛ. Συνεῖναι φημὶ ἀγενήτως τῇ ὕλῃ ταύτας δὴ τὰς ποιότητας.

ΟΡΘΟΔ. Οὐχὶ δὲ τὸν Θεὸν φῂς τροπήν τινα τῶν ποιοτήτων πεποιηκέναι;

ΟΥΑΛ. Τοῦτό φημι.

ΟΡΘΟΔ. Εἰς τὸ κρεῖττον;

ΟΥΑΛ. Ἐμοὶ δοκεῖ.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ ποιότητες ὕλης τὰ κακὰ, τὰς δὲ ποιότητας αὐτῆς εἰς τὸ κρεῖττον ἔτρεψεν ὁ Θεός· πόθεν τὰ κακὰ ζητεῖν ἀνάγκη. Ἢ γὰρ πᾶσαι, κακαὶ

A VAL. (28) Enimvero, amice, præsentem quidem disputationem, mihi contra alium opportunius videris instituisse. Unde enim ille prius visus est orationi concedere, inde tu bene visus es concludere. Nam verum habet, semel concesso, esse materiam sine qualitate et informem, Deumque esse qualitatum auctorem, ac qualitates esse mala; fore Deum malorum auctorem. At mihi falsum videtur esse materiam sine qualitate et informem. De nulla enim substantia possis affirmare esse qualitatis expertem. Quin hoc ipso quod sine qualitate dicis, qualitatem ejus declaras, describens qualis sit materia: quod est quædam species qualitatis. Quare, si tibi placet, altius ordire disputationem. Mihi enim materia qualitates ab æterno
B habere videtur. Ita quippe, o amice, et mala, ab ejus esse defluxu, pronuntio.

ORTHOD. Si materia suis affecta qualitatibus ab æterno fuit, cujus erit creator Deus? Sive enim substantias dixerimus, jam ante fuisse affirmamus; sive rursus qualitates, et illas exstitisse asserimus. Cum ergo sint sine Deo et substantiæ et qualitates, supervacaneum videtur, ut Deus dicatur creator. Cæterum percontanti responde: Qua ratione dicis Deum esse Creatorem? An quod substantias quæ aliquando fuerunt, in nihilum redegerit; an quod substantias quidem conservarit, sed qualitates earum mutarit?

VAL. Nulla mihi videtur substantiarum facta
C mutatio, sed tantum qualitatum, quarum causa Deum esse creatorem dicimus. Et quemadmodum si quis dicat, factam ex lapidibus domum; quo tamen minime fuerit negandum (29), manere adhuc lapides secundum substantiam, qui dicuntur domus: domum enim compositionis qualitate dico factam: ita censeo, Deum, manente substantia, mutationem quamdam qualitatum fecisse, ratione cujus mundum a Deo creatum affirmo.

ORTHOD. Videturne etiam tibi mala substantiarum esse qualitates?

VAL. Videtur.

ORTHOD. Fueruntne hæ qualitates ab æterno in materia, an principium essendi habuerunt?

VAL. Fuisse has qualitates ab æterno cum materia existimo.

D ORTH. Non arbitraris mutationem quamdam qualitatum esse a Deo factam?

VAL. Arbitror factam.

ORTH. In melius?

VAL. Mihi videtur.

ORTH. Si ergo materiæ qualitates mala sunt, Deus autem eas in melius convertit, necessario quærendum est, unde mala sint. Aut enim omnes

(28) VAL. Videtur hic esse tertius collocutor, cujus mentio initio fit, ut eadem hæresi laborantis, atque Valentinianus qui modum alium tuendi errorem, socio pene revicto, suggerat. Quia tamen Photius ejusmodi personas non refert, maluimus primum illud nomen retinere quam ex nobis aliud dare. Multum lucis affert expressio personarum in talibus dialogis.

(29) *Quo tamen minime fuerit negandum*, etc. Quod sola mutatio accidentalis accesserit, aliaque tantum et alia compositio, salva substantia lapidum. Interpres Photii totum oppositum exprimit, sed nullo sensu satis congruo.

Digitized by Google

cum bonæ essent, in melius sunt conversæ : aut cum aliæ quidem bonæ essent, aliæ malæ; malæ quidem non sunt mutatæ in melius ; reliquæ vero, quæcunque erant commodæ, ornatus causa a Deo mutatæ sunt.

VAL. Sic ego jam olim sentiebam.

ORTH. Quomodo ergo malas qualitates, ut a principio fuerunt, relictas dicis? Vel ita, ut posset Deus eas tollere ; vel ut voluerit quidem, sed non potuerit? Si potuisse ais, et noluisse, necesse est ut auctor horum dicatur : quod potuerit efficere ut non essent mala; et tamen illa, ut erant, esse permiserit : idque maxime, postquam cœpisset materiam formare. Si enim nullam prorsus ejus rationem habuisset, videri potuisset non auctor eorum quæ permisit manere. Postquam autem, partem quidem materiæ format et perficit, partem negligit; cum et illam posset in melius mutare, mihi videtur malorum causa, qui partem materiæ malam reliquerit. Alteram ergo partem in hujus exitium formavit : imo, et in hoc maxime, partem hanc materiæ quam disposuit, quæque jam percipiat malorum incommoda, injuria affecerit. Antequam enim ornatum reciperet (30), nullus ei aderat malorum sensus : nunc vero, ambæ partes malum sentiunt. Sit tibi ab homine exemplum. Priusquam enim fieret animal, omni prorsus malorum sensu vacabat. Ex quo autem effictus homo formatusque imagine efficitur a Deo, etiam incumbentis mali accipit sensum. Atque adeo, quod materiæ in beneficii partem a Deo collatum dicis, potius ad exitium accessisse deprehenditur. Si vero dicas, non potuisse a Deo aboleri mala : cum ejusmodi impossibilitas, aut natura imbecillum arguat, aut timore vincente fortiori alicui mancipatum, vide utrum horum omnipotenti et bono Deo velis ascribere. Porro iterum propositæ circa materiam quæstioni responde. Estne materia simplex, an composita? Nam si materia simplex fuit et uniformis, cum mundus compositus sit et ex diversis substantiis constet, non potest dici factus ex materia; quod non possint quæ sunt composita, uno aliquo informi constitui. Compositum enim, simplicium aliquorum mistionem indicat. Quod si iterum materiam dicas quid compositum, omnino debuit ex simplicibus componi; erantque olim separata simplicia, quorum compositione facta est materia; composita autem simplicibus constituuntur : erat plane cum materia non erat, prius nimirum quam simplicia coirent. Quod si erat quandoque, cum materia non erat; nunquam vero fuit, cum ingenitum non esset : non ergo materia ingenita est. Porro sequitur, ut admittenda sint plura ingenita.

A οὖσαι, ἐπὶ τὸ κρεῖττον ἐτράπησαν· ἢ αἱ μὲν οὖσαι κακαὶ, αἱ δὲ μή· αἱ μὲν κακαὶ οὐκ ἐτράπησαν ἐπὶ τὸ κρεῖττον· αἱ δὲ λοιπαὶ, ὅσαι διάφοροι ἐτύγχανον, τῆς διακοσμήσεως ἕνεκα πρὸς Θεοῦ ἐτράπησαν.

ΟΥΑΛ. Οὕτως ἄνωθεν εἶχον ἐγώ.

ΟΡΘΟΔ. Πῶς τοίνυν τὰς τῶν φαύλων ποιότητας, ὡς εἶχον, καταλελοιπέναι λέγεις; Πότερον, δυνάμενον μὲν ἐκείνας ἀνελεῖν· ἢ βουληθέντα μὲν, μὴ δυνάμενον δέ; Εἰ μὲν γὰρ δυνάμενον λέγεις, μὴ βουληθέντα δὲ αὐτὸν αἴτιον τούτων (31)· ὅτι δυνάμενος ποιῆσαι μὴ εἶναι κακὰ, συνεχώρησεν αὐτὰ μένειν ὡς ἦν· καὶ μάλιστα ὅτε δημιουργεῖν τὴν ὕλην ἤρξατο. Εἰ γὰρ μηδὲ ὅλως ἔμελεν αὐτῷ τῆς ὕλης, οὐκ ἂν αἴτιος ἦν, ὧν συνεχώρησε μένειν. Ἐπεὶ δὲ μέρος B μέν τι αὐτῆς δημιουργεῖ, μέρος δέ τι αὐτῇ ἐᾷ, δυνάμενος κἀκεῖνο τρέπειν εἰς τὸ κρεῖττον· αἰτιός μοι τῶν κακῶν (δοκεῖ), καταλιπὼν μέρος ὕλης πονηρόν. Ἐπ' ὀλέθρῳ οὖν ἐδημιούργησε μέρους· ἀλλὰ μὴν καὶ τὰ μέγιστα, κατὰ τοῦτο, τοῦτο τὸ μέρος ἠδικῆσθαί μοι δοκεῖ, ὅπερ κατεσκεύασε τῆς ὕλης μέρος, ἀντιλαμβανόμενον τὰ ἐκ τῶν κακῶν. Πρὶν γὰρ αὐτὴν διακοσμηθῆναι, τὸ μηδὲ αἰσθάνεσθαι τῶν κακῶν παρῆν αὐτῇ· νῦν δὲ ἕκαστον τῶν μερῶν αὐτῆς αἴσθησιν λαμβάνει τῶν κακῶν. Καὶ μοι ἐπ' ἀνθρώπου λάβε τὸ παράδειγμα. Πρὶν (γὰρ) ζῶον γένηται, ἀναίσθητον ἦν τῶν κακῶν. Ἀφ' οὗ δὲ εἰκονισθὲν ἄνθρωπος πρὸς Θεοῦ γίνεται, τότε καὶ τὴν αἴσθησιν τοῦ προπελάζοντος κακοῦ προσλαμβάνει. Καὶ τοῦτο ὅπερ ἐπεὶ εὐεργεσίᾳ τῆς ὕλης πρὸς Θεοῦ γεγονέναι C λέγεις, εὑρίσκεται μᾶλλον ἐπὶ τῷ χείρονι προσγενόμενον αὐτῇ. Εἰ δὲ μὴ δύνασθαι παῦσαι τὰ κακὰ τὸν Θεὸν φῄς· τὸ δὲ ἀδύνατον ἤτοι τῇ φύσει ἀσθενῆ ὑπάρχειν ἐστὶν, ἢ τῷ νικᾶσθαι τῷ φόβῳ δεδουλωμένον πρός τινος κρείττονος; ὅρα ὁποῖον τούτων προσάπτειν ἐθέλοις τῷ παντοκράτορι καὶ ἀγαθῷ Θεῷ. Ἀλλὰ πάλιν περὶ τῆς ὕλης ἀπόκρινai. Πότερον ἁπλῆ τίς ἐστιν ἡ ὕλη, ἢ σύνθετος; Εἰ γὰρ ἁπλῆ τις ἐτύγχανεν ὕλη καὶ μονοειδὴς, σύνθετος δὲ ὁ κόσμος, καὶ ἐκ διαφόρων οὐσιῶν συνεστώς ἐστιν· ἀδύνατον τοῦτον ἐξ ὕλης γεγονέναι λέγειν· τῷ τὰ σύνθετα μὴ οἷόν τε ἐξ ἑνὸς ἁπλοῦ τὴν σύστασιν ἔχειν. Τὸ γὰρ σύνθετον ἁπλῶν τινων μίξιν μηνύει. Εἰ δ' αὖ πάλιν σύνθετον λέγεις τὴν ὕλην, πάντως ἐξ ἁπλῶν συν- D ετέθη· καὶ ἦν ποτε καθ' ἑαυτὰ ἁπλᾶ· ὧν συντεθέντων, γέγονεν ἡ ὕλη· τὰ δὲ σύνθετα ἐξ ἁπλῶν τὴν σύστασιν ἔχει. Ἦν ποτε καιρὸς, ὅτε ὕλη οὐκ ἦν· τουτέστι πλὴν τὰ ἁπλᾶ συνελθεῖν. Εἰ δὲ ἦν ποτε καιρὸς, ὅτε ἡ ὕλη οὐκ ἦν· οὐκ ἦν δέ ποτε καιρὸς, ὅτε ἀγένητον (32) οὐκ ἦν· οὐκ (ἄρα ἔσται) ἀγένητος ἡ ὕλη. Τὸ δ' ἐντεῦθεν (ἄρα ἔσται) πολλὰ τὰ ἀγένητα. Εἰ γὰρ ἦν ἀγένητος ὁ Θεὸς, ἦν δὲ ἀγένητα καὶ τὰ ἁπλᾶ, ἐξ ὧν ἡ ὕλη συνετέθη· οὐκ ἄρα (ἔσται) δύο καὶ μόνα τὰ

(30) *Antequam enim ornatum reciperet.* Πρὶν διακοσμηθῆναι. Altera lectio διακριθῆναι, quam interpres Photii magis probat : ubique tamen loquitur Methodius de ornatu, formatione et perfectione, quam materia, juxta etiam hæreticos, δημιουργίᾳ, a Deo accipiat : ad quam etiam, parte tantum perornata, sequitur ejusmodi discretio, contra quam auctor arguit.

(31) *Αὐτὸν αἴτιον τούτων.* Al. αὐτὸν τούτων ποιητὴν εἰπεῖν ἀνάγκη.

(32) *Ἀγένητον.* Ἀγένητος.

Digitized by Google

ἀγένητα· ἵνα παρήσω (33) τὸ ἐπιζητῆσαι, τί ὄντα ἐστὶν ἁπλᾶ· ὕλη, ἢ εἶδος; Πολλὰ γὰρ καὶ οὕτως ἄτοπα ἀκολουθήσειαν. Δοκεῖ δέ σοι μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι;

A Nam si Deus erat ingenitus, erantque simplicia illa quibus materia composita fuit, ingenita : plane non erunt amplius duo, et sola ingenita : ut prætermittam quærere, quid fuerint illa simplicia; num materia, an forma? Nam hinc etiam sequentur multa absurda. Sed et hoc quæro : Num videtur nihil in rebus sibi ipsum esse contrarium?

ΟΥΑΛ. Δοκεῖ.

VAL. Videtur.

ΟΡΘΟΔ. Ἀντίκειται δὲ τῷ πυρὶ τὸ ὕδωρ· καὶ τῷ φωτὶ τὸ σκότος· καὶ τῷ ψυχρῷ τὸ θερμόν· καὶ τῷ ξηρῷ τὸ ὑγρόν.

ORTH. Atqui igni contraria est aqua; et luci tenebræ; et frigido calidum; et arido humidum.

ΟΥΑΛ. Οὕτως ἔχειν μὴ (34) δοκεῖ.

VAL. Mihi ita videtur.

ΟΡΘΟΔ. Οὐκοῦν εἰ μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντίκειται, ἀλλήλοις δὲ ταῦτα ἀντίκειται· οὐκ ἔσονται ὕλη μία, οὐδὲ μὴν ἐξ ὕλης μιᾶς. Πάλιν δὲ πυθέσθαι βούλομαι· Δοκεῖ σοι τὰ μέρη μὴ ἀναιρετικὰ ἀλλήλων εἶναι;

ORTH. Ergo si nulla res sibi ipsa contraria est; hæc autem sibi repugnant : non ergo erunt sola materia; imo neque ex materia sola. Rursum vero velim audire : Num putas partes non se ipsas interimere?

B

ΟΥΑΛ. Δοκεῖ.

VAL. Puto.

ΟΡΘΟΔ. Εἶναι δὲ τῆς ὕλης μέρος· τό τε πῦρ καὶ τὸ ὕδωρ, ὡσαύτως δὲ καὶ τὰ λοιπά,

ORTH. Num vero existimas ignem et aquam, ac similiter reliqua, esse partes materiæ?

ΟΥΑΛ. Οὕτως ἔχω.

VAL. Ita existimo.

ΟΡΘΟΔ. Τί δέ; οὐ δοκεῖ σοι ἀναιρετικὸν μὲν εἶναι τοῦ πυρὸς τὸ ὕδωρ, τοῦ δὲ σκότους τὸ φῶς, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια;

ORTH. Quid vero? Non videtur tibi aqua lethalis igni; luxque tenebris; et alia, si qua sunt his similia?

ΟΥΑΛ. Δοκεῖ.

VAL. Videtur.

ΟΡΘΟΔ. Οὐκοῦν, εἰ τὰ μέρη οὐκ ἔστιν ἀλλήλων ἀναιρετικά, ταῦτα δὲ ἀναιρετικὰ (35) τυγχάνει· οὐκ (ἄρα) ἔσται ἀλλήλων μέρη. Εἰ δὲ οὐκ ἔσται ἀλλήλων μέρη, οὐκ ἔσονται ὕλης μιᾶς. Ἀλλὰ μὴν οὐδ' ἂν ἔσονται ὕλη, τῷ μηδὲν τῇ τῶν ὄντων αὐτὸ ἑαυτοῦ ἀναιρετικὸν εἶναι. Οὕτως οὖν τῶν ἀντικειμένων ἐχόντων, τὸ μὴ εἶναι τὴν ὕλην δείκνυται. Περὶ μὲν τῆς ὕλης αὐτάρκως ἔχει.

ORTH. Si ergo partes minime sibi invicem exitio sunt; hæc autem se mutuo perimunt; sequitur, ut non sint invicem partes. Si autem non sunt invicem partes; neque unius materiæ partes fuerint. Imo neque erunt materia, quod nihil sibi ipsi exitio sit et contrarium. Cum ergo ita se habeant opposita, patet inde ea non esse materiam. Atque de materia satis dictum sit.

C

Ἐπὶ δὲ τὴν τῶν κακῶν ἐξέτασιν ἔρχεσθαι δεῖ, καὶ ἀναγκαίως ἀναζητεῖν τὰ παρ' ἀνθρώποις. Τὰ παρὰ ἀνθρώποις κακά, πότερον εἴδη τυγχάνει κακοῦ ἢ μέρη; Εἰ γὰρ εἴδη· οὐκ (ἄρα) ἔσται ἕτερον παρὰ ταῦτα τὸν κακὸν καθ' ἑαυτό· τῷ τὰ γένη ἐν ταῖς εἴδεσιν ἐξετάζεσθαι, καὶ ὑφεστάναι. Εἰ δὲ τοῦτο, γενητὸν (ἄρα) ἔσται τὸ κακόν. Τὰ γὰρ εἴδη γενητὰ ὄντα δείκνυται· οἷον φόνος, καὶ μοιχεία, καὶ τὰ τούτοις παραπλήσια. Εἰ δὲ μέρη τινὸς κακοῦ ταῦτα εἶναι ἐθέλοις, ἐστὶ δὲ ταῦτα γενητά· ἀνάγκη κἀκεῖνο γενητὸν ὑπάρχειν. Ὧν γὰρ τὰ μέρη γενητά, ταῦτα ὁμοίως ἐξ ἀνάγκης ἐστὶ γενητά. Τὸ γὰρ ὅλον ἐκ μερῶν συνέστηκε. Καὶ τὸ μὲν ὅλον οὐκ ἔσται, μὴ ὄντων μερῶν· ἔσται δέ (36) τινα τῶν μερῶν, κἂν μὴ τὸ ὅλον παρῇ. Οὐδενὸς δὲ τῶν ὄντων μέρος μέν ἐστι γενητὸν, μέρος δὲ ἀγένητον. Εἰ δὲ καὶ τοῦτο συγχωρήσαιμι τῷ λόγῳ, ἦν ποτε τὸ κακὸν, ὅτε ὁλόκληρον οὐκ ἦν· τουτέστι πρὶν δημιουργῆσαι τὴν ὕλην τὸν θεόν. Τότε δὲ ὁλόκληρον γίνεται, ὅτε πρὸς Θεοῦ γέγονεν ἄνθρωπος· τῶν γὰρ μερῶν τοῦ κακοῦ ἄνθρωπος ὑπάρχει ποιητής. Καὶ τὸ ἐντεῦθεν ὁλόκληρον εἶναι τὸ κακὸν αἴτιος ἔσται δημιουργήσας ὁ Θεός· ὅπερ ἀσεβές. Εἰ δ' οὐδ' ὁπότερον τούτων λέγεις τὸ κακὸν, πρᾶξιν δέ τινος κακοῦ (37) εἶναι λέγεις· γε-

D

Veniendum autem est ad malorum disquisitionem, necessarioque excutienda sunt mala hominum. Quæro igitur : Mala hominum, suntne species mali, an partes? Si species; non erit ergo aliud præter hæc subsistens malum, eo quod genera in speciebus inveniantur et subsistant. Quod si ita habet, erit sane malum aliquid procreatum. Sic enim species quæ sint, factum aliquod ostendunt : puta, homicidium, adulterium et his similia. Sin autem malueris esse partes alicujus mali : cum illæ sint quid factum; plane fit necessum, ut et illud sit quid factum. Quorum enim partes sunt quid factum, etiam ipsa similiter necessario ejusmodi sunt. Nam totum constat partibus. Ac totum quidem non erit, partibus non exsistentibus : partes vero aliquæ erunt, quanquam totum desideretur. Nullius autem rei pars altera genita est, altera ingenita. Sin vero hoc etiam orationi dedero; haud tamen negari potest, fuisse quando malum non integrum esset : hoc est, antequam Deus materiam formaret. Postquam Deus hominem creavit, jam integritatem recipit. Nam homo, partium mali auctor est : eoque, Deus qui condidit, auctor fuerit integritatis mali; quod impium dictu sit. Si vero neutrum horum ma-

(33) *Παρήσω.* Al. παρήσατο.
(34) *Μή.* Scrib. μοί.
(35) *Ἀναιρετικά.* Al. συνανετικά.
(36) *Ἔσται δέ.* Al. ἄρα δέ. Sic et paulo post, αἴτιος ἄρα ἔσται δημ.
(37) *Κακοῦ.* Al. κακόν.

Digitized by Google

lum dixeris esse, sed alicujus malam actionem : tum genitum ac quid factum, ipsum doces. Quod enim alicujus actio est, initium essendi acceptum habet. Ad hæc, nullum præterea aliud malum assignare potes. Quam enim aliam actionem, præter id quod committunt homines, assignare habueris? Nam quod is qui operatur, non sit ipse malum secundum rationem substantiæ, sed secundum ipsam mali operationem, jam ostensum fuit. Nam nihil est malum natura, sed usu fiunt mala quæ mala sunt. Quippe dico, inquit (Methodius), creatum hominem liberi arbitrii, non velut malo aliquo jam exsistente, cujus eligendi, si vellet, potestatem haberet : sed propter concessam facultatem obsequendi Deo vel non obsequendi. Hoc enim sibi tunc volebat, ac erat, liberum arbitrium. Porro creatus homo præceptum a Deo accipit : tumque hinc malum incipit. Non enim paret divino mandato : idque et solum malum erat, inobedientia quæ esse cœpit.

A

B

νητὸν αὐτὸν ὑπάρχειν μηνύεις. Ἡ γὰρ τοῦ τινος πρᾶξις ἀρχὴν τοῦ εἶναι λαμβάνει. Πρὸς δὲ τούτοις οὐδὲν ἕτερον παρὰ ταῦτα κακὸν εἰπεῖν ἔχεις. Ποίαν γὰρ πρᾶξιν ἑτέραν παρὰ τὸ (38) ἐν ἀνθρώποις δεικνύειν ἔχεις; Ὅτι γὰρ ἐνεργῶν, οὐ κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχει κακία, ἀλλὰ κατ' αὐτὸ τὸ ἐνεργεῖν τὸ κακὸν ἤδη δέδεικται. Ὅτι τῇ φύσει κακὸν οὐδέν ἐστιν, ἀλλὰ τῇ χρήσει γίνεται κακὰ τὰ κακά. Ὅτι αὐτεξούσιον, φησὶ, γεγονέναι φημὶ τὸν ἄνθρωπον, οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν, εἰ βούλοιτο, τοῦ ἐλέσθαι ἄνθρωπος ἐλάμβανεν, ἀλλὰ τὴν τοῦ ὑπακούειν (39) [τῷ Θεῷ, καὶ μὴ ὑπακούειν] αἴτιον μόνον ἦν. Τοῦτο γὰρ τὸ αὐτεξούσιον ἐβούλετο τότε. Καὶ γενόμενος ἄνθρωπος ἐντολὴν λαμβάνει παρὰ τοῦ Θεοῦ. Καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται. Οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι· καὶ τοῦτο καὶ μόνον ἦν τὸ κακὸν, ἡ παρακοὴ, ἥτις τοῦ (40) εἶναι ἤρξατο.

METHODII EX LIBRO DE LIBERO ARBITRIO.

ΜΕΘΟΔΙΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ.

(Excerptum R. P. Sirmondi S. J.)

Homo enim potestatem accepit, ut se ipse servituti addiceret, non vincente necessitate naturæ; neque facultate auferente, quod erat melius; cujus etiam gratia, dico fuisse concessam : ut nimirum accessio aliqua bonis prioribus fieret; quod ei ex obedientia a meliori accedit, et ut debitum exigitur ab auctore. Non enim dico fuisse creatum hominem in interitum, sed propter meliora. Nam si factus esset velut aliquod de elementis sive aliis sic insensate servientibus Deo, non jam proposito dignam mercedem reciperet; sed esset velut auctoris instrumentum, aliene a ratione, ob male gesta reprehensioni obnoxius. Causa enim horum esset utens. Imo neque quod est melius homo cognosceret, nisi illius cognovisset auctorem, sed illud tantum ad quod esse natus est. Quare dico, cum Deus hominem honorare et scire eum meliora vellet, dedit ei potestatem, qua posset facere quæ vellet; ejusque potestatem ad meliora hortatur, non quod rursus auferat potestatem liberam quam dedit, sed tanquam quod melius est, declarare velit. Habet siquidem potestatem, et mandatum accipit : Deus autem admonet, ut homo, voluntatem, qua potest, in bonum inflexerit. Ut enim, cum pater puerum, alioqui habentem facultatem ad perdiscendas disciplinas, et magis earum studio adhærescendum hortatur, declarans esse ei id melius, non privat puerum potestate quam habet; quanquam is nolit libens dicere : ita et Deum, cum hominem hortatur ut mandatis pareat, haudquaquam arbitror voluntatis potestatem auferre, qua is possit etiam non

C

D

Ἄνθρωπος γὰρ προσέλαβεν ἐξουσίαν, ἑαυτὸν δουλαγωγῶν, οὐκ ἀνάγκῃ τῆς φύσεως κρατούμενος, οὐδὲ τῆς δυνάμεως ἀφαιρούμενος (41), ὅπερ αὐτῷ κρεῖττον· οὗ ἕνεκα κεχαρίσθαι φημί· ἵνα τι πλέον ὢν ἔχει προσλάβῃ, ὅπερ αὐτῷ παρὰ τοῦ κρείττονος ἐκ τῆς ὑπακοῆς προσγίνεται, καὶ ὡς ὀφειλὴν ἀπαιτεῖται παρὰ τοῦ πεποιηκότος. Οὐ γὰρ ἐπὶ βλάβῃ τὸν ἄνθρωπον γεγονέναι φημί· ἕνεκα δὲ τῶν κρειττόνων. Εἰ γὰρ ὡς ἕν τι γέγονε τῶν στοιχείων, ἢ τῶν ὁμοίως δουλευόντων Θεῷ, οὐκ ἔτι μισθὸν ἄξιον τῆς προαιρέσεως λαμβάνει· ἀλλ' ὥσπερ ὄργανον ἂν ἦν τοῦ δημιουργοῦ, τὴν ἐφ' οἷς οὐ καλῶς ἔπραξεν, ἀλόγως μέμψιν ὑπομένων· τούτων γὰρ αἴτιος (42) ἦν ὁ χρώμενος. Ἀλλ' οὐδὲ τὸ κρεῖττον ἄνθρωπος ἠπίστατο, μὴ τὸν αἴτιον εἰδὼς, ἀλλ' ἐκεῖνο μόνον εἰς ὃ πέφυκεν εἶναι. Φημὶ τοιγαροῦν τὸν Θεὸν οὕτω τὸν ἄνθρωπον τιμῆσαι προαιρούμενον, καὶ τῶν κρειττόνων ἐπιστήμονα γίνεσθαι, τὴν ἐξουσίαν αὐτῷ τοῦ δύνασθαι ποιεῖν ἃ βούλεται, δεδωκέναι· καὶ τὴν ἐξουσίαν αὐτοῦ εἰς κρεῖττον παραινεῖν, οὐκ ἀφαιρούμενον πάλιν τὸν αὐτεξούσιον, ἀλλὰ τὸν κρεῖττον μηνύειν θέλοντα. Τὸ μὲν γὰρ δύνασθαι πάρεστιν αὐτῷ· καὶ τὴν ἐντολὴν λαμβάνει· τὴν δὲ τοῦ δύνασθαι προαίρεσιν εἰς τὸ κρεῖττον τρέπειν ὁ Θεὸς παραινεῖ. Ὥσπερ γὰρ πατὴρ παιδὶ παραινεῖ, ἐξουσίαν ἔχοντι ἐκμανθάνειν τὰ μαθήματα, καὶ μᾶλλον ἔχεσθαι τῶν μαθημάτων, ὅτι, κρεῖττον τοῦτο μηνύων, οὐ τὴν τοῦ δύνασθαι τοῦ παιδὸς ἐξουσίαν ἀφαιρεῖ, κἂν μὴ ἑκὼν μανθάνειν βούληται· οὕτω μοι καὶ τὸν Θεὸν οὐ δοκεῖ, προτρέποντα τὸν ἄνθρωπον πείθεσθαι τοῖς προστάγμασιν, ἀφαιρεῖν αὐτὸν τὴν ἐξουσίαν τῆς προαιρέσεως τοῦ

(38) *Παρὰ τό.* Al. παρὰ τοῦ.
(39) *Τὴν τοῦ ὑπ.* Præmittendum fortasse διά. Mox scribendum αἰτίαν μόνην, vel αἴτιον δύναμιν.
(40) *Τοῦ.* Al. αὐτοῦ
(41) *Ἀφαιρούμενος.* Scrib. ἀφαιρουμένης.
(42) *Τούτων γὰρ αἴτ.* Locus citatur a Fr. Turriano lib. IV *pro Epist. Pont.*, cap. 2.

Digitized by Google

δύνασθαι, καὶ μὴ ὑπακούειν τοῖς πράγμασι (43). Καὶ γὰρ τὴν ἀρχὴν τοῦ οὕτως παραινεῖν, ὅτι μὴ ἀφεῖλε τὴν ἐξουσίαν, μηνύει. Προστάττει δὲ, ἵνα τῶν κρειττόνων ἄνθρωπος ἀπολαύειν δυνηθῇ. Τοῦτο γὰρ ἕπεται τῷ πεισθῆναι τῷ τοῦ Θεοῦ προστάγματι. Ὥστε οὐχ ἵνα τὴν ἐξουσίαν ἣν δέδωκεν ἀφέλῃ, προστάττειν βούλεται· ἀλλ' ἵνα κρεῖττον δωρήσηται, ὡς ἀξίῳ μειζόνων τυχεῖν, ἀνθ' ὧν ὑπήκουσε τῷ Θεῷ, καὶ τὴν τοῦ μὴ ὑπακούειν ἐξουσίαν ἔχων. Φημὶ ἄνθρωπον γεγονέναι [αὐτεξούσιον], οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν τοῦ ἐλέσθαι, εἰ βούλοιτο,· ὁ ἄνθρωπος ἔλαβε . . . . . ἀλλὰ τὴν τοῦ ὑπακούειν τῷ Θεῷ καὶ μὴ ὑπακούειν αἰτίαν μόνην. Τοῦτο γὰρ τὸ αὐτεξούσιον ἠβούλετο. Καὶ γενόμενος ὁ ἄνθρωπος, ἐντολὴν λαμβάνει παρὰ τοῦ Θεοῦ· καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται· οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι· καὶ τοῦτο καὶ μόνον τὸ κακὸν, ἡ παρακοὴ, ἥτις τοῦ εἶναι ἤρξατο. Οὐδὲ γὰρ ἀγένητον ταύτην τις εἰπεῖν ἔχει, τοῦ ποιήσαντος αὐτὴν ὄντος γενητοῦ. Πάντως δὲ, πόθεν τοῦτο τὸ παρακοῦσαι, ἐρωτήσεις. Ἀλλὰ κεῖται σαφῶς ἐν τῇ θείᾳ Γραφῇ. Ὅθεν οὐδὲ τοιοῦτον τὸν ἄνθρωπον πρὸς τοῦ Θεοῦ γεγονέναι φημί· κατὰ δὲ τήν τινα διδασκαλίαν τοῦτο πεπονθέναι λέγω. Οὐδὲ γὰρ τοιαύτην φύσιν εἰληφὼς ὁ ἄνθρωπος. Εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν αὐτῷ κατὰ διδασκαλίαν τοῦτο προσεγίνετο, τῆς φύσεως αὐτῆς οὕτως ἐχούσης. Λέγει δέ τις θείᾳ φωνῇ, *μεμαθηκέναι* (44) τὸν ἄνθρωπον.... Διδάσκεσθαι οὖν φημι τὸ παρακούειν Θεοῦ. Τοῦτο γὰρ καὶ μόνον ἐστὶ τὸ κακὸν, ὃ παρὰ τὴν τοῦ Θεοῦ προαίρεσιν γίνεται· οὐ γὰρ ἂν καθ' ἑαυτὸ τὸ πονηρὸν ὁ ἄνθρωπος διδάσκεται. Ὁ διδάσκων τοίνυν τὸ κακόν ἐστιν ὁ δράκων, καὶ τὰ ἑξῆς. Λείπει.

A obedire mandatis. Nam et id causæ ostendit, cur ita hortetur, quod potestatem non abstulerit. Præcipit autem, ut homo potiora consequi possit. Quod quis enim divino præcepto obsequatur, ejusmodi præmium excipit. Quamobrem non vult dare præceptum, ut auferat potestatem quam dedit; sed ut melius aliquid donet, tanquam digno qui meliora adipiscatur, quia paruit Deo, cum alioqui potestatem non parendi haberet. Dico autem factum hominem liberum, non velut malo aliquo jam exsistente, cujus eligendi, si vellet, potestatem acceperit : sed propter concessam facultatem, qua pareret vel non pareret præcipienti Deo. Est hoc enim, in quo erat posita facultas arbitrii. Creatus autem homo, præceptum a Deo accipit : jamque inde inchoat malum, B nam non paret divino præcepto : hocque et unum malum erat, inobedientia quæ tunc incepit. Ne quis enim eam dixerit ingenitam, genito et creato eo qui fecit. Prorsus vero quæres, unde hæc inobedientia. Enimvero perspicue in divina Scriptura positum est. Quare etiam nego talem a Deo fuisse creatum hominem : dico vero, id ipsi doctrina quadam accidisse. Non enim homo acceperat talem naturam. Nam hoc posito, ipsa natura sic comparata, haudquaquam oportuisset illud per doctrinam accedere. Porro est qui voce divina, ac ceu ex oracolo, hominem *mala didicisse* [a] dicat. Dico ergo didicisse non obedire Deo. Hoc enim et solum est malum illud, quod fit præter divinam voluntatem : non enim homo, malum addiscit secundum se. Qui ergo malum docet, draco C est, etc.

Τοῦ αὐτοῦ Μεθοδίου.

Ejusdem Methodii.

(Ex Elem. Damasc. emin. card. Rupifuc.)

Τὴν μὲν οὖν ἀρχὴν τοῦ κακοῦ τὸν φθόνον εἶπον ἔγωγε· τὸν δὲ φθόνον ἐκ τοῦ κρείττονι τιμῇ κατηξιῶσθαι τὸν ἄνθρωπον πρὸς τοῦ Θεοῦ· τὸ δὲ κακὸν, ἡ παρακοὴ τῆς τοῦ Θεοῦ ἐντολῆς.

Sane vero, mali principium, dixerim ego invidiam : inde vero ortam illam, quod homo potioribus honoribus a Deo fuisset auctus. Porro malum, inobedientia est divini mandati.

[a] *Jerem.* XIII, 23.

ΜΕΘΟΔΙΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ (45).

METHODII

EX LIBRO DE RESURRECTIONE.

Α'. Οὐκ ἐποίησε (46) κακὸν ὁ Θεός· οὐδέ ἐστι τὸ D σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν αἴτιος κακοῦ. Ἀλλὰ πᾶν ὅπερ ἂν αὐτεξούσιον οὕτως ὑπ' αὐτοῦ γεγονός· εἰ (47) πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νόμον, ὃν αὐτὸς δικαίως διεστείλατο, μὴ τηρῆσαν, λέ-

I. Malum Deus non fecit, nec ullo modo auctor illius est. Sed quidquid arbitrii sui potestate præditum ab eo factum est, ut quam is legem justissime præscripsit, servaverit, ea non servata, appellatur malum. Est autem gravissimum hoc damnum in

(43) *Πράγμασι.* Turr., προστάσι, forte προστάγμασι.

(44) Jerem. XIII, 23, μεμαθηκότες τὰ κακά.

(45) *Ἐκ τοῦ περὶ ἀναστ.* Hæc excerpta partim ex Epiphanio, sed emendata, partim nova.

(46) *Οὐκ ἐπ.* Ex Epiphanio hær. LXIV, n. 22, emend. ex *Element.* card. Rupifucald.

(47) *Εἰ.* Impr., ἡ, forte ἤ.

Digitized by Google

primis, Dei mandata negligere, ac justitiæ quæ adjuncta libertati est, limites præterire.

II. Illud vero jam antea disputatum est, monstratumque, *pelliceas tunicas* [7], aliud esse præter corpora. Sed nihilominus idem rursum (dicendum enim sæpius est) hoc loco repetamus. Primus igitur ipse parens, antequam eæ tunicæ consuerentur, ossa se et carnem habere confitetur; cum nimirum, perductam ad sese mulierem contemplatus, *Hoc nunc os*, inquit, *ex ossibus meis, et caro de carne mea.* Et rursum: *Hæc vocabitur mulier, quoniam de viro sumpta est. Propter hoc relinquet homo patrem suum et matrem, et adhærebit uxori suæ : et erunt duo in carnem unam* [8]. Neque enim certos homines ferre possum, qui consulto nugantur ac Scripturas impudentissime detorquent, quo suum illis de resurrectione sine carne dogma procedat : qui ideo, et ossa quædam intelligibilia, et carnes similiter intelligibiles commenti sunt, ac suis allegoriis alias aliter sursum deorsumque sese convertunt. Atqui hæc perinde ac scripta sunt, accipienda esse, Christi confirmat auctoritas; ubi interrogantibus Pharisæis de uxoris divortio, respondet : *Non legistis, quia qui fecit hominem ab initio, masculum et feminam fecit eos? Et dixit : Propter hoc relinquet homo patrem et matrem* [9], etc.

III. Sed et illud perspicue absurdum est, arbitrari corpus in æterna illa vita minime cum anima futurum, quod illud tanquam vinculum ac pedica sit; ut ne, juxta quod opinantur, sempiternis vinculis corruptionis addicti videamur, qui in lucis illo regno simus habitaturi. Cum enim abunde dissoluta ac refutata sit illa sententia, qua animæ vinculum carnem esse definiebant; etiam illud solutum est, ore ut ideo caro non resurgat, ne si eam resumpserimus, vincti propter eam in regno illo lucis futuri simus.

IV. Igitur ne immortale quoddam ac sempiternum malum esset homo, ut jam diximus, in quo peccatum potioribus auctum, dominium obtineret (48); velut quod immortali in corpore pullularet, et immortali perinde alimento glisceret : propterea mortalem illum Deus esse voluit, ac morte damnavit. Hoc enim scorteæ illæ tunicæ significabant, ut nimirum corpore resoluto, omne ex imo

γεται κακόν. Βαρυτάτη δὲ βλάβη τὸ παρακοῦσαι Θεοῦ, τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης.

Β'. Προηπόρηται (49) δὲ ἤδη, καὶ ἀπεδείχθη, *τοὺς δερματίνους χιτῶνας* μὴ εἶναι τὰ σώματα. Ὅμως δὲ καὶ πάλιν (οὐ γὰρ ἅπαξ ῥητέον) φράσωμεν. Αὐτὸς πρὸ τῆς κατασκευῆς αὐτῶν ὁ πρωτόπλαστος ὁμολογεῖ καὶ ὀστᾶ ἔχειν καὶ σάρκας, ὁπότε δὴ τὴν γυναῖκα αὐτῷ προσαχθεῖσαν θεασάμενος, *Τοῦτο νῦν ὀστοῦν*, ἐφώνησεν, *ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου·* καὶ πάλιν· *Αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ* (50)· *καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.* Οὐ γὰρ δὴ ἀνέξομαι φληναφούντων τινῶν, καὶ βιαζομένων ἀπηρυθριασμένως τὴν Γραφὴν, ἵνα αὐτοῖς δίχα σαρκὸς εἶναι προχωρήσῃ (51) ἡ ἀνάστασις, ὀστᾶ νοητὰ, καὶ σάρκας νοητὰς ὑποτιθεμένων, καὶ ἄλλοτε ἄλλως ἄνω καὶ κάτω μεταβαλλομένων ἀλληγορίαις. Καὶ ταῦτα οὕτως, ὡς γέγραπται, παραλαμβάνεσθαι, κρατύνοντος τοῦ Χριστοῦ τὴν Γραφὴν, ἔνθα πυνθανομένοις τοῖς Φαρισαίοις περὶ χωρισμοῦ γυναικὸς ἀποκρίνεται· *Οὐκ ἀνέγνωτε, ὅτι ἀπ' ἀρχῆς ὁ κτίσας ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; Καὶ εἶπεν· Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα*, καὶ τὰ ἑξῆς.

Γ'. Ἄτοπον (52) δὲ κἀκεῖνο προφανῶς, τὸ οἴεσθαι τὸ σῶμα ἐν τῇ εἰς αἰῶνας διαγωγῇ μὴ συνέσεσθαι (53) τῇ ψυχῇ, διὰ τὸ δεσμὸν αὐτὸ καὶ πέδας εἶναι· ἵνα μὴ αἰώνιοι γενώμεθα κατάκριτοι δεσμῶται, κατ' αὐτοὺς, φθορᾶς (54) ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς ἐσόμενοι. Λελυμένου γὰρ ἱκανῶς, καὶ ἐξελεγχθέντος τοῦ λόγου, ἐν ᾧ δεσμὸν τῆς ψυχῆς ὡρίζοντο εἶναι τὴν σάρκα, λέλυται καὶ τὸ, ἵνα μὴ δεσμῶται ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς, εἰ ἀπολάβωμεν (55) αὐτὴν, ἐσόμεθα, διὰ τοῦτο οὐκ ἀναστήσεται.

Δ'. Ἵνα τοίνυν (56) μὴ ᾖ κακὸν ἀθάνατον ὁ ἄνθρωπος, ἢ ἀείζωον, ἔχων ἐν ἑαυτῷ τὴν ἁμαρτίαν κρατιστεύουσαν, ἅτε ἐν ἀθανάτῳ βλαστήσασαν σώματι, καὶ ἀθάνατον ἔχουσαν τροφὴν, ὁ Θεὸς αὐτὸν διὰ τοῦτο θνητὸν ἀπεφήνατο νεκρότητι περιβαλών. Τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες ἐβούλοντο, ἵνα δὴ διὰ τῆς ἀναλύσεως (57) τοῦ σώματος ἡ ἁμαρτία κάτωθεν αὐτόπρεμνος πᾶσα διαφθαρῇ, ὡς μηδὲ κἂν

[7] *Gen.* III, 21. [8] *Gen.* II, 23, 24. [9] *Matth.* XIX, 4, 5.

(48) *Potioribus auctum, dominium obtineret.* Sic visum est circumloqui τὸ, κρατιστεύουσαν· significat enim novam illam excellentiam peccati in homine, ex subjecti immortalitate, nisi Deus ipsum a peccato, morte damnasset.

(49) *Προηπ.* Epiph. hær. n. 23, emend. ex autogr. R. P. Sirm.

(50) *Τῇ γυναικὶ αὐτοῦ.* Al., πρὸς τὴν γυναῖκα αὐτοῦ.

(51) *Δίχα σαρκὸς εἶναι προχωρήσῃ.* Edit. Epiph., male, δὴ σαρκὸς μὴ εἶναι προχώρησις.

(52) *Ἄτοπ.* Ex Epiph. ibid., n. 4[5], emend. ex codd. Rupif. et Sirm.

(53) *Συνέσεσθαι.* Sic edit. At Rupif. et Sirm., συνενοῦσθαι, *animæ non uniendum.*

(54) *Κατ' αὐτοὺς, φθορᾶς.* Impr. κατὰ τοὺς φθορέας, corrupte Sirm., καὶ ταυτοί.

(55) *Εἰ ἀπολάβωμεν.* Impr. et Sirm., ἢν ἀπολαμβάνομεν.

(56) *Ἵνα τοίν.* Ex Epiph. l. c. num. 24, emend. ex cod. Rupif., in quo et quæ sequuntur.

(57) *Τῆς ἀναλύσεως τοῦ σώματος.* Impr., τῆς λύσεως καὶ διαιρέσεως.

Digitized by Google

βραχύτατον ῥίζης ἐαθῆναι μέρος, ἀφ' οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων ἀναβλύζωνται.

Ε'. Καθάπερ (57*) γὰρ ἐν οἰκοδομήμασι ναῶν καλοῖς (58) συκῆ γεννηθεῖσα, καὶ εἰς ἔκστασιν καὶ μέγεθος εὐτραφήσασα, καὶ ἐπὶ πάσας τὰς ἁρμονίας πολυκλημάτοις ῥίζαις τῶν λίθων κεχυμένη, οὐ πρότερον τοῦ φύειν στέλλεται, ἕως πᾶσα ἀποσπασθῇ, λυθέντων τῶν καθ' οὓς ἐβλάστησε τόπους τῶν λίθων· δυνατὸν γὰρ εἰς τοὺς ἑαυτῶν ἐναρμοσθῆναι τόπους τοὺς λίθους, τῆς συκῆς ἀφῃρημένης, ὅπως ὁ μὲν ναὸς σώζηται, μηδὲν τῶν ἀφανιζόντων αὐτὸν κακῶν ἐν ἑαυτῷ μηκέτι φέρων, ἡ δὲ συκῆ προθέλυμνος ἀποσπασθεῖσα ἀποθάνῃ· κατὰ ταῦτα καὶ ὁ Θεὸς ὁ τεχνίτης τὸν ἑαυτοῦ νεὼ, τὸν ἄνθρωπον, δίκην ἀγρίας συκῆς, τὴν ἁμαρτίαν βλαστήσαντα, διεκώλυσε θανάτου προσκαίροις προσβολαῖς· ἀποκτείνων, κατὰ τὸ γεγραμμένον, καὶ ζωοποιῶν· ἵνα πάλιν τῶν αὐτῶν ἡ σὰρξ μερῶν, μετὰ τὸ ξηρανθῆναι καὶ ἀποθανεῖν τὸ ἁμάρτημα, δίκην ἀνακαινοποιηθέντος ναοῦ, ἀθάνατος καὶ ἀπήμων ἐγερθῇ, τελέως ἐκ βάθρων ἀπολομένης τῆς ἁμαρτίας. Ζῶντος γὰρ ἔτι τοῦ σώματος, πρὸ τοῦ τεθνηξασθαι, συζῆν ἀνάγκη καὶ τὴν ἁμαρτίαν, ἔνδον τὰς ῥίζας αὐτῆς ἐν ἡμῖν ἀποκρύπτουσαν, εἰ καὶ ἔξωθεν τομαῖς ταῖς ἀπὸ τῶν σωφρονισμῶν (59), καὶ τῶν νουθετήσεων ἀνεστέλλετο. Ἐπεὶ οὖν οὐκ ἂν μετὰ τὸ φωτισθῆναι συνέβαινεν ἀδικεῖν, ἅτε παντάπασιν εἰλικρινῶς ἀφῃρημένης ἀφ' ἡμῶν τῆς ἁμαρτίας. Νῦν δὲ καὶ μετὰ τὸ πιστεῦσαι, καὶ ἐπὶ τὸ ὕδωρ ἐλθεῖν τοῦ ἁγιασμοῦ, πολλάκις ἐν ἁμαρτίαις ὄντες εὑρισκόμεθα. Οὐδεὶς γὰρ οὕτως ἁμαρτίας ἐκτὸς εἶναι καυχήσεται, ὡς μηδὲ κἂν ἐνθυμηθῆναι τὸ σύνολον ὅλως τὴν ἀδικίαν. Ὥστε συμβέβηκε (60) συστέλλεσθαι μὲν, καὶ κατευνάζεσθαι τῇ πίστει νῦν τὴν ἁμαρτίαν, εἰς τὸ μὴ φύσαι (61) καρποὺς βλαβοποιοὺς, οὐ μὴν ἀνασπασθῆναι καὶ τῶν ῥιζῶν ἄχρις. Νῦν μὲν ἐνταῦθα τὰς βλάστας αὐτῆς, οἷον τὰς ἐνθυμήσεις τὰς πονηρὰς, συστέλλομεν, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλήσῃ, μὴ ἐῶντες ἀναμύειν, καὶ διοίγνυσθαι τὰ μεμυκότα στόμια πρὸς τὰς ἐκφύσεις· τοῦ λόγου δίκην ἀξίνης πρὸς τὰς ῥίζας αὐτῆς τὰς κάτω φυομένας τέμνοντος. Τότε καὶ τὸ ὅλως ἐνθυμηθήσεσθαι περὶ κακίας ἀφανισθήσεται.

Ϛ'. Φέρε (62) γὰρ, ἐπειδὰν πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα παραδειγμάτων, ἐντεῦθεν αὐτὰ μάλιστα σκεπτώμεθα, μὴ ἀφιστάμενοι πρὶν ἂν εἰς εὐδηλοτέραν ἑρμηνείαν ἀποτελευτήσει καὶ ἀπόδειξιν ὁ λόγος. Φαίνεται τοίνυν ὥσπερ εἴ τις δημιουργὸς ἄκρος,

A peccatum stirpitus enecaretur, ac ne tenuissimæ quidem fibræ remanerent, unde nova subinde germina peccatorum erumperent.

V. Ut enim magnificis templorum structuris caprificus crescens, atque in maximam amplitudinem adolescens, et multiplicibus radicum brachiis per omnes lapidum diffusa compages, non prius excrescere ac pullulare desinit, quam disjectis ex eo unde enata est loco lapidibus, tota penitus evulsa concidat : tum enim, sublata caprifico, lapides suis locis possunt restitui, ut et templum ipsum incolume servetur, cum nullum amplius ex iis quibus evertebatur, incommodis habeat; caprificus vero ab imis radicibus evulsa moriatur : ad eumdem plane modum artifex ille Deus, templum suum, hominem, B qui peccatum, caprifici cujusdam instar, produxerat, mortis ad tempus impressione, fruticatione inhibuit (63) : qui juxta quod scriptum est [10], occidat et vivere faciat : ut iisdem partibus caro, exsiccato intermortuoque peccato, velut templum quoddam instauratum, immortalis illæsaque, sublato a fundamentis profligatoque peccato, resurgeret. Etenim quandiu corpus vivit, nec adhuc mortuum est, cum eo vivere peccatum necesse est, et occultas in nobis radices agere, quantumvis quibusdam velut castigationum reprehensionumque putationibus coerceatur. Alioquin post baptismum nullum jam scelus perpetramus, posteaquam peccatum a nobis funditus esset sublatum. Atqui etiam post susceptam fidem, ac postquam ad aquam illam C sanctificantem accessimus, sæpe peccatis obnoxii invenimur. Neque enim adeo se immunem ab omni peccato gloriari quispiam potest, ut ne cogitatione quidem scelus ullum admittat. Quare accidit, ut modo quidem peccatum fide reprimatur et consopiatur, ut ne perniciosos fructus emittat; non tamen ut omnino ac radicitus exstinguatur. Quocirca, nunc quidem illius germina, pravas nimirum cogitationes, inhibemus; *ne qua radix amaritudinis sursum germinans* [11], molestiam nobis afferat : ac nec apertas ad pullulandum vias ac spiramenta dehiscere ac patefieri sinimus, divino Verbo, securis instar, fruticantes identidem ab radice stirpes excidente. At in futuro illo statu, mali omnis vel futura cogitatio tolletur.

VI. Age enim, quoniam multis rerum ejuscemodi D exemplis opus est (64), hinc potissimum ista consideremus; neque prius ab eo argumento discedamus, quam in clariorem explicationem ac probationem nostra desierit oratio. Perinde igitur con-

[10] *Deut.* xxxii, 39. [11] *Heb.* xii, 5.

(57*) *Καθάπ.* Ex Epiph. hær. n. 25.
(58) *Καλοῖς.* Edit., καλῶν. Et mox, εὐτροφήσασα.
(59) *Σωφρονισμῶν.* Ms. Rupif., συμφορῶν.
(60) *Συμβέβηκε.* Edit., συνέστηκε. Mox pro κατευνάζεσθαι, cod. Rup., κατευνάζειν.
(61) *Φύσαι.* Edit., οἷσαι.
(62) *Φέρε*, κ. τ. λ. Ex Epiph. n. 27.
(63) *Fruticatione inhibuit.* Διεκώλυσε, nempe τοῦ βλαστάνειν. Alia lectio Epiphan. διέλυσε etiam congruit.
(64) *Quoniam multis rerum ejuscemodi exemplis opus est.* Ἐπειδὰν πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα παραδειγμάτων. Transitio est ab exemplo caprifici et templi ad exemplum simile, vitii labisque, et simulacri; in quibus ambobus destrui oporteat subjectum iterum instaurandum, ut pereat quod malum accessit. Non satis videtur exprimere interpres Epiphanii : *Quoniam multis ad id exemplis opus est.*

Digitized by Google

(22) *Duas porro*, etc. Duas hypostasi, unam re ipsa et natura, eoque una indivisa actione et creantes materiam, et distinctione ornantes, sola appropriatione altera sibi alterum, altera alterum vindicante: Patre creationem, ut in qua maxime eluceat divina potentia: Filio ornatum et perfectionem, ut proprium maxime artis et rationis divinæ. Mox

(23) *Πικρότερον*. Forte, ἀλογώτερον. Et mox al., τὸν ἀκαρ.

Digitized by Google

προωμολογημένοις ἔφαμεν εἶναι ποιητικὰς, τὴν ἐξ οὐκ ὄντων γυμνῷ τῷ βουλήματι, χωρὶς μελισμοῦ, ἅμα τὸ (*f.* τῷ) θελῆσαι αὐτουργοῦσαν ὃ βούλεται ποιεῖν· τυγχάνει δὲ ὁ Πατήρ· θάτερον (*f.* θατέραν) δὲ κατακοσμοῦσαν καὶ ποικίλλουσαν κατὰ μίμησιν τῆς προτέρας τὰ ἤδη γεγονότα· ἔστι δὲ ὁ Υἱὸς, ἡ παντοδύναμος καὶ κραταιὰ χεὶρ τοῦ Πατρὸς, ἐν ᾗ μετὰ τὸ ποιῆσαι τὴν ὕλην ἐξ οὐκ ὄντων κατακοσμεῖ (24). A

Η'. Ὅτι τὸ Ἰὼβ βιβλίον Μωσέως εἶναι ὁ Ἅγιός φησι. Ὅτι περὶ τοῦ, *Ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν*, φησὶν· *Ἀρχὴν* δὲ αὐτὴν τὴν σοφίαν λέγων τις οὐκ ἂν ἁμάρτοι. Λέγεται γὰρ παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ λέγουσα περὶ αὐτῆς τὸν τρόπον τοῦτον· *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με*. Ἦν γὰρ ἀκόλουθον καὶ πρεπωδέστερον, πάντα ἃ εἰς γένεσιν ἦλθον, εἶναι ταύτης νεώτερα, ἐπεὶ καὶ δι' αὐτῆς γεγόνασιν. Ἐπίστησον γὰρ εἰ μὴ καὶ τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς Θεὸν*, κατὰ τὸν εὐαγγελιστὴν, *καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν*· εἰ μὴ τούτοις ὁμαρτεῖ. Τὴν μὲν γὰρ ἀρχὴν, ἀφ' ἧς ἀνεβλάστησεν ὁ ὀρθότατος Λόγος, τὸν Πατέρα καὶ ποιητὴν τῶν ὅλων φατέον, ἐν ᾧ ἦν· τὸ δὲ *Οὗτος [ἦν] ἐν ἀρχῇ πρὸς Θεόν*, τὸ ἐξουσιαστικὸν τοῦ Λόγου, ὃ εἶχε παρὰ τῷ Πατρὶ καὶ πρὸ τοῦ τὸν κόσμον εἰς γένεσιν παρελ- B C

VIII. Ait Sanctus, librum Job esse Mosis (25). Ait præterea super illis verbis : *In principio creavit cœlum et terram*[2] : Non erraverit qui *Principium* (26) Sapientiam esse dixerit. Sic enim apud quemdam e sacro cœtu, fertur ipsa de se loqui : *Dominus creavit me* (27) *initium viarum suarum, in opera sua; ante sæculum fundavit me*[3]. Par enim erat congruumque, ut creata omnia, quippe facta per illam, essent ea posteriora. Nam vide, num illud evangelicum : *In principio erat Verbum, et Verbum erat apud Deum : et Deus erat Verbum. Hoc erat in principio apud Deum*[4]; istis consentanee habeat. Principium enim fuerit, Pater ille et creator universorum, ex quo germinavit, quod erat in ipso, Verbum rectissimum. Illud autem : *Hoc erat* (28) *in principio apud Deum*, Verbi principatum illum quem apud Patrem, priusquam mundus crearetur, liberum habuit, significare videtur; velut *Princi-*

[2] *Gen.* I, 1. [3] *Prov.* VIII, 22. [4] *Joan.* I, 1.

Mox τὸ ἄνευ μελισμοῦ palam vitiosum est. Schottus, *sine partium distinctione*. Quid enim vero ad propositum? Legendum ergo μελλησμοῦ, ut V. et H., vel etiam μελησμοῦ, ut nonnunquam scribitur, ut prompta rerum ex nihilo eductio, Deo vocante nulloque obnitente, exprimatur.

(24) *Κατακοσμεῖ*. Andr. Schottus, μετακοσμεῖ.

(25) *Librum Job esse Mosis*. Est hæc communior veriorque sententia, quam pluribus docte admodum explicat tueturque Jacobus Bolducus ord. S. Francisci Capuc., præludio II, in suum Job.

(26) *Non erraverit, qui Principium*, etc. Secuti sunt eam Methodii expositionem Augustinus l. I *De Gen. ad lit.*, c. 1; Basilius et Ambrosius hom. *in Hexaem.*, et est subtilis : quanquam non omnium forte maxime litteralis : qua de re expositores ad I illud caput Gen.

(27) *Dominus creavit me*, etc. Sic LXX, ἔκτισέ με, *condidit, creavit me*, quod non minimam olim difficultatem fecit : satis acitque Hieronymus in epist. ad Cyprian., negando haberi in Hebræo verbum creationis quæ dicitur ברא, sed possessionem quæ dicitur קנה; quo etiam modo habent Vulgata expressa ex Hebr., *Dominus possedit me in initio viarum suarum;* quomodo et Aquila : Κύριος ἐκτήσατό με ἀρχῆθεν. Quia tamen etiam LXX salvandi sunt, et lectio tot Patribus recepta, dicendum videtur cum Jansenio ad eum locum, idem significari utraque lectione : quanquam illa LXX nonnihil humilius, et humano modo : significari, inquam, Sapientiæ illius subsistentiam a Patre, ante omnem creaturam; æternamque emanationem, velut Rationis, in qua et per quam crearentur omnia : atque adeo, *principii ex principio illo singulari sine principio, Patre, a quo, et post quem*, γίνεται αὐτὸς ἀρχὴ τῶν ἄλλων. Velut creatur et fit aliorum ipsum Principium, inquit Methodius, inhærens phrasi illi Scripturæ, eodem proinde modo exponendus; Patrisque illam ingeniti notionem ac auctoritatem insinuans, qua etiam emanationum ad intra, totiusque Trinitatis fons dicitur, et est unus ipse, ἀρχὴ ἄναρχος : non ad exsistentiæ prioris exclusionem; sic enim et Filius ἄναρχος est, ut bene Gregorius orat. *De theolog.* aliique passim Græci; sed per remotionem αἰτίας, ac velut causæ principiique essendi : nam causam in divinis non ita ferunt Latini, ut nec Græci, ἀρχήν, bono utrique sensu, aliisque et aliis verbis quod sanum est, explicantes. Male ergo Schottus τὸ, ἰδίαν ἄναρχον ἀρχήν, *proprium* reddidit *æternumque principium :* nec satis sane, cum dictum κατὰ διαστολήν de Patre, negari videatur de Filio; quod esset valde blasphemum, purusque putus Arianismus.

(28) *Illud autem : Hoc erat*, etc. Singularis plane hic, quanquam non alienus a phrasi Græca, Methodii sensus : imo nec a Latina. Nam etiam Latinis, *esse in magistratu, esse in dignitate*, etc., eo sensu recepta sunt. Cum ergo τὸ ἀρχὴ Græcis sit æquivocum, nec minus *principatum* significet quam *principium*, potuit Methodius intelligere verbis illis significatum Verbi divini principatum, ut exsistentia ejus apud Deum et Patrem iis velut qualificetur : quod plane congruit illi psal. CIX, μετὰ σοῦ ἡ ἀρχή, καὶ τὰ ἑξῆς, ubi Latina : *Tecum principium*, etc.; sed ex Hebr. constat legendum *principatus :* nec nisi καταχρηστικῶς nonnihilque barbare, alterum pro altero positum ab interprete, non ex Hebr., sed ex Græco LXX reddente. Legerunt sine dubio illi עִמְּךָ נְדִבוֹת (*Himmecha nedaboth*) seu potius נְדִבוּת (*Nedabuth*), ut bene Sanctus noster, recteque et eleganter expresserunt Græce, μετὰ σοῦ ἡ ἀρχή, pro quo jam mutatis punctis legimus עַמְּךָ נְדִבוֹת (*hammecha nedaboth*), *populus tuus spontaneus*, quod et ipsum imperium respicit. D

Digitized by Google

pium dicat auctoritatem ac liberum principatum. Post ergo singulare illud Principium absque principio, qui est Pater, fit ipsum aliorum Principium, per quod omnia creantur.

IX. Origenes, inquit, postquam multa commentus esset de universi æternitate, etiam hoc addit. Neque ergo ab Adam, ut quidam affirmant, cum prius non esset homo, tunc omnium primus formatus, in mundum processit. Neque mundus rursum, ante sex dies quam crearetur Adam, cœpit fieri. Quod si quis hac in parte dissideat ambigatque, prius cedat, num ita accipientibus, facile ad Mosaici libri rationem, numeretur annus unus? sic etiam hic acclamante prophetica voce[8] : *A sæculo et usque in sæculum tu es : quoniam mille anni ante oculos tuos, tanquam dies hesterna quæ præteriit, et custodia in nocte.* Nam cum mille anni (29) in diem unum concludantur in oculis Dei, a mundi ortu ad usque requiem, [sunt dies sex ; atque ab illa] ad nos iterum sex præterierunt dies, ut optimi affirmant calculatores. Annum ergo sexies millesimum ab Adamo ad nos usque aiunt extendi : nam die septima, septimo inquam mundi millenario, judicium futurum dicunt. Ergo a nobis usque ad principium in quo Deus creavit cœlum et terram, dies omnes tredecim numerantur : ante quos, cum Deus nihil omnino operatus sit et creaverit, Patris nomine et universalis conservatoris ac Domini caruit. Enimvero, si tredecim dies sunt in oculis Domini a mundo condito, quomodo Sapientia in Jesu Sirach dicit : *Arenam maris, et pluviæ guttas, et dies sæculi quis dinumerabit*[9]? Hæc Origenes serio disputans, vide, rogo, quam nugetur.

[8] *Psal.* LXXXIX, 2, 4. [9] *Eccli.* I, 2.

Θεῖν, ἔοικε σημαίνειν, τὴν ἐξουσίαν ἀρχήν εἰπών. Οὐκοῦν ἀρχὴ μετὰ τὴν ἰδίαν ἄναρχον ἀρχήν, τὸν Πατέρα, αὐτὸς τῶν ἄλλων γίνεται, δι' ἧς ἅπαντα δημιουργεῖται.

Θ'. Ὅτι Ὠριγένης, μετὰ τὸ πολλὰ μυθήσασθαι περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος, ἐπάγει καὶ τοῦτο. Οὔτε οὖν ἀπὸ Ἀδάμ, ὥς φασί τινες, πρότερον οὐκ ὢν ὁ ἄνθρωπος, τότε πρῶτος πλασθεὶς εἰς κόσμον παρῆλθεν· οὔτε αὖ κόσμος πρὸ ἓξ ἡμερῶν τῆς τοῦ Ἀδὰμ γενέσεως ἤρξατο δημιουργεῖσθαι. Εἰ δὲ φιλοφρονοῖτο διαφέρεσθαι πρὸς ταῦτά τις, πρότερον φρασάτω, εἰ μὴ εὐαρίθμητος ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, κατὰ τὴν Μωσέως βίβλον, τοῖς οὕτως αὐτὴν ἐκλαμβανομένοις ὁ χρόνος εἷς, τῆς προφητικῆς καὶ ἐνθάδε βοώσης φωνῆς· *Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡμέρα ἡ χθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί·* χιλίων γὰρ ἐτῶν διοριζομένων εἰς μίαν ἡμέραν ἐν ὀφθαλμοῖς Θεοῦ, ἀπὸ τῆς τοῦ κόσμου γενέσεως μέχρι καταπαύσεως . . . . . μέχρις ἡμῶν, ὡς οἱ περὶ τὴν ἀριθμητικὴν φάσκουσι δεινοί, ἓξ ἡμέραι συμπεραιοῦνται. Ἑξακισχιλιοστὸν ἄρα ἔτος φασὶν ἀπὸ Ἀδὰμ εἰς δεῦρο συντείνειν· τῇ γὰρ ἑβδομάδι τῷ ἑπτακισχιλιοστῷ ἔτει κρίσιν ἀφίξεσθαί φασιν· οὐκοῦν αἱ πᾶσαι ἡμέραι δέκα καὶ τρεῖς ἀφ' ἡμῶν ἕως εἰς τὴν ἐν ἀρχῇ, ἐν ᾗ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, μετροῦνται· ὧν ὁ Θεὸς ἀνώτερον, κατὰ τὴν σφῶν αὐτῶν ἄνοιαν οὐδὲν οὐδαμῶς δημιουργήσας, ἐγεγύμνωτο τοῦ Πατὴρ (30) καὶ παντοκράτωρ εἶναι. Εἰ δὲ καὶ τρισκαίδεκά εἰσιν ἡμέραι ἐν ὀφθαλμοῖς Θεοῦ ἀπὸ γενέσεως κόσμου, πῶς φησιν ἡ ἐν τῷ Σειρὰχ σοφία· *Ἄμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει;* Ταῦτά φησιν ὁ Ὠριγένης σπουδάζων, καὶ ὅρα οἷα παίζει.

(29) *Nam cum mille anni*, etc. Videtur plane, et est locus mutilus, male omnino redditus ab Schotto, nec bene illustratus ab Hœschelio. Ex illo igitur psalm. LXXXIX : *Mille anni ante oculos tuos*, etc., infert Origenes a mundo primum creato ad Adamum usque ad Dei requiem, non nostram, ut supinius Schottus, sex mille annos intercessisse ; sex vero iterum alios ab illa quiete, ex probatiori chronologia quæ est LXX, ad sua usque tempora colligit : velut jam exacto altero senario, postque illud currente septenario, ac velut septima die, qua vult fore mundi consummationem. Ex quibus universim colligit Methodius, esse tantum dies quatuordecim (*et sic forte fuerit in textu corrigendum*), ante quos in ipsa Origenianorum sententia, Deus nihil ageret : eoque non stare illud Sap. Sirach : *Dies sæculi quis dinumerabit?* velut illi innumerabiles sint, arenæque maris et guttis pluviæ comparabiles. Nulla ergo hic jocularis hallucinatio Origenis, qualem Hœschelius fingit, velut septem pro tredecim injecerit ; sed debilior argumentatio ex Scriptura male intellecta, quam Methodius ex Scriptura quoque refellit. Notanda auctoritas libri Ecclesiastici, quem vir sanctus etiam Psalmis opponat. Porro videtur ex illo loco, celebrem illam Gregorii et fere Græcorum sententiam, de mundi spiritalis et angelici creatione ante hunc corporeum, statuere, ac insinuare, innumerabiles illos dies sæculi seu ævi illius, esse spiritalis, non nostri hujus ; cujus numerus dierum, etiam Origeniane, et juxta illos qui ita extendunt dies sex creationis, facile iniri possit. Contra hanc sententiam æstimat Cornelius pronuntiatum a Patribus Lateranensibus ; sed mihi melius censet D. Thomas, cujus utinam in censendis dogmatis modestiam et soliditatem juniores multi imitarentur, nec nisi ex mente conciliorum, cui verba debent componi, in ejusmodi pronuntiarent. Damnatus ergo fuerit carcer ille damnati Origenis, et mundus ille ante Adamum sex mille annis, plenus incorporeis hominibus seu non carnalibus, et hactenus angelis ; spiritalis vero ille et vere angelicus, quem nemo Patrum erroris in fide insimularit, Basilio, Gregorio, etc., ipsique nostro Methodio, quantum ex dictis colligimus, vindice S. Thoma et Angelo Scholæ, probabilis constiterit : quanquam eidem ejusque discipulis, quos agimus, simultanea, ut unius mundi, creatio omnium, probabilior fuerit. Non male de his Escalant. *Clypeo concionat.*

(30) *Πατήρ.* Legendum omnino videtur ποιητής. Sic enim, ubi de creatione, loqui amant Patres Græci ; quibus Deus dicitur ποιητὴς τῶν ὅλων καὶ δημιουργός. Cf. S. Justini *Cohort. ad Græcos*, n. 22 ; *Apolog.* I, n. 20. Hinc reformanda versio : *Cum Deus nihil omnino operatus sit et creaverit*, EFFECTORIS *nomine.... caruit.* Mirari subit hunc locum, non solum Schottum, sed et Combefisium fugisse.

Digitized by Google

ΤΟΥ ΑΓΙΟΥ ΜΕΘΟΔΙΟΥ ΕΚ ΤΩΝ ΚΑΤΑ ΠΟΡΦΥΡΙΟΥ.

SANCTI METHODII

FRAGMENTA EX LIBRIS ADVERSUS PORPHYRIUM (31).

I.

(*Ex* Parallelis *Damascen.*, *Opp. tom. II, pag.* 778.)

Κάλλιστον ταῖς ἀληθείαις καὶ ἐπαινετὸν κλητέον A τοῦτο, ὅπερ ἂν αὐτὸς εἶναι ὁ Θεὸς ἡγήσηται καλόν· κἂν ὑπὸ πάντων ἐξουθενῆται καὶ χλευάζηται· ἀλλ' οὐχ ὥσπερ οἱ ἄνθρωποι νομίζουσι.

Plane omnino optimum atque laudabile fuerit appellandum, quod esse Deus ipse bonum putaverit; tametsi omnes illud spernant subsannentque. Non enim sic habet, ut homines autumant.

II.

Ibid. pag. 784 B.

Μετάνοια τότε ἁμαρτήματος παντὸς γίνεται ἀπαλειπτική, ὅταν ἐπὶ τῷ γενομένῳ ψυχῆς σφάλματι ἀναβολὴν μὴ δέξηται· μηδὲ παραπέμψει τὸ πάθος εἰς χρονικὸν διάστημα· οὕτω γὰρ οὐχ ἕξει καταλεῖψαι ἴχνος ἐν ἡμῖν τὸ κακόν· ἅτε ἅμα τῷ ἐπιβῆναι ἀποσπασθὲν δίκην φυτοῦ ἀρτισυστάτου.

Tunc pœnitentia omne peccatum delet, cum peccante anima, dilationem non acceperit, neque in longum tempus morbum remiserit. Sic enim nequiverit malum relinquere in nobis vestigium, velut statim ac cœpit invadere, instar novellæ plantationis, avulsum.

III.

Ibid. pag. 785 E.

Ἡμέτερον μὲν ὄντως ἐστὶ κακὸν ἡ πρὸς τὸν Θεὸν B ἀνομοιότης τε καὶ ἄγνοια· ἀγαθὸν δὲ ἔμπαλιν πηλίκον ἡ πρὸς αὐτὸν ἐξομοίωσις. Φαίνεται γοῦν οἰκεῖον μὲν, ἀληθῶς ἀγαθὸν, ἡ περὶ τὸ ἄφθαρτόν τε καὶ θεῖον ἐπιστροφὴ καὶ πίστις· κακὸν δὲ ἡ περὶ αὐτὸν ἄγνοια καὶ ῥᾳθυμία· εἴγε τὰ ἐν ἡμῖν καὶ ἐξ ἡμῶν φυόμενα, ταῦτα ἡμέτερα τυγχάνουσι· κακοποιητικὰ ὄντα πονηρίας.

Hominis revera malum, ejus ad Deum dissimilitudo et ignorantia : contra, grande bonum, assimilatio. Sane videri debeat, vere proprium ejus bonum, conversio fidesque in id quod corruptione vacat, et Deum; malum autem, quæ circa eum ignoratio ac desidia est : quando in nobis atque ex nobis ortum habentia, quibus est malitia omnis, nostra censeri debent.

ΤΟΥ ΑΓΙΟΥ ΜΕΘΟΔΙΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΜΑΡΤΥΡΩΝ ΛΟΓΟΥ.

SANCTI METHODII EX SERMONE DE MARTYRIBUS (32).

(*Apud Theodoritum* Dial. I Ἀτρεπτ., *Opp. tom. IV, pag.* 37.)

Οὕτω γὰρ θαυμαστὸν καὶ περισπούδαστόν ἐστι τὸ μαρτύριον, ὅτι αὐτὸς ὁ Κύριος, ὁ Υἱὸς τοῦ Θεοῦ, τιμῶν αὐτὸ ἐμαρτύρησεν, *οὐχ ἁρπαγμὸν ἡγησάμενος* C *τὸ εἶναι ἴσα Θεῷ*, ἵνα καὶ τούτῳ τὸν ἄνθρωπον τῷ χαρίσματι εἰς ὃν κατέβη, στέψῃ.

Adeo etiam admirandum et magnopere expetendum est martyrium, ut Dominus ipse Jesus Christus, Filius Dei, ipsum honorans passus sit, *non rapinam arbitratus se esse æqualem Deo* [1] : ut hoc dono etiam hominem ad quem descenderat, honoraret.

[1] *Philipp.* II, 6.

(31) Tria quæ subjiciuntur fragmenta, excerpta perhibentur in *Parallelis* Damascenicis ἐκ τῶν κατὰ Πορφυρίου. De hoc autem opere S. Methodii plura S. Hieronymus inter *Veterum testimonia* quæ Methodianis præmisimus. Videsis et Holstenium in Dissertat. *De vita et scriptis Porphyrii*, cap. 11, post med.

(32) Unus inter veteres Theodoritus, quod quidem sciam, meminit hujus operis Methodiani *De martyribus*. Sic autem se habet apud ipsum inscriptio : Τοῦ ἁγίου Μεθοδίου, ἐκ τοῦ *Περὶ μαρτύρων* λόγου. Combefisium qui complura ex Eclogariis et Catenis Methodiana fragmenta congessit, miror equidem istud vetustissimi Patris de Christi divinitate illustre testimonium præteriisse. Quæ enim in eo enuntiantur, non nisi in Deum verum cadere possunt, judice Petavio in præclara præfatione ad tom. II *Dogmat. theolog.*, cap. 4, num. 5. Neque aliter Bullus in *Defens. fid. Nic.*, sect. II, cap. 13, § 9, pag. 164. GALL.

Digitized by Google

ΜΕΘΟΔΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΑΤΑΡΩΝ

ΚΑΙ ΜΑΡΤΥΡΟΣ

Εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ἄννην, τῇ ἡμέρᾳ τῆς Ὑπαντήσεως· καὶ εἰς τὴν ἁγίαν Θεοτόκον.

METHODII EPISCOPI PATARENSIS

ET MARTYRIS

De Simeone et Anna, quo die Dominico in templo occurrerunt; ac de sancta Deipara.

I. Cum olim, quantum quidem breviter licuit, A quæ de virginitate dicenda erant, in *Symposiacis de castitate*, ceu jactis fundamentis abunde explicuerimus, hodierna die totam ipsam et a radice virginitatis gloriam coronamque immarcescibilem, alumnis Ecclesiæ oblectandis, tempus ecce in medium produxit. Hodie siquidem divinorum oraculorum consilium palam aperitur; gloriosaque hujus diei signa præfigurata, eorumque exitus atque effectus a sacris prædicatoribus ecclesiastico cœtui releguntur. Hodie finis antiquo illi veroque consilio impositus, præclare rerum ipsa exhibitione mundo manifestatur. Hodie citra tegumentum aliquod, *Domini gloriam*, divinæque ipsius arcæ majestatem, ceu in speculo, revelata facie *contemplamur* [8]. Hodie cœlestem illam, gentibusque anxie exspectatam B lætitiam, humeris suis sanctissima celebritas bajulans, mortalium generi impertitur. *Præterierunt vetera; efflоruerunt nova, et quæ non veterascunt* [9]. Non jam amplius austerum legis decretum præsidet: sed Domini gratia omnes ad se salubri longanimitate convertens regnum tenet. Haudquaquam iterum Ozan aliquis intrectabilia ausus contingere, invisibili ratione flagellatur [10]. Deus enim ipse invitat; et quis præ timore adhuc cunctabitur? Clamat: *Venite ad me, omnes qui laboratis et onerati estis* [11]; et quis non accurret? Ne quis vero Judæus contradixerit in præcedentem domus Abedaræ typum

Α'. Πάλαι ἱκανῶς, ὡς οἷόν τε, διὰ βραχέων, τὰ περὶ παρθενίας ἐν τοῖς *Περὶ ἀγνείας συμποσίοις* (33) κατεστρωκότων ἡμῶν, σήμερον αὐτὴν τὴν τῆς παρθενίας ὁλόρριζον δόξαν, καὶ ἀμαράντινον στέφανον εἰς εὐφροσύνην ὁ χρόνος ἐν μέσῳ προήγαγε τοῖς τῆς Ἐκκλησίας τροφίμοις. Σήμερον γὰρ τὸ βουλευτήριον τῶν θείων χρησμῶν ἐξανοίγεται, καὶ τὰ τῆς παρούσης ἐνδόξου ἡμέρας σύμβολα καὶ ἀποτελέσματα, παρὰ τῶν ἱεροκηρύκων τῷ ἐκκλησιαστικῷ συλλόγῳ ἐπαναγινώσκεται. Σήμερον ἡ περαίωσις τῆς ἀρχαίας βουλῆς καὶ ἀληθινῆς διὰ τῶν ἔργων ἐνδόξως τῷ κόσμῳ ἐμφανίζεται. Σήμερον ἄτερ διακαλύμματος ἀνακεκαλυμμένῳ προσώπῳ *τὴν δόξαν Κυρίου*, καὶ τῆς θείας αὐτοῦ κιβωτοῦ *κατοπτριζόμεθα* (34). Σήμερον τὴν καραδοκηθεῖσαν οὐράνιον χαρὰν ταῖς γενεαῖς ἐπ' ὤμων φέρουσα (35) ἡ ἁγιωτάτη πανήγυρις, τῷ γένει τῶν ἀνθρώπων ἀποδίδωσι. *Παρῆλθε τὰ παλαιὰ, καὶ ἦλθε τὰ νέα, καὶ οὐ παλαιούμενα.* Οὐκέτι νόμου αὐστηρὸν δόγμα προεδρεύει, ἀλλὰ χάρις Δεσπότου βασιλεύει, σωτηρίῳ μακροθυμίᾳ πάντας πρὸς ἑαυτὴν ἐπιστρέφουσα. Οὐ πάλιν Ὀζᾶν τις ἀοράτως μαστίζεται, προσψαῦσαι τοῖς ἀψαύστοις κατατολμῶν. Θεὸς γὰρ προτρέπεται, καὶ τίς δειλιάσει; *Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι*, βοᾷ· καὶ τίς οὐ προσδραμεῖται; Καὶ μηδεὶς Ἰουδαίων ἀντιλεγέτω τῇ ἀληθείᾳ, πρὸς τὴν προτύπωσιν βλέπων τοῦ οἴκου Ἀβεδαρᾶ. *Εἰς τὰ ἴδια ἦλθεν* ὁ Κύριος *ἐμφανῶς* (36), καὶ ὑπὸ (37)

[8] *II Cor.* III, 18. [9] *II Cor.* V, 18; *Isai.* XLIII, 19. [10] *II Reg.* IX, 6. [11] *Matth.* XI, 28.

(33) *Ἐν τοῖς Περὶ ἀγνείας συμποσίοις.* Habentur in bibliotheca monasterii quod est in insula C Pathmos : Leo etiam Allatius edenda promittit in suo Eustathio : necdum ipsi potuimus integrum opus nancisci, aut habere Roma scriptum, quanquam non semel de ea re scripsimus : ut opus habeamus dare excerpta Photiana, cum pauculis fragmentis, potius sollicitando alicui, ut vel ediderit vel edendum nobis non inviderit, quam faciendo satis votis publicis, et huic ipsi orationi, qua se auctor quæ spectant ad virginitatem, in illis κατεστρωκέναι, ceu fundamenta jecisse accuratiusque explicasse, alioquin hic explicanda, statim pronuntiat. Minus Pantinus expresserat. — Hæc scribebat Combefisius anno 1644, quo sua Methodiana publici juris fecit. Methodii enim *Symposium* primum prodiit Romæ, cura et studio Leonis Allatii, anno 1656, deinde anno insequente 1657, Parisiis, ex editione Possinii. GALL.

(34) *Κατοπτριζόμεθα.* Respicit Paulinum κατοπτριζόμενοι. II Cor. III, ubi Vulg., *speculantes* : eodem atque ipsi sensu. Erasm., *in speculo repræsentantes*, quod minus placet. Pantinus tantum, *contemplamur*, minus expressum.

(35) *Ἐπ' ὤμων φέρουσα.* Phrasi illa trita qua dicimus, tempus triste aliquid vel faustum afferre. Eodem modo Andreas Cret. orat. *in nativ. Mariæ*, ἡμέραν, dicit, πρώτην τῶν ἑορτῶν, φέρουσαν τὸ φῶς τῆς παρθενίας ὑπὲρ κεφαλῆς, *diem inter dies festos primum, qui lumen virginitatis in capite bajulet.*

(36) *Ἦλθεν... ἐμφανῶς.* Sic plane textus jungendum petit; plana allusione ad illud psal. XLIX: *Deus noster manifeste veniet*, ἐμφανῶς ἥξει· quem locum auctor alteri Joan. 1 adnectit. Quare minus apte Pantinus junxerat sequentibus. Quod item præcedit προτύπωσιν τοῦ οἴκου Ἀβεδαρᾶ, *rem in domo Abedara præfiguratam*, minus expressum, pro, *præcedentem figuram seu typum domus Abedara*, a qua, rei præfiguratæ ac præsignatæ, nempe Mariæ, aut etiam templo, in quod viva illa arca, Dominus Jesus pompa inducitur, reverentiam conciliat.

(37) *Ὑπό.* Forte ὑπέρ, ut alibi.

Digitized by Google

τῆς ἐμψύχου κιβωτοῦ, ὡς ἐπὶ ἱλαστήριον, ἐπὶ γῆς πομπεύει. Ταύτης προσψαύσας τελώνης, δίκαιος ἀνα-δείκνυται. Ταύτῃ προσπελάσασα πόρνη, σώφρων ἀναπλάττεται. Ταύτῃ θίξας λεπρὸς, ἀνωδύνως ἀνα-χαλκεύεται. Οὐδένα ἀπωθεῖται· οὐδένα βδελύσσε-ται. Μεταδιδοῖ τῶν ὑγιεινῶν, οὐ μεταλαμβάνουσα τῶν νοσερῶν· ὁ γὰρ τῆς φιλανθρωπίας Κύριος ἐπ-αναπαύεται αὐτῇ. Ταῦτα τῆς νέας χάριτος τὰ δω-ρήματα. Τοῦτο πρόσφατον γέγονεν ὑπὸ τὸν ἥλιον, οὐ πάλαι γεγονὸς, οὐδ' αὖ μετέπειτα γενησόμενον. Προώρισε (38) δι' οἶκτον τὸν πρὸς ἡμᾶς, ἦλθε, καὶ ἐπλήρωσε διὰ φιλανθρωπίαν τὴν αὐτῷ πρέπουσαν. Εἰκότως γοῦν καὶ ἀνέκραγεν ἡ ἱερὰ σάλπιγξ· *Τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά.* Καὶ τί ἐννοήσω, ἢ τί λαλήσω ἐπάξιον τῆς ἡμέρας, τοῖς ἀνεῳγμένοις ἐπεκτεινόμενος; Φέρει γὰρ ἀεὶ τῆς ἁγίας Παρθένου ἡ μνήμη κατὰ παντὸς λόγου τὰ νι-κητήρια. Διά τοι τοῦτο, δυσωπῆσαν ἡμῖν τὴν ἀσθέ-νειαν τὸ μέγεθος τῶν ἐγκωμίων, ἐπὶ τὸν δυνατὸν ὕμνον καταφεύγωμεν καὶ τὴν ἀκίνητον ἥτταν ἐγκαυ-χησάμενοι (39), τῷ φιλεόρτῳ Χριστοῦ ποιμνίῳ γε-γηθότες συγχορεύσωμεν. Σὺ δέ μοι, ὦ θειότατον καὶ ἱερώτατον ἀκροατήριον, τὸ σιγηλὸν ἄσκει, ὅπως διὰ τῶν πορθμῶν τῶν ἀκοῶν γαληνῶς ταῖς διανοίαις ἐγκαθορμισθῇ τῆς ἀληθείας τὰ ἀγώγιμα. Ἑορτὴν ἄγομεν, οὐχ Ἑλληνικῆς εἰκαιομυθίας, γελοποιὸν καὶ ἐμβρόντητον θεῶν ἐστίασιν φέρουσαν, ἀλλὰ τῆς ἀστέκτου δόξης τοῦ ἐπὶ πάντων Θεοῦ συγκατάβασιν ἐκπαιδεύουσαν.

A respiciens [12]. *In propria* Dominus *manifeste venit* [13]; vivæque et animatæ arcæ, ceu propitiatorio insidens, pompa in terra procedit. Hanc publicanus contingens, justus evadit. Huic se meretrix applicans, velut nova fictione casta redditur. Hanc leprosus contrectans, sine dolore sanus, velut recuditur. Neminem repellit, neminem abominatur. Impertitur sanitates; non participat aliquid noxium. Propensissimus enim erga homines Dominus in ea requiescit. Sunt hæc novæ gratiæ munera. Hoc recens novumque accidit sub sole [14]; nec olim factum, nec post futurum. Quod pro sua Deus in nos misericordia præfiniverat, venit; et pro sua digna erga humanum genus propensione, ipse adimplevit. Quare jure optimo sacra illa tuba intonuit : B *Vetera transierunt; ecce facta sunt omnia nova* [15]. Quid vero mente concipiam quidve loquar, hac dignum die enitens ad inconcessa? Vincit enim ac longe superat omnem sermonem, sanctæ hujus Virginis memoria. Quocirca deterrente virium nostrarum imbecillitatem laudum ipsius magnitudine, ad hymnum eidem pro ingenii nostri facultate decantandum confugiamus; nosque ipsi immobiliter victos gloriantes, una cum festi studioso Christi grege, tripudio saliamus. Tu vero mihi in primis divinissima sacratissimaque concio, silentium colito, ut per aurium sinus velut intelligentiæ portum, veritatis merces placide subintrent. Festum agimus non ex Græcorum vanis fabulis, ridiculum attonitumque deorum convivium secum adducens; sed quod importabilis gloriæ, ejus *qui est super omnia Deus* [16], humilem ad nos demissionem, edoceat.

Β'. Φέρε τοίνυν, σεμνολόγε κηρύκων, καὶ μέγιστε προφητῶν, Ἡσαΐα, τὰ τῆς ἐνδόξου πανηγύρεως φι-λοσόφει τῇ Ἐκκλησίᾳ μυστήρια, καὶ δαψιλῶς ἐμ-φορηθῆναι τῶν ἀναφαιρέτων ἀγαθῶν πρότρεπε τοὺς καλλίστους δαιτυμόνας, ὅπως τῷ παρὰ σοὶ ἐσόπτρῳ τὴν παρ' ἡμῖν ἀλήθειαν ἀντιζεύξας, ὡς ἀψευδὴς ὑπο-φήτης, χεῖρα ἐπὶ χεῖρα κροτήσῃς τῷ τέλει τῶν προ-ρήσεων· Ἐγένετο, φησὶ, *τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Καὶ σεραφὶμ εἱστήκει-σαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί. Καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέ-κραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. Καὶ εἶπα· Ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκά-θαρτα χείλη ἔχοντος οἰκῶ, καὶ τὸν βασιλέα Κύ-ριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Καὶ ἀπ-εστάλη πρὸς μὲ ἓν τῶν σεραφὶμ, καὶ ἐν τῇ χειρὶ*

C II. Age ergo, inter præcones gravissime ac maxime prophetarum, Isaia, gloriosæ celebritatis sacramenta sapienter edissere; optimosque convivas, ut stabilibus bonis large exsaturentur, impelle; ut tuo illi speculo veritatem nostram ex adverso nectens, prædictionibus sortitis terminum, ut verus vates, manum ad manum lætus complodas: *Factum est*, inquit, *in anno quo mortuus est Ozias rex, vidi Dominum sedentem super thronum excelsum et elevatum : et plena domus gloria ejus. Et seraphim stabant in circuitu ejus : sex alæ uni, et sex alæ uni. Et clamabant alter ad alterum, et dicebant : Sanctus, sanctus, sanctus Dominus Sabaoth : plena omnis terra gloria ejus. Et elevatum est superliminare a voce qua clamabant : et domus impleta est fumo. Et* D *dixi : O miser ego, quia compunctus sum : quia homo cum sim, et immunda labia habeam, in medio populi immunda labia habentis habito; et regem Dominum Sabaoth vidi oculis meis. Et missus est ad me unus de seraphim; et in manu sua habebat carbunculum quem forcipe tulit ab altari : et tetigit os meum, et dixit : Ecce tetigit hoc labia tua, et auferet iniquitates*

[12] *II Reg.* VI, 10. [13] *Joan.* I, 11; *Psal.* XLIX, 3. [14] *Eccle.* I, 10. [15] *II Cor.* V, 17. [16] *Rom.* IX, 5.

(38) *Προώρισε.* Desse videtur ὅ.

(39) *Τὴν ἀκίνητον ἥτταν ἐγκαυχησάμενοι.* Sic retinendum videtur, quidquid Pantino videatur mutandum τὸ, ἀκ-ίνητον in ἀν-ίκητον, minusque bene reddat, *invicto hoc certamine victos*, etc. Significatur excellens Christi victoria laudumque ejus, qua immobili, ut non possit non obtinere, nobis gratulandum sit.

Digitized by Google

tuas, et peccata tua circumpurgabit. Et audivi vocem Domini dicentis : Quem mittam ? et quis ibit ad populum hunc ? Et dixi : Ecce ego, mitte me. Et dixit : Vade, et dic populo huic : Auditu audietis, et non intelligetis : et videntes videbitis, et non perspicietis [17]. Sunt porro hæc prophetæ per Spiritum prænuntiata oracula. Tu vero mihi, charissime, vim dictorum considera, ut sacramentorum eventum assequaris; noverisque quis quantusque sit noster hic conventus. Cumque propheta olim miraculum sit vaticinatus, age tu, summo ardore animique lætitia et alacritate, perspicaci intelligentiæ tuæ oculo, Bethlehem illam perquam inclytam adi; manifestamque tibi tuo animo tecum imaginem effinge, prophetiam cum ipso rerum eventu componens. Neque enim, multis tibi verbis opus fuerit ad totius rei cognitionem consequendam, modo iis quæ illic geruntur, mentis oculos diligenter advertas. *Omnia* siquidem *sunt obvia intelligentibus, et recta invenientibus scientiam* [18]. Ecce enim, ceu thronus sublimis et elevatus, ob ejus gloriam qui est fabricatus, Virgo Mater regi Domino Sabaoth, spectatissima illic statuitur. Super illo nunc ad te venientem in carne Dominum perspice. Super illo, virginali inquam throno, eum venerare qui novam hanc omnibusque laudibus prosequendam ad te profectionem adornavit. Circumspice vero fidei oculis; regiumque etiam illud seraphicorum spirituum, ceu sacerdotii lege, ei comes, obsequium occurret. Amat enim etiam ejusmodi satellitium, talis regis sequi præsentiam. Unde et eo loco, non solum dicuntur laudasse trinam illam divinæ unitatis substantiam ; verum etiam, quæ nunc, Deo apparente, in terra occurrit, unius illius de sancta Trinitate, omnibus adorandam gloriam ; in eo quod dicant : *Plena omnis terra gloria ejus.* Credimus enim, Filio propter nos *secundum propositum* [19] facto homini, una adesse Patrem, divinitate inseparabili, cum ejusdem ipsi essentiæ Spiritu. Nam ait Paulus, ille sacrorum interpres : *Erat Deus in Christo, mundum reconcilians sibi, non reputans ipsis delicta ipsorum* [20]; Patrem in Filio, propter unam eamdemque voluntatem esse ostendens.

III Tu vero festi amans, qui sic gloriosa Bethlehemitica et quæ tui causa consummantur, perspicias, cœlestibus turmis salutem tuam magnifice celebrantibus tete lubens alacrisque adjunge. Quomodo olim David coram arca [21], sic ipse coram virginali throno, lætus choreas ducito. Dominum ubique et semper præsentem, quique a Themane, ut ait pro-

A αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· Τίνα ἀποστείλω ; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον ; Καὶ εἶπα· Ἰδοὺ ἐγώ, ἀπόστειλόν με. Καὶ εἶπε· Πορεύου, καὶ εἰπὸν τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε. Ταῦτα τοῦ προφήτου διὰ τοῦ Πνεύματος τὰ προκηρύγματα. Σὺ δέ μοι, ἀγαπητὲ, σκόπει τῶν εἰρημένων τὴν δύναμιν, ἵνα συνίσῃς τῶν μυστηρίων τὴν ἔκβασιν, καὶ μάθῃς τίς καὶ ποταπὴ ἡμῶν ἡ συνάθροισις. Καὶ προχρηματίσαντος τοῦ προφήτου τὸ θαῦμα, δεῦρο ἄπιθι,
B καὶ πρόσβαινε θερμότατα καὶ φαιδρότατα καὶ προθυμότατα, τῇ ὀξυωπίᾳ τῆς διανοίας ἐπὶ τὴν εὐκλεεστάτην Βηθλεέμ· καὶ ἀνατύπωσαι σεαυτῷ ἐμφανῆ εἰκόνα, τῇ ἐκβάσει τῶν πραγμάτων τὴν προφητείαν συγκρίνων· οὐ γὰρ δεήσῃ μακρῶν λόγων εἰς ἐφόδιον γνώσεως, τοῖς ἐκεῖσε ἔργοις ἐνατενίζων· *Πάντα* γὰρ *ἐνώπια* (40) *τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.* Ἰδοὺ γὰρ αὐτόθι ὡς θρόνος ὑψηλὸς καὶ ἐπηρμένος τῇ δόξῃ τοῦ κτίσαντος ἡ Παρθενομήτωρ εὐτρεπίζεται φανερώτατα τῷ βασιλεῖ Κυρίῳ Σαβαώθ. Ἐπὶ τοῦτον κατανόησον τὸν νῦν πρὸς σὲ διὰ σαρκὸς ἐπιδημήσαντα Κύριον. Ἐπὶ τοῦτον τὸν παρθενικόν φημι θρόνον προσκύνησον τὸν πρὸς σὲ τὴν νέαν ταύτην καὶ πανύμνητον πορείαν στειλάμενον. Περίβλεψαι δὲ τοῖς τῆς πίστεως ὄμμασι, καὶ
C εὑρήσεις περὶ τοῦτον καὶ τὸν βασιλικὸν τῶν σεραφὶμ ἱεράτευμα (41). Ἔπεσθαι γὰρ φιλεῖ πως τῇ βασιλέως παρουσίᾳ καὶ ἡ τούτων δορυφορία. Ὅθεν καὶ ἀνυμνηκέναι τὸ τρισάγιον λέγονται οὐ μόνον τὸ τρισυπόστατον τῆς θείας ἑνάδος, ἀλλὰ δὴ καὶ τὴν καταντήσασαν τὰ νῦν ἐπὶ γῆς διὰ τῆς θεοφανείας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος πᾶσι προσκυνητὴν δόξαν, ἐν τῷ λέγειν· *Πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.* Συμπαρεῖναι γὰρ πεπιστεύκαμεν τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι Υἱῷ *κατὰ τὴν εὐδοκίαν* (42), καὶ τὸν ἀδιάστακτον αὐτοῦ Πατέρα κατὰ τὴν θεότητα, σὺν ᾧ ὁμοουσίῳ αὐτοῦ Πνεύματι. Θεὸς γὰρ, φησὶν ὁ ἱεροφάντης Παῦλος, *ἦν ἐν τῷ Χριστῷ, κόσμον παραπτώματα αὐτῶν* · τὸν Πατέρα ἐν τῷ Υἱῷ διὰ τὸ *ἑαυτῷ καταλλάσσων, μὴ λογιζόμενος αὐτοῖς τὰ* ἓν θέλημα ἐμφαίνων.

D Γ. Κατανοήσας δὲ, ὦ φιλέορτε, περὶ τὴν Βηθλεὲμ τὰ οὕτως ἔνδοξα καὶ διὰ σὲ τελούμενα, συνασμένιζε τοῖς ἐπουρανίοις μεγαλοφυῶς τὴν περὶ σὲ ἑορτάζουσι σωτηρίαν. Χόρευε πρὸ προσώπου τοῦ παρθενικοῦ θρόνου, ὡς πάλαι Δαυὶδ πρὸ προσώπου τῆς κιβωτοῦ. Ἀνευφήμησον τὸν ἀπανταχοῦ πάντοτε παρόντα, καὶ ἐκ Θεμὰν, ὥς φησιν ὁ προφήτης, ἐπιφανῆναι κατὰ

[17] *Isai.* VI, 1-9. [18] *Prov.* VIII, 9. [19] *Ephes.* I, 5. [20] *II Cor.* V, 19. [21] *I Reg.* VI, 14.

(40) *Ἐνώπια.* Theod., εὐθεῖα.

(41) *Ἱεράτευμα.* Visum est minus expressum τὸ, *sacerdotium.* Est, auct. Arist., ἡ περὶ τοὺς θεοὺς ἐπιμέλεια, cultus ille et obsequium religioque, sacerdotibus maxime, Deum divinamque excellentiam ex ellenter referentibus, respective adhibenda.

(42) *Κατὰ τὴν εὐδοκίαν*, Eph. I, quo alludit. Nempe juxta bonam illam Dei voluntatem et decretum salutis hominum; ex qua una Patris et Filii, Patrem in Filio statim colligit, ex eodem Pauio ; eoque minus apte Pantinus, *ob propensam suam in nos voluntatem.*

Digitized by Google

σάρκα τῷ γένει τῶν ἀνθρώπων εὐδοκήσαντα Κύριον. Λέγε Μωσαϊκῶς· *Οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν, Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.* Ἐχόμενα δὲ τῶν εὐχαριστηρίων (45), ἐξετάσωμεν χρησιμώτατα, τίς ἡ ἐν Βηθλεὲμ ἐξεγείρασα πρόφασις τὸν βασιλέα τῆς δόξης. Τὸ μὲν γὰρ ἐν Βηθλεὲμ σωματικῶς γεννηθῆναι ἡ περὶ ἡμᾶς εὐσπλαγχνία ἐξεβιάσατο τὸν ἀβίαστον· τὸ δὲ ὑποτίτθιον τυγχάνοντα (44), τὸν ἐν χρόνῳ ἄχρονον, καὶ τοῖς σπαργάνοις ἐγκατεχόμενον ἀκατόχως, μέτοικόν τε καὶ μετανάστην γενέσθαι, ποία ἄρα γένηται ἀνάγκη; Εἰ δὲ βούλῃ γνῶναι καὶ τοῦτο, ὦ θειότατόν μοι καὶ θεόπνευστον σύστημα, ἄκουε Μωϋσέως διαπρυσίως κηρύττοντος τῷ λαῷ, καὶ εἰς γνῶσιν τῆς ὑπερφυοῦς γεννήσεως ἐγκεντρίζοντος αὐτούς, καὶ λέγοντος· *Πᾶν ἄρσεν, σταροῖτον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται.* Ὦ τοῦ θαύματος! Ὦ *βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ!* Ἔπρεπε γὰρ τῷ Κυρίῳ νόμου καὶ προφητῶν κατὰ νόμον ἅπαντα τὸν ἴδιον διαπράξασθαι, καὶ μὴ ἀθετητὴν εἶναι νόμου, ἀλλὰ πληρωτήν· συνάψαι τε ἐντεῦθεν τῇ τοῦ νόμου περαιώσει (45) τὴν τῆς χάριτος αὐτοῦ ἀρχήν. Διὰ τοῦτο ἡ ὑπερτέρα νόμου Μήτηρ τῷ νόμῳ ὑποκύπτει, καὶ ἡ εὐαγὴς τὸν κατὰ τῶν ἀναγῶν φυλάττει ὁρισμὸν τὸν τετταράκοντα ἡμερῶν, καὶ γίνεται νόμου ὑπήκοος ὁ τοῦ νόμου ἐλευθεριωτής, καὶ προσφορὰ προσάγεται ὑπὲρ τοῦ ἡμᾶς ἁγιάσαντος, ζεῦγος ὀρνέων ἀκεραίων, εἰς μαρτύριον τῶν ἀμωμήτως προσιόντων. Ὅτι δὲ ἀμόλυντος ὁ τόκος καὶ καθαρσίων ἀνεύθυνος, μαρτυρεῖ μου τῷ λόγῳ Ἡσαΐας, διαῤῥήδην τῇ ὑφ' ἡλίῳ κηρύττων· *Πρὶν ἢ τὴν ὠδῖνουσαν τεκεῖν, πρὶν ἢ ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε, καὶ ἔτεκεν ἄῤῥεν. Τίς ἤκουσε τοιοῦτον, ἢ τίς ἑώρακεν οὕτως;* Ἐκπέφευγε τοίνυν ἡ παναγία Παρθενομήτωρ τὰ γυναικεῖα, καὶ πρὶν ἢ τεκεῖν, εἶτ' οὖν ἄνευ συνουσίας συλλαβεῖν (46), Πνεύματος ἁγίου προνυμφεύσαντος καὶ ἁγιάσαντος. Τέτοκε τὸν πρωτότοκον, καὶ μονογενῆ τοῦ Πατρὸς Υἱὸν, τὸν ἄνω μονογενῶς ἄτερ μητρὸς ἐκ τῆς πατρικῆς οὐσίας ἐκλάμψαντα, καὶ τὴν παρθενίαν τῆς φυσικῆς ἐνάδος ἀμέριστον καὶ ἀδιάστατον φυλάξαντα· καὶ κάτω ἐκ παρθενικῆς παστάδος συναφθεὶς ἀνδρὸς, ἀνέτειλε τὸν ἥλιον τῆς δικαιοσύνης, τὸν ἐν ἀνατολαῖς ἐπιγνωσθέντα, καὶ ἐν τοῖς ἔθνεσι κηρυχθέντα, καὶ ἐν δόξῃ ἀναληφθέντα.

pheta [23], humano generi secundum carnem voluit apparere, faustis omnibus excipe. Dic ut Moyses : *Iste Deus meus, et glorificabo eum : Deus patris mei et exaltabo eum* [24]. Porro post gratiarum deinceps actionem utilissime scrutemur, quid causæ Regem gloriæ in Bethlehem suscitaverit. Et quidem, ut in Bethlehem corporatus nasceretur, coegit nostri miseratio, alioqui cogi nescium. Verum, ut infans lactens, ille in tempore expers temporis, quique fasciis non detentus detineretur, pulsus patria ac profugus fieret, quænam demum necessitas compulit? Sane, si et hæc vobis cognoscendi est animus, divina plane Deoque afflata concio, audite Moysen, clare populo prædicantem, atque ad eximiæ illius nativitatis cognitionem velut exstimulantem ac di- B centem : *Omne masculinum, adaperiens vulvam, sanctum Domino vocabitur* [25]. O res miranda! *O altitudo divitiarum et sapientiæ et scientiæ Dei* [26]! Decebat videlicet Dominum legis et prophetarum, ut juxta propriam ipse legem omnia conficeret, neque faceret irritam, sed potius impleret : ac dehinc legis termino, gratiæ suæ principium adjungeret. Quamobrem, legi superior Mater se legi submittit : sanctaque illa mundaque, tempus quadraginta dierum in pollutas constitutum, observat : ac qui absolvit a lege, legi subjectus efficitur : offerturque pro eo qui nos sanctificavit, par avium mundarum [26], in eorum testimonium qui mundi inculpatique accedebant. Quod vero impollutus fuerit ille C partus, nec piacularibus hostiis obnoxius, testis est Isaias, diserte universæ sub sole terræ denuntians : *Antequam*, inquit, *aut parturiens pariat, aut antequam veniat labor pariendi, effugit, et peperit masculum. Quis tale quid audivit? aut quis simile vidit* [27]? Effugit ergo quæ sunt muliebria sanctissima Virgo Mater, antequam etiam pareret : ut nimirum, Spiritu sancto eam sibi jam ante desponsante et sanctificante, absque virili congressione conciperet. Peperit illa primogenitum, et Patris unigenitum Filium : eum, inquam, qui in superis, unigene, absque matre, ex paterna substantia eluxit;

[23] *Hab.* III, 3. [24] *Exod.* XV, 2. [25] *Exod.* XXXIV, 19. [26] *Rom.* XI, 33. [26] *Luc.* II, 24. [27] *Isai.* LXVI, 7.

(45) *Ἐχόμενα δὲ τῶν εὐχαριστηρίων.* Nonnullo illo hymno, ad quem antea hortatus erat, vincente argumenti majestate, quem et jam exegit ; ut a voluptate, ad aliquam intellectus eruditionem methodicus Methodius noster transeat; quod male Pantinus obscurat.

(44) *Ὑποτίτθιον τυγχάροντα.* Aggravatio est : ut non tantum voluerit fieri infans, et quæ sunt infantium velut necessario assumere ; sed etiam tenella illa ætate, pelli patria, et ad transmigrationem cogi : μέτοικος γενέσθαι. Metœci in l. *Certa*, c. De jure fis., l. x, sunt qui jussu principum in aliam civitatem pœnæ causa transferuntur, eorumque prædia publicantur : ii dicuntur et ἀνάσπαστοι : quibus Dominus Jesus in Ægyptum fugiens, statim pene ab ortu, similis egit. Nec hoc Pantinus expressit. — Monet Combefisius in *Emendandis* ad calcem Methodii, hanc notam esse corrigendam : hic enim, inquit, patet sermonem esse de migratione a Bethlehem in Hierusalem ad implendam legem ; quæ et ipsa mi- D nus congruere videtur dignitati pueri Jesu, ab ea lege immunis.

(45) *Τῇ τοῦ νομου περαιώσει.* Ut idem sit atque πέρασις, sensu quo Suidas exponit, in eo loco : Δότε βίου πέρασιν καὶ καταστροφήν τινα· *Finem, exitum.* Sic recte quadrat, ut legi habenti jam finem Christi adventu et adimpletione, ipse adjungat initium gratiæ suæ, nos illa absolvens, et ad aliam legem transferens ; quæ est gratiæ inchoantis illius desitione. Male Pantinus : *Dehinc ad legis perfectionem, gratiæ suæ principium adjungere*, minus saltem clare.

(46) *Εἶτ' οὖν ἄνευ συνουσίας συλλαβεῖν.* Sunt illa muliebria, quæ ante etiam partum Dei Mater effugit. Eodem fere modo arguit Ambrosius epistola ad Siricium papam, a conceptu virginali ad partum. Pantinus connectit sequentibus, quomodo erant vitiose punctata Græca, nec congrua oratione, sensumque auctoris ubique subtilem, minus reddit.

Digitized by Google

virginitatemque naturalis unitatis indivisam inseparabilemque conservavit : quique in terris, nuptiali Virginis thalamo, Adæ sibi naturam immobili unione ceu sponsus conjunxit ; ac Matris puritatem indivulsam incorruptamque servavit : eum denique, qui in supernis nulla corruptione genitus, Cæterum orationem ad propositum reducamus.

IV. Itaque eduxit propheta Virginem ex Nazareth, ut in Bethlehem fetum illum salutarem enitteretur ; eamdemque iterum propheta reduxit, ut spem illam vitæ mundo manifestaret. Solvens igitur Dei arca ex Bethlehemitico diversorio (illic enim solvit legi quadraginta dierum, non justitiæ, sed gratiæ debitum), requievit in montibus Sion : accipiensque castissimo sinu, tanquam sublimi quodam et humanam omnem naturam superante throno, Regem illum omnium ; illum, inquam, eodem, Deo et Patri, throno sublimem Filium, nec ipso excedentem : una illic cum assumpta ex ipsa intemerata carne, eidem præsentavit. Ascendit in templum sacra Mater, novum legi exhibitura miraculum, prolemque diu quæsitam, quæ nimirum virginalem vulvam aperuit, nec tamen virginitatis claustra disrupit : prolem lege superiorem, quæ tamen legem impleverit : prolem ortu priorem, posterioremque : prolem denique ex ipsa incarnatam supra legem naturæ. Nam alioqui omnis vulva, ex viri prius conjunctione aperta et semine conspersa, principium pariendi accipit : doloribusque finem partui imponentibus, ratione tandem præditum consentaneumque naturæ fructum, Dei Creatoris sapientia, in lucem edit, juxta illud divinum scitum : *Crescite et multiplicamini, et replete terram*[18] ; hujus autem uterus, neque prius apertus, neque semine conspersus, fructum illum supra naturam, naturæ tamen cognatum, germinavit, idque citra ullum individuæ unitatis detrimentum, ad intensius impensiusque miraculum ; salva nimirum pristinæ virginitatis prærogativa. Ascendit igitur in templum, illa templo celsior, duplicem induta gloriam : intemeratæ, inquam, virginitatis, et ineffabilis fecunditatis : legis benedictionem, et gratiæ sanctificationem. Quamobrem ait ille videns : *Et plena domus gloria ejus : et seraphim stabant in circuitu ejus, et clamabant alter ad alterum : Sanctus, sanctus, sanctus Dominus Sabaoth : plena omnis terra gloria ejus*[19] ; quod et ipsum beatus propheta Habacuc lepide modulatus, ait : *In medio duorum animalium nosceris : dum appropinquaverint anni, agnosceris :*

A δος νυμφικῶς ἑνώσαντα ἑαυτῷ τὸν Ἀδὰμ ἀτρέπτως (47), καὶ ἀδιάσπαστον καὶ ἀκήρατον τὴν μητρικὴν ἀγνείαν διατηρήσαντα· τὸν ἄνω ἀῤῥεύστως γεννηθέντα, καὶ κάτω ἀφράστως τεχθέντα. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανάξωμεν τὸν λόγον.

ineffabili in hisce inferioribus ratione natus est.

Δ'. Προφήτης τοιγαροῦν ἐκ Ναζαρὲθ ἀνήγαγε τὴν Παρθένον ἀποκυῆσαι ἐν Βηθλεὲμ τὸ σωτήριον κύημα· καὶ πρφήτης ἐξήγαγεν (48) ἐμφανίσαι τῷ κόσμῳ τῆς ζωῆς τὴν ἐλπίδα. Ὅθεν ἐπάρασα ἐκ σταθμῶν Βηθλεὲμ ἡ κιβωτὸς τοῦ Θεοῦ (αὐτῷ γὰρ ἀπετίννυε τῷ νόμῳ τῆς τεσσαρακοντάδος τὴν οὐ κατὰ χρέος, ἀλλὰ κατὰ χάριν ὀφειλὴν), ἐπὶ τὰ ὄρη κατέπαυσε B τῆς Σιὼν, καὶ ἀναλαβοῦσα τοῖς ἀχράντοις κόλποις, ὡς ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τὴν ἀνθρωπείαν ὑπερβαίνοντα φύσιν, τὸν βασιλέα τῶν ἁπάντων, τῷ Θεῷ καὶ Πατρὶ, τὸν σύνθρονον αὐτοῦ καὶ ἀνεκφοίτητον Υἱὸν, ἐνεφάνισεν ἐκεῖ μετὰ τῆς ἐξ αὐτῆς προσλήψεως ἀχράντου (49). Ἄνεισιν ἐπὶ τὸ ἱερὸν ἡ ἱερὰ Μήτηρ ἐμφανίσαι τῷ νόμῳ ξένον θαῦμα, καὶ τὸν ζητούμενον τόκον, τὸν διανοίξαντα μήτραν παρθενίας, καὶ κλεῖθρα παρθενίας μὴ διαῤῥήξαντα· τὸν ἀνώτερον νόμου, καὶ πληρωτὴν νόμου· τὸν προγενέστερον, καὶ μεταγενέστερον· τὸν ἐξ αὐτῆς σαρκωθέντα ὑπὲρ νόμον φύσεως. Διότι πᾶσα μήτρα, ἐκ συναφείας πρῶτον διανοιγομένη καὶ ἐνσπειρομένη, ἀρχὴν τοῦ τίκτειν λαμβάνει, καὶ τελεσφόροις ὠδῖσι τὸν λογικὸν καὶ κατάλληλον τῆς φύσεως καρπὸν, τῇ τοῦ δημιουργοῦντος σοφίᾳ εἰς C τοὐμφανὲς προφέρει, κατὰ τὸ, *Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν*, τοῦ Θεοῦ λέγοντος. Ἡ δὲ ταύτης γαστὴρ, οὔτε μὲν προδιανοιγεῖσα οὔτε ἐνσπειρομένη, ὑπερφυᾶ τε καὶ συμφυᾶ καρπὸν ἐβλάστησε, καθ' ἕνωσιν ἀδιάσπαστον ἀλωβήτως εἰς ἐπίτασιν θαύματος, ἐν ταυτότητι διαμείναᾶα τῆς παρθενίας. Ἄνεισι τοιγαροῦν εἰς τὸ ἱερὸν, ἡ τοῦ ἱεροῦ ὑψηλοτέρα, δισσὸν κλέος περικειμένη, παρθενίας φημὶ ἀχράντου, καὶ παιδοποιΐας ἀφράστου, εὐλογίαν νόμου, καὶ ἁγιασμὸν χάριτος. Διό φησιν ὁ βλέπων· *Καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ· καὶ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ· πλήρης πᾶσα ἡ γῆ* D *τῆς δόξης αὐτοῦ*. Τοῦτο δὴ τοῦτο καὶ ὁ μακάριος προφήτης Ἀμβακοὺμ ἀστείως ἐμελῴδησε φάσκων· *Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ· ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ· ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ*. Ὅρα μοι τηλαυγῶς τοῦ Πνεύματος τὴν ἀκρίβειαν· γνῶσίν φησιν ἐπίγνωσιν,

[18] *Gen.* I, 22. [19] *Isai.* VI, 3.

(47) *Νυμφικῶς ἑνώσαντα ἑαυτῷ τὸν Ἀδὰμ ἀτρέπτως*. Ut significetur immobilis unio, ceu lege inviolabilis conjugii, naturæ humanæ ad Verbum : quanquam posset τὸ ἀτρέπτως referre ipsum Verbum, et modum unionis ex parte illius, nulla a propriis demutatione.

(48) *Καὶ προφήτης ἐξήγαγεν*. Nempe ἐκ τῆς Βηθλεέμ, ut illic editam prolem, spem illam vitæ, in montibus Sion, et templo Jerosolymitano, mundo manifestaret : ut utrumque significetur, ceu ex oraculo factum. Pantinus sua ingerit, et Methodianis adversa, velut de manifestatione in Bethlehem, non in templo, ageretur : *Quo consilio ? Nempe, ut mundo vitæ jam suæ spem demonstraret.* Declarant sequentia quod diximus : ὅθεν ἐπάρασα κ. τ.ἑξ., ubi nec Pantinus fidus est.

(49) *Ἐνεφάνισεν ἐκεῖ μετὰ τῆς ἐξ αὐτῆς προσλήψεως ἀχράντου*. Nempe τῷ Θεῷ καὶ Πατρὶ, quod Lucas ait, παραστῆσαι τῷ Κυρίῳ. Res plana scienti terminos ; Pantinus tamen male oscitat.

Digitized by Google

ἀνάδειξιν, ἅτινα δηλοῖ, τὸ μὲν, *Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ*, τήν τε κατὰ νόμον ἐν τοῖς ἀδύτοις ὑπεράνωθεν τοῦ ἱλαστηρίου τῆς κιβωτοῦ μεταξὺ τῶν τυπικῶν χερουβὶμ ἐπισκίασιν τῆς θείας αὐτοῦ δόξης, ὡς φησι πρὸς Μωϋσῆν, *Ἐντεῦθέν σοι γνωσθήσομαι*, τήν τε καταντήσασαν τὰ νῦν διὰ τὴν κατὰ σάρκα πανύμνητον αὐτοῦ τοῦ Σωτῆρος θεοφάνειαν ἀγγελικὴν συνέλευσιν, εἰ καὶ πρὸς ἡμῶν ἀθεώρητος, καθὼς προδεδήλωκεν Ἡσαΐας· τὸ δὲ, *Ἐν τῷ ἐγγίζειν τὰ ἔτη, ἐπιγνωσθήσῃ*, τὴν πανένδοξον, ὡς προεῖρηται, κατὰ σάρκα ἐπίγνωσιν τοῦ ἀοράτου Σωτῆρος ἡμῶν Θεοῦ, ὃς που φησὶν ὁ μέγας ἱερομύστης Παῦλος· *Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ. ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.* Τὸ δὲ ἐπαγόμενον, *Ἐν τῷ* (*f.* τῷ) *παρεῖναι τὸν καιρὸν, ἀναδειχθήσῃ*, ποίας ἂν καὶ δέοιτο ἀντιφράσεως τῷ εὔσκοπον πρὸς τὸ ἑορταζόμενον ἀπευθύνοντι τὸ δῆμα; Ἀναδειχθήσῃ γὰρ, φησὶν, ὡς ἐπὶ πίνακι βασιλικῷ, ὑπὸ τῆς τεκούσης σε ἀχράντου μητρὸς ἐν τῷ ναῷ, ἐν τῇ τῆς σαρκώσεώς σου εὐπρεπείᾳ. Ταῦτα δὲ ἀνακεφαλαιούμενος ὁ προφήτης πρὸς τὸ σαφέστερον, ἀνακέκραγε λέγων· *Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.*

A *dum tempus aderit, ostenderis* [30]. Inspice vero accuratam penitus Spiritus diligentiam. Notionem dixit, agnitionem et ostensionem; quorum singula hæc declarant; illud quidem : *In medio duorum animalium nosceris*; in primis, divinæ ipsius, juxta legem, in adytis, super arcæ propitiatorium, in medio typicorum cherubim, gloriæ velut obumbrationem; nam ait ad Moysen : *Inde tibi innotescam* [31] : præterea etiam, nunc nobis, per Salvatoris ipsius secundum carnem, divinam laudibusque omnibus celebrandam apparitionem, factum obvium angelorum concursum : quanquam is, natura sua, nobis inaspectabilis est, ut jam ante Isaias declaravit. Quod autem ait : *Dum appropinquaverint anni, agnosceris* : omnino inclytam illam, ut jam dictum est, secun- B dum carnem, invisibilis alioqui Dei Salvatoris nostri agnitionem significat; ut quodam loco, magnus ille sacrorum mystes Paulus ait : *Quando autem venit plenitudo temporis, emisit Deus Filium suum, factum ex muliere, factum sub lege, ut eos qui sub lege erant redimeret; ut adoptionem filiorum reciperemus* [32]. Quod autem subjungitur : *Dum tempus aderit, ostenderis;* nulla utique expositione indiget, si quis solerter, ad festum quod nunc celebramus, oculos mentis intenderit. Ostenderis enim, inquit, tanquam in disco quopiam ceu ferculo regio, ab intemerata tua Matre in templo, idque in carnis abs te assumptæ decore et forma. Quæ summatim colligens Propheta, amplioris claritatis gratia, in hæc exclamavit verba : *Dominus in templo sancto suo* [33] : *revereatur a facie ejus omnis terra* [34].

Ε'. Φρικτὸν γὰρ ὄντως τὸ περὶ σὲ μυστήριον, Μῆτερ Παρθένε, καὶ νοητὲ θρόνε, δεδοξασμένε καὶ Θεοῦ C ἐπάξιε. Προήγαγες γὰρ θαῦμα ἐπουρανίοις καὶ ἐπιγείοις ἐξαίσιον. Καὶ παράδειγμα τούτων καὶ ἀρραγὴς ἔλεγχος· τὸ κατὰ τὸ καινὸν τῆς ὑπερφυοῦς σου λοχείας ἀγγέλους ἐπὶ γῆς ἆδειν· *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία*· τῷ τριπλασιασμῷ τῆς ᾠδῆς τὸν τριπλασιασμὸν τῆς ἁγιότητος (50) εἰσαγαγόντες. Μακαρία σὺ ἐν γενεαῖς γυναικῶν, θεομακάριστε· ὅτι διὰ σοῦ ἐπληρώθη ἡ γῆ τῆς θείας δόξης τοῦ Θεοῦ, ὡς καὶ ἐν Ψαλμοῖς ᾄδεται· *Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο, γένοιτο. Καὶ ἐπήρθη*, φησὶ, *τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον*· ὃ σημαίνει τοῦ ναοῦ τὸ καταπέτασμα, τὸ συσκιάζον κατὰ πρόσωπον τῆς προτυπωσάσης σε D κιβωτοῦ Διαθήκης, ἵνα μοι φανερωθῇ τἀληθὲς (51), καὶ διὰ τῶν προηγησαμένων τύπων τε καὶ ὑποδειγμάτων παιδαγωγηθῶ αἰδοῖ καὶ τρόμῳ τιμᾷν καὶ προσκυνεῖν τὸ περὶ σὲ μυστήριον, χαλιναγωγηθῶ τε αὖ διὰ τῆς νομικῆς σκιαγραφίας τῆς τολμηρᾶς καὶ ἀναιδοῦς ἀσκαρδαμύκτου ἀντοφθαλμῆσαι ἀντωπίας

V. Tremendum enim revera, o Mater Virgo, sedes spiritalis, glorificata Deoque digna, tuum illud sacramentum. Produxisti enim cœlestibus terrestribusque, exsuperantia stupendum miraculum : cujus rei indicium est firmumque argumentum, quod in terra, ad novum illum augusti tui puerperii modum, angeli concinunt : *Gloria in altissimis Deo; et in terra pax, hominibus bona voluntas* [35] : triplici nimirum cantico, trinam inducentes sanctitatem : Beata tu in mulierum generationibus, a Deo beatissima : nam per te impleta est terra divina illa Dei gloria, sicut etiam canitur in Psalmis [36] : *Benedictus Dominus Deus Israel : et replebitur majestate ejus omnis terra : fiat, fiat. — Et elevatum est*, inquit propheta [37], *superliminare a voce qua clamabant* : quo significatur, templi velum inumbrans coram arca testamenti, quæ te præsignabat; ut mihi veritas panderetur, simulque docerer per typos et figuras quæ præcessissent, ut cum reverentia et tremore, ad sacramentum quod in te exhibetur adorandum, accederem : atque legali hac priore delineatione, ab eo qui incompre-

[30] *Hab.* III, 2. [31] *Exod.* XXV, 22. [32] *Gal.* IV, 4-5. [33] *Psal.* X, 5. [34] *Psal.* XCV, 9. [35] *Luc.* II, 14. [36] *Psal.* LXXI, 18. [37] *Isa.* VI, 4.

(50) *Τὸν τριπλασιασμὸν τῆς ἁγιότητος.* Pantinus, *triplicem sanctitatis rationem*, minus id theologice. Alludit ad canticum seraphicum Isai. VI, quod præcipue explicat, triplicique in eo sanctitatis acclamationi, in signum trinæ deitatis, triplicem et ipsum Christo nato, dictum angelicum hymnum respondere contendit. Sic juxta Græca, Latinis vero est duplex ita punctantibus : *Gloria in altissimis Deo, et in terra pax hominibus bonæ voluntatis.*

(51) *Ἵνα μοι φανερωθῇ τἀληθές.* Ut utriusque rationem reddat, et elevationis, velut ad ostensionem aliquam, divina dispensatione; et veli, ad reverentiam.

Digitized by Google

hensibilis super omnia locatus est, audentius impudentiusque fixa oculorum acie contemplando, refrenarer. Si enim arcæ, tuæ illius sanctitatis imagini typoque, tantus a Deo honor habitus est, ut nemini, nisi tantum ordini sacerdotali, ad eam pateret accessus, autve facilis esset ad cognitionem ingressus : distinguente velo ac ceu reginæ, ad januam vestibula servante : quis tandem qualisve venerationis cultus a nobis minimis, tibi vere Reginæ fuerit exhibendus? vere, inquam, Dei legislatoris animatæ arcæ : cœlo vere Dei capaci, qui nusquam capi potest. Te enim, sanctissima Virgo, tanquam die clarissima mundo affulgente, solemque illum justitiæ producente, odiosus tenebrarum horror depulsus est : tyranni potentia facta irrita; mors destructa; infernus absorptus; inimicitia omnis ante pacis conspectum dissoluta; morbi noxii, sanctitatis beneficio erumpente, procul omnes facessere jussi; universusque terrarum orbis, veritatis clarissimæ purissimæque luce perfusus est. Ad quæ Salomon in Canticis alludens, ita orditur : *Dilectus meus mihi, et ego illi : qui pascit in liliis donec respiret dies, et dimoveantur umbræ* [38]. Quia ergo : *Visus est Deus deorum in Sion* [39], et *magnificentia decoris ejus in Jerusalem apparuit* [40] : *Luxque est orta justo, et rectis corde lætitia* [41], juxta beatum Davidem : sanctificandorum Sanctificator ille et Dominus, legis doctorem atque ministrum, in partem muneris et testimonium illorum quæ agebantur, per Spiritum sanctum convocavit.

VI. Eoque senex Symeon, imbecillitatem carnis exuens, speique indutus robur, ante legis faciem, subministratorem legis festinus excepit : doctorem illum ex potestate : et Deum Abraham : protectorem Isaac : sanctum Israel : Moysis mystagogum; eum, inquam, qui divinam suam incarnationem, tanquam posteriora, eidem se promiserat ostensurum [42] : divitem illum in mendicitate : in infantia, sæculis anteriorem; in visione, invisibilem : in comprehensione, incomprehensibilem : in parvitate, magnitudinem omnem superantem : in templo simul, et in altissimis : in throno regio, et curru cherubico : supernis inferioribusque continenter præsentem : in forma servi, et forma Dei Patris : subjectum, et Regem universorum. Erat totus in desiderio; totus in spe; totus in gaudio. Non jam suus ipse erat, sed ejus cujus spe defixus erat. Spiritus sanctus faustum annuntiaverat : [velut jam

A τὸν τὰ πάντα ἐν ἀκαταληψίᾳ ὑπεριδρυμένον (52). Εἰ γὰρ τῇ εἰκόνι τῆς σῆς ἁγιότητος τοσαύτη πρὸς τοῦ Θεοῦ ἀπενεμήθη τιμή, ὡς μηδενὶ βάσιμον ἢ πρόχειρον εἰς κατανόησιν εἶναι τὴν ταύτης εἴσοδον ἢ μόνῃ τῇ ἱερατικῇ εὐκοσμίᾳ, τοῦ καταπετάσματος διορίζοντος καὶ πυλωροῦντος ὡς βασιλίδι τὰ προπύλαια· τί ἄρα καὶ ποταπὸν τὸ παρ' ἡμῶν τῶν ἐλαχίστων ἐπ-
B οφειλόμενόν σοι σέβας, τῇ ὄντως βασιλίδι, τῇ ὄντως ἐμψύχῳ κιβωτῷ τοῦ νομοδότου Θεοῦ, τῇ ὄντως χωρητῷ οὐρανῷ τοῦ ἀχωρήτου Θεοῦ γενομένῃ; Σοῦ γὰρ τῆς παναγίας ὡς φωταυγοῦς ἡμέρας ἐπιφανείσης τῷ κόσμῳ, καὶ τὸν τῆς δικαιοσύνης ἥλιον προαγαγούσης, ἐκποδὼν μὲν γέγονε τὰ τοῦ σκότους στυγηρὰ, φροῦδος δὲ καὶ ὁ τύραννος κατέστη· καὶ διόλωλε μὲν θάνατος, κατεπόθη δὲ καὶ ὁ ᾅδης, καὶ πᾶσα ἡ ἔχθρα κατ-
ελύθη πρὸ προσώπου τῆς εἰρήνης· Ὅσοι δὲ φθοροποιοὶ ἄπωθεν ἔστησαν τῆς σωτηρίας προκυψάσης, καὶ φωτὸς ἀνάπλεως γέγονεν ἡ ὑπ' οὐρανὸν τῆς ἀκραιφνοῦς ἀληθείας. Ἅτινα προοιμιάζων ἐν τοῖς Ἄσμασιν ἔλεγεν ὁ Σαλομών· *Ἀδελφιδός μου ἐμοὶ, κἀγὼ αὐτῷ· ὁ ποιμαίνων ἐν τοῖς κρίνοις ἕως οὗ ἡ ἡμέρα διαπνεύσῃ, καὶ κινηθῶσιν αἱ σκιαί.* Ἐπεὶ οὖν *Ὤφθη ὁ Θεὸς τῶν θεῶν ἐν Σιὼν*, καὶ *Ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ ἐν Ἰερουσαλὴμ ἐξεφάνθη, καὶ φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη*, κατὰ τὸν μακάριον Δαυὶδ, ὁ τῶν τελουμένων τελειωτὴς (53) καὶ Δεσπότης τὸν τοῦ νόμου διδακτικὸν καὶ λειτουργικὸν συνεκάλεσεν εἰς λειτουργίαν καὶ μαρτυρίαν διὰ τοῦ
C Πνεύματος τοῦ ἁγίου τῶν πραττομένων.

Ϛ'. Ὅθεν ἀπεκδυσάμενος τὸ ἄτονον τῆς ἡλικίας ὁ πρεσβύτης Συμεὼν, καὶ τὸ εὔτονον τῆς ἐλπίδος ἐπενδυσάμενος, ἀπολαβεῖν ἔσπευδεν εἰς πρόσωπον τοῦ νόμου τὸν τοῦ νόμου πάροχον· τὸν αὐθέντην διδάσκαλον (54)· τὸν Θεὸν τοῦ Ἀβραάμ· τὸν σκεπαστὴν τοῦ Ἰσαάκ· τὸν ἅγιον τοῦ Ἰσραήλ· τὸν μυσταγωγὸν τοῦ Μωϋσέως· τὸν τὴν θείαν ἐνανθρώπησιν ὡς ὀπίσθια γνωρίσαι αὐτῷ ὑποσχόμενον· τὸν ἐν πτωχείᾳ πλούσιον· τὸν ἐν νηπιότητι προαιώνιον· τὸν ἐν ὁράσει ἀόρατον· τὸν ἐν περιλήψει ἀπερίληπτον· τὸν ἐν σμικρότητι ὑπερμεγέθη· τὸν ἐν ναῷ καὶ ἐν ὑψίστοις· τὸν ἐπὶ θρόνου βασιλικοῦ (55) καὶ ἐπ' ὀχήματος χερουβικοῦ· τὸν κάτω καὶ ἄνω ἀδιαστάτως· τὸν ἐν
D μορφῇ δούλου, καὶ ἐν μορφῇ Θεοῦ Πατρός· τὸν ὑπήκοον καὶ βασιλέα τῶν ἁπάντων. Ὅλος γέγονε τῆς ἐφέσεως· ὅλος γέγονε τῆς ἐλπίδος· ὅλος γέγονε τῆς χαρᾶς. Οὐκέτι ἦν αὐτοῦ, ἀλλὰ τοῦ ἐλπισθέντος. Τὸ Πνεῦμα τὸ ἅγιον εὐηγγελίσατο, καὶ πρὶν ἢ κατειλη-

[38] *Cant.* II, 16, 17. [39] *Psal.* LXXXIII, 8. [40] *Psal.* XCV, 6. [41] *Psal.* XCVI, 11. [42] *Exod.* III, 23.

(52) *Τὸν τὰ πάντα ἐν ἀκαταληψίᾳ ὑπεριδρυμένον.* Velut omnibus in incomprehensibilitate sua eminentem, fere Paulina phrasi qua dicitur inhabitare lucem inaccessibilem, I Tim. VI. Pantinus refert ad creaturas minus congrue, *qui universa incomprehensibili quadam ratione constituit.*

(53) *Ὁ τῶν τελουμένων τελειωτής.* Ita passim Dionysius, Gregorius, etc. Minus apte Pantinus, *perfectus auctor*, potius initiator, consummator, etc. Male etiam τὸ, διὰ τοῦ Πνεύματος ἁγίου quod sequitur, retulit ad illud τῶν πραττομένων, cum sit omnino referendum ad verbum συνεκάλεσεν, velut allu'at ad verba evangelica, *et venit in spiritu in templum :* velut nimirum instinctu actus in Domini occursum.

(54) *Τὸν αὐθέντην διδάσκαλον.* Alludit ad verba evangelica Marci I : *Erat docens eos, quasi potestatem habens.* Minus apte Pantinus, *auctorem ipsum et præceptorem legis*, velut suprema auctoritate docentem.

(55) *Ἐπὶ θρόνου βασιλικοῦ.* Sancta nimirum Deipara sinu gestante, ut ubique divina humanis comparentur.

Digitized by Google

φέναι τὸν ναὸν, τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἀναπτερούμενος, ὡς ἔχων ἤδη τὸ ποθούμενον ἐγεγήθει. Ἀγόμενος δὲ οὕτω, καὶ μετεωροπορῶν τοῖς διαβήμασιν ὠκυτάτως, τὸν πάλαι ἱερὸν καταλαμβάνει σηκὸν, καὶ οὐ προσχὼν τῷ ἱερῷ, τῷ τοῦ ἱεροῦ πρυτάνει τὰς ἱερὰς ὠλένας ἐφήπλωσε, τοιάδε λέγων ἅμα καὶ ᾄδων, ἃ καὶ τῇ ἀσπαστῇ τελετῇ προσῆκε· Σὲ ἐπιποθῶ, δέσποτα Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, τὸν καταξιώσαντα τῇ ἰδίᾳ δόξῃ καὶ ἀρετῇ, ὡς πάντων προνοητικῇ, αἰδοῖ τῆς πρὸς ἡμᾶς συγκαταβάσεως, καθάπερ σπονδηφόρῳ μεσιτείᾳ, εἰς φιλικὴν ὁμηρεῦσαι συμφωνίαν τοὺς ἐπουρανίους πρὸς τοὺς γηγενεῖς. Σὲ ἐπιζητῶ τὸν αὐτουργὸν τῶν ἁπάντων· σὲ καραδοκῶ, τὸν περιέχοντα λόγῳ τὰ πάντα· σὲ ἀπεκδέχομαι, τὸν ζωῆς καὶ θανάτου δεσπόζοντα· σὲ ἀναμένω, τὸν νομοδότην, καὶ τοῦ νόμου διάδοχον· σὲ πεινῶ, τὸν ζωοποιὸν τῶν νενεκρωμένων· σὲ διψῶ, τὴν ἀνάψυξιν τῶν κεκμηκότων· σὲ ἐπιθυμῶ τὸν κτίστην καὶ λυτρωτὴν τοῦ κόσμου. Σὺ ἡμῶν Θεὸς, καὶ σὲ προσκυνοῦμεν. Σὺ ἡμῶν ναὸς ἅγιος, καὶ ἐν σοὶ προσευξόμεθα· σὺ θεσμῶν θεσμοθέτης, καὶ σοὶ πειθαρχοῦμεν. Σὺ Θεὸς πρῶτος· ἔμπροσθέν σου οὐκ ἐγεννήθη (56) Θεὸς ἄλλος ἐκ Θεοῦ Πατρὸς, καὶ μετὰ σὲ οὐκ ἔσται ἄλλος Υἱὸς τῷ Πατρὶ ὁμοούσιος καὶ ὁμότιμος. Καὶ *τὸ ἐπίστασθαί σε, ὁλόκληρος δικαιοσύνη· καὶ εἰδέναι σου τὸ κράτος, ῥίζα ἀθανασίας.* Σὺ εἶ ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν *λίθος ἀκρογωνιαῖος, πολυτελὴς τε καὶ ἔντιμος*, τῇ Σιὼν προαναγορευθείς. Ὑποβέβληται γάρ σοι τὰ πάντα ὡς αἰτίῳ· ὡς παραγαγόντι τὰ ὅλα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι, καὶ σύστασιν εὐπαγῆ τοῖς ἀστάτοις παρασχόντι· ὡς συνοχῇ καὶ φρουρᾷ τῶν παρεννηνεγμένων· ὡς φύσεων διαφόρων δημιουργῷ· ὡς οἰακίζοντι παλάμῃ παναλκεστάτῃ καὶ πανσοφωτάτῃ τὰ σύμπαντα· ὡς εὐταξίας ἁπάσης ῥυθμῷ· ὡς συμφωνίας καὶ εἰρήνης ἀρβαγεῖ συνδέσμῳ. *Ἐν σοὶ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.* Διὰ τοῦτο, *Κύριε ὁ Θεός μου, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου· ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινὴν, ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνδυσάμενος.* Τί γὰρ περιφανέστερον βασιλεῖ περιανθούσης πορφυρίδος καὶ ἐπιλάμποντος διαδήματος; Ἢ τί μεγαλοπρεπέστερον Θεῷ φιλανθρώπῳ φιλανθρώπου ἐνανθρωπήσεως, ταῖς παμφανωτάταις ἐξαυγείαις *τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους καταλαμπούσης;* Καὶ μὴν εἰκότως καὶ προανευφήμησέ σε *τὸν Βασιλέα τῶν αἰώνων* ὁ πρόσκαιρος βασιλεὺς καὶ οἰκέτης, φάσκων· *Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων*, ὁ ἐν ἀνθρώποις Θεὸς καὶ ἄνθρωπος. Περιεζώσω γὰρ διὰ τῆς θείας σου σαρκώσεως δικαιοσύνῃ μὲν τὴν *ὀσφύν· ἐνηλείψω δὲ καὶ ἀληθείᾳ τὰς πλευράς*, αὐτόχρημα δικαιοσύνη καὶ ἀλήθεια ὑπάρχων, καὶ

A natura exstinctum suscitaverat;] ac priusquam templum attigisset, subvectus intelligentiæ oculis, velut jam desideratum haberet, gaudio gestiebat. Sic porro actus, ac per gradus celerrime conscendens, sacrum hactenus penetrale occupat; temploque omisso, ipsius templi præsidi sacras ulnas expandit; ejusmodi quosdam jucundæ celebritati congruos sermones cantico depromens: Te desidero, Domine Deus patrum, et Domine misericordiæ; qui tua ipse sententia et virtute, ut qua provideas omnibus, dignatione illa qua te nobis inclinas, ceu sequestra fœderis conciliatione, cœlestes inter terrigenasque, amicitiam concordem sancire voluisti. Te quæro ipsum auctorem universorum. Tota te cupiditate exspecto, qui sermone continens omnia. Te præstolor, vitæ mortisque dominatorem. Te sustineo datorem legis, ejusdemque successorem. Te esurio, qui vivificas mortuos. Sitio te, defatigatorum refrigerium. Te concupisco, mundi creatorem redemptoremque. Tu Deus noster; teque adoramus. Tu sanctum templum nostrum; votaque in te faciemus. Tu legum lator; tibique obtemperabimus. Tu Deus primus; ante te non est natus Deus alius ex Deo Patre [43]; nec post te futurus est alius Filius Patri consubstantialis, et ejusdem cum ipso gloriæ. Atque *nosse te, solida justitia est: tuamque scire potentiam, radix immortalitatis* [44]. Tu nostræ salutis causa, *lapis ille angularis exquisitus et pretiosus* [45], Sioni antea prædictus. Tibi enim substrata sunt omnia ut causæ et auctori, ut ei qui universa ex nihilo ad esse deduxit, rebusque instabilibus firmam constitutionem tribuit: tanquam rerum in esse deductarum nexui commissuræque, atque præsidio: tanquam naturæ diversorum opifici: velut ei, qui manu prorsus fortissima sapientissimaque moderatur universa: velut compositi cujuscunque ordinis rhythmo et concinnitati: ut concordiæ pacisque indissolubili vinculo. *In te enim vivimus, et movemur, et sumus* [46]. Propterea, *Domine Deus meus, glorificabo te* [47]; *laudabo nomen tuum, quoniam fecisti res admirandas, consilium antiquum verum* [48]; *confessionem et decorem indutus* [49]. Quid enim regi, veste purpurea floridum quid circumnicante, diademateque effulgente, splendidius? Quid vero, clementissimo Deo, clementi hac hominis assumptione, clarissimis suis radiis *illuminante sedentes in tenebris et umbra mortis* [50], magnificentius? Apposite sane *Regem* te *sæculorum* [51], temporaneus ille rex ac famulus tuus, faustis olim congratulationibus ominibusque prosecutus est, dicens: *Speciosus forma præ filiis hominum* [52]; qui in hominibus, Deus ipse sis

[43] *Isa.* XLIII, 10. [44] *Sap.* XV, III. [45] *Psal.* CXVII, 21; *Isa.* XXVIII, 16; I *Petr.* II, 6. [46] *Act.* XVIII, 28. [47] *Exod.* XV, 2. [48] *Isa.* XXV, 1. [49] *Psal* CIII, 1. [50] *Isa.* XLII, 7; *Luc.* I, 79. [51] I *Tim.* I, 17. [52] *Psal.* XLIV, 3.

(56) *Ἔμπροσθέν σου οὐκ ἐγεννήθη.* Alludit ad verba Isai. LXIII, piaque detorsione applicat Filio. Est ibi οὐκ ἐγένετο, *non fuit alius Deus*. Vulg., *non fuit formatus Deus*. Pantinus male τὸ, ἐγεννήθη, quo hic apte multitudo filiorum in Deo excluditur, reddit, *factus*. Negando enim factos a Deo Patre alios filios, videtur hic asseri factus, qui supponitur unicus Filius.

Digitized by Google

et homo. Accinxisti enim, divina tua Incarnatione, *lumbos* quidem, *justitia : inunxisti vero et veritate, latera* [53], qui ipse, ipsa re vera justitia sis et veritas, universorumque exsultatio. Lætetur igitur mecum hodie cœlum, quoniam miseratus est Dominus populum suum. Rorent vero nubes mundo justitiam [54] : sed et fundamenta terræ, positis in inferno, velut clangente tuba, pacem ingerant : adest enim resurrectio dormientium. Terra etiam incolis suis misericordiam producat. *Impletus* enim *sum consolatione; superabundo gaudio* [55] : quod te hominum Salvatorem videam.

A ἀγαλλίαμα τῶν ἀπάντων. Τοιγαροῦν εὐφρανθήτω ὁ οὐρανὸς σήμερον ἅμα ἐμοί· ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. Ῥανάτωσαν δὴ καὶ αἱ νεφέλαι δικαιοσύνην τῷ κόσμῳ· σαλπισάτω καὶ τὰ θεμέλια τῆς γῆς εἰρήνην τοῖς ἐν ᾅδου· πάρεστι γὰρ ἡ ἀνάστασις τῶν κεκοιμημένων. Ἀνατειλάτω καὶ ἡ γῆ ἔλεος τοῖς κατοικοῦσιν αὐτήν. *Πεπλήρωμαι γὰρ τῇ παρακλήσει, καὶ ὑπερπερισσεύομαι τῇ χαρᾷ*· ὅτι εἶδόν σε τὸν Σωτῆρα τῶν ἀνθρώπων.

VII. Sic vero saliente sene, divinoque gaudio impensius exsultante; quod antea per figuram prophetæ Isaiæ fuerat vaticinatus [56], sacra Dei Mater perspicue re ipsa fecit. Accipiens enim, ex puro immaculatoque altari suo, carbonem illum vivificum et ineffabilem, carne indutum, sanctarum suarum manuum complexu, tanquam forcipe, justo illi porrexit : ut mihi quidem videtur, ejusmodi sermonibus affata pariter et hortata : Sume, senex honorate, sacerdotumque optime, sume Dominum; tuaque illa non vidua spe et desolata, fruere. Suscipe thesaurum indefectibilem, divitiasque inauferibiles, vir generosissime. Amplexare potentiam inenarrabilem vimque incomprehensibilem, quæ te fulciat, vir sapientissime. Circumplectere infinitam magnitudinem, fortitudinemque incomparabilem, sacrorum æditue. Circumplicare ipsi per se vitæ, et vive, vir venerabilissime. Arctius incorruptionem constringe, et renovare, vir justissime. Nihil audax facinus; ne defeceris animo, vir sanctissime. Satiare illo quem desideraveras, planeque delectare tibi dato, seu magis, dante se tibi, vir divinissime. Lætius illustrare Sole justitiæ, de mundissimo carnis speculo circumfulgente, vir religiosissime. Ne tibi tranquillum timorem incutiat, neve mansuetudo perterreat, vir beatissime. Ne inhorreas lenitatem, neve clementia terrearis, vir modestissime. Alacris adglutinare, nec moreris obsequi. Non habet audaciam quod dicitur quodve porrigitur : ne ergo relucteris, vir urbanissime. Non comburit ignis gratiæ Domini mei, sed illuminat, vir justissime. Rubus ille [57], mei figuram, ad ignis illius apparentis veritatem repræsentans, doceat te, vir legis peritissime. Caminus ille [58] velut ventus roris susur-

Z'. Χορεύοντος δὲ οὕτω τοῦ πρεσβύτου, καὶ γανυμένου τῇ θείᾳ εὐφρασίᾳ, τὰ κεχρηματισμένα τυπικῶς τῷ προφήτῃ Ἡσαΐᾳ, περιφανῶς ἡ ἱερὰ Θεομήτωρ ἐξετέλει. Καὶ δὴ λαβομένη τὸν ἐκ τοῦ ἀχράντου καὶ B παναμώμου αὐτῆς θυσιαστηρίου σαρκωθέντα, ζωοποιὸν καὶ ἀνέκφραστον ἄνθρακα, ὡς λαβίδι τῇ συζεύξει τῶν ἁγίων αὐτῆς χειρῶν, τῷ δικαίῳ προέτεινε, τοιαῦτα, ἐμοὶ δοκεῖ, λέγουσά τε ἅμα καὶ παρακελεύουσα· Ἀπόλαβε, πρεσβύτα τίμιε, καὶ ἱερέων ἄριστε, ἀπόλαβε τὸν Κύριον, καὶ ἀπόλαυε τῆς οὐ χηρευσάσης σου ἐλπίδος. Ὑπόδεξαι θησαυρὸν ἀνέκλειπτον, καὶ πλοῦτον ἀναφαίρετον, μεγαλοφυέστατε. Ἐναγκάλισαι κράτος ἀνεκδιήγητον, καὶ δύναμιν ἀνεξερεύνητον ἐρείδουσάν σε, σοφώτατε. Περίλαβε μέγεθος ἀπεριόριστον, καὶ ἰσχὺν ἀνείκαστον, ἱεροκόρε (57). Περιπλάκηθι τῇ αὐτῇ αὐτοζωῇ, καὶ ζῆθι, αἰδεσιμώτατε. Περίπτυξαι τὴν ἀφθαρσίαν, καὶ ἀνακαινοποιήθητι, δικαιότατε. Οὐ τολμηρὸν τὸ ἐγχείρημα· μὴ ὀκλάζε, ὁσιώτατε. Ἐμφορήθητι τοῦ ποθουμένου, καὶ κατα- C τρύφησον τοῦ ἐπιδιδομένου, μᾶλλον δὲ ἑαυτὸν ἐπιδιδόντος, ἱεροπρεπέστατε. Ἐναγλαΐσθητι τῷ διὰ τοῦ ἀκηλιδώτου ἐσόπτρου τῆς σαρκὸς περιστίλβοντι Ἡλίῳ τῆς δικαιοσύνης, εὐλαβέστατε. Μὴ δειλίᾳ τὴν γαληνότητα, μηδὲ καταπλαγῇς τὴν ἡμερότητα, μακαριώτατε. Μὴ πτήξῃς τὸ εὐμενὲς, μηδὲ πτοηθῇς τὸ προσηνὲς, ἐπιεικέστατε. Εὐθύμως προσκολλήθητι, καὶ μὴ ἀναβάλλου πρὸς τὸ εὐήκοον. Οὐ θρασύτητος τὸ λαλούμενον, οὐδὲ τὸ προτεινόμενον· μὴ ἀφηνίαζε, ἀστικώτατε. Οὐ καταφλέγει τὸ πῦρ τῆς τοῦ Κυρίου μου χάριτος, ἀλλὰ φωτίζει, δικαιότατε. Βάτος σε πεισάτω, ἡ τὸν τύπον μου περιστησαμένη πρὸς ὑπόστασιν τοῦ ἀνυποστάτου πυρὸς (58), νομομαθέστατε. Δροσοσυρίζουσα κάμινος πειθέτω σε, παιδοτρίβα, τοῦ μυστηρίου τὴν οἰκονομίαν. Πρὸς ἐπὶ τούτοις ἡ ἐμὴ

[53] *Isa.* XI, 5. [54] *Isa.* XLV, 8. [55] II *Cor.* VII, 4. [56] *Isa.* VI, 6. [57] *Exod.* III, 2. [58] *Dan.* III, 21.

(57) *Ἱεροκόρε.* Sequimur Pantini conjecturam, ut legendum sit ἱεροκόμε, quadrat enim materiæ; ut ceu templi præpositum inducat, ad infinitam magnitudinem illam suscepti Jesu, templi angustiis includendam. Quid si retineatur ἱεροκόρε, velut significet futurum juvenem puerumque, Christi pueri amplexu, sanctum senem, eoque nomine hortetur S. Maria, ut suscipiat totus spiritu innovatus? Sic Augustinus serm. 13 *de temp.*, c. 3 : *Agnovit infantem senex, factus est in puero puer. Innovatus in ætate, qui plenus erat pietate.* Fuerit certe et illud non ita inconsonum.

(58) *Πρὸς ὑπόστασιν τοῦ ἀνυποστάτου πυρός.* Illius nimirum qui in rubo ardens ἔμφασιν habebat, D non ὑπόστασιν, *apparentiam, non ignis veritatem.* Sic enim sæpe Deus, nullo mendacio, apparentia aliqua sensibus ingerit, ad fidem astruendam veris. Videtur ergo auctor ludere in paronomia illius vocis; velut dicat, ad substantiam ignis illius non subsistentis; ac velut objecto illo igne, qui vere rubum flamma illustraret et adlamberet, et tamen apparens esset. Offendebat τὸ, ἀνυποστάτου, velut referendum esset ad figuratum et divinum ignem, ἐνυπόστατον illum et αὐτοῦπόστατον, nusquam ἀνυπόστατον· re tamen melius perspecta solidum visum est, et referendum ad ipsummet ignem typicum, cujus modum divinus ille ignis servaverit in Maria, idem ipse in Simeone servaturus.

Digitized by Google

γαστήρ σε διδαξάτω, ἐν ᾗ ἐχωρήθη ὁ ἀχώρητος, ἐξ ἧς καὶ ἐσαρκώθη ὁ ἄσαρκος Λόγος. Οὐ πάλιν σάλπιγγες ἐκδειματοῦσι τοὺς προσιόντας, οὐδ' αὖ ὄρος καπνιζόμενον δέος ἐμποιεῖ τοῖς προσπελάζουσιν, οὔτε μὴν νόμος κολάζει ἀφειδῶς τὸν θίγοντα τολμηρῶς. Φιλανθρωπίας γὰρ τὰ παρόντα, συγκαταβάσεως τὰ φαινόμενα. Εὐχαρίστως ἀπόλαβε τὸν πρὸς σὲ ἐλθόντα Θεόν· αὐτὸς γὰρ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαρεῖ. Ἐν σοὶ προτυπωθήτω ἡ τοῦ κόσμου κάθαρσις. Ἐν σοὶ καὶ διὰ σοῦ προμηνυθήτω τοῖς ἔθνεσιν ἡ κατὰ χάριν δικαίωσις. Σὺ ἄξιος τῆς ζωοποιοῦ ἀπαρχῆς. Ἀπήλαυσας νόμου; ἀπόλαυσαι καὶ τῆς χάριτος. Κέκμηκας τῷ γράμματι; ἀνακαινίσθητι ἐν τῷ πνεύματι. Ἀπέκδυσαι τὴν παλαιότητα καὶ ἔνδυσαι τὴν καινότητα. Ταῦτα γάρ σε ἠγνοηκέναι οὐ δοκῶ.

A rans, œconomiæ tibi sacramentum persuadeat, magister optime. Meus denique uterus tibi documento sit, in quo fuit contentus, qui nusquam alioqui potest contineri : ex quo etiam Sermo ille carnis expers, assumpsit carnem. Non jam tubæ territant accedentes [59] : non iterum mons fumigans appropinquantibus injicit metum : ac neque lex, audacius contingentem severius punit [60]. Præsentia enim propensioris sunt in homines studii; sunt quæ geruntur, divinæ ad nos inclinationis; bonitatis, quæ apparent. Excipe gratanti animo ad te venientem Deum : ipse enim auferet iniquitates tuas, et expiabit peccata tua. In te primum informetur mundi universi lustratio. In te et per te, gentibus prænuntiata innotescat, quæ secundum gratiam est, justificatio. Dignus es vivificis primitiis. Usus es lege? utere et gratia. Fatigatus es littera? renovare spiritu. Exue vetustatem; et novitatem induere. Non enim puto te hæc nescire.

Η'. Ἐπὶ τούτοις πᾶσι παῤῥησιασάμενος ὁ δίκαιος, καὶ τῇ προτροπῇ εἴξας τῆς διακονησαμένης Θεῷ πρὸς ἀνθρώπους Θεομήτορος, ὑπεδέξατο μὲν ταῖς γηραλέαις ἀγκάλαις τὸν ἐν νηπιότητι παλαιὸν τῶν ἡμερῶν, εὐλόγησε δὲ τὸν Θεὸν καὶ εἶπε· *Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.* Ἀπέλαβον τὴν παρὰ σοῦ ἄλυπον χαράν· ἀπόλαβέ με χαιρόμενον (59), καὶ ἀνευφημοῦντα τὰ ἐλέη σου, Κύριε. Ἀπέδωκάς μοι τὴν εὐθυμίαν· ἀποδίδωμί σοι εὐθύμως τὰ εὐχαριστήρια. Ἔγνων ἀγάπης Θεοῦ δύναμιν. Δι' ἐμὲ γὰρ (60) ὁ ἐκ σοῦ Θεὸς, ἀνερμηνεύτως καὶ ἀῤῥεύστως γεννηθείς, ἄνθρωπος γέγονεν. Ἔγνων τῆς σῆς περὶ ἡμᾶς κηδεμονίας τὸ ἀνέκφραστον μέγεθος, ὅτι τὰ σὰ σπλάγχνα ἐξαπέστειλας εἰς βοήθειαν ἡμῶν. Ἔγνων δ ἐδιδάχθην ὑπὸ Σολομῶντος, *Κραταιὰ*, λέγοντος, *ὡς θάνατος ἡ ἀγάπη*. Διὰ ταύτης γὰρ συντριβήσεται τοῦ θανάτου τὸ κέντρον· διὰ ταύτης νεκροὶ ζωὴν ὄψονται· διὰ ταύτης θάνατος μαθήσεται θάνατον, παυσάμενος τῆς καθ' ἡμῶν ἐπικρατείας· διὰ ταύτης καὶ ὁ ἀρχέκακος ὄφις αἰχμάλωτος γενήσεται καὶ ὑποβρύχιος. *Ἐγνώρισας ἡμῖν, Κύριε, τὸ σωτήριόν σου, ἀναστήσας ἡμῖν φυτὸν εἰρήνης*· καὶ οὐκέτι ἐσόμεθα πλανώμενοι. Ἐγνώρισας ἡμῖν, Κύριε, ὅτι οὐκ εἰς τέλος ὑπερεῖδες τοὺς δούλους σου, ἀγαθὲ, οὐδὲ ἐπελάθου ἔργα χειρῶν σου. Κατοικτειρήσας γὰρ ἡμῶν τὴν ἐλεεινότητα, δαψιλῶς ἐξέχεας ἐφ' ἡμᾶς τὴν ἔμφυτον καὶ ἀνεξάντλητόν σου ἀγαθότητα, διὰ τοῦ Μονογενοῦς καὶ ἀπαραλλάκτου (61) καὶ ὁμοουσίου Παιδός σου τὴν λύτρωσιν ἡμῶν ποιησάμενος, ἀνάξιον κρίνας

VIII. Ab his omnibus, sumpta justus fiducia, Deiparæque Deo ancillantis in iis quæ spectant ad homines, exhortationi ac monitis cedens, *Antiquum* illum *dierum* [61] infantem, senilibus ulnis suscepit, Deumque dilaudans ait : *Nunc dimittis servum tuum, Domine, secundum verbum tuum in pace. Quia viderunt oculi mei Salutare tuum : quod parasti ante faciem omnium populorum; lumen ad revelationem gentium, et gloriam plebis tuæ Israel* [62]. Accepi absque inoffensam et vacuam doloris lætitiam : tu me, Domine, lætantem, tuasque deprædicantem misericordias accipe. Tu gaudium hoc animo indidisti : gaudens ego animo gratiarum tibi munus rependo. Cognovi vim divinæ dilectionis. Propter me enim Deus ille, ineffabili ratione ac sine corruptione ex te genitus, factus est homo. Cognovi tuam illam inexplicabilem nostri curam studiumque, qui tua ipse viscera emiseris in nostrum auxilium. Nunc demum intelligo quod a Salomone didiceram : *Fortis ut mors dilectio* [63]. Per eam enim conteretur mortis stimulus, per eam mortui videbunt vitam, per eam mors mortem experietur, imperio quod in nos exercebat abolito; per eam et serpens malorum auctor capietur et submergetur. *Notum nobis, Domine, fecisti Salutare tuum* [64], nobis exsuscitans pacis propaginem, nec amplius erraverimus. Palam, Domine, fecisti, ut non in finem despexeris servos tuos; neque opera manuum tuarum, o bone, oblitus sis. Miseratus enim miserabilem sortem nostram, cognatam tibi inexhaustamque illam bonitatem in nos effudisti; redemptis nobis per Unigenitum, incommutabiliter similem et ejusdem tecum substantiæ, Filium : tua ipsius majestate et bonitate indi-

[59] *Exod.* XIX, 16. [60] II *Reg.* VI, 6. [61] *Dan.* III, 13. [62] *Luc.* II, 29-32. [63] *Cant.* VIII, 6. [64] *Psal.* XCVII, 2.

(59) *Χαιρόμενον*. Forte, χαίροντα.

(60) *Δι' ἐμὲ γάρ*. Habet, sic proprius factus Jesus, aliquid sanctis suavius. Sic passim David, Paulus, etc. Deum velut sibi rapiunt. Theologus etiam orat. *in sancta Lumina*, πάλιν ὁ ἐμὸς Ἰησοῦς, qua de re luculenter Chrysostomus *in cap.* II *ad Gal.* Non itaque facile fuerit in ejusmodi, mutandum singulare in plurale. Pantinus hic, *nostra enim causa*.

(61) *Ἀπαραλλάκτου*. Velut per omnia similem, et qualem sequens illud, ὁμοουσίου, explicat. Vox theologica Gregorio, Damasceno, etc., perquam familiaris. Pantinus, male, *immobilem*, nisi erravi prelum, et notare voluit *incommutabilem*.

Digitized by Google

gnum ratus, ut illam servorum tuorum salutem beneficiumque, eadem conditione servo concederes; utve eos qui offendissent, ministro reconciliandos committeres. Enimvero, per Lumen illud ejusdem tecum substantiæ, lumen donasti *iis qui in tenebris et in umbra mortis sedebant* [65]; *ut in lumine tuo, scientiæ lumen videant* [66]: placuitque, ut per Dominum et creatorem reformares nos in immortalitatem; nobisque per ipsum qui paradiso deliciarum exterminaverat, reditum elargireris in paradisum. Ad hæc, per eum *qui habet potestatem dimittendi peccata* [67] *quod erat adversus nos delesti chirographum* [68]. Denique per eum qui eodem tecum throno sublimis sedet, quique a divina tua natura haudquaquam excedere potest, firmam nobis reconciliationis accessusque donasti fiduciam; ut per Dominum, nullius agnoscentem imperium, Deumque verum ac potentem; tot tantorumque bonorum velut subscripta sanctio, certa et indubitata jura, misericordiam consecutis constituat. Quod et ipsum olim prænuntiaverat propheta dicens: *Non legatus, non angelus; sed ipse Dominus salvavit eos: propterea quod amaret eos, et parceret ipsis: et suscepit et exaltavit eos* [69]. Atque hæc omnia, *non ex operibus quæ fecerimus ipsi in justitia;* aut quia te dilexerimus [70] (primus enim ille parens noster terrigena, cum paradisi delicias domiciliumque, bonoris prærogativa consecutus, tuum illud divinum sprevisset ac salutare præceptum, indignus vitali illo loco judicatus est; suumque omne semen spuriis peccati stolonibus commiscens, in summam debilitatem adegit), sed ipse propter temetipsum, inenarrabilique illa tua erga figmentum dilectione, misericordiam in nos tuam, Domine, corroborasti; nostramque abs te separationem dolens, etiam ipse te, super nostra corruptione, ut *dares in misericordias* [71], placasti et inflexisti. Hinc nos deinceps Adæ soboles festa plausu agimus, quod primus ille Adæ fictor, sua ipse sponte, novus Adam effectus sit: splendorque Domini Dei nostri nobiscum versatus est [71a]; ut Deum facie ad faciem viderimus, et salvi facti simus. Quamobrem, Domine, a te dimitti quæro. Vidi Salutare tuum: absolvar ergo curvo litteræ jugo. Vidi Regem sempiternum, et cui alius non succedat: absolvar servili collari hoc et ponderoso. Vidi natura Dominum et liberatorem; consequar ergo liberationis meæ ab ipso decretum. Solve me, Domine, jugo condemnationis; et me subde jugo justificationis. Solve me jugo maledictionis ac occidentis litteræ [72]; eorumque benedictioni insere accenseque, qui tui hujus veri ejusdemque tecum gloriæ et potentiæ Filii gratia, in jus filiorum sunt ascripti.

IX. Sint porro hæc, inquit, celebrandis divinis muneribus, brevissime hactenus commemorata. Ad

A τῆς σῆς μεγαλοσύνης καὶ χρηστότητος, οἰκέτῃ τὴν τῶν σῶν οἰκετῶν καταπιστεῦσαι σωτηρίαν καὶ εὐεργεσίαν, ἢ λειτουργῷ ἐγχειρῆσαι τὴν τῶν προσκεκρουκότων καταλλαγήν. Ἀλλὰ διὰ τοῦ ὁμοουσίου Φωτὸς φῶς *τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις* ἐδωρήσω, *ἵνα ἐν τῷ σῷ φωτὶ ἴδωσι φῶς γνώσεως*· καὶ διὰ τοῦ δεσπότου καὶ δημιουργοῦ εὐδόκησας ἀναπλάσαι ἡμᾶς εἰς ἀφθαρσίαν, καὶ διὰ τοῦ ἀφορίσαντος ἐκ παραδείσου τρυφῆς τὴν εἰς παράδεισον αὖθις ἐπανάζευξιν ἐχαρίσω· καὶ διὰ *τοῦ ἔχοντος ἐξουσίαν ἀφιέναι ἁμαρτίας τὸ καθ' ἡμῶν χειρόγραφον ἐξήλειψας*· καὶ διὰ τοῦ συνθρόνου καὶ ἀνεκφοιτήτου τῆς θείας σου φύσεως τὴν πρὸς σὲ καταλλαγὴν καὶ προσαγωγὴν ἐν πεποιθήσει ἐφιλοτιμήσω· ὅπως διὰ δεσπότου ἀβασιλεύτου, καὶ Θεοῦ

B ἀληθινοῦ καὶ ἐξουσιαστοῦ, ὁ τῶν τοσούτων καὶ τηλικούτων ἀγαθῶν δεσμὸς ὑπογραφόμενος ἀναμφίβολα τοῖς ἐλεουμένοις καταστήσῃ τῆς χάριτος τὰ δίκαια. Περὶ ὅτου καὶ ὁ προφήτης προεμήνυσε λέγων· *Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς, παρὰ τὸ ἀγαπᾶν αὐτούς, καὶ φείδεσθαι αὐτῶν, καὶ ἀνέλαβε, καὶ ὕψωσεν αὐτούς.* Καὶ ταῦτα πάντα *οὐκ ἐξ ἔργων ἡμῶν τῶν ἐν δικαιοσύνῃ*, οὐδ' ὅτι ἡμεῖς σε ἠγαπήσαμεν (ὁ γὰρ γηγενὴς ἡμῶν προπάτωρ καὶ τὴν ἐν παραδείσῳ τρυφὴν καὶ διαγωγὴν τιμηθείς, τὴν θείαν καὶ σωτήριόν σου ἐκφαυλίσας ἐντολήν, ἀποδόκιμος ζωηροῦ χώρου ἐκρίθη, καὶ τὸ πᾶν αὐτοῦ σπέρμα ἀκιδνότατον κατέστησε, τοῖς νόθοις μοσχεύμασι τῆς ἁμαρτίας συμφυράσας), ἀλλὰ δι' ἑαυτὸν καὶ τὴν περὶ τὸ πλάσμα

C σου ἄφατον ἀγάπην, ἐκραταίωσας ἐφ' ἡμᾶς τὸ ἔλεός σου, Κύριε, κατῳκτείρησάς τε τὴν ἀπαγωγὴν ἡμῶν, καὶ ἑαυτὸν ἐδυσώπησας ἐπὶ τῇ καταφθορᾷ ἡμῶν (62), *τοῦ δοῦναι ἡμᾶς εἰς οἰκτειρμούς.* Ὅθεν ἑορταὶ ἡμῖν λοιπὸν συγκεκρότηνται τοῖς Ἀδαμιαίοις, ὅτι ὁ πλαστουργὸς τοῦ Ἀδὰμ ἑκοντὶ νέος Ἀδὰμ γέγονε· καὶ ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν μεθ' ἡμῶν κατεγένετο, ὥστε ἰδεῖν θεὸν πρόσωπον πρὸς πρόσωπον (63), καὶ σωθῆναι. Τοὔνεκα, ὦ Δέσποτα, τὴν παρὰ σοῦ ἀπόλυσιν ἐπιζητῶ. Εἶδον τὸ σωτήριόν σου· ἀπολυθῶ τοῦ γραμματοκύφου ζυγοῦ. Εἶδον βασιλέα ἀΐδιον καὶ ἀδιάδοχον· ἀπολυθῶ τοῦ δουλικοῦ καὶ ἀχθοφόρου κλοιοῦ. Εἶδον φύσει Δεσπότην καὶ ἐλευθερωτήν· τύχοιμι τοῦ ἐλευθερικοῦ αὐτοῦ δεσμοῦ. Λῦσόν με τοῦ ζυγοῦ τῆς κατακρίσεως, καὶ ὑπόζευξον τῷ ζυγῷ τῆς

D δικαιώσεως. Λῦσόν με τοῦ ζυγοῦ τῆς ἀρᾶς καὶ τοῦ ἀποκτείνοντος γράμματος· καὶ ἔνειρον τῷ ἀριθμῷ τῆς εὐλογίας τῶν εἰς υἱοθεσίαν εἰσφερουμένων τῇ χάριτι τοῦ ἀληθινοῦ καὶ ὁμοδόξου καὶ ὁμοδυνάμου τούτου Υἱοῦ σου.

Θ'. Ἔστωσαν δέ μοι, φησὶ, τὰ θεῖα εὐχαριστήρια πρὸς τὸ παρὸν ἄχρι τῶν βραχυτάτων τούτων. Τί δὲ

[65] *Isa.* IX, 2; XLII, 7; *Luc.* I, 79. [66] *Psal.* XXXV, 10. [67] *Marc.* II, 10. [68] *Coloss.* II, 4. [69] *Isa.* LXIII, 9. [70] *Tit.* III, 5. [71] I *Joan.* IV, 19. [71a] *Psal.* CV, 46 [72] II *Cor.* III, 6.

(62) *Ἐπὶ τῇ καταφθορᾷ ἡμῶν.* Significat Deum a se motum, sola ex nobis objecta miseria, ut nos *daret in misericordias*, reconciliatos in suo Filio; quod incarnationis motivum theologi multis expendunt.

(63) *Πρόσωπον πρὸς πρόσωπον.* Nempe in carne, καὶ σωθῆναι, *et salvi facti simus*, apparitione illa et effulgentia splenderis divini in nube humanitatis.

Digitized by Google

πρὸς σὲ φθέγξομαι, ὦ Μῆτερ Παρθένε, καὶ Παρθένε Μῆτερ; ἧς γὰρ τὸ ἔργον οὐκ ἀνθρώπινον, ταύτης καὶ ὁ ἔπαινος ὑπὲρ ἄνθρωπον. Διὸ τῆς ἀπορίας τὸ σκυθρωπὸν ἐκ τῶν τοῦ Πνεύματος περὶ σὲ καταλαμπρυνῶ γερῶν, καὶ τὰ σά σοι προσκομίζων, ἐκ λειμώνων ἀθανάτων τὴν ἱεράν σου καὶ θεοστεφῆ ἀνυμνήσω κάραν. Πατρικοῖς σε ὕμνοις προσφθέγξομαι, θύγατερ Δαβίδ, καὶ μῆτερ τοῦ Κυρίου καὶ Θεοῦ Δαβίδ. Αἰσχρὸν γὰρ ἅμα καὶ ἀνεύφημον ἀλλοτρίοις κόσμοις κοσμῆσαι τὴν τῇ οἰκείᾳ δόξῃ διαφέρουσαν. Δέχου τοίνυν, εὐμενεστάτη, δῶρα τίμια, καὶ σοὶ μόνῃ ἁρμόδια, ὦ πασῶν γενεῶν ὑψηλοτέρα, καὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργημάτων τιμιωτέρα φανεῖσα. Μακαρία ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ τρισμακάριστος ὁ οἶκος Δαβὶδ, ἐν ᾧ ἐβλάστησας (64). *Ὁ Θεὸς ἐν μέσῳ σου, καὶ οὐ σαλευθήσῃ· ἡγίασε γὰρ τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.* Ἐν σοὶ γὰρ διαθῆκαι (65) καὶ ὁρκωμοσίαι Θεοῦ πρὸς τοὺς πατέρας ἡμῶν, τέλος εὐκλεέστατον ἐδέξαντο· ὅτι διὰ σοῦ γέγονε Κύριος, ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν. Τὸν σὸν προδιαγράφουσα θεοπρεπῆ χαρακτῆρα, Θεὸν ἔφερεν ἀφλέκτως ἡ ἄψαυστος βάτος, ἐμφανιζόμενον τῷ προφήτῃ ὡς ὁραθῆναι ηὐδόκησε. Στερέμνιος δ' αὖ καὶ πέτρα ἀκρότομος τὴν παγκόσμιον ἐκ σοῦ πηγάσασαν χάριν καὶ ἀνάψυξιν προεξεικονίζουσα, παραμύθιον ἅμα ἐκλείποντι λαῷ ἐκ λαγόνων ξηρῶν ἐν ἐρήμῳ δαψιλῶς προήγαγεν. Οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦ ἱερέως ἡ ῥάβδος, οὐκ ἀδόκιμον σύσσημον (66) παρέσχετο τῆς ὑπερφυοῦς σου λοχείας, ἀγεώργητον καρπὸν ἐξανθήσασα, ἱερατείας ἐνδελεχοῦς ἀῤῥαβῶνα. Τί δέ; καὶ ὁ μέγας Μωϋσῆς οὐ κομιδῇ παρέστησε, διὰ τοὺς περὶ σὲ δυσκαταλήπτους τύπους ἐγχρονίσαι (67) τῷ ὄρει ἔγνω τὰ περὶ τῆς ἀγνῆς ἐκδιδάσκεσθαι μυστήρια; Πῆξαι γὰρ κατὰ σύμβολον καὶ πρὸς ἀφομοίωσιν κιβωτὸν καὶ ταύτην προσταχθεὶς, οὐ παρέργως ἐχρήσατο τοῖς προστεταγμένοις, εἰ καὶ τραγῳδούμενα συμβέβηκεν ἐπὶ τῇ καταβάσει, ἀλλ' εἰς πέντε ἡμίση πήχεις ταύτην συντελέσας, νομοδόχον ἀνέδειξε, τοῖς χερουβὶμ συγκαλυπτομένην· ἐκφαντικώτατά σε τὴν Θεοτόκον προσημαίνουσαν, τὴν ἀφθόρως ἐγκυμονήσασαν, καὶ ἀφράστως ἀποκυήσασαν τὴν τῆς ἀφθαρσίας σύστασιν ἐπὶ τέλει τῶν πέντε ἡμίσεως τοῦ κόσμου κύκλων. Διὰ σὲ, καὶ τὴν ἐκ σοῦ ἄχραντον τοῦ Θεοῦ Λόγου σάρκωσιν, τὴν εἰς ἀεὶ ἀτρέπτως τε καὶ ἀμερίστως ἐν αὐτῷ διαμένουσαν, καὶ ἡ χρυσῆ στάμ-

A te vero quid dicam, o Mater Virgo, et Virgo Mater? cujus enim opus non humanum est, ejus et laudatio excedit hominem. Quamobrem paupertatis hic meæ obscuritatem, tuis a Spiritu honoribus donisque illustrabo : tuaque tibi offerens e pratis immortalibus, tuum sacrum et a Deo coronatum caput dilaudabo. Patriis te canticis, Filia David, Materque Domini et Dei David, salutabo. Turpe enim fuerit, adeoque inauspicatum, ut alienis orneris, quæ propria gloria præcellas. Accipe igitur, benignissima, dona pretiosa, tibique uni convenientia, o cunctis celsior generationibus, quæque inter creata omnia, tum visibilia, tum invisibilia, multis numeris honorabilior enituisti. Felix radix Jesse, et ter beata domus David in qua germinasti. *Deus in medio tui,* B *et non commoveberis : sanctificavit enim te, tabernaculum suum, Altissimus* [73] : in te enim Dei ad patres testamenta juramentaque finem gloriosissimum acceperunt; quia per te Dominus factus est, Deus virtutum nobiscum. Rubus ille intactus [74], divina quadam majestate plenam jam tum informans tuam figuram, Deum prophetæ apparentem, juxta quod ei conspicuus fieri voluit, incombustus ferebat. Dura autem rursus ac prærupta petra, quod ex te in universum orbem gratiæ munus refrigerationque promanavit, et ipsa quondam exprimens præfiguransque, deficienti in deserto, populo copiosum auxilium ex hiatibus siccis produxit [75]. Sed et sacerdotis virgæ [76], in fructum sine cultura, spontaneumque sacerdotii perennis arrhabonem, efflo- C rens [77], nihil reprobum eximii tui partus symbolum præbuit. Quid vero? Nonne magnus ille Moyses idem luculenter declaravit, propter tui difficiles intellectu figuras, diutius in montem commoratus [78], ut ignota tua sacramenta, o casta, edisceret? In rei enim hujus signum, et ad exprimendam similitudinem, jussus fabricare arcam, non obiter neglectiusque mandatis obtemperavit : quanquam acciderunt tragica quædam in descensu a monte [79] : sed quinque cubitorum et dimidii confectam, illam, legis susceptricem, cherubicis alis cooperuit : te Deiparam apertissime præsignantem, quæ sine corruptione eum concepisti, inenarrabilique ratione D peperisti, qui ipse incorruptionis velut concretio est et consistentia; idque in fine quinque et dimidii

[73] *Psal.* XLV, 6, 5. [74] *Exod.* III, 2. [75] *Exod.* XVII, 6. [76] *Num.* XVII, 8. [77] *Hebr.* IX, 4. [78] *Exod.* XXV, 8. [79] *Exod.* XXXII, 1.

(64) *Ἐν ᾧ ἐβλάστησας. In qua*, quod spectat ad lineam sacerdotalem, in Nathan qui fuit Uriæ sacerdotis filius, domui et familiæ David adoptione insertam; ex quo Dominus Jesus, atque adeo Maria, legaliter, juxta contextam a Luca ipsius genealogiam. Quod autem ad regiam per Salomonem, potius, *ex qua;* carnaliter propagata ejus carne ex David, juxta Matthæi historiam : quem modum concordiæ, Hieronymus, Augustinus, etc., acceperunt ab Africano : qua de re Baronius, Torniellus, etc. Quam Nicephorus ex Hippolyto martyre affert Annæ genealogiam ex patre sacerdote, et passim verior habetur, habet etiam pervetustus regius codex, plurimis diversis tractatibus seu etiam excerptis insercitus, ignoto collectore; antiquior forte ipso Nicephoro.

(65) *Διαθῆκαι.* Sic passim interpretes sacræ Scripturæ, ipseque Paulus ad Hebr., non συνθῆκαι, *pacta; fœdera*, quod teste Hieronymo vox Hebræa videtur magis habere : cujus rei mysterium prosequuntur ejusdem Pauli expositores.

(66) *Οὐκ ἀδόκιμον σύσσημον.* Commune signum, quod præcipue a militibus statuitur, cui optime adjectum quadrat. Pantinus, *non obscuram significationem*, quod certe sensum altum auctoris obscurat.

(67) *Ἐγχρονίσαι.* Forte ἐγχρονίσας. Et mox ἄγνωστα pro ἔγνω.

Digitized by Google

circulorum mundi. Propter te, ac intemeratam Dei Verbi ex te assumptam carnem, immutabiliter indiviseque in ipso in perpetuum permanentem; urna illa aurea [80], tanquam certissimus typus, manna, quod alioqui per diem invertebatur, in se ipsa, minime mutatum, sed totis sæculis permanens, conservabat. Tuæ etiam castitatis præscius atque imitator in spiritu Elias propheta [81], vitæ illius igniferæ sibi redimivit coronam [82], hactenus divino suffragio declaratus morte superior. Te nihilominus ejus successor Elisæus [83], initiante docenteque sapiente magistro, ceu præsens adesses, quæ necdum eras, præfigurans; certis rerum quæ vere essent futuræ indicibus signis, auxilium medicinamque indigentibus, majori supra naturam virtute, adhibebat: nunc quidem per novam hydriam [84], salque salutare in se continentem, aquas exitiales sanans: ad ostendendum, esse recreandum mundum, per sacramentum in te exhibitum: modo autem, farina azyma [85], partus tui satu immunis typo respondente, mortis acerbitatem a cibis profligans: nonnunquam denique rebus supra naturam, quæ naturæ consentanea essent in Jordane eximie superans [86]; eoque Domini in infernum descensum, mirabilemque et inopinatam eorum qui in corruptione detinerentur liberationem præsignans. Nam cesserunt omnia, tuæque illi divinæ imagini exprimendæ imparia succubuerunt.

A νος, ὡς τύπος ἀψευδέστατος, τὸ πρὸς ἡμέραν τρεπόμενον καὶ ἀλλοιούμενον μάννα, ἄτρεπτον καὶ διαιωνίζον ἔνδον αὐτῆς διεφύλαττε. Τῆς σῆς ἁγνείας καὶ ὁ προφήτης Ἠλίας προθεωρὸς καὶ ζηλωτὴς ὑπάρχων διὰ τοῦ Πνεύματος, πυρφόρου πολιτείας ἀνεδήσατο στέφανον, κρείττων θανάτου ἀναδειχθεὶς θείᾳ ψήφῳ ἄχρι τῆς δεῦρο. Σὲ καὶ ὁ τούτου διάδοχος Ἐλισσαῖος παρὰ σοφοῦ διδασκάλου μυηθεὶς, καὶ ὡς παροῦσαν τὴν μήπω οὖσαν προδιατυπῶν, ὑπερφυῶς τοῖς τεκμηρίοις τῶν ἀληθινῶν τὰς ἐπικουρίας ἐποιεῖτο τῶν δεομένων· πῇ μὲν δι' ὑδρίας καινῆς, καὶ τοὺς νοστίμους ἐχούσης ἅλας, τὰ φθοροποιὰ ὕδατα ἰώμενος, εἰς ἔνδειξιν τοῦ ἀνασφήλοντος (68) κόσμου διὰ τοῦ ἐπὶ σοὶ μυστηρίου· πῇ δὲ ἀλεύρῳ ἀζύμῳ, λοχείας ἀσπόρου ἀντιτύπῳ, θανάτου πικρίαν ἀναστέλλων ἀπὸ τῶν B ἐδωδίμων· ἄλλοτε δὲ τοῖς ὑπερφυέσι τὰ κατὰ φύσιν ὑπερνικῶν ἐν τῷ Ἰορδάνῃ, καὶ διὰ τούτων τὴν κατάδυσιν τοῦ Κυρίου ἡμῶν εἰς ᾅδην, καὶ παράδοξον ἀνάῤῥυσιν τῶν ἐν φθορᾷ κατεχομένων προϊστορῶν. Πάντα γὰρ εἰκόν τε καὶ ὑπέκυπτον τῇ σῇ θείᾳ εἰκόνι ἐκνικώμενα.

X. Quid vero adhuc sermonis habenas variis illis informationibus laxans involvensque et implicans, orationem in longum protraho; ac vel maxime, cum instar columnæ palam oculis objecta, in te veritas pateat, in qua velut eluxuriari delectarique C præstiterit ac commodius fuerit? Quare sanctorum omnium per omnes generationes, spiritalibus narrationibus factisque prodigiosis valere jussis, ad te festi hujus convivii velut clavum, o florenti semper habenda memoria, dirigo. Benedicta tu, prorsus benedicta omnibusque desiderabilis. In benedictionibus Domini nomen tuum, divina gratia plenissimum ac summe Deo gratiosum, Dei Mater, quæque tuo ipsa splendore fidelibus lumen præferas. Tu circumscriptio, ut ita dicam, ejus qui est incircumscriptibilis: radix floris speciosissimi [87]: Mater plasmatoris: altoris nutrix: ejus complexio, qui omnia complecti habet: portans cum, *qui* verbo *portat omnia* [88]: porta, per quam Deus in carne oritur [89], forceps carbonis illius purgarii [90], D sinus exiguus immensi omnium sinus, vellus roris illius incomprehensibilis [91], lacus ille Bethlehem

Ι'. Καὶ τί ἔτι περιπλέκων μηκύνω τὸν λόγον, τῶς ποικίλοις προγράμμοις ἐπαφήσας τοῦ λόγου τὰς ἡνίας, καὶ μάλιστα πρὸ ὀφθαλμῶν ἑστηλωμένης (69) τῆς ἐπὶ σοὶ ἀτρεκείας, ᾗ καὶ κατατρυφῆσαι ἄμεινον καὶ ἐπικερδέστερον; Τοιγαροῦν, χαίρειν φράσας τοῖς τῶν ἁγίων κατὰ πᾶσαν γενεὰν πνευματικοῖς διηγήμασι καὶ τερατουργήμασιν, ἐπὶ σὲ μετάγω τοὺς τῆς εὐωχίας οἴακας, παντομνημόνευτε. Εὐλογημένη σὺ, παντευλόγητε καὶ πᾶσι ποθητέ. Ἐπ' εὐλογίαις Κυρίου τὸ θεοχαριτώτατόν σου ὄνομα, Θεογεννήτωρ καὶ δᾳδοῦχε τῶν πιστῶν. Ἡ περιγραφὴ, ἵν' οὕτως εἴπω, τοῦ ἀπεριγράπτου· ἡ ῥίζα τοῦ ὡραιοτάτου ἄνθους· ἡ Μήτηρ τοῦ πλάσαντος· ἡ τιτθὴ τοῦ τρέφοντος· ἡ περιοχὴ τοῦ περιέχοντος· ἡ φέρουσα τὸν *φέροντα ῥήματι τὰ πάντα*· ἡ πύλη τῆς ἐν σαρκὶ ἀνατολῆς τοῦ Θεοῦ· ἡ λαβὶς τοῦ καθαρτικοῦ ἄνθρακος· ὁ βραχὺς κόλπος τοῦ πάντων κόλπου· ὁ πόκος τῆς ἀκαταλήπτου δρόσου (70)· ὁ τῆς ἐπιθυμίας Δαβὶδ ζωοδόχος (71) λάκκος τῆς Βηθλεὲμ, ἀφ' οὗ πόμα ἀθανασίας ἐξέβλυσε· τὸ ἱλαστήριον ἐξ οὗ Θεὸς ἐγνώσθη ἀνθρώποις ἀνθρωπομόρφως· τὸ ἄσπιλον ἔνδυμα *τοῦ ἀναβαλλομένου φῶς ὡς ἱμάτιον*. Ἡ δανεισασα

[80] *Heb.* IX, 4. [81] IV *Reg.* II, 11. [82] *Eccli.* XLVIII, 1. [83] IV *Reg.* II. [84] *ibid.* 20. [85] IV *Reg.* IV, 41. [86] IV *Reg.* V. [87] *Isa.* XI, 1. [88] *Hebr.* I, 3. [89] *Ezech.* XLIII, 41. [90] *Isa.* VI, 6. [91] *Jud.* VI, 37.

(68) Ἀνασφήλοντος. Forte ἀνασφήλαντος.

(69) *Πρὸ ὀφθαλμῶν ἑστηλωμένης*. Velut erecta propalam in modum columnæ, ne quem latere possit. Altera significatio, ut τὸ, ἑστηλωμένης sit *confirmata*, videtur minus commoda.

(70) *Τῆς ἀκαταλήπτου δρόσου*. Cujus mysterium nequeat satis perspici. Pantinus, *imperceptibilis*, quod minus quadrat. Plane enim fuit ros ille perceptibilis, qui expressus vellere, lagenam aqua implevit, utique sensibili.

(71) *Ζωοδόχος*. Seu vitæ conceptaculum; in eo Mariæ symbolum, quæ vitam illam ad nos peregrinantem, ceu hospitii jure, etiam utero suscepit: quam ejus prærogativam, in Martha Dominum suscipiente in suam domum, die migrationis ipsius, Ecclesia sancte recolit. Pantinus, *virificus*, quod potius esset ζωοδότης. Simili epitheto paulo inferius Simeonem ornat, appellans θεοδόχον πρεσβύτην, *senem Dei susceptorem*.

Digitized by Google

Θεῷ τῷ ἀνενδεεῖ σάρκα ἥνπερ οὐκ εἶχεν, ἵνα ᾖ ὁ παντοδύναμος ὅπερ ηὐδόκησε. Τί τούτου περιφανέστερον; Τί τούτου ὑψηλότερον; Ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν, οὗ τὰ σύμπαντα κτήματα, σοῦ γεγένηται ἐπιδεής· σὺ γὰρ ἐδάνεισας Θεῷ θείαν σάρκωσιν, ἣν οὐκ εἶχε. Σὺ ἐθωράκισας τὸν δυνατὸν τὴν εὐπρεπῆ τοῦ σώματος παντευχίαν, δι' ἧς αὐτὸς μὲν ὀφθῆναι χωρητὸς ἐμοὶ δεδύνηται, ἐγὼ δὲ εὐπροσίτως ἀντωπῆσαι αὐτῷ ἐνίσχυσα, δι' ἧς καὶ *πάντα τοῦ πονηροῦ τὰ πεπυρωμένα βέλη σβεσθήσεται.* Εὖγε, εὖγε, μήτηρ Θεοῦ καὶ δούλη. Εὖγε, εὖγε, ἡ ὑπόχρεων ἔχουσα τὸν πάντων δανειστήν. Πάντες μὲν Θεῷ ὀφείλομεν, σοὶ δὲ ἐποφείλεται. Ὁ γὰρ εἰπών, *Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα*, πολλῷ μᾶλλον αὐτὸς ἐν τούτοις ἐξετάζεσθαι ἑλόμενος, φυλάξειε τὴν χάριν καὶ τὸ ἴδιον δόγμα τῇ διακονησαμένῃ τὴν αὐθαίρετον γέννησιν, καὶ δοξάσειε θεοπρεπῶς, ἣν ἐπεγράψατο ἀπάτωρ ὡς ἄνανδρον Μητέρα. Ἔσται τοίνυν ταῦτα οὕτως, ἔσται. Οὐ γὰρ κομψοεπείας ἀκάρπου οἱ προσαχθέντες σοι παρ' ἡμῶν ὕμνοι, παναγιώτατον καὶ ἀξιάγαστον τοῦ Θεοῦ ἐνδιαίτημα· οὐδ' αὖ κοσμικῆς λογολεσχίας καὶ ψευδαρεσκείας λαρυγίσματα ὁ πνευματικός σου ὕμνος, Θεοὐπαίνετε, καὶ Θεὸν ἔχουσα ὑπομάζιον, τὸν τοῖς βροτοῖς ἀρχὴν τοῦ εἶναι διὰ γεννήσεως παρέχοντα, ἀλλ' ἐναργοῦς ἀληθείας. Ἐπιλείψει γὰρ ἡμῖν ὁ χρόνος καὶ ταῖς μετέπειτα γενεαῖς, τὸν κατ' ἀξίαν σοι ἀποδοῦναι μακαρισμὸν τῇ Μητρὶ *τοῦ Βασιλέως τῶν αἰώνων*, ὡς που φησὶν ὁ ἀοίδιμος προφήτης, τὰ τῆς σῆς ἀκαταληψίας ἡμᾶς ἐκπαιδεύων· *Ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ, καὶ εὐμήκης ὁ τόπος τῆς κτήσεως αὐτοῦ. Μέγας, καὶ οὐκ ἔχει τελευτήν· ὑψηλὸς καὶ ἀμέτρητος.* Ὄντως γὰρ, ὄντως προφητικὸς χρησμὸς καὶ ἀψευδὴς λόγος οὗτος τῆς περὶ σὲ μεγαλειότητος· ἴδιόν τι καὶ μόνῃ συμμερίσασθαι Θεῷ τὰ τοῦ Θεοῦ κατ-ξίωσαι, Θεὸν γεννήσασα σαρκὶ μόνη, τὸν ἐκ Θεοῦ Πατρὸς μονογενῶς καὶ συναϊδίως γεννηθέντα. Φιλαλήθως (72) οἵδε λόγοι πίστεως ἀκραιφνοῦς ἀντεχομένων.

desiderii David [92], vitæ susceptor, ex quo poculum immortalitatis scaturivit: propitiatorium [93], ex quo Deus, forma humana, generi humano innotuit: vestis sine macula, ejus *qui induit lumen sicut vestimentum* [94]. Tu nullius indigenti Deo, carnem quam non habebat, fenerata es, qua tandem omnipotens ille, quod decreverat fieri, homo esset. Quid hoc splendidius? Quid hoc sublimius? Qui cœlum et terram implet [95], cujus ditionis sunt res omnes, tui indigus efficitur: quippe Deo fenerata es carnem, quam non habebat. Tu potentem illum decora corporis armatura induisti, qua et is mihi redditus est oculis aspectabilis; ipseque ut libere intuiturus possim accedere, accepi, qua etiam *omnia mali illius ignita tela exstingui habent* [96]. Euge, euge, Dei Mater ancillaque. Euge, euge, cui ille omnium creditor, debitor sit. Deo debemus omnes: tibi ipse obstrictus est. Nam qui dixit: *Honora patrem tuum et matrem* [97], longe potius, talibus ipse accenseri volens, gratiam propriamque ipse legem, in eam servaverit, quæ ultro assumptam ipsi nativitatem ministravit; quamque, sine patre, velut sine viro, Matrem inscripsit confirmavitque; divino quodam decore, et supra hominem glorificaverit. Ita vero hæc habebunt, habebunt ita. Neque enim quæ offerimus cantica, inutilem tantum verborum ornatum, o sacratissimum admirabilissimumque Dei habitaculum, habent: neque rursus, sæcularem quamdam nugacitatem, falsaque assentationis velut crocitamenta, spiritalis tua habet laudatio, o Deo laudata, quæque Deum ipsa lactentem habeas; eum, inquam, qui primum esse mortalibus nativitate tribuit; sed veritatem quamdam prorsus perspicuam. Deficiet enim nos tempus futurasque postmodum generationes, si te Matrem *Regis sæculorum* [98] dignis elogiis voluerimus beatam prædicare; ut quodam loco, erudiens quam sis incomprehensibilis, inclytus propheta ait: *Quam magna domus Dei, et ingens locus possessionis ejus! Magnus, et non habet finem; sublimis atque immensus* [99]. Plane enim, plane propheticum oraculum, verissimusque hic sermo de magnificentia illa tua et majestate procedit: nam et sola, eorum quæ sunt Dei, partem cum Deo habere meruisti; quæ sola Deum ex Deo Patre unigene ac sempiterne genitum, carne genueris. Ita veraciter sentiunt, qui sinceram fidem amplectuntur.

ΙΑ'. Ἀπολάβωμεν δὲ λοιπὸν, ὦ φιλομαθέστατοι, τὸν θεοδόχον πρεσβύτην, καὶ εὐσεβῆ διδάσκαλον, ὧδέ που διανήξαντα σωτηρίως ἐκ τοῦ παρθενικοῦ πελάγους· καὶ διαναπαύσωμεν ἐμπεφορημένον ἅμα τῆς θείας ἐφέσεως, καὶ ἐμπορευσάμενον ἡμῖν τὴν πανώλβιον θεολογίαν· καὶ ἴωμεν ἡμεῖς πρὸς τὸ ἑξῆς τοῦ λόγου, ἁπλανῶς πρὸς τὸν προκείμενον σκοπὸν ἀπευθύνοντες σὺν ὁδηγίᾳ τοῦ κρείττονος τὴν τρίβον, ὅπως μὴ πάντῃ ὦμεν ἄκαρποι καὶ ἀσυντελεῖς πρὸς τὰ δέοντα. Ἐπεὶ οὖν συνεκλήθησαν πρὸς τὰ ἱερῶς τελούμενα ἱερωσύνη τε καὶ προφητεία, καὶ παρεισπή-

XI. Cæterum, quod reliquum est, sciendum, studiosissima concio, senem nostrum Dei susceptorem piumque doctorem, huc salubriter a virginali pelago adnavigantem, suscipiamus, jamque divino suo illo desiderio exsaturatum pariter, ac beatissimam illam theologiam nobis advectantem, recreemus; ipsique sermonem reliquum prosequamur ad præstitutum nobis scopum, Dei optimi ductu, certa ratione cursum dirigentes; ut ne prorsus, ad ea quæ incumbunt, et nostrarum sunt partium, infrugiferi inutilesque inveniamur. Cum itaque ad ea

[92] II *Reg.* XXIII, 17. [93] *Exod.* XXXV, 17. [94] *Psal.* CIII, 2. [95] *Jer.* XXIII, 24. [96] *Ephes.* VI, 16. [97] *Exod.* XX, 12. [98] I *Tim.* I, 17. [99] *Baruch* III, 24, 25.

(72) Φιλαλήθως. Φιλαλήθεις.

Digitized by Google

sacra, sacerdotium, prophetiaque, pariter vocata essent gloriosoque Virginis throno, biga hæc a Deo electorum justorum; Simeonis, inquam, et Annæ; apertissimas utriusque populi imagines in se præferentium, astitisset (nam senex quidem Israeliticum populum, jamque senescentem et effetam legem exhibebat; vidua autem Ecclesiam gentium eatenus viduam), senex quidem, ceu in legis persona, dimissionem quærebat; vidua autem, ceu Ecclesiæ personam gerens, confessionem contra afferebat [1], exspectantibusque redemptionem in Jerusalem, quæ de ipso erant edicebat: sicut bene atque apposite ac valde egregie, et festo huic cum primis congrua, ab utroque dicta, conscripta sunt. Oportebat enim ac plane necessum erat, ut senex quidem, qui legis illud scitum perspicue nosset, quo dicitur: *Ipsum audite;* et: *Omnis anima quæ ipsum non audierit, exterminabitur de populo suo* [2]: pacificam a legali postmodum institutione dimissionem quæreret. Revera enim injuria est et temeritas, ut, rege præsente ac verba publice faciente, satellitum aliquis ex adverso loquatur, utque subditi ei interim aures accommodent. Sed et viduam quæ donis superantibus rationem aucta esset, festis canticis Deo gratias agere par erat: adeoque illic gesta, legi consona erant. Cæterum operæ pretium fuerit, inquiramus; cum propheticæ informationes et figuræ ad eximias hasce festivitates congruam quamdam relationem haberent, quemadmodum dictum est, quomodo domus fumo repleta fuisse referatur: nec id velut incidenter, sed signanter, inquit doctor prophetaque, *a voce* ter Sanctus *qua* cœlestium illi mystæ *clamabant* [3]. Sane hujusce rei causam, studiose auditor, inveneris, modo ea quæ consequenter habet narratio perceperis. *Auditu* enim, inquit, *audietis, et non intelligetis; et videntes videbitis, et non perspicietis* [4]. Postquam enim vesani Judæi, *prodigia* gloriosa *quæ Dominus ponebat super terram* [5], sicut cecinerat David, conspexissent; vidissentque signum ex profundo et de excelso [6], inconfusum concurrens indivisumque, quemadmodum etiam Isaias prædixerat: nempe Matrem supra naturam; fetumque supra rationem: matrem terrestrem; et filium cœlestem: novam, inquam, Dei viri naturam, puerperiumque nuptiarum expers: quibus, quid unquam gloriosius circa creaturam, quid vero celebrius possit fieri? hæc, inquam, illi cum vidissent, perinde affecti sunt ac si non vidissent, claudentes oculos, et ad laudem eorum fumo.

κει τῷ ἐνδόξῳ καὶ παρθενικῷ θρόνῳ ξυνωρὶς θεοκλήτων δικαίων, Συμεῶνός φημι καὶ Ἄννης, ἑκατέρων τῶν λαῶν ἐναργεστάτας φερόντων τὰς εἰκόνας (ὁ μὲν πρεσβύτης, τοῦ Ἰσραὴλ καὶ τοῦ γηράσαντος νόμου· ἡ δὲ χήρα, τῆς ἐξ ἐθνῶν χήρας τὸ τηνικαῦτα Ἐκκλησίας)· ὁ μὲν οὖν πρεσβύτης πρασωποποιούμενος τὸν νόμον, τὴν ἀπόλυσιν ἐξεζήτει· ἡ δὲ τῆς Ἐκκλησίας προσωποποιὸς τὴν ἀνθομολόγησιν προσεκόμιζε (73), καὶ τοῖς ἀπεκδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλὴμ τὰ περὶ αὐτοῦ ἐλάλει· καθὼς γέγραπται οὗ μάλα ἁρμοδίως καὶ ὑπερφυῶς τὰ παρ' ἑκατέροις λαλούμενα, καὶ τῇ ἱερᾷ τελετῇ σύμφημα. Ἔδει γὰρ, ἔδει σαφῶς τὸν μὲν πρεσβύτην ἐπιστάμενον τὸ φάσκον τοῦ νόμου διάταγμα, *Αὐτοῦ ἀκούετε· καὶ· Πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ αὐτοῦ, ἐξολοθρεύσεται ἐκ τοῦ λαοῦ αὐτῆς*, ἀπόλυσιν ἐπιζητῆσαι εἰρηνικὴν τῆς νομικῆς παιδαγωγίας. Ὕβρις γὰρ ἅμα καὶ προπέτεια, βασιλέως παρόντος καὶ δημηγοροῦντος, ὑπασπιστὴν κατάντικρυς ἀντιφθέγγεσθαι, καὶ τούτῳ ἐπικλίναι τοὺς ὑπηκόους τὰ ὦτα. Ἔδει δὲ καὶ τὴν χήραν, τυχοῦσαν τῶν ὑπὲρ λόγον, τὰ εὐχαριστήρια ἑορτάσαι τῷ Θεῷ· ὥστε συνῳδὰ τῷ νόμῳ τὰ ὧδε τελούμενα. Ἐπιζητῆσαι δὲ λοιπὸν τῶν ἀναγκαίων καθέστηκε, πῶς τῶν προφητικῶν προτυπώσεων, καθὼς ἀποδέδεικται, ἐπὶ τῶν ἐξαιρέτων τούτων ἑορτασμάτων ἀραρότως ἐχόντων τὴν ἀναφορὰν, καπνοῦ τὸν οἶκον ἐμπεπλῆσθαι λέλεκται· καὶ τοῦτο οὐ παρενθέτως (74), ἀλλ' ἐνσημάντρως, *ἀπὸ τῆς τρισαγίας φωνῆς* φάσκων ὁ εἰσηγητὴς, *ἧς ἐκέκραγον* οἱ τῶν ἐπουρανίων μύσται. Ἀναλαβὼν δ' οὖν, ὦ φιλήκοε, τῆς ἱστορίας τὸ ἐπαγόμενον, εὑρήσεις τὴν αἰτίαν. *Ἀκοῇ* γὰρ, φησὶν, *ἀκούσητε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε.* Ἐπεὶ τοίνυν εἶδον ἀγνώμονες Ἰουδαίων παῖδες *τέρατα* ἔνδοξα, *ἃ ἔθετο ὁ Θεὸς ἐπὶ τῆς γῆς* κατὰ τὸν μελῳδὸν Δαβίδ· ἐθεάσαντο δὲ καὶ σημεῖον ἐκ βάθους καὶ ἐξ ὕψους κατὰ σύνοδον ἀσύγχυτον καὶ ἀδιαίρετον, ὃν τρόπον προανεφώνησεν Ἡσαΐας (τί τοῦτο; μητέρα ὑπὲρ φύσιν, καὶ τόκον ὑπὲρ λόγον· μητέρα ἐπίγειον, καὶ υἱὸν οὐράνιον, καινὴν φημὶ θεανδρίαν (75), καὶ λόχον ἀπειρόγαμον· ὧν τί καὶ γένοιτ' ἂν ἐνδοξότερον καὶ περιδοητότερον ἀμφὶ τὴν κτίσιν;)· καὶ ταῦτα θεασάμενοι, διετέθησαν ὡς μὴ θεασάμενοι, μύσσοντες καὶ ὑπτιούμενοι πρὸς τὴν αἴνεσιν· διὰ τοῦτο ἐπλήσθη ὁ οἶκος τῆς καυχήσεως αὐτῶν καπνοῦ.

[1] *Luc.* II, 38. [2] *Deut.* XVIII, 15, 19. [3] *Isa.* VI, 4. [4] *ibid.* 9; *Act.* XXVIII, 26. [5] *Psal.* XLV, 9. [6] *Isa.* VII, 11.

(73) *Τὴν ἀνθομολόγησιν προσεκόμιζε.* Est apud Luc. ἀνθωμολογεῖτο, quod auctor ut adversativum subtiliter exponit. Vulg. tantum, *confitebatur.* Erasmus, *palam confitebatur:* quod adjectum, sacer textus, minus habere videtur.

(74) *Παρενθέτως.* Velut concomitanter; ἀλλ' ἐνσημάντρως, per se et formaliter, seu, ut ab ipsa eadem causa, a qua non fumus, sed splendor et claritas, videbantur domum repletura: verso scilicet in venenum, humana malitia, divinissimo illo remedio. Pantinus, *non leviter, ac velut perfunctorie,* levius sane defungentis partibus probi interpretis.

(75) *Καινὴν θεανδρίαν.* Simili phrasi atque Dionysius Areop. epist. 4, ad Caium, θεανδρικὴν ἐνέργειαν statuit, quadam nimirum reflexione unitorum, ex arctissimo illo modo unionis vere supremo; manentibus nihilominus extremis in sibi propriis: qua de re doctissime fusissimeque in eamdem epistolam propediem edendus noster Maximus.

Digitized by Google

ΙΒ'. Καὶ ἐπεὶπερ ἠκουσαν καὶ αὖθις πρὸς τῇ θέᾳ τοῦ ὑπὲρ θέαν πρεσβύτου δικαιοτάτου, ἀνδρὸς ἀξιοπίστου, ἀνδρὸς ἀξιοζηλώτου, ἀνδρὸς πνευματοφόρου, ἀνδρὸς νομοδιδασκάλου, ἱερωσύνῃ τετιμημένου, προφητείᾳ λελαμπρυσμένου, τῇ τοῦ Χριστοῦ ἐλπίδι τὸ ζῆν παρεκτείναντος, καὶ θανάτου ὀφειλὴν ὑπερτιθεμένου, χορεύοντος, ἀνευφημοῦντος, συμμεταμορφωμένου τῇ θυμηδίᾳ, ὅλου ἐξεστηκότος Θεῷ τὴν καλὴν ἔκστασιν, ἀλλοιουμένου εἰς ἄγγελον τὴν καλὴν ἀλλοίωσιν, τῇ ἀμετρίᾳ τῆς χαρᾶς τὰ εὐχαριστήρια ἀναμέλποντος· *Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραὴλ* ἀνακηρύττοντος· καὶ οὐχ εἷλοντο ἀκοῦσαι τὰ ἀκουστὰ, καὶ τοῖς ἐπουρανίοις προσκυνητά· διὰ τοῦτο ἐπλήσθη ὁ οἶκος τῆς καυχήσεως αὐτῶν καπνοῦ. Καπνὸς δὲ, ὀργῆς σημεῖον καὶ τεκμήριον, ὡς γέγραπται· *Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται·* καὶ ἐν ἑτέρῳ· *Ἐν ἔθνει ἀπειθεῖ ἐκκαυθήσεται πῦρ.* Ὅπερ δὴ σημαίνων ὁ Κύριος ἐν τοῖς σεβασμίοις Εὐαγγελίοις ἔλεγε τοῖς Ἰουδαίοις· *Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.* Πῇ δέ· *Πέμψας τὰ στρατεύματα αὐτοῦ ὁ βασιλεὺς, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν ἐν πυρί.* Ταῦτα τῆς Ἰουδαϊκῆς ἀπειθείας πρὸς τὴν τριαδικὴν δοξολογίαν ἐναντιώτατα τὰ ἔπαθλα. Ἐπεὶ γὰρ ἠγιάσθη τὰ πέρατα τῆς ὑπ' οὐρανὸν, καὶ τῆς δόξης Κυρίου πλήρης γέγονεν ὁ μέγιστος οἶκος τῆς Ἐκκλησίας διὰ τοῦ τρισαγίου κηρύγματος, ὡς ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας· ἀπέβη μὲν αὐτοῖς τὰ ᾀδόμενα, συνεβεβαιώθη δὲ τῷ τέλει καὶ ἡ τῆς προφητείας ἀρχὴ (76), ἐπισημηναμένου, καθάπερ λέκται, διὰ τοῦ Πνεύματος τοῦ κήρυκος τῆς ἀληθείας ἐν ὑποδείγματι τὴν μέλλουσαν κακίστην τούτων καταστροφὴν, ἐν οἷς φησι· *Τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον·* ὡς τοῦ ἀποστάτου Ὀζίου εἰς παράδειγμα παντὸς τοῦ ἀποστατικοῦ σώματος, οὗ τε κεφαλὴ τούτου τυγχάνοντος, ἐκλαμβανομένου· ὃς καὶ δίκην τίσας τῆς αὐθαδίας ἱστόρητον, ἐγκόλαπτον ὡς χαλκῷ ἀνδριάντι τῷ μετώπῳ ἀπηνέγκατο τὴν θείαν ἀπόφασιν, βδελυρίᾳ λέπρας, τῆς βδελυρωτάτης ἀσεβείας τὰς ἀμοιβὰς πᾶσιν ἐπιδεικνύμενος. Θεοσόφως τοιγαροῦν, τῇ παρεξαγωγῇ τῆς ἀχαρίστου συναγωγῆς, τὴν ἀντεισαγωγὴν ἐποιήσατο τῆς εὐχαρίστου Ἄννης ὁ τῶν τελεσθέντων προγνώστης, ἧς καὶ τὸ ὄνομα προδηλωτικὸν τῆς κατὰ χάριν Χριστοῦ τοῦ Θεοῦ δεδικαιωμένης Ἐκκλησίας ἐν τῷ βαπτίσματι. Ἄννα γὰρ *χάρις* ἑρμηνεύεται.

ΙΓ'. Ἀλλ' αὐτοῦ που τοῖς προσόρμοις καταπαύσωμεν τὴν σταυροφόρον ὀλκάδα (77), τοῦ λόγου, διὰ τὸ

XII. Ad hæc vero, cum præter spectaculum, etiam spectaculo majorem, senem justissimum audivissent; virum fide dignissimum, virum plane æmulatione dignum, virum afflatum Spiritu, virum legis doctorem, sacerdotio honoratum, prophetia illustrem, spe de Christo concepta vitæ limites extendentem, mortisque debitum differentem : talem, inquam, cum vidissent, exsilientem, bene ominantem, præ lætitia animi in formam aliam mutatum, qui totus Deo excessisset excessu bono [7]; qui in angelum, bona quadam alteratione, alter factus transisset; quique præ gaudii immensitate, eucharisticos modos decantaret; ac *Lumen ad revelationem gentium, et gloriam plebis tuæ Israel* [8], palam renuntiaret : nec sic tamen sub auditum posita, atque superis ipsis venerationi habenda, audire voluerunt : quamobrem domus gloriationis eorum fumo repleta est. Est vero fumus signum iræ, certumque argumentum, sicut scriptum est : *Ascendit fumus in ira ejus, et ignis a facie ejus exarsit* [9]. Et alibi : *In gente incredibili exardescet ignis* [10]. Quod plane in venerabilibus Evangeliis significans Dominus, dicebat Judæis : *Ecce relinquetur domus vestra deserta* [11]. Alio item loco : *Mittens rex exercitus suos, perdidit homicidas illos, et civitatem eorum succendit igni* [12]. Atque ejusmodi quidem sunt Judaicæ infidelitatis, qua gloriam Trinitati debitam referre recusant, adversissima præmia. Postquam enim sanctificati sunt termini terræ, repletaque est gloria Domini maxima domus Ecclesia [13], ab hymni ter sancti prædicatione, ceu aqua multa cooperiens maria : evenerunt quidem ipsis quæ antea fuerant prænuntiata; prophetiæ autem initium etiam fine confirmatum est : significante, ut dictum est, per Spiritum, velut in exemplo, præcone veritatis, deterrimam eorum subversionem futuram, dicendo : *In anno quo mortuus est Ozias rex, vidi Dominum* [14], nimirum assumpto Ozia apostata, velut in exemplar totius apostatici corporis, ut cujus caput ageret : qui etiam, pœnam debitam temeritatis luens, in fronte tanquam ænea quadam statua, insculptam reportavit divinæ ultionis potentiam, lepræ fœditate fœdissimæ impietatis retributionem omnibus exhibens. Quapropter divine sapienti judicio, qui rerum præscius erat, ejiciendæ ingratæ Synagogæ, gratæ illius viduæ Annæ inductionem opposuit; cujus vel nomen Ecclesiam, Christi Dei gratia in baptismo justificatam, præsignat. Nam Anna *gratiam* sonat.

XIII. Cæterum hic, tanquam in portu, crucis signaculo insignitam navem appellentes, orationis

[7] II *Cor.* v, 16. [8] *Luc.* II, 32. [9] *Psal.* XVII, 9. [10] *Eccli.* XXII, 7. [11] *Matth.* XXIII, 38. [12] *Matth.* XXII, 7. [13] *Isa.* VI, 3, 4. [14] *ibid.* 1.

(76) *Ἡ τῆς προφητείας ἀρχή.* Significat ipsa consignatione temporis. sub annum obitus regis a Deo percussi, prophetasse Isaiam; idque postmodum clarius verbis expressit, quod interpres minus videtur advertisse.

(77) *Τὴν σταυροφόρον ὁλκάδα.* Distinximus in interpretatione ut habent Græca, non ut Pantinus, componendo τὸ, τοῦ λόγου, cum ὁλκάδα. Quid porro hic ὁλκάδα σταυροφόρον intelligat, haud ita perspectum habuerim : nisi forte ita dicit, quia tota πραγματεία hæc gestaque hic omnia, et olim prophetata ab Isaia, crucem respiciunt, quæ fuit Judæis

Digitized by Google

vela quo suus illi modus consistat, contrahamus; si modo prius, quibus licuerit verbis pauculis, *civitatem magni* illius *Regis* [15], una cum ecclesiastico populo, tanquam spiritu præsentes ac una cum positis illic honorabilibus Patribus ac fratribus festum diem et conventum agentes, lætis vocibus salutaverimus. Salvesis, *civitas Regis magni*, in qua salutis nostræ sacramenta consummata sunt. Salve, terrestre cœlum, Sion *urbs* deinceps Domino *fidelis* [16]. Salve, et *illuminare, Jerusalem, nam venit Lumen tuum* [17]: Lumen sempiternum, Lumen nunquam non duraturum, Lumen supremum, Lumen materiæ expers, Lumen ejusdem cum Deo et Patre essentiæ, Lumen quod est in Spiritu et in quo est Pater, Lumen illuminans sæcula, Lumen tum supermundana tum mundana illuminans, Christus verus ille Deus noster. Salvesis, civitas sancta atque electa Domino. Age in lætitia dies festos tuos: nec enim adjicient ut veterascant. Salve, civitas felicissima; *gloriosa* enim *dicta sunt de te* [18]; nam *sacerdotes tui induentur justitiam, et sancti tui exsultatione exsultabunt* [19]; mendicique tui saturabuntur panibus. Salve et lætare, Jerusalem; quoniam *regnavit Dominus in medio tui* [20]: Dominus, inquam, ille, qui nuda atque immateriali Deitate nostram naturam ingressus est, deque virginali utero ineffabili ratione carnem induit: Dominus ille qui nullius præterea, quam Adæ illius supplantati a serpente, conspersionis participium iniit. *Non apprehensis* enim *angelis* [21], iis, inquam, qui præclarum illum ordinem et statum a principio assignatum non deseruissent, ad nos usque Dominus se inclinavit; ille semper in Deo Patre exsistens Deus Verbum. At neque rursus eos qui decidissent a luce sceleratos dæmones restaurare, in mundum venit; aut etiam aliquando restauraturus, ut impiissimis teterrimi diaboli patronis visum fuit; sed cum *semen Abrahæ*, juxta quod divinissimus Paulus ait, eoque universum genus humanum, universorum ille creator et plastes, *apprehendisset*, citra mutationem factus est homo: ut ex ipsius nobiscum communione, nostraque vicissim ad ipsum accessione peccati in nos ingressio sisteretur, ejus paulatim fractis viribus; ipsoque ceræ instar absumpto illo igni, quem *veniens Dominus misit in ter-*

A σύμμετρον τὰ ἱστία χαλάσαντες, καὶ μικρά τινα ὡς οἷόν τε χαιρετίσαντες *τὴν πόλιν τοῦ Βασιλέως τοῦ μεγάλου*, ἅμα τῷ ἐκκλησιαστικῷ λαῷ, ὡς τῷ πνεύματι συμπαρόντες, καὶ συνεορτάζοντες τοῖς ἐκεῖσε τιμιωτάτοις πατράσι καὶ ἀδελφοῖς. Χαίροις, *ἡ πόλις τοῦ μεγάλου Βασιλέως*, ἐν ᾗ τῆς σωτηρίας ἡμῶν ἐτελεσιουργήθη μυστήρια. Χαίροις, ὁ ἐπίγειος οὐρανός, Σιὼν *πόλις πιστὴ* τοῦ λοιποῦ τῷ Κυρίῳ. Χαίροις, καὶ *φωτίζου, Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ Φῶς*. Φῶς τὸ ἀΐδιον, Φῶς τὸ ἀένναον, Φῶς τὸ ὑπέρτατον, Φῶς τὸ ἄϋλον, Φῶς τὸ ὁμοούσιον τοῦ Θεοῦ καὶ Πατρὸς, Φῶς τὸ ἐν τῷ Πνεύματι (78), καὶ ἐν ᾧ ὁ Πατήρ· Φῶς τὸ φωτίσαν τοὺς αἰῶνας, Φῶς τὸ φωτίσαν τὰ ὑπερκόσμια καὶ τὰ ἐγκόσμια, Χριστὸς ἀληθινὸς ἡμῶν Θεός. Χαίροις, πόλις ἁγία, καὶ ἐκλε-
B λεγμένη τῷ Κυρίῳ· ἑόρταζε ἐν εὐφροσύνῃ τὰς ἑορτάς σου, αἳ οὐ μὴ προσθῶσι διελθεῖν εἰς παλαίωσιν (79). Χαίροις, πόλις ἡ πανευδαίμων· ὅτι *δεδοξασμένα ἐλαλήθη περὶ σοῦ. Οἱ γὰρ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται*, καὶ οἱ πτωχοί σου χορτασθήσονται ἄρτων. Χαίροις, καὶ εὐφραίνου, Ἱερουσαλήμ· ὅτι *ἐβασίλευσε Κύριος ἐν μέσῳ σου*. Οὗτος Κύριος ὁ γυμνῇ καὶ ἀΰλῳ τῇ θεότητι ἐπιβὰς τῇ ἡμετέρᾳ φύσει, καὶ ἐκ τῆς παρθενικῆς νηδύος ἀφράστως σαρκωθείς· οὗτος Κύριος ὁ μηδενὸς ἑτέρου ἐν μεθέξει γενόμενος πλὴν τοῦ φυράματος Ἀδάμ, τοῦ ὑπὸ τοῦ ὄφεως σκελισθέντος. *Οὐ γὰρ ἀγγέλων ἐπιλαμβανόμενος* ὁ Κύριος, τῶν μὴ ἀποπεπτωκότων τῆς ἐξ ἀρχῆθεν ἀποκληρω-
C θείσης αὐτοῖς ἀοιδίμου τάξεως καὶ καταστάσεως, συγκατάβασιν ἐνεδείξατο ὁ ἀεὶ ἐν τῷ Πατρὶ ὢν Θεὸς Λόγος. Οὐδὲ τοὺς ἀποπεπτωκότας τοῦ φωτὸς ἀλάστορας δαίμονας ἀνακαλούμενος, ἢ καὶ ἀνακαλεσόμενος (80), κατὰ τοὺς ἀσεβεστάτους πονηροῦ συνηγόρους, τῷ κόσμῳ ἐπεφοίτησεν· ἀλλὰ *σπέρματος Ἀβραὰμ* ἐπιλαβόμενος κατὰ τὸν θειότατον Παῦλον, καὶ δι' αὐτοῦ παντὸς τοῦ ἀνθρωπείου φύλου, ἄνθρωπος ἀμεταβλήτως γέγονεν ὁ δημιουργὸς καὶ πλαστουργὸς τῶν ἁπάντων· ὅπως διὰ τῆς αὐτοῦ πρὸς ἡμᾶς κοινωνίας, καὶ ἡμῶν πρὸς αὐτὸν συναφείας ὑπολωφήσῃ τῆς ἐν ἡμῖν ἁμαρτίας ἡ εἴσδυσις, ἐξατονήσασα κατὰ βραχὺ, καὶ ἐκδαπανηθεῖσα ὡς κηρὸς τῷ θείῳ πυρὶ, ὃ *ἐλθὼν ὁ Σωτὴρ ἔβαλεν ἐπὶ τὴν* D *γῆν* ἡμῶν. Χαίροις τοίνυν καὶ σὺ, Ἐκκλησία καθολικὴ, ἡ ἐν πάσῃ τῇ ὑπ' οὐρανόν· σκίρτησον σὺν ἡμῖν.

[15] *Psal.* XLVII, 3; *Matth.* V, 35. [16] *Isa.* I, 26. [17] *Isa.* LX, 1. [18] *Psal.* LXXXVI, 3. [19] *Psal.* CXXXI, 16. [20] *Isa.* XII, 6. [21] *Hebr.* II, 16.

scandalo, ut minus reciperent Evangelium; quam etiam Amphilochius noster, signum illud Simeonis cui sit contradicendum, recte exponit orat. *Εἰς τὴν Ὑπαπαντήν*.

(78) *Φῶς τὸ ἐν τῷ Πνεύματι*. Ut sit formalis auctoris sententia, eo modo intelligendo Lumen illud divinum et Verbum in Spiritu, quo in eo Pater asseritur, ut nimirum sit in eo tanquam principium et *αἰτία*, ut Græci vocant, in eo qui est a principio καὶ *αἰτίας*· alioquin nihil singulare aut dignum τῆς Μεθοδίου ἀκριβείας, ut facile quivis perspexerit, dicitur. Nusquam sane veteri illi Ecclesiæ Orientis alia fuit revera fides in hoc articulo, quam Latinæ, quanquam fuerit nonnullum discrimen in verbis.

(79) *Αἳ οὐ μὴ προσθῶσι διελθεῖν εἰς παλαίωσιν*. Velut nimirum alii a legalibus festis, antiquatis Christi adventu, juxta prophetiam Isa. XLIII, 19, ad quam Paulus respicit II Cor. V, 17. Pantinus: *Quæ non sinunt te veterascere*: quod nec littera habet, nec sensu congruit.

(80) *Ἢ καὶ ἀνακαλεσόμενος*. Carpit Origenianam ἀποκατάστασιν, et illam in integrum restitutionem etiam dæmonum, adversus quam etiam reliqui Patres, nimia illa pietate et misericordia damnata, depugnant.

Digitized by Google

Μὴ φοβοῦ (81), *τὸ μικρὸν ποίμνιον, τὰς τριχυμίας τοῦ ἐχθροῦ· ὅτι εὐδόκησεν ὁ Πατὴρ δοῦναί σοι τὴν βασιλείαν*, καὶ ἐπὶ τραχήλου τῶν ἐχθρῶν σου ἐπιβῆναι. Χαῖρε καὶ εὐφραίνου, ἡ πάλαι στεῖρα καὶ ἄγονος πρὸς εὐσέβειαν, νυνὶ δὲ πολλὰ τὰ τῆς πίστεως ἔχουσα τέκνα. Χαίροις καὶ σὺ, λαὸς τοῦ Θεοῦ, *λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· ἐξάγγελε τὰς ἀρετὰς τοῦ ἐκ σκότους σε καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς*· ὑπὲρ ἐλέους δὲ δόξαζε αὐτόν.

ram [22]. Salve igitur et tu, toto orbe posita Ecclesia catholica, unaque nobiscum exsulta. *Ne pusillus grex*, magnas inimici tempestates *timeas; quia complacuit Patri dare tibi regnum* [23]; et ut hostium tuorum calces colla. Salve et lætare, quondam sterilis [24], et sine liberis ad pietatem; nunc autem multos habens fidei liberos. Salve tu quoque, Dei populo: *populo accepte, regale sacerdotium, gens sancta, populo in acquisitionem: enuntia virtutes ejus, qui te vocavit de tenebris in admirabile lumen suum* [25]: super misericordia autem sua glorifica eum.

ΙΔ'. Χαίροις εἰς ἀεί, ἡ ἄληκτος ἡμῶν χαρά· ἐπὶ σὲ γὰρ πάλιν ἀνατρέχομαι. Σὺ τῆς ἑορτῆς ἡμῶν ἀρχή· σὺ μεσότης· σὺ τέλειος (82)· ὁ πολύτιμος μαργαρίτης τῆς βασιλείας· τὸ ὄντως οὖθαρ πάσης ἀγιστείας· τὸ ἔμψυχον θυσιαστήριον τοῦ ἄρτου τῆς ζωῆς. Χαίροις, ἀγάπης Θεοῦ θησαυρέ· χαίροις, φιλανθρωπίας Υἱοῦ πηγή· χαίροις, Πνεύματος ἁγίου *κατάσκιον ὄρος*. Ἥστραψας, γλυκύδωρε γεννήτορ φωτὸς ἡλιακοῦ, πυρσοῖς ἀκαρτερήτοις ἀγάπης ὑπερζεούσης, τὸ πρὸ ἀρχῆς συλληφθὲν ἐν τῷ τέλει τεκοῦσα, φανερώσασα τὸ κρυπτὸν μυστήριον καὶ ἀλάλητον, τὸν ἀοράτου Πατρὸς Υἱὸν, εἰρήνης βραβευτὴν, πάσης γενόμενον ἥττονα βραχύτητος παραδόξως. Διὰ τοῦτο ἐκλιπαρῶμέν σε τὴν ἀμείνω πάντων, καὶ μητρῴαις ἐπαυχοῦσαν τιμαῖς καὶ παῤῥησίαις, μνήμην ἀδιάλειπτον ἡμῶν ποιοῦ, παναγία Θεοτόκε, καὶ εἰς σὲ καταχαλλυνομένων, καὶ ὕμνοις θεοπρεπέσι γεραιρόντων σου τὴν ἀείζωον καὶ ἀνεξάλειπτον μνήμην. Καὶ σὺ δὲ αὐτὸς, ὦ πρεσβύτα τίμιε Συμεὼν, τῆς εὐσεβοῦς ἡμῶν θρησκείας προδοχεῦ, καὶ τῆς τῶν πιστῶν ἀναστάσεως ἐξηγητὰ, συμπρεσβευτὴς ἡμῶν γενοῦ πρὸς τὸν Σωτῆρα Θεὸν, ὃν ἀγχάλαις ὑποδέξασθαι κατηξιώθης. Συνάδομεν γάρ σοι καὶ ἡμεῖς Χριστῷ τῷ τῆς ζωῆς καὶ θανάτου ἐξουσιαστῇ· Σὺ εἶ φῶς, λέγοντες, ἀληθινὸν, ἐκ φωτὸς ἀληθινοῦ, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ· εἷς Κύριος πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν πανύμνητον ἐνανθρώπησιν, ἐξ ἑαυτοῦ μὲν καὶ οὐ κατὰ χάριν Θεὸς, δι' ἡμᾶς δὲ καὶ τέλειος ἄνθρωπος· ἐξ ἑαυτοῦ δὲ (83) φύσει ἀβασίλευτος παμβασιλεὺς, δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν καὶ ἐν δούλου μορφῇ ἀχράντως καὶ ἀμιάντως. Ἀφθαρσια γὰρ ὤν, λῦσαι φθορὰν προῆλθες, ἵνα ἄφθαρτα πάντα τεύχοις. Ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος, μεγαλοσύνη τε καὶ μεγαλοπρέπεια σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

XIV. Salve in æternum, indesinens nostra lætitia [Dei Genitrix Virgo]: ad te enim rursus accurro. Tu nobis festæ lucis initium; tu medium, tu finis: pretiosissima regni margarita; vere totius victimæ adeps; animatum panis illius vitæ altare. Salve, dilectionis Dei thesaure: salve, Filii in genus humanum, propensionis illius ac ejus humanitatis fons: salve, Spiritus sancti *mons inumbrate* [26]. Fulgurasti, dulcidona Mater solaris luminis, importabilibus charitatis præferventis ignibus, eo in fine partu edito quod ante principium conceptum erat: palam exhibito, quod erat absconditum et inenarrabile sacramentum; invisibili illo Patris Filio, sequestro pacis, quippe admirabili quadam ratione, omni se parvitate minorem exhibuit. Propterea te deprecamur omnium præstantissimam, maternisque honoribus fiduciam gloriantem, ut indesinentem nostri memoriam, Dei Mater sanctissima, habeas: nostri, inquam, qui in te gloriamur, augustioribusque canticis perpetuo victuram et nullis desituram temporibus tui memoriam celebramus. Ipse etiam, honorate senex Simeon, piæ religionis nostræ prime susceptor, doctorque resurrectionis fidelium, una pro nobis ad Deum Salvatorem quem meruisti in ulnas suscipere, patronus accede. Nam et ipsi una tecum Christo, vitæ ac mortis potestatem habenti, canimus: Tu Lumen es verum ex vero Lumine, Deus verus ex Deo vero, unus Dominus ante assumptam humanam naturam, unus nihilominus post ejusmodi assumptionem, omni plane prædicatione prosequendam: a te, ipse, non per gratiam, Deus: nostri vero causa, etiam homo perfectus: ex te, ipse, natura omnium Rex, nullius subjectus imperio: propter nos vero et nostram salutem, etiam in forma servi, immaculate tamen atque impollute, exsistens. Qui enim ipsa incorruptio, venisti solvere corruptionem, ut incorrupta omnia redderes. Quoniam tua est gloria et potestas, et magnificentia, et majestas, cum Patre et Spiritu sancto, in sæcula sæculorum. Amen.

[22] *Luc.* XII, 49. [23] *ibid.* 32. [24] *Isa.* LIV, 1. [25] 1 *Petr.* II, 9. [26] *Hab.* III, 3.

(81) *Μὴ φοβοῦ*. Forte subnotat Diocletiani tempora, et decumanos illos fluctus ab eo in Christi Ecclesiam excitatos, quibus ipse Methodius, ut verior habet opinio, feliciter tamen, et naufragio salvus portumque tenens, Christi martyr absorptus est.

(82) *Τέλειος*. Forte τέλος.

(83) *Ἑαυτοῦ δέ*. Forte ἐαυτοῦ καί. Et mox, δι' ἡμᾶς δὲ καί.

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΜΕΘΟΔΙΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΒΑΙΑ.

—

SANCTI PATRIS NOSTRI METHODII

ORATIO

IN RAMOS PALMARUM.

—

Benedictus Deus : procedamus, fratres, ex miraculis ad Domini miracula, ac velut *virtute veniamus ad virtutem* [27]. Quemadmodum in aurea catena, sic invicem commissi sunt nexique circuli, ut singuli alter alterum teneat ac consequatur : ita et sacris Evangeliis tradita miracula, festorum amantem Ecclesiam Dei ex aliis ad alia deducunt, recreantque, *non esca quæ perit, sed quæ manet in vitam æternam* [28]. Age igitur et nos, dilecti, parato corde auribusque intentis, *audiamus quid nobis* tum in prophetis, tum in Evangeliis de divinissimo hoc festo *sit loquturus Dominus Deus.* Plane vero *loquetur pacem in populum suum, et in sanctos suos, et in eos qui convertunt cor ad ipsum* [29]. Hodie prophetales tubæ orbem excitarunt, ac Dei Ecclesias ubique gentium exhilararunt et voluptate impleverunt : assumptosque fideles ab sacrorum jejuniorum scammate, et vitiorum palæstra, victoriæ canticum novumque pacis victori Christo symbolum canere docuerunt. *Venite* ergo universi, *exsultemus Domino* [30]. Venite *omnes gentes, plaudamus manibus, ac Deo exsultemus* Salvatori nostro *in voce exsultationis* [31]. Nemo sit exsors gratiæ, nemo vocatione destituatur, eo quod incredulorum semen factum sit in perditionem. [Nemo Regis occursum indigne habuerit [32], ut ne thalamo excludatur.] Nemo in nobis inventus fuerit tristis ad susceptionem, ut ne eamdem cum malis civibus damnationem incurrerit. Cives autem dico, qui Dominum suum Regem super ipsos recipere noluerunt. [Omnes læti occurra-

Α'. Εὐλογητὸς ὁ Θεός· ἐκ θαυμάτων ἐπὶ τὰ θαύματα τοῦ Κυρίου βαδίσωμεν, ἀδελφοὶ, καὶ φθάσωμεν ὡς *ἐκ δυνάμεως εἰς δύναμιν*. Καθάπερ ἐν ἁλύσει χρυσῇ, κρικίοις ἀλληλενδέτοις συμβεβλημένῃ, ἓν τοῦ ἑνὸς κατέχεται τῶν συμβεβλημένων ἕκαστον, καὶ συνάπτεται θάτερον θατέρῳ, καὶ παραπέμπεται· οὕτω καὶ τὰ τῶν ἁγίων Εὐαγγελίων θαύματα, ἐξ ἀλλήλων εἰς ἄλληλα ποδηγοῦσι τὴν φιλέορτον τοῦ Θεοῦ Ἐκκλησίαν, καὶ εὐφραίνουσιν, *οὐ τῇ ἀπολλυμένῃ βρώσει, ἀλλὰ τῇ μενούσῃ εἰς ζωὴν αἰώνιον*. Φέρε τοίνυν καὶ ἡμεῖς, ἀγαπητοὶ, ἐν ἑτοιμασίᾳ καρδίας καὶ ὠσὶν εὐηκόοις *ἀκούσωμεν τί λαλήσει ἐν ἡμῖν Κύριος ὁ Θεὸς* ἔν τε προφήταις καὶ Εὐαγγελίοις περὶ τῆς θειοτάτης ταύτης ἑορτῆς. *Λαλήσει* δὲ πάντως *εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν* (84). Σήμερον προφητικαὶ σάλπιγγες τὴν οἰκουμένην ἀνεπτέρωσαν, καὶ τὰς ἀπανταχῆ τοῦ Θεοῦ Ἐκκλησίας ἐφαίδρυναν καὶ κατέτερψαν (85)· καὶ ἐκ τοῦ σκάμματος τῶν ἁγίων νηστειῶν, καὶ τῆς κατὰ τῶν παθῶν παλαίστρας παραλαβοῦσαι τοὺς πιστοὺς, τὸν ἐπινίκιον ὕμνον, καὶ τὸ καινὸν σύνθημα τῆς εἰρήνης ᾄδειν τῷ νικοποιῷ Χριστῷ ἐδίδαξαν. Δεῦτε γοῦν ἅπαντες, *ἀγαλλιασώμεθα τῷ Κυρίῳ*. Δεῦτε *ἅπαντα τὰ ἔθνη, κροτήσωμεν χεῖρας, καὶ ἀγαλλιασώμεθα* (86) τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν *ἐν φωνῇ ἀγαλλιάσεως*. Μηδεὶς ἄμοιρος ἔστω τῆς χάριτος· μηδεὶς ὑστερείτω τῆς κλήσεως, ὅτι ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν. [Μηδεὶς ἀγνωμονείτω τὴν ὑπάντησιν (87) τοῦ βασιλέως, ἵνα μὴ ἔξωθεν τοῦ νυμφῶ-

[27] *Psal.* LXXXIII, 8. [28] *Joan.* VI, 27. [29] *Psal.* LXXXIV, 9. [30] *Psal.* XCIV, 1. [31] *Psal.* XLVI, 2. [32] *Luc.* XIX, 27.

(84) *Καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν*. Alter codex nomine Chrysost. καὶ ἐπιστρέφοντας ἐπὶ καρδίαν· *Qui convertuntur ad cor :* quomodo habet Vulg. Hebræa longe aliter : *Et non convertentur ad stultitiam :* nimirum facili illa Hebræis alliinium litterarum permutatione.

(85) *Κατέτερψαν*. Alius κατέστεψαν, non minus congrue. Corona enim signum gloriationis et lætitiæ, ut et depositio mœroris et tristitiæ. Sic Andreas Cretensis coronatam inducit natalitiorum Mariæ lætissimam festivitatem.

(86) *Ἀγαλλιασώμεθα*. Alius codex melius, ἀλαλάξωμεν, *jubilemus;* schol. LXX. Alius, σημάνατε, *signum date;* alius, εὐφημήσατε, *læte acclamate.*

(87) *Ἀγνωμονείτω τὴν ὑπάντησιν*. Velut ὀλιγωρείτω, parvipendat; sic enim Budæus conjunxit duo illa, quadam epistola ad Petrum amicum. Vel fuerit : Nemo ingrate habeat, eidem crimini factus obnoxius, cui Jerusalem illa; eo destructa, quod ingrata in beneficum visitantem, καὶ ὑπαντήσαντα, *non cognoverit tempus visitationis suæ :* Luc. XIX, 44. Addi limus ex altero codice, ut et reliqua interclusa.

Digitized by Google

νος ἀποκλεισθῇ.] Μηδεὶς σκυθρωπὸς πρὸς τὴν ὑποδοχὴν εὑρεθῇ ἐν ἡμῖν, ἵνα μὴ τοῖς πονηροῖς πολίταις συγκατακριθῇ. Πολίτας δέ φημι τοὺς μὴ θελήσαντας δέξασθαι τὸν Κύριον ἑαυτῶν βασιλέα ἐφ' ἑαυτούς. [Πάντες φαιδρῶς συνδράμωμεν·] πάντες προθύμως ὑποδεξώμεθα, καὶ ὑπερκοσμίως ἑορτάσωμεν. Ἀντὶ ἱματίων, *τὰς καρδίας ἡμῶν ἐκχέωμεν ἐνώπιον αὐτοῦ*· ἐν ψαλμοῖς καὶ ὕμνοις τὰς εὐχαριστίας ἀναπέμπωμεν αὐτῷ· καὶ τὸ, *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*, ἀκαταπαύστως βοήσωμεν. *Οἱ γὰρ εὐλογοῦντες αὐτὸν, εὐλόγηνται· καὶ οἱ καταρώμενοι αὐτὸν, κεκατήρανται.* Πάλιν ἐρῶ, καὶ προτρεπόμενος ἐπὶ τὸ ἀγαθὸν οὐ παύσομαι. Δεῦτε, ἀγαπητοὶ, εὐλογήσωμεν τὸν εὐλογημένον, ἵνα εὐλογηθῶμεν ὑπ' αὐτοῦ. Πᾶσαν ἡλικίαν καὶ ἀξίαν ἐπὶ τὸ αὐτὸ συνεκάλεσεν ὁ λόγος πρὸς τὴν τοῦ Κυρίου αἴνεσιν· *Βασιλεῖς τῆς γῆς καὶ πάντας λαοὺς, ἄρχοντας καὶ πάντας κριτὰς γῆς· νεανίσκους καὶ παρθένους*· καὶ τὸ καινοπρεπὲς τοῦ θαύματος, ὅτι τῇ νέᾳ καὶ ἀπειροκάκῳ τῶν νηπίων καὶ θηλαζόντων ἡλικίᾳ τὰ πρεσβεῖα συνεχώρησε τοῦ ἐξάρξαι τῷ Κυρίῳ ἐν ἐξομολογήσει τὸ θεοδίδακτον ᾆσμα, καθὰ πάλαι (88) Μωϋσῆς τῷ ἐξ Αἰγύπτου λαῷ, τὸ, *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

mus :] susciplamus omnes alacri animo totaque honestate celebremus. Vestimentorum loco *corda nostra effundamus coram illo* [33] : inque psalmis et canticis gratiarum ei actiones prætendamus ; ac illud, *Benedictus qui venit in nomine Domini* [34], nulla requie clamemus. *Qui enim ipsi benedicunt, benedicti sunt ; et qui maledicunt, maledicti* [35]. Dicam iterum, nec ad bonum hortari desinam : Venite, dilecti, benedicamus eum qui est benedictus, ut benedicamur ab ipso. Ætatem omnem et conditionem in unum pariter sermo ascivit ad Domini laudem : *reges terræ et omnes populos : principes et omnes judices terræ : juvenes et virgines* [36] : quodque in miraculo decenter novum videatur, primas juvenis atque innocens infantium et lactentium ætas obtinuit partes, auspicandi Domino in confessione divinitus inspiratum canticum : qua olim ratione Moyses præcinuit egredienti populo de Ægypto : illud nimirum : *Benedictus qui venit in nomine Domini* [37].

Β'. Σήμερον χαρᾷ χαίρει ὁ μακάριος Δαβὶδ, σεσυλημένος τὴν κιθάραν ὑπὸ νηπίων· οἷς καὶ συγχορεύων τῷ πνεύματι καὶ συνεκνευχούμενος, καθάπερ τὸ πρὶν πρὸ προσώπου τῆς κιβωτοῦ τοῦ Θεοῦ, συμμουσουργεῖ καὶ συμψελλίζει ἡδέως· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.* Πρὸς ὃν ἐροῦμεν· Λέγε ἡμῖν, ὦ προφῆτα, τίς οὗτος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου ; Οὐκ ἐμὸν, φησὶ, τὸ διδασκαλεῖον σήμερον· νηπίοις γὰρ ἀφιέρωται παρὰ τοῦ *καταρτήσαντος ἐκ στόματος νηπίων καὶ θηλαζόντων αἶνον, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν*· ὅπως καὶ διὰ τοῦ θαύματος τούτων *ἐπιστραφῶσι πατέρων καρδίαι ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων.* Λέγετε ἡμῖν, ὦ παῖδες, πόθεν ὑμῖν ἡ καλὴ αὕτη καὶ ἐπίχαρις (89) ἅμιλλα καὶ ᾠδή ; Τίς ὁ διδάξας ; Τίς ὁ σοφίσας ; Τίς ὁ συναθροίσας ; Ποῖαι δέλτοι ; Τίνες οἱ παιδαγωγοί ; Συγκοινωνήσατε ἡμῖν, φασὶ, τῆς εὐωχίας καὶ μελῳδίας, καὶ μαθήσεσθε τὰ Μωϋσῇ καὶ τοῖς λοιποῖς προφήταις ἐν ἐπιθυμίαις. Ἐπεὶ οὖν προετράπημεν, καὶ *δεξιὰς ἡμῖν ἔδωκαν* οἱ παῖδες *κοινωνίας*, δεῦρο, ἀγαπητοὶ, καὶ ἡμεῖς ζηλώσωμεν τὴν θεοπρεπῆ χορείαν, καὶ μετὰ τῶν ἀποστόλων *ὁδοποιήσωμεν τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολὰς*, καὶ ἐπὶ ὑποζύγιον, ὡς ηὐδόκησεν, ἐποχουμένῳ ἐπὶ τῆς γῆς. Μετὰ τῶν νηπίων κλάδη ἄρωμεν, καὶ τοῖς θαλλοῖς κροτήσωμεν, ὅπως ἐπιπνεύσῃ καὶ ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὴν θεοδίδακτον ἀναμέλψωμεν εὐτάκτως ᾠδήν· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.* Σήμερον καὶ ὁ πατριάρχης Ἰακὼβ ἐν πνεύματι ἑορτάζει, ὁρῶν τὴν προφητείαν αὐτοῦ εἰς ἔργον ἀχθεῖσαν· καὶ τὸν δε-

II. Hodie gaudet gaudio beatus David, infantibus spoliantibus cithara, quibuscum etiam spiritu choreas ducens unaque delectatus, sicut olim coram Dei arca [38], musicos concentus miscet ac suaviter adbalbutit : *Benedictus qui venit in nomine Domini* [39]. Quem percunctabimur ? cedo nobis, Propheta : quis iste est qui venit in nomine Domini ? At ille : Non meæ, inquit, hodie sunt docendi partes ; infantibus enim consecravit scholam, qui *perfecit laudem ex ore infantium et lactentium, ut destruat inimicum et ultorem* [40] : quo etiam, istorum miraculo, *corda patrum convertantur ad filios, et increduli ad prudentiam justorum* [41]. Nobis, pueri, edicite, unde vobis pulchrum hoc gratiosumque certamen et carmen ? Quis docuit ? quis erudivit ? quis congregavit ? quæ tabulæ ? qui ludimagistri ? Vos, inquiunt, voluptati nostræ canticoque, una accedite socii, eaque discetis, quæ Moysi ac prophetis reliquis fuerunt in desiderio [42]. Quia nos ergo pueri invitarunt, ac *dexteras dederunt societatis* [43], adeste, dilecti, æmulemur et ipsi augustum illud tripudium, ac cum apostolis, *iter ei faciamus, qui ascendit super cœlum cœli, ad Orientem* [44], quique pro bona sua voluntate, subjugali in terra vehitur [45]. Tollamus ramos cum pueris, plaudamusque ramis olivarum, ut et nos Spiritus sanctus afflaverit, divinitusque inspiratum canticum composite modulemur : *Benedictus qui venit in nomine Domini, Hosanna in altissimis* [46]. Sed et patriarcha Jacob hodie in spiritu festum agit, qui prophetiam suam in opus deductam videat, eumque, qui pullum suum alligat ad vitem [47], novo impositum pullo, ac fidelium socius Patrem ad-

[33] *Psal.* LXI, 9. [34] *Psal.* CXVII, 26 ; *Matth.* XXI, 9 ; *Marc.* XI, 9 ; *Luc.* XIX, 38 ; *Joan.* XII, 13. [35] *Gen.* XXVII, 29. [36] *Psal.* CXLVIII, 11, 12. [37] *Exod.* XV, 1. [38] II *Reg.* VI, 14. [39] *Psal.* CXVII, 26. [40] *Psal.* VIII, 3. [41] *Malach.* IV, 6 ; *Luc.* I, 17. [42] *Luc.* X, 24. [43] *Galat.* II, 9. [44] *Psal.* LXVIII, 5, 34. [45] *Matth.* XXI, 5. [46] *ibid.* 9. [47] *Gen.* XLIX, 10.

(88) *Καθὰ πάλαι M.* Al., καθάπερ M.

(89) *Καλὴ.... ἐπίχαρις.* Al., καινὴ.... περιχαρὴς.

Digitized by Google

orat. Hodie aptatur pullus, gentium quondam irrationalium, irrationale exemplar, ad populi ex gentibus significandam subjectionem : declarantque pueri primam illorum, quod ad Dei notitiam spectat, pueritiam; secutamque postmodum in Dei cultu ac vera religione absolutionem. Hodie juxta Prophetam [48], gloriæ Rex laudatur in terra, cœlestisque epuli et lætitiæ una socios terrigenas facit, quo se utrorumque Dominum probet, velut qui communibus utrinque vocibus decantetur. Idcirco superni illi terrestrium salutem annuntiantes, psallebant [49] : *Sanctus, sanctus, sanctus, Dominus Sabaoth. Plena omnis terra gloria ejus :* inferno autem positi, communi et ipsi conventu cœlestium lætitiam celebrantes, clamabant : *Hosanna [in altissimis : Hosanna] Filio David.* Atque priores quidem in hæc verba laudabant : *Benedicta gloria Domini de loco suo* [50]. Isti autem [Deum celebrantes,] dicebant : *Benedictus qui venit in nomine Domini* [51].

III. Cum autem hæc peragerentur, *discipulique gaudentes laudarent super omnibus quas viderant virtutibus, ac dicerent : Benedictus qui venit rex in nomine Domini : pax in cœlo, et gloria in excelsis* [52], cœpit civitas interrogare, dicens : *Quis est hic* [53] ? induratum veteremque adversum Domini gloriam livorem excitans. Tu autem cum audis civitatem, veterem Synagogæ incompositam multitudinem agnosce. Interrogant ingrati malignique, *Quis est hic?* quasi necdum beneficium vidissent, eumque quem homine majora, divina miracula, celebratissimum fecissent. *Non enim tenebræ comprehenderunt quod luxit in ipsis lumen* [54], occasus nescium. Quamobrem apposite ad illos clamavit Isaias propheta dicens : *Surdi, audite, et cæci, suspicite ut videatis. Et quis est cæcus [nisi pueri mei : et surdi], nisi qui dominantur eorum? Et servi Dei obcæcati sunt. Vidistis sæpe, et non custodistis : apertæ sunt aures, et non audistis* [55]. Videtis, dilecti, quam sit accuratus sermo ; ut divinus Spiritus, quæ sua est futurorum inspectio, per sanctos suos, velut præsentia essent, futura prædicaverit. Viderunt siquidem ingrati, palparuntque ex miraculis, miraculorum patratorem Deum, ac nihilominus in infidelitate manserunt [56]. Viderunt cæcum a nativitate,

σμεύοντα πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ (90), ἐπιβεβηκότα ἐπὶ πῶλον νέον, καὶ μετὰ τῶν πιστῶν προσκυνεῖ τῷ Πατρί. Σήμερον πῶλος ἑτοιμάζεται, τὸ τῶν ἀλογίστων ἐθνῶν τὸ πρὶν ἀλόγιστον ἐξεμβλάριον (91), εἰς ἐπίδειξιν ὑποταγῆς τοῦ ἐξ ἐθνῶν λαοῦ· καὶ νήπια καταμηνύουσι τὴν τούτων πρὸς θεογνωσίαν νηπιότητα, καὶ τὴν μετὰ ταῦτα πρὸς θεοσέβειαν τελειότητα. Σήμερον ὁ βασιλεὺς τῆς δόξης ἐπὶ γῆς προφητικῶς δοξάζεται, καὶ συγκοινωνοὺς τῆς ἐπουρανίου εὐωχείας τοὺς γηγενεῖς ἀναδείκνυσιν, ἵνα δείξῃ, ὅτι αὐτός ἐστι Κύριος ἀμφοτέρων, ὡς ἑκατέρωθεν συμφώνως ἀνυμνούμενος. Διὰ τοῦτο οἱ μὲν ἄνω (92) τὴν ἐπὶ γῆς σωτηρίαν καταμηνύοντες ἐψαλλον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ. Πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· οἱ δὲ κάτω τῇ ἐπουρανίῳ εὐφροσύνῃ συμπανηγυρίζοντες ἔκραζον· Ὡσαννὰ [ἐν τοῖς ὑψίστοις· ὡσαννὰ] τῷ υἱῷ Δαβίδ. Καὶ οἱ μὲν ἄνω ἐδοξολόγουν· Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ· οἱ δὲ κάτω [ἐθεολόγουν]· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Γ. Τούτων δὲ οὕτως τελουμένων, Καὶ τῶν μαθητῶν χορευόντων περὶ πάντων ὧν εἶδον δυνάμεων, καὶ λεγόντων, Εὐλογημένος ὁ ἐρχόμενος [βασιλεὺς] ἐν ὀνόματι Κυρίου· ἐν οὐρανῷ εἰρήνη, καὶ δόξα ἐν ὑψίστοις· ἡ πόλις ἐπύθετο (93) λέγουσα· Τίς ἐστιν οὗτος ; πεπωρωμένον φθόνον κατὰ τῆς τοῦ Δεσπότου δόξης κινοῦσα. Πόλιν δὲ ἀκούων, τὴν παλαιὰν τῆς Συναγωγῆς ἄτακτον πληθὺν ἐπιγίνωσκε. Διερωτῶσιν οἱ ἀγνώμονες, Τίς ἐστιν οὗτος; ὡς μήπω ἑωρακότες τὸν εὐεργέτην καὶ περιβόητον τοῖς θεοπρεπέσι θαύμασιν. Οὐ γὰρ κατέλαβεν ἡ σκοτία τὸ ἐν αὐτῇ ἐπιλάμψαν ἄδυτον φῶς. Ὅθεν εὐθυβόλως πρὸς αὐτοὺς ἀνακέκραγεν (94) Ἡσαΐας ὁ προφήτης λέγων· Οἱ κωφοὶ ἀκούσατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. Καὶ τίς τυφλὸς, [ἀλλ' οἱ παῖδές μου· καὶ κωφοὶ] ἀλλ' ἢ κυριεύοντες αὐτῶν ; Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. Εἶδετε πολλάκις, καὶ οὐκ ἐφυλάξασθε· ἠνεῳγμέναι τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. Θρᾶτε, ἀγαπητοὶ, ἀκρίβειαν λόγου, ὅπως τὸ προθεωρητικὸν θεῖον Πνεῦμα διὰ τῶν ἁγίων τὰ μέλλοντα ὡς παρόντα ἐκήρυττεν. Εἶδον γὰρ οἱ ἀχάριστοι, καὶ ἐψηλάφησαν διὰ τῶν θαυμάτων, τὸν θαυματουργὸν Θεὸν, καὶ τῇ ἀπιστίᾳ ἐνέμειναν. Εἶδον τυφλὸν ἐκ γενετῆς, τὸν φωταγωγήσαντα Θεὸν κηρύττοντα. Εἶδον σύγχρονον καὶ σύζυ-

[48] *Psal.* CXLVIII, 9. [49] *Isa.* VI, 3. [50] *Ezech.* III, 22. [51] *Matth.* XXI, etc. [52] *Luc.* XIX, 37, 38. [53] *Matth.* XXI, 10. [54] *Joan.* I, 5. [55] *Isa.* XLII, 18-20. [56] *Joan.* IX.

(90) *Τὸν πῶλον αὐτοῦ.* Gentes omnes, ad vitem illam translatam de Ægypto, quæ implevit totam terram, docentibus prophetis ipsius et justis. Ita ad verbum Titus Bostrensis docta orat. *Εἰς τὰ Βάϊα,* quam ex regiis habemus.

(91) *Ἀλόγιστον ἐξεμβλάριον.* Al., ἄλογον ἐξεμβλάριον ἢ ἐξεμπλάριον. Gaudent Græci barbaris et Latinis vocibus, ut non paucæ jam olim cum imperio ad eos transierint, nonnunquam scriptoribus præsertim sacris usurpatæ, velut forte magis usu receptæ et notiori significatione; qua de re etiam in Vita Basilii pro Amphilochio.

(92) *Διὰ τοῦτο οἱ μὲν ἄνω.* Pluribus eodemque sensu, orat. illa *De occursu,* exponit idem seraphicum canticum ; ut postrema illius parte, palam celebretur Dominicus adventus et οἰκονομία; qua vere fuit plena terra, gloria Domini ; obcæcatis interim Judæis : quam eorum cæcitatem olim prædictam, recte Methodius noster utroque loco, Domino apparente, offendit eventu secutam, ut videatur ista περιοχὴ præcipui characteris loco huicce orationi.

(93) *Ἐπύθετο.* Al., ἐσείετο.

(94) *Ἀνακέκραγεν.* Al., προανέκραγεν.

Digitized by Google

γον τῇ ἀσθενείᾳ παράλυτον, προστάγματι διαζευχθέντα τῆς κακουχίας. Ἐθεάσαντο Λάζαρον φυγάδα θανάτου γεγονότα. Ἤκουσαν τὸν ἐν θαλάττῃ περίπατον· τὴν ἀγεώργητον οἰνοδοσίαν· τὴν ἄμοχθον ἀρτοςαγίαν· τὴν τῶν δαιμόνων ἀπελασίαν· τὴν τῶν καμόντων εὐρωστίαν. Αἱ πλατεῖαι αὐτῶν τὰς δυνάμεις ἐκήρυττον· αἱ ὁδοὶ αὐτῶν τὰς ἰάσεις τοῖς ὁδοιποροῦσι κατήγγελλον. Πᾶσα Ἰουδαία ἐπληρώθη τῶν εὐεργεσιῶν· καὶ νῦν ἀκούοντες Θεοῦ αἶνον, πυνθάνονται· *Τίς ἐστιν οὗτος;* Ὦ ἀνοίας τῶν ψευδωνύμων διδασκάλων! ὦ τῶν ἀπειθῶν πατέρων! ὦ τῶν ἀφρόνων πρεσβυτέρων! ὦ *σπέρμα Χαναὰν* τοῦ ἀναιδοῦς, καὶ *οὐχὶ Ἰούδα* τοῦ εὐλαβοῦς. Τὰ τέκνα ἐπέγνωσαν τὸν κτίστην, καὶ οἱ ἀπειθεῖς πατέρες ἔλεγον· *Τίς ἐστιν οὗτος;* Ἡ νέα καὶ ἁδαὴς ἡλικία τὸν Θεὸν ἀνύμνησε, *καὶ οἱ πεπαλαιωμένοι ἡμερῶν κακῶν* ἐπυνθάνοντο· *Τίς ἐστιν οὗτος;* Θηλάζοντες θεολογοῦσι, καὶ πρεσβύτεροι βλασφημοῦσι· παῖδες εὐσεβῶς ἱερουργοῦσι αἶνον, καὶ ἀνίεροι ἱερεῖς δυσσεβῶς *ἀγανακτοῦσιν.*

Deum prædicantem, qui visum restituisset. Viderunt paralyticum coæva infirmitate, arctiusque implicata mala valetudine, jubente ipso, absolutum [57]. Lazarum conspexerunt, mortis factum profugam [58]. Audierunt eum ambulasse in mari [59], vinum sine cultura subministratum [60], comestos panes convivio ultro instructo, [61] fugatos dæmones, infirmos sanitati restitutos [62]. Plateæ ipsorum prædicabant virtutes, viæ agentibus iter sanationes annuntiabant. Judæa tota beneficiis cumulata erat; audientesque modo divinas laudes, interrogant: *Quis est hic?* O dementiam falsi nominis magistrorum! o incredulos patres! o insipientes seniores! *o Chanaan* impudentis *semen, non* reverentis et timorati *Juda* [63]. Agnoverunt pueri Creatorem, parentes vero increduli dicebant: *Quis est hic?* Nova et rudis ætas Deo cecinit laudem, *inveteratique malorum dierum* [64] percontabantur: *Quis est hic?* Lactentes divinitatem laudant, senioresque blasphemiis appetunt. Pueri pie sacrificant laudem, profanique sacerdotes impie *indignantur* [65].

Δ'. *Οἱ ἀπειθεῖς ἐν φρονήσει δικαίων*, ἐπιστρέψατε τὰς καρδίας ὑμῶν ἐπὶ τὰ τέκνα ὑμῶν. Μάθετε μυστήρια Θεοῦ· αὐτὸ τὸ τελούμενον μαρτυρεῖ, ὅτι Θεός ἐστιν ὁ οὕτως ἀνυμνούμενος ὑπὸ ἀδιδάκτων γλωσσῶν. *Ἐρευνᾶτε τὰς Γραφὰς*, καθὼς ἠκούσατε παρὰ τοῦ Δεσπότου· *ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ αὐτοῦ*, καὶ οὐκ ἀγνοεῖτε τὸ θαῦμα. Ἀκούσατε, οἱ ἀχαριτώτατοι (95) καὶ ἀχάριστοι, τί εὐαγγελίζεται ὑμῖν ὁ προφήτης Ζαχαρίας. Φησὶ γάρ· *Χαῖρε σφόδρα, θύγατερ Σιών· ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου* (96). Διατί τὴν χαρὰν ἀποσείεσθε; Διατί τε Ἡλίου λάμποντος, τὸ σκότος ἀγαπᾶτε; Διατί πρὸς τὴν ἀπολέμητον εἰρήνην μελετᾶτε πόλεμον; Εἰ τοίνυν υἱοὶ Σιών ἐστε, συγχορεύσατε τοῖς τέκνοις ὑμῶν. Χαρᾶς ἀφορμὴ ἔστω ὑμῖν ἡ τῶν τέκνων θεοσέβεια. Μάθετε παρ' αὐτῶν τίς ὁ διδάξας; τίς ὁ συναθροίσας; πόθεν τὰ διδάγματα; τίς ἡ καινὴ θεολογία, καὶ παλαιὰ προφητεία; Εἰ δὲ ἀνθρώπων μὲν οὐδεὶς οὐδὲν τούτων ἐδίδαξεν, αὐτόματον δὲ τὸν αἶνον ἀναμέλπουσι, γνῶτε Θεοῦ εἶναι τὸ ἔργον· ὡς ἐν τῷ Νόμῳ γέγραπται· *Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.* Διπλασιάσατε οὖν τὴν χαρὰν, ὅτι τοιούτων παίδων γεγόνατε πατέρες, οἵτινες καὶ τὰ τοῖς πρεσβυτέροις ἀγνοηθέντα θεοδιδάκτως ἀνευφήμησαν. *Ἐπιστρέψατε τὰς καρδίας ὑμῶν ἐπὶ τὰ τέκνα ὑμῶν*, καὶ μὴ μύσατε τοὺς ὀφθαλμοὺς ὑμῶν πρὸς τὴν ἀλήθειαν. Εἰ δὲ οἱ αὐτοί ἐστε, *καὶ ἀκούοντες οὐκ ἀκούετε, καὶ βλέποντες οὐ βλέπετε*, καὶ

IV. *Increduli ad prudentiam justorum* [66], corda vestra convertite ad filios vestros. Discite sacramenta Dei: testis est res ipsa quæ agitur, Deum esse qui sic ab indoctis linguis decantetur. *Scrutamini Scripturas*, quemadmodum audistis a Domino, *quoniam illæ sunt quæ testimoniam perhibent de ipso* [67], nec miraculum ignorate. Audite, sine gratia homines ingratique, quid vobis fausti nuntii Zacharias afferat. Ait enim: *Gaude vehementer, filia Sion: ecce Rex tuus venit tibi justus et salvans: ipse mansuetus et sedens super pullum asinæ* [68]. Utquid gaudium repellitis? utquid lucente sole, tenebras diligitis? utquid adversus inexpugnabilem pacem meditamini bellum? Si igitur estis filii Sion, una cum filiis vestris choreas ducite. Sit vobis gaudii ratio, filiorum religio. Ab ipsis discite quis fuerit doctor? quis convocaverit? unde doctrina? quæ nova theologia vetusque prophetia? Quod si ne quis hominum quidquam illos docuit, ultro autem modulantur laudem, Dei opus cognoscite; sicut scriptum est in lege: *Ex ore infantium et lactentium perfecisti laudem* [69]. Agite ergo duplex gaudium, quod talium puerorum facti estis patres, qui etiam senioribus ignorata, Deo docente, laudibus celebrarunt. *Convertite corda vestra ad filios vestros* [70], nec clauseritis oculos ad veritatem. Quod si iidem perseveratis, *et audientes non auditis, videntesque non videtis* [71], atque incassum ab infantibus dissidetis, *erunt ipsi vestri judices* [72], juxta Salvatoris verbum.

[57] *Joan.* v, 5. [58] *Joan.* xi, 44. [59] *Matth.* xiv, 26. [60] *Joan.* ii, 7. [61] *Joan.* vi, 11. [62] *Luc.* viii 29, etc. [63] *Dan.* iii, 56. [64] *Dan.* xiii, 52. [65] *Matth.* xxi, 15. [66] *Luc.* i, 17. [67] *Joan.* v, 39. [68] *Zach* ix, 9. [69] *Psal.* viii, 3. [70] *Luc.* i, 17. [71] *Isa.* vi, 10. [72] *Matth.* xii, 27.

(95) Ἀχαριτώτατοι. Quasi non gratificati: vestra utique culpa, qui Dei gratificantis beneficium et gratiam repellitis. Quo sensu posset exponi illud Luc. i, κεχαριτωμένη, ubi interpr., *gratia plena*, quasi gratificata et singulariter aucta gratia, eoque *plena gratia*, alio significatu, et plane gratiosa, Dei in ipsam effusa largissima gratia. Sic paulo infetius reddimus τὸ λόγῳ κεχαριτωμένῳ, *pleno gratia sermone*, hoc est lepore, et gratioso; quomodo reddit Erasmus τὸ, κεχαριτωμένη, Luc. i.

(96) *Καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου.* Sic etiam citatur ex Justino. Habent modo LXX, *super pullum novum*. Nostrum et Justini consonantius Hebræo, ubi est בן־אתנות *filium asinarum*. Sic etiam Vulg., *super pullum filium asinæ*.

Digitized by Google

Bene igitur etiam istud cum aliis prælocutus est de vobis Isaias propheta dicens : *Non confundetur modo Jacob, neque nunc faciem mutabit : sed cum viderint filios suos facientes opera mea, propter me sanctificabunt nomen meum, et sanctificabunt sanctum Jacob, et Deum Israel timebunt : et scient, qui errant spiritu, intelligentiam : et mussitatores, discent obedire; et linguæ balbutientes, discent loqui pacem* [74]. Vides, Judæe insipiens, ut a sermonis exordio confusionem vobis incredulitatem vestram propheta prænuntiet? Vel ab ipso noveritis, ut vestrorum filiorum laudationem divinitus inspiratam prædicet : quemadmodum etiam prælocutus erat beatus David, dicens : *Ex ore infantium et lactentium perfecisti laudem* [75]. Vel igitur filiorum vobis sanctitatem [ut par est,] vindicate; vel nobis filios cum religione concedite. Nos cum illis ducemus choreas, novæque gloriæ divinitus inspiratum canticum pariter psallemus.

μάτην διαφέρεσθε πρὸς τὰ νήπια, *αὐτοὶ ὑμῶν κριταὶ ἔσονται*, κατὰ τὸν τοῦ Σωτῆρος λόγον. Καλῶς οὖν καὶ τοῦτο μετὰ τῶν ἄλλων προανεφώνησε περὶ ὑμῶν ὁ προφήτης Ἡσαΐας λέγων· *Οὐ νῦν αἰσχυνθήσεται Ἰακὼβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου ποιοῦντα* (97), *δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου, καὶ ἁγιάσουσι τὸν ἅγιον τοῦ Ἰακὼβ, καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται. Καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι σύνεσιν· οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν· καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.* Ὁρᾷς, ὦ ἀνόητε Ἰουδαῖε, πῶς ἐκ προοιμίων τοῦ λόγου αἰσχύνην ὑμῖν προκαταγγέλλει ὁ προφήτης διὰ τὴν ἀπείθειαν ὑμῶν; Μάθετε κἂν παρ' αὐτοῦ πῶς θεοδίδακτον κηρύσσει τὴν τῶν τέκνων ὑμῶν ὑμνῳδίαν· ὡς καὶ ὁ μακάριος Δαβὶδ προανεφώνησε λέγων· *Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτήσω αἶνον.* Ἢ τοίνυν τὴν ὁσιότητα τῶν παίδων εἰκειώσασθε, [ὡς χρεών,] ἢ μετὰ τῆς εὐσεβείας τοὺς παῖδας ἡμῖν χαρίσασθε. Ἡμεῖς τούτοις συγχορεύσομεν, καὶ τῇ καινῇ δόξῃ τὸ θεοδίδακτον ᾄσμα συμψαλοῦμεν.

V. Sane quidem, cum olim Simeon senex occurrit Salvatori [76], ulnisque velut infantem suscepit sæculorum auctorem, et Dominum et Deum prædicavit. Nunc autem seniorum improborum loco, ut olim Simeon, pueri occurrunt Salvatori, ramosque arborum pro ulnis substernentes, super pullum tanquam super cherubim sedentem, Dominum Deum benedicunt : *Hosanna filio David : benedictus qui venit in nomine Domini.* Cum quibus clamemus et nos : Benedictus qui venit Deus Rex gloriæ : qui propter nos factus est pauper, ipse in propriis suis paupertatem nesciens, ut sua nos bonitate ditaret [76]. Benedictus qui venit in humilitate, iterum venturus in gloria : primum super pullum mansuetus, faustisque ominibus prosequentibus infantibus, ut impleretur quod est scriptum [77] : *Visi sunt ingressus tui, Deus, ingressus Dei mei, regis mei qui est in sancto;* postmodum, terribilis super nubes, angelis stipantibus atque virtutibus. O puerorum mellifluam linguam! o sinceram Deo placitorum doctrinam! Prophetia David edita sensum sub littera occultavit; pueri, aperto thesauro, divitias protulerunt in lingua; plenoque gratia sermone, clare omnes ad eas fruendas vocarunt. Hauriamus itaque et nos cum ipsis divitias non auferibiles. Inexplebilibus sinibus penubusque reponamus divina charismata. Clamemus sine termino : *Benedictus qui venit in nomine Domini :* Deus verus, in nomine Dei veri, omnipotens ex omnipotente, Filius in nomine Patris, Rex verus et ex vero Rege; cujus, ut ejus qui genuit, coæternum est regnum et prææternum. Est enim illud commune,

Ε'. Ποτὲ μὲν γὰρ Συμεὼν ὁ πρεσβύτης ὑπήντησε τῷ Σωτῆρι, καὶ ταῖς ἀγκάλαις ὑπεδέξατο τὸν τῶν αἰώνων ποιητὴν ὡς βρέφος, καὶ Κύριον καὶ Θεὸν ἐκήρυττε· νῦν δὲ ἀντὶ πρεσβυτέρων ἀγνωμόνων οἱ παῖδες τῷ Σωτῆρι ὑπήντησαν, ὡς Συμεών, καὶ τὰ κλάδη ἀντὶ ἀγκαλῶν ὑπέστρωσαν, καὶ Κύριον τὸν Θεὸν εὐλόγησαν, τὸν ἐπὶ πώλου ὡς ἐπὶ τῶν χερουβὶμ καθεζόμενον· *Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.* Μεθ' ὧν βοήσωμεν καὶ ἡμεῖς· Εὐλογημένος ὁ ἐλθὼν Θεὸς βασιλεὺς (98) τῆς δόξης· ὁ πτωχεύσας, ἐν τοῖς ἰδίοις αὐτοῦ ἀπτώχευτος, δι' ἡμᾶς, ἵνα ἡμᾶς πλουτίσῃ τῇ αὐτοῦ ἀγαθότητι. Εὐλογημένος ὁ ἐλθὼν ἐν ταπεινώσει, καὶ πάλιν ἐρχόμενος ἐν δόξῃ· πρῶτον ἐπὶ πώλου πραΰς, καὶ ὑπὸ νηπίων εὐφημούμενος, ὅπως πληρωθῇ τὸ γεγραμμένον· *Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ Βασιλέως τοῦ ἐν ἁγίῳ·* δεύτερον, φοβερὸς ἐπὶ τῶν νεφελῶν ὑπὸ ἀγγέλων καὶ δυνάμεων δορυφορούμενος. Ὦ τῆς μελιῤῥύτου τῶν παίδων γλώττης, ὦ τῆς ἀκαπηλεύτου διδασκαλίας τῶν θεαρέστων! Δαβὶδ προφητεύσας ὑπὸ τὸ γράμμα ἐκάλυψε τὸ νόημα· παῖδες, τὸν θησαυρὸν ἀνοίξαντες, ἐπὶ γλώττης τὸν πλοῦτον προσήνεγκαν, καὶ λόγῳ κεχαριτωμένῳ διαπρυσίως πάντας ἐπὶ τὴν ἀπόλαυσιν ἐκάλεσαν. Ἀντλήσωμεν τοιγαροῦν καὶ ἡμεῖς [σὺν αὐτοῖς] τὸν ἀναφαίρετον πλοῦτον. Ἀπλήστοις κόλποις καὶ ταμιείοις ἐναποθώμεθα τὰ θεῖα χαρίσματα. Βοήσωμεν ἀπέραντα· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·* Θεὸς ἀληθινὸς ἐν ὀνόματι Θεοῦ ἀληθινοῦ· παντοκράτωρ ἐκ τοῦ παντοκράτορος· Υἱὸς ἐν ὀνόματι Πατρός· Βασιλεὺς ἀληθινὸς, ἐξ ἀληθινοῦ Βασιλέως· συναΐδιον καὶ

[74] *Isa.* XXIX, 22-24. [75] *Psal.* VIII, 3. [76] *Luc.* II, 29. [77] II *Cor.* VIII, 9. [77] *Psal.* LXVII, 25.

(97) *Ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου ποιοῦντα.* Unus codex habet τὸ, ποιοῦντα, adjectum forsan glossemate : ac nec Hieronymus legit aut Cyrillus, constatque satis appositive legendo, sua Methodio sententia.

(98) *Ὁ ἐλθὼν Θεὸς βασιλ.* Al., ὁ ἐκ Θεοῦ Θεὸς ὁ βασιλ.

Digitized by Google

προαιώνιον τὴν βασιλείαν ἔχων, ὡς ὁ γεννήσας αὐτόν. Κοινὴ γὰρ ἡ βασιλεία, καὶ οὐκ ἔξωθεν τὴν ταύτης τιμὴν τῷ Υἱῷ ὁ λόγος προσκληροῖ· οὐδὲ ἀρξαμένην, οὐδὲ προσγινομένην· ἄπαγε! ἀλλὰ φυσικὴν καὶ ἰδιόκτητον ἀληθῶς. Μία γὰρ ἡ βασιλεία Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· ὥσπερ καὶ μία οὐσία, καὶ μία κυριότης. Ὅθεν καὶ μίᾳ προσκυνήσει λατρεύομεν μίαν τρισυπόστατον Θεότητα, ἄναρχον, ἄκτιστον, ἀπέραντον καὶ ἀδιάδοχον. Οὔτε γὰρ ὁ Πατὴρ παύσηταί ποτε τοῦ εἶναι Πατήρ· οὔτε ὁ Υἱὸς τοῦ εἶναι Υἱὸς καὶ βασιλεύς· οὔτε δὲ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ εἶναι τοῦτο ὅπερ ἐστὶ τῇ ὑποστάσει. Οὐδὲν γὰρ τῆς Τριάδος ἐλαττωθήσεται, ἢ τῆς ἀϊδιότητος, ἢ τῆς κοινότητος καὶ βασιλείας. Οὐ γὰρ ὅτι ἄνθρωπος γέγονε δι' ἡμᾶς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ τὸν καθ' ἡμῶν τύραννον [κατέβαλεν] ἐν τῇ σαρκὶ, ταύτῃ πραγματευόμενος τὴν κατὰ τοῦ δυσμενοῦς αὐτῆς ἐχθροῦ νίκην, διὰ τοῦτο βασιλεὺς ἐχρημάτισεν· ἀλλ' ὅτι Κύριος καὶ Θεὸς ἀεὶ, διὰ τοῦτο καὶ βασιλεὺς ὡς ὁ γεννήσας αὐτόν· νυνὶ δὲ, καὶ μετὰ τῆς προσλήψεως, καὶ εἰς τὸ διηνεκές. Μὴ βλασφήμει τὴν τοῦ Χριστοῦ βασιλείαν, αἱρετικὲ, ἵνα μὴ τὸν γεννήσαντα ἀτιμάσῃς. Εἰ πιστὸς εἶ, πιστῶς πρόσελθε Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, καὶ *μὴ ὡς ἐπικάλυμμα ἔχων τῆς κακίας τὴν ἐλευθερίαν*. Εἰ δοῦλος εἶ, ἐντρόμως τῷ Δεσπότῃ ὑποτάγηθι. Ὁ γὰρ Λογομάχος (99), οὐκ εὐγνώμων δοῦλος, ἀλλὰ προδήλως δυσμενής. Γέγραπται γάρ· *Ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα τὸν πέμψαντα αὐτόν.*

Ϛ'. Ἡμεῖς δὲ, ἀγαπητοὶ, ὅθεν ἐξέβημεν, ἐπανέλθωμεν τῷ λόγῳ, βοῶντες· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· ὁ ποιμὴν ὁ καλὸς καὶ ἀγαθὸς, θεῖναι τὴν ψυχὴν αὐτοῦ ἑκουσίως ὑπὲρ τῶν προβάτων αὐτοῦ· ἵν' ὥσπερ (1) τοὺς πρόβατα σιτουμένους λύκους προβάτῳ ἁλίσκουσιν οἱ λυκόθηρες, οὕτω τοῖς νοητοῖς καὶ ψυχοφθόροις λύκοις, ἑαυτὸν ὡς ἄνθρωπον προσθεὶς ὁ *ἀρχιποιμὴν*, θήραμα ποιήσῃ τοὺς θηρεύσαντας, τῷ πάλαι θηρευσθέντι ὑπ' αὐτῶν Ἀδάμ. *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· Θεὸς κατὰ τοῦ διαβόλου· οὐ φανερῶς διὰ τῆς ἀπροσβλέπτου δυνάμεως, ἀλλὰ διὰ τῆς ἀσθενείας τῆς σαρκὸς, δῆσαι τὸν καθ' ἡμῶν ἰσχυρόν. *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· βασιλεὺς κατὰ τοῦ τυράννου· οὐ διὰ τῆς παντοκρατορικῆς δυνάμεως καὶ σοφίας, ἀλλὰ διὰ τῆς νομισθείσης τοῦ σταυροῦ μωρίας, τοῦ ἐν κακίᾳ [φρονίμου] ὄφεως τὰ σκῦλα διαρπάσαντος. *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· ὁ ἀληθινὸς κατὰ τοῦ ψεύστου· ὁ σωτὴρ κατὰ τοῦ λυμεῶνος· *ὁ εἰρηνάρχης* κατὰ τοῦ πολεμήτορος· ὁ φιλάνθρωπος κατὰ τοῦ μισανθρώπου. *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· Κύριος ἐλεῆσαι τὸ πλάσμα τὸ ἴδιον. *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*· Κύριος σῶσαι τὸν

Sic igitur per Dei providentiam, commistam materiæ esse animam, dissimili rem quamdam dissimilem. Per hanc vero interim mistionem, cum materia vitium pariter contraxisse, ac laborasse animam. Quemadmodum enim in malo vase, quod in illo exsistit, haud raro pari qualitate mutatur, sic nimirum etiam in materia tale quid passam animam, a sua deteriorem factam indole, in malitiæ commercium transisse. Ejus vero Deum misertum, aliam quamdam virtutem misisse, quam nos δημιουργὸν (rerum scilicet opificem ac creatorem) vocamus : quæ cum venisset, et ad mundi creationem aggressa esset, illud virtutis a materia secrevisse, quod ex mistione nihil vitii ac labis contraxisset; atque hinc solem et lunam primum condita esse : quod vero pauxillum aliquid ac mediocre hausisset, id stellas cœlumque omne factum esse. Extra mundum autem ejectam, ex sole et luna secretam materiæ partem, esseque ignem illum, cui vis quidem urendi insit, cum ipse tenebrosus et lucis expers, ac nocti consimilis sit. In reliquis vero elementis et stirpibus et animalibus, in hac rerum universitate versantibus, lnæqualiter ferri commistam divinam virtutem. Proptereaque mundum conditum esse, et in illo solem et lunam, quæ rerum ortui interituique præsideant, divinam semper virtutem a materia separando, atque ad Deum transmittendo.

A ὕλης θάνατον, τὸν μετὰ ταῦτά ποτε τῆς δυνάμεως ταύτης χωρισμόν.

Οὕτως οὖν κατὰ πρόνοιαν τοῦ Θεοῦ μεμίχθαι τὴν ψυχὴν τῇ ὕλῃ, ἀνόμοιόν τι πρᾶγμα ἀνομοίῳ. Ἐν δὲ τῇ μίξει συμπαθεῖν τῇ ὕλῃ τὴν ψυχήν. Ὥσπερ γὰρ ἐν φαύλῳ ἀγγείῳ συμμεταβάλλεται πολλάκις τὸ ἐνυπάρχον, οὕτω δὲ καὶ ἐν τῇ ὕλῃ τοιοῦτό τι τὴν ψυχὴν παθοῦσαν, παρὰ τὴν οὖσαν ἠλαττῶσθαι φύσιν εἰς μετουσίαν κακίας. Οἰκτεῖραι οὖν τοῦτο τὸν Θεὸν, καὶ πέμψαι τινὰ ἑτέραν δύναμιν, ἣν ἡμεῖς καλοῦμεν δημιουργόν· ἧς δὴ ἀφικομένης, καὶ τῇ κοσμοποιίᾳ ἐπιB κεχειρηκυίας, ἀποκεκρίσθαι τῆς ὕλης ἐκεῖνο τῆς δυνάμεως, ὅσον ἀπὸ τῆς μίξεως οὐδὲν ἦν ἄτοπον πεπονθὸς, καὶ γεγονέναι ἥλιον καὶ σελήνην πρῶτον· τὸ δὲ ἐν μετρίᾳ γεγονὸς κακίᾳ ἀστέρας καὶ τὸν οὐρανὸν σύμπαντα. Τῆς οὖν ὕλης, ἧς ἀπεκρίθησαν ἥλιος καὶ σελήνη, τὸ μέρος ἐκτὸς τοῦ κόσμου ἀπεληλάσθαι, καὶ εἶναι ἐκεῖνο πῦρ, καυστικὸν μὲν, σκοτῶδες δὲ καὶ ἀφεγγὲς, νυκτὶ προσόμοιον. Ἐν δὲ τοῖς ἄλλοις στοιχείοις καὶ φυτοῖς καὶ ζώοις, τοῖς ἐν τούτοις, ἀνωμάλως φέρεσθαι τὴν θείαν δύναμιν μεμιγμένην. Διʼ ὃ δὴ καὶ τὸν κόσμον γεγονέναι, καὶ ἐν αὐτῷ ἥλιον καὶ σελήνην ταῖς γενέσεσι καὶ ταῖς φθοραῖς, ἀεὶ τὴν δύναμιν τὴν θείαν τῆς ὕλης ἀποχωρίζοντας καὶ πρὸς τὸν Θεὸν παραπέμποντας.

Cap. IV. *Lunæ augmentum et decrementum : nugæ in ea Manichaicæ. De homine et Christo somnia. Absurdæ insulsa ratio.*

Hæc nempe molitum esse, ut demiurgo ac creatori virtus alia suppetat, quæ ad solis lucis splendores trahat : esseque rem manifestam, velut quis dicat, cæco. Lunam enim augmentum faciendo virtutem accipere, quæ separatur a materia, ac per hoc tempus ea plenam evadere. Ubi vero plena fuerit, inter decrescendum ad solem remittere, solem vero ad Deum abire. Idque adeo cum præstiterit, exspectare rursum dum alio plenilunio anima ad ipsum commigret : quam similiter assumptam, ad Deum sponte sinat transire. Atque id in omne ævum pensi habere atque operæ.

C Ἐπεὶ γάρ τοι τῷ δημιουργῷ ἑτέραν δύναμιν ἐπὶ τὸ φωτοειδὲς τοῦ ἡλίου καθέλκουσαν ταῦτα διαπραγματεύσασθαι· καὶ εἶναι καὶ ἐμφανὲς τὸ πρᾶγμα, καὶ, ὡς ἄν τις εἴποι, τυφλῷ δῆλον. Ἐν μὲν γὰρ ταῖς αὐξήσεσι τὴν σελήνην λαμβάνειν τὴν ἀποχωριζομένην δύναμιν ἀπὸ τῆς ὕλης, καὶ πλήρη γίνεσθαι ταύτης τὸν χρόνον τοῦτον. Πληρωθεῖσαν δὲ, ἐν ταῖς μειώσεσιν εἰς τὸν ἥλιον ἀναπέμπειν· τὸν δὲ πρὸς τὸν Θεὸν ἀπιέναι. Ποιήσαντα δὲ τοῦτο, ἐκδέχεσθαι πάλιν τῆς ἀπὸ τῆς ἑτέρας πανσελήνου πρὸς αὐτὸν τῆς ψυχῆς μετοίκησιν· καὶ παραλαβόντα ὁμοίως πρὸς τὸν Θεὸν ἐᾷν αὐτομάτως φέρεσθαι. Καὶ τοῦτο διὰ παντὸς ἐκD πονεῖν.

Sed et in sole ejusmodi simulacrum conspici, qualis est forma hominis ; ambitiosiusque eniti materiam ut ex se ipsa condat hominem, omni sua commista virtute, qui ipse quoque animæ quidpiam habeat : multum tamen contulisse formam, ut homo majus aliquod, præ reliquis animantibus, commercium nancisceretur divinæ virtutis. Esse enim hominem divinæ virtutis imaginem : Christum vero esse mentem. Qui cum aliquando e supernis cœlique axe venisset, hujus plurimam partem virtutis ad Deum dimisisse. Ac demum in crucem actum, per eum modum scientiam præbuisse ; divinamque aptasse virtutem, ut in materia crucifigeretur. Quia igitur divinæ voluntatis ac decreti est ut ma-

Καὶ εἰκόνα δὲ ἐν ἡλίῳ ἐωρᾶσθαι τοιαύτην, οἷόν ἐστι τὸ τοῦ ἀνθρώπου εἶδος· καὶ ἀντιφιλοτιμήσασθαι τὴν ὕλην ποιῆσαι τὸν ἄνθρωπον ἐξ αὐτῆς κατὰ τὴν διὰ πάσης αὐτῆς τῆς δυνάμεως μίξιν, ἔχοντα καὶ αὐτόν τι τῆς ψυχῆς· πολὺ μέντοι συμβεβλῆσθαι τὸ εἶδος εἰς τὸ πλεῖόν τι παρὰ τὰ ἄλλα θνητὰ ζῶα τῆς δυνάμεως τῆς θείας τὸν ἄνθρωπον μετασχεῖν. Ὑπάρχειν γὰρ αὐτὸν θείας δυνάμεως εἰκόνα· τὸν δὲ Χριστὸν εἶναι νοῦν. Ὃν δὴ, καὶ ἀφικόμενόν ποτε ἀπὸ τοῦ ἄνω τόπου, πλεῖστόν τε τῆς δυνάμεως ταύτης πρὸς τὸν Θεὸν λελυκέναι. Καὶ δὴ καὶ τὸ τελευταῖον ἀνασταυρωθέντα παρασχέσθαι γνῶσιν τοιῷδε τρόπῳ· καὶ τὴν δύναμιν τὴν θείαν ἐνηρμόσθαι, ἐνεσταυρῶσθαι τῇ ὕλῃ. Ἐπεὶ οὖν ἀπόλλυσθαι τὴν ὕλην ἐστὶ Θεοῦ δόγμα,

Digitized by Google

ἀπέχεσθαι μὲν ἐμψύχων πάντων, σιτίζεσθαι δὲ λάχανα, καὶ πᾶν ὅτι ἀναίσθητον. Ἀπέχεσθαι δὲ γάμων καὶ ἀφροδισίων καὶ τεκνοποιίας, ἵνα μὴ ἐπιπλεῖον ἡ δύναμις ἐνοικήσῃ τῇ ὕλῃ κατὰ τὴν τοῦ γένους διαδοχήν· μὴ ἐξάγειν δὲ ἑαυτοὺς, μηχανωμένους κάθαρσιν ὧν ἐλυμήνατο ἡ μίξις τῆς ὕλης τὴν δύναμιν.

A teria pereat, ab iis abstinere quæ animata sunt; vesci vero oleribus, ac si quid est sensus expers. Se quoque abstinere a nuptiis et venereis ac procreandis liberis, ne altiores in materia radices per generis successionem virtus agat; nec se ipsos eximere, conantes emundare, quam sibi virtus ex admista materia labem conscivisset.

Cap. V. *Solis ac lunæ cultus sub Deo. Manichæis in Græcorum fabellis quæsita præsidia. Scripturarum auctoritas ac fides Manichæis spreta.*

Τὰ μὲν κεφαλαιωδέστερα ὧν λέγουσιν, ἐστὶ ταῦτα. Τιμῶσι δὲ μάλιστα ἥλιον καὶ σελήνην, οὐχ ὡς θεοὺς, ἀλλ' ὡς ὁδὸν δι' ἧς ἔστι πρὸς Θεὸν ἀφικέσθαι. Ἀποχωρισθείσης δὲ ἀκριβῶς τῆς θείας δυνάμεως, τὸ ἔξω πῦρ φασι, συμπεσὸν, ἑαυτό τε καὶ τὸ ἄλλο σύμπαν, ὅ τι δ' ἂν λείπηται τῆς ὕλης, συγκαταφλέξειν. Οἱ δὲ B ἐν τούτοις χαριέστεροι καὶ Ἑλληνικῶν οὐκ ἄπειροι λόγων ἀναμιμνήσκουσιν ἡμᾶς ἐκ τῶν οἰκείων. Ἐκ μὲν τῶν τελετῶν τὸν κατατεμνόμενον Διόνυσον τῷ λόγῳ ἐπιφημίζοντες, ὑπὸ τῶν Τιτάνων, καθάπερ λέγουσιν αὐτοὶ, τὴν θείαν δύναμιν μερίζεσθαι εἰς τὴν ὕλην· ἐκ δὲ τῶν ποιήσεων τῆς γιγαντομαχίας, ὅτι μηδὲ αὐτοὶ ἠγνόησαν τὴν τῆς ὕλης κατὰ τοῦ Θεοῦ ἀντάρσιν. Ἐγὼ δὲ, ὡς μὲν ταῦτα οὐκ ἱκανὰ ψυχαγωγῆσαι τοὺς ἀβασανίστως τὸν λόγον προσιεμένους, οὐκ ἂν εἴποιμι, ὅπουγε καί τινας τῶν συνεσχολακότων ἡμῖν ἐν τῷ φιλοσοφεῖν μετέστησεν ἡ τοιαύτη ἀπάτη τῶν λόγων πρὸς ἑαυτήν· εἰς ἐξέτασιν δὲ ὅπως ἔχει νῦν ἐμαυτὸν καθείς, ἀπορῶ τί χρήσωμαι. Οὔτε γὰρ διά τινων λόγων νενομισμένων εἰσὶν αὐτῶν αἱ ὑποθέσεις, ἵνα κατὰ ταύτας τὴν ζήτησιν ποιησώμεθα· οὔτε C τινὲς ἀρχαὶ ἀποδείξεων, καὶ ἵνα τὸ ταύταις ἑπόμενον θεασώμεθα· ἑρμαιόν τε ἀληθῶς ἐστι τὸ τῶν ἁπλῶς λεγομένων φιλοσοφεῖν. Οἱ τὰς παρ' αὐτοῖς γραφὰς παλαιάς τε καὶ νέας ὑποστησάμενοι, θεοπνεύστους εἶναι ὑποτιθέμενοι, τὰς σφῶν αὐτῶν δόξας ἐντεῦθεν περαίνουσι· καὶ ἐλέγχεσθαι μόνον τηνικαῦτα δοκοῦσιν, ἐάν τι μὴ ταύταις ἀκόλουθον ἢ λέγεσθαι ἢ πράττεσθαι ὑπ' αὐτῶν συμβαίνει. Καὶ ὅπερ αἱ παρὰ τοῖς φιλοσοφοῦσι καθ' Ἕλληνας τῶν ἀποδείξεων ἀρχαὶ αἱ προτάσεις διάμεσοι, τοῦτο παρ' αὐτοῖς ἐστιν ἡ τῶν προφητῶν φωνή. Ἐνταῦθα δὲ τούτων μὲν ἁπάντων ἐκβαλλομένων, λεγομένων δὲ ὧν πρότερον ἐπεμνήσθην ἄνευ τινὸς ἀποδείξεως· ἀναγκαίου δὲ ὄντος μετὰ λόγου ποιήσασθαι τὴν ἀπόκρισιν, ἀλλὰ μὴ πιθανώτερα ἕτερα παραθεῖναι καὶ μᾶλλον ψυγαγωγεῖν· χαλεπω- D τέρα ἡ ἔφοδος, καὶ ἔτι μᾶλλον δυσκολωτέρα, ὅτι καὶ ποικίλους τοὺς λόγους ποιεῖσθαι δεῖ. Οἵ τε γὰρ ἀκριβέστεροι τοὺς ὑπὸ τούτων ἄνευ τινὸς πίστεως προκατειλημμένους λάθοιεν ἄν, εἰ, ὅτε εἰς ψυχαγωγίαν γένοιτο, εἰς τὰς αὐτὰς λαβὰς ἐμπεσοῦνται· ἐξ ὁμοίων γὰρ γεγονέναι δοξάζουσι. Διὸ πολλῆς καὶ μεγάλης φροντίδος δεῖ, καὶ Θεοῦ ὡς ἀληθῶς, ὃς τοῦ λόγου ἡγήσεται.

Sunt hæc quidem eorum quæ dicunt ac sentiunt principaliora. Colunt vero maxime solem et lunam, non ut deos, sed ut viam qua eis Deum assequi liceat. Sejuncta vero penitus divina virtute, ignem aiunt exteriorem delapsum, ipsum se, ac si quid aliud fuerit materiæ reliquum, combusturum. Qui B autem inter eos lepidiores sunt, nec Græcanicæ eruditionis ac litterarum expertes, ipsi nos ex propriis admonent. Ex cærimoniis quidem ac mysteriis: per Bacchum qui scissus utero est, significari, dividi in materiam a Titanibus, ut ipsi loquuntur, divinam virtutem: ex poetarum autem fabula gigantum pugnæ, indicari, Ne illos quidem materiæ adversus Deum rebellionem nescivisse. Ego sane, quemadmodum hæc haud sufficientia ad eorum deliniendos animos, qui nullo examine sermonem recipiunt, haud inficias ierim, quandoquidem etiam nonnullos, qui una nobiscum philosophiæ navaverunt operam, ejuscemodi sermonum deceptio ad se traduxit; qui tamen modo rem, ut se habeat examinandam aggrediar, quo me vertam nescio. Non C enim per legitimas ullas rationes procedunt illorum hypotheses, ut per eas examen instituere liceat. Neque ulla sunt demonstrationum principia, et ut quod sequitur videamus: inventumque re vera et lucrum insperatum eorum est, qui simplicius philosophari dicuntur. Hi, novas sibi veteresque scripturas adhibentes, cum divinitus inspiratas sibi eas statuant, suas inde opiniones concludunt; tuncque solum argui videntur atque refelli, cum ab eis aliquid non iis consonum aut dici aut agi contigerit. Quodque iis qui Græcorum ritu philosophantur, demonstrationum principia intermediæ propositiones sunt; hoc ipsis est prophetarum vox ac oraculum. Hic autem, cunctis his eliminatis, et cum ea quorum superius memini, absque ulla proba- D tione dicantur; sitque necessarium ut cum ratione responsionem faciamus, non vero probabiliora alia, et quæ magis delinire valeant, proponamus: molestior est aggressio, hincque adeo magis ardua, quod et varios instituere sermones necesse est. Qui namque magis accurati certiorisque veritatis sunt, eos latuerint, quos certa quadam credulitate ante admiserint, si, cum ad deliniendum adhiberi contigerit, in easdem ansas necessitatesque incidant. Quamobrem multa magnaque opus diligentia est, ac plane Deo, qui ipse dux et auspex erit sermonis.

Digitized by Google

CAP. VI. *Manichæorum duo principia. Ipsa vexata. Pythagoreorum de principiis opinio. Bonum et malum contraria. A bono victoria.*

Duo principia statuunt, Deum et materiam. Si- A quidem id quod fit atque oritur, ab eo quod est, secernat (Manes), haud perinde mala suppositio ; ut neque materia ipsa se ipsam efficiat, et contrariorum rationem recipiat, quæ tum agat tum patiatur : neque rursus alia talia de effectore rerumque auctore intelligantur, quæ nec forte fas sit dicere ; tametsi Deus ad effecta, materia non indigeat, cum omnia in substantia et quæ vere exsistant ad illum sensu effici nihil prohibeat. Sin autem, quod magis dici videtur, sub ipso inordinatus rerum motus materia est, primum quidem incaute ac imprudens aliud efficiens (etsi maleficum) constituit : nec quid inde sequatur animadvertit ; nempe, si necesse omnino sit ut Deus et materia supponantur, aliam quoque materiam Deo suppositum iri : ut videlicet B ambobus efficientibus materia subjecta sit. Pro duobus igitur, quatuor nobis principia præstare monstrabitur.

Δύο ἀρχὰς ὑποτίθενται, Θεὸν καὶ ὕλην. Εἰ μὲν τὸ γιγνόμενον τοῦ ὄντος ἀποχωρίζει, οὐχ ὁμοίως φαύλη ἡ ὑπόθεσις, ἵνα μήτε ἡ ὕλη ἑαυτὴν ποιῇ, καὶ τῶν ἐναντίων ἀποδέχηται λόγον, ποιοῦσά τε καὶ πάσχουσα· μήτ' αὖ τοιαῦτα πάλιν ἕτερα περὶ τὸν ποιητικὸν αἴτιον θεωρῆται, ἃ οὐδὲ λέγειν ἴσως θέμις· καίτοι οὐ δεομένου τοῦ Θεοῦ πρὸς τὰ ἀποτελέσματα ὕλης, ἐν ὑποστάσει δυναμένων γίγνεσθαι πάντων πρὸς ἐκεῖνον τὸν νοῦν· εἰ δὲ, ὅπερ μᾶλλον λέγεσθαι δοκεῖ, ὑπ' αὐτοῦ ἡ ἄτακτος κίνησις τῶν ὄντων ἐστὶν ὕλη, πρῶτον μὲν λανθάνει ἑαυτὸν ἕτερον ποιητικὸν αἴτιον ὑφιστάμενος (κακοποιὸν μέντοι)· οὐχ ὁρᾷ δὲ καὶ τὸ ἑπόμενον, ὅτι, εἰ Θεὸν πάντως ὑποστατέον καὶ ὕλην, ἑτέρα τις ὕλη τῷ Θεῷ ὑποστήσεται· ἵνα ἑκατέρῳ τῶν ποιητικῶν αἰτίων ἡ ὑποκειμένη ὑπάρχῃ ὕλη. Ἀντὶ τοίνυν δύο τέτταρας ἡμῖν ποιῶν ἀρχὰς ἐπιδειχθήσεται.

Admiranda vero et ab illo posita utrimque distinctio. Si enim hoc Deum existimat, quod bonum, vultque vere exsistere quod est illi contrarium ; quidni velut Pythagorici quidam malum ipsi contrarium ponit ? Ferendum sane magis, ut ab illis duo principia dicantur, bonum et malum ; inter se continue pugnantia, cum tamen bonum malo prævaleat. Nam si malum superaret, interirent omnia. Prorsus enim materia secundum se, neque corpus est, neque omnino incorporeum aliquid ; at neque simpliciter hoc aliquid : sed indefinita quædam, quæ forma accedente finiatur ac terminetur, velut ignis C meta ac pyramide ; octaedro (octonorum corporum sessu) aer ; icosaedro (vicenorum) aqua ; quadrantali, terra. Quonam igitur modo materia inordinatus motus elementorum exsistit ? Per se itaque subsistens vereque exsistens non est : nam si motus, in subjecto est ; non videtur autem talis esse materia, quin imo primum subjectum et incompositum, et ex quo reliqua.

Θαυμαστὴ δὲ καὶ ἡ ἀντιδιαίρεσις. Εἰ γὰρ Θεός ἐστι παρ' αὐτῷ, ὅπερ τὸ ἀγαθὸν, καὶ βούλεται ὑφίστασθαι αὐτῷ ἐναντίον, διά τί οὐ καθάπερ τινὲς τῶν Πυθαγορείων τὸ κακὸν αὐτῷ ἀντιτίθησιν ; Ἀνεκτότερον γοῦν ὑπ' ἐκείνων λέγεσθαι δύο εἶναι ἀρχὰς, τὸ ἀγαθὸν καὶ τὸ κακόν· στασιάζειν δὲ ταύτας συνεχῶς, ἐπικρατεῖν δὲ τὸ ἀγαθόν. Εἰ γὰρ τὸ κακὸν ὑπερέχοι, φθαρήσεσθαι πάντα. Ὅλως γὰρ καθ' ἑαυτὴν μὲν ἡ ὕλη οὔτε σῶμά ἐστιν, οὔτε ἀκριβῶς ἀσώματόν τι, οὔτε ἁπλῶς τόδε τι· ἀλλὰ ἀόριστός τις προσλαβοῦσα τὸ εἶδος γίνεται ὡρισμένη· οἷον τὴν πυραμίδα μὲν πῦρ· τὸ ὀκτάεδρον δὲ ἀήρ· τὸ εἰκοσάεδρον δὲ ὕδωρ· κύβον δὲ γῆ. Πῶς οὖν ἐστι τῶν στοιχείων ἡ ἄτακτος κίνησις ἡ ὕλη; Καθ' ἑαυτὴν μὲν οὖν οὐκ ἔστιν ὑποστατή· εἰ γὰρ κίνησις, ἐν τῷ κινουμένῳ· οὐ δοκεῖ δὲ τοιοῦτον εἶναι ἡ ὕλη, ἀλλὰ μᾶλλον τὸ πρῶτον ὑποκείμενον καὶ ἀῤῥύθμιστον, καὶ ἀφ' οὗ τὰ ἄλλα.

Quando igitur motus inordinatus est materia, semperne mobili conjunctus erat, aut aliquando ab eo separatus ? Certe, si ullo unquam tempore per se erat, sic utique non erat : nullus enim motus sine subjecto est. Si vero semper in subjecto erat, sic rursus duo statuentur principia, quod movet et quod movetur. Utri igitur horum tribuetur, ut cum Deo primum illud constituamus ? D

Ἐπεὶ τοίνυν ἡ ἄτακτος κίνησίς ἐστιν ἡ ὕλη, πότερον ἦν ἀεὶ σὺν τῷ κινουμένῳ, ἢ ποτὲ κεχώρισται τούτου ; Εἰ μὲν γὰρ ποτὲ ἦν καθ' αὑτὴν, οὕτω γε οὐκ ἂν ἦν· οὐδεμία γὰρ κίνησις ἄνευ τοῦ κινουμένου· εἰ δὲ ἀεὶ ἐν τῷ κινουμένῳ ἦν, πάλιν αὖ δύο ἀρχαὶ οὕτω γε ὑποστήσονται, τὸ κινοῦν καὶ τὸ κινούμενον. Ποτέρῳ οὖν αὐτῶν ψηφίζεται, ἵνα ἐκεῖνο μετὰ τοῦ Θεοῦ ὑποστησώμεθα πρῶτον ;

CAP. VII. *Vindicatus ab inordinatione motus. Circularis. Rectus. Generationis et corruptionis. Alterationis et sensum afficientis qualitatis.*

Accedit sermoni appendix illa prorsus extorris, *inordinatum*. Quando enim motus non fuerit, merito dicatur. Quænam vero etiam motuum materia ? Num qui rectus est, an circularis ; vel quæ qualitate sensum afficiente mutantur, vel generationis ac corruptionis motus ? Enimvero circularis motus, sic decorus est et compositus, ut rerum universitatis ordini ascriptus sit : nec Manichæorum sensu hic culpandus videatur, in quo sol et luna, quos

Πρόσεστι δὲ τῷ λόγῳ ἐφόλκιον τὸ *ἄτακτον* ἐξόριστον παντελῶς τοῦτο. Ὁπότε γὰρ μὴ κίνησις, εἰκότως ἂν λέγοιτο. Τίς δὲ καὶ τῶν κινήσεων ἡ ὕλη; Πότερον ἡ κατ' εὐθεῖαν, ἢ ἡ κυκλοφορητική· ἢ ἡ κατ' ἀλλοίωσιν, ἢ ἡ κατὰ γένεσιν καὶ κατὰ φθοράν ; Ἀλλ' ἡ μὲν κυκλοφορητικὴ οὕτω κοσμία, ὥστε τῇ τοῦ παντὸς ἀποδέδοται τάξει. Οὐ κατὰ τούτους δὲ ταύτην αἰτιᾶσθαι, ἐν ᾧ ὅ ἥλιος καὶ ἡ σελήνη, οὓς μόνους θεῶν αἰδεῖσθαί φασιν· ἀλλὰ τὴν ἐπ' εὐθείας· ἀλλὰ

Digitized by Google

καὶ ταύτῃ πέρας ἐστὶν, ἡ τοῦ ἰδίου τόπου τεῦξις. Πάντη γὰρ τὸ γῆϊνον πέπαυται κινούμενον, ὅτ' ἂν γῆς ἐπιλάβηται· πᾶν δὲ ζῶον καὶ φυτὸν αὐξανόμενον, ὅτ' ἂν τοῦ ἰδίου ὅρου ἐφίκηται. Ὥστε ἡ τούτων στάσις εὐλογώτερος ἂν θάνατος γένοιτο τῇ ὕλῃ ἡ ὑπ' αὐτῶν ταύτης πλεκομένη ἀνήνυτος τελευτή. Τὴν δὲ κατὰ γένεσιν καὶ φθορὰν οὐδὲ ἐπινοῆσαι οἷόν τε τῇ ὑποθέσει ταύτῃ προσήκουσαν· ἀγένητος γὰρ αὐτοῖς ἐστιν ἡ ὕλη. Εἰ δέ γε τὴν κατὰ ἀλλοίωσιν κίνησιν ἀποδώσουσιν αὐτῇ (δοκοῦσι γὰρ μάλιστα τοῦτο λέγειν, ἐπεὶ διὰ τῆς ὕλης καὶ μεταβολὰς ἠθῶν καὶ ἐν τῇ ψυχῇ κακίας εἶναι λέγουσιν)· σκοπεῖν ἄξιον ὅπως ποτὲ καὶ ταῦτά φασιν. Ἀλλοιοῦσα γὰρ αὐτὴν, ἀεὶ ἄρξεται ἀπ' ἀρχῆς· καὶ τοῦ μέσου προϊοῦσα ἐπιλήψεται, καὶ εἰς τὸ τέλος οὕτως ἀφίξεται. Ἀλλ' εἰς τὸ τέλος ἀφικομένη οὐ στήσεται, εἴ γε οὐσία ἐστὶν αὐτῆς ἡ ἀλλοίωσις· ἀλλὰ πάλιν ἀνακάμψει διὰ τῶν αὐτῶν ἐπὶ τὴν ἀρχὴν, καὶ ὁμοίως ἐντεῦθεν ἐπὶ τὸ τέλος· καὶ οὔποτε τοῦτο ποιοῦσα παύσεται. Οἷον εἰ ἀλλοιοῖτο ἡ *a γ*, μέσον δὲ τὸ ἀπὸ μὲν τοῦ *β· a* ἡ μεταβολὴ ἀφίξεται ἐπὶ τὸ *β*, καὶ ἐκεῖθεν ἐπὶ τὸ *γ*. Πάλιν τοίνυν, ἀπὸ τοῦ ἄκρου τοῦ *γ* ἐπὶ τὸ *β* ἀνακάμπτουσα, ἀφίξεταί ποτε ἐπὶ τὸ *a*· καὶ τοῦτο ἔσται διαπαντός. Ὥσπερ ἀπὸ τοῦ μέλανος ἡ μεταβολὴ, μέσον δὲ τὸ φαιὸν, καὶ ἄκρον τὸ λευκόν. Πάλιν δὲ ἀνάπαλιν ἀπὸ τούτου ἐπὶ τὸ φαιὸν, καὶ ὁμοίως ἐπὶ τὸ μέλαν· πάλιν δὲ ἀπὸ τοῦ λευκοῦ ἡ ἀρχὴ τῆς ἀλλοιώσεως, ἡ αὐτὴ ἑρμὸς ἤδη.

A solos deorum venerari aiunt. Sed qui rectus. Atqui huic quoque terminus est, quod locum suum consequatur. Prorsus enim quod terrenum est, a motu cessat ubi terram attigerit. Omne vero animal et planta crescendi finem facit, cum terminum suum assecuta fuerint. Quamobrem illorum quies, rationabilius mors materiæ fuerit, quam quæ ab ipsis ejus mors nullo explenda exitu texitur. Motus autem generationis et corruptionis, ne intelligi quidem potest, huic aptus argumento ; quippe cum materia, illis ingenita sit. Sin autem motum alterationis, ut vocant, et quo qualitate sensum afficiente mutamur, illi ascripserint (hoc enim maxime dicere videntur, idcirco nimirum quod per materiam etiam mutari mores, et in animo vitium versari dicunt) opeB ræ pretium sit ut dispiciamus, quonam tandem modo etiam hæc loquantur. Ipsa namque alterando, semper a principio ducet exordium ; procedensque medium attinget, inque eum modum finem assequetur. Enimvero cum ad finem pervenerit, non quiescet, siquidem alteratio ejus essentia est ; sed rursus per eadem flectens, ad principium revertetur, inde similiter ad finem : nec hoc facere unquam cessabit. Velut si alterentur *a* et *c*, medium autem sit *b* ; mutatio *a* et *b* perveniet, atque hinc ad *c*. Rursus igitur ab extremo *c* ad *b* flectens, quandoque *a* assequetur : eritque hoc continue. Velut a nigro mutatio ; medium, pullum ; extremum, album. Rursum e contrario, ab albo ad pullum, ac similiter ad nigrum : rursusque ab albo alterationis exordium, idemque jam argumentum.

Cap. VIII. *An materia malefica? De Deo et materia.*

Κατ' ἀλλοίωσιν κακοποιὸς αἰτία ἐστὶν ἡ ὕλη; Οὐ μᾶλλόν τι κακοποιὸς ἢ ἀγαθοποιὸς, οὕτω γε δείκνυται. Ἔστω γὰρ ἡ ἀρχὴ τῆς ἀλλοιώσεως ἀπὸ τοῦ κακοῦ. Οὐκοῦν οὕτως ἀπὸ τούτου διὰ τῶν ἀδιαφόρων ἐπὶ τὸ ἀγαθὸν ἡ ἀλλοίωσις. Ἀλλ' ἀπὸ τοῦ ἀγαθοῦ. Πάλιν τοίνυν διὰ τῶν ἀδιαφόρων ἡ ἀρχή. Εἶτ' ἐπὶ τόδε τὸ ἄκρον εἶτ' ἐπὶ τὸ ἕτερον ἡ κίνησις, ὁ αὐτὸς λόγος· ταῦτα ἐκ περιουσίας λέγεται.

C Materia alterationis ratione causa est malefica ? Non magis maleficam esse, quam beneficam inde probatur. Sit enim alterationis principium a malo. Sic igitur ab hoc, per ea quæ medii generis sunt, alteratio est ad bonum. Verum esto a bono. Rursus igitur per ea quæ medii generis sunt, est principium. Sive ad unum extremum, sivé ad alterum sit motus, eadem est ratio ; atque hæc ex abundanti dicuntur.

Πᾶσα μὲν γὰρ κίνησις περὶ τὸ ποσόν· κακίας δὲ καὶ ἀρετῆς ἡγεμών ἐστιν ἡ ποιότης. Ταῦτα δὲ ὅτι καὶ τῷ γένει διώρισται, ἴσμεν. Πότερον δὲ μόνον ὁ Θεὸς καὶ ἡ ὕλη ἐστὶν ἀρχαὶ, ἤ τι ἕτερον ἀπολείπει, ὃ τούτων ἐστὶν ἐν μέσῳ; Εἰ μὲν γὰρ μηδέν ἐστιν, ἄμικτα ταῦτα ὑπολείπεται πρὸς αὐτά· καλῶς γὰρ λέγεται, ὅτι, ἵνα τὰ ἄκρα μιχθῇ, δεῖ τι εἶναι ἐν μέσῳ, ὅπως ταῦτα συνδέῃ· εἰ δέ τι ἕτερον ὑπάρχει, ἀνάγκη πάλιν εἶναι ἢ ἀσώματον ἢ σῶμα· ὥστε τριττὴ ἀρχὴ ἐπεισόδιος γέγονεν.

Omnis motus circa quantitatem versatur : porro qualitas vitii dux ac virtutis exsistit. Scimus autem hæc etiam genere distingui. Num vero Deus duntaxat materiaque principia ; an aliquid aliud superest, quod horum medium exsistat ? Siquidem autem nihil est, manent hæc inter se incommista. D Recte enim dicitur : si quidem extrema misceantur, necesse est esse aliquid in medio, quod illa connectat. Sin autem aliud quid exsistit, necesse rursus aut incorporeum aut corpus esse ; atque adeo tertium adventitium principium emersit.

Πρότερον δὲ εἰ ὅλως ὁ Θεὸς καὶ ἡ ὕλη ἀσώματα ἑκάτερα, οὐδέτερον ἐν οὐδετέρῳ, πλὴν εἰ μὴ ὡς γραμματικὴ ἐν ψυχῇ· τοῦτο δὲ ἄτοπον ἐπὶ Θεοῦ καὶ Ὕλης ἐπινοεῖν. Εἰ δὲ ὡς ἐν κενῷ, ὥς τινες λέγουσι, τὸ κενὸν τῷ παντὶ περικεχῶσθαι· τὸ ἕτερον πάλιν ἀνυπόστατον. Οὐσία γὰρ τοῦ κενοῦ τὸ μηδέν. Εἰ δὲ ὡς συμβεβηκότα, πρῶτον μὲν ἀδύνατον τοῦτο· οὐσίας γὰρ ἄμοιρα ὄντα, οὐδαμοῦ εἶναι δύναται.

Primum itaque si Deus et materia ambo prorsus incorporea ; neutrum in altero, præterquam quod sicut grammatica est in anima. Hoc autem in Deo et materia intelligere, absurdum est. Si autem ut in vacuo, ut quidam loquuntur, vacuum universo huic circumfusum esse; alterum rursus substantia caret. Vacui enim substantia nihil est. Sin autem ut accidentia, primum quidem ea res impossibilis

Digitized by Google

est. Quæ enim substantia carent, nullo usquam loco possunt esse. Est enim substantia quasi vehiculum accidentibus subjecta. Quod si ambo corpora, necesse est utraque aut gravia esse, aut utraque levia, aut media ; aut alterum quidem grave, alterum leve, aliud medium. Sive igitur utraque gravia, sic plane necesse est hæc eadem et in levibus esse, et in iis quæ sunt media : sive dissentanea sint, aliud omnino secretum erit ab alio. Alium enim sibi grave locum vindicat, atque aliud quod medium est, aliud leve. Alii nimirum locus sursum competit ; alii, deorsum ; alii, quod situ medium est. Ejus vero quod sphæricæ figuræ est, locus infimus, medium est. Ab illo enim ad omnia excelsiora ad supremam usque superficiem undequaque est distantia. Cunctaque rursus gravia, undequaque in ipsum feruntur. Quocirca etiam ridere subiit, audienti : *Materiam, dum incomposite movetur ac inordinate* (id enim illi ex natura est) *ad Dei evasisse regionem, sive ad lucem et claritatem*, ejusque generis omnia.

A Ὄγκημα γὰρ ὥσπερ ἐστὶν ὑποβεβλημένον τοῖς συμβεβηκόσιν ἡ οὐσία. Εἴ τε σώματα ἑκάτερα, ἀνάγκη ἢ ἄμφω βαρέα εἶναι, ἢ ἄμφω κοῦφα, ἢ μέσα· ἢ τὸ μὲν βαρύ, ἢ τὸ δὲ κοῦφον, ἢ τὸ δὲ μέσον. Εἴτε οὖν ἑκάτερα βαρέα, σύμπασα οὕτως ἀνάγκη εἶναι τάδε αὐτὰ καὶ ἐπὶ τῶν κούφων καὶ ἐπὶ τῶν μέσων· εἴτε παραλλάττοιτο, τὸ ἕτερον πάντως τοῦ ἑτέρου ἔσται κεχωρισμένον. Ἄλλος γὰρ τῷ βάρει, καὶ ἄλλος τῷ μέσῳ καὶ τῷ κούφῳ τόπος· τῷ μὲν γὰρ τὸ ἄνω, τῷ δὲ τὸ κάτω, τῷ δὲ τὸ μέσον. Παντὸς δὲ σφαιροειδοῦς τὸ κάτω μέσον ἐστίν· ἀπὸ γὰρ αὐτοῦ πρὸς πᾶν τὸ μετέωρον ἄχρι τῆς ἄνω ἐπιφανείας πάντοθέν ἐστιν ἡ ἀπόστασις. Καὶ πάντα πάλιν τὰ βαρέα πανταχόθεν φέρεται ἐπ' αὐτό. Διὸ καὶ γέλωτός μοι ἐπῆλθεν ἀκούσαντι, B ὅτι *κινουμένη ἡ ὕλη ἀτάκτως* (τοῦτο γὰρ αὐτῇ κατὰ φύσιν) *εἰς τὴν τοῦ Θεοῦ ἀφίκετο χώραν*, ἢ *ἐς φῶς καὶ λαμπρὸν*, καὶ πάντα τὰ τοιαῦτα.

Si autem aliud corpus, aliud incorporeum est : primum quidem quod corpus est, in solum mobile est. Præterea, siquidem incommista sunt unumquodque seorsum ab altero secundum propriam naturam est. Sin vero alterum alteri commistum est, aut anima, aut mens fuerint, aut accidens. Sic enim solummodo incorporea corporibus commisceri contingit.

Εἰ δὲ τὸ μὲν σῶμα, τὸ δὲ ἀσώματον, πρῶτον μὲν ὃ ἐστι σῶμα, μόνον κινητόν ἐστιν· ἔπειτα δὲ, εἰ μὲν ἄμικτα, ἐστὶν ἑκάτερον χωρὶς ἑκατέρου κατὰ τὴν οἰκείαν φύσιν· εἰ δὲ μέμικται τὸ ἕτερον τῷ ἑτέρῳ, ἢ ψυχὴ ἢ νοῦς ἢ συμβεβηκὸς ἂν εἴη. Οὕτω γὰρ μόνον τὰ ἀσώματα τοῖς σώμασι πάρεστι μίγνυσθαι.

Cap. IX. *Ridicula Manichæorum materiæ in Deum motus deliria. Deus, materiæ auctor rebellionis, sensu Manichaico. Materiæ appetitio lucis et splendoris, bona. Bona divina nihil ex commercio minora.*

Sed quonam modo in Dei regionem ac sedem, quave ex causa invecta est ? illi quidem ex natura est locus deorsum et tenebræ, ut loquuntur ; præter naturam vero locus sursum et lux. Quamobrem, motus ei tunc præternaturalis fuit. Eique ejusmodi aliquid accidit, ac si quis lapidem aut glebam terræ sursum projecerit ; qua utique ratione ea res projicientis impetu paululum levata, cum sursum evaserit, in eumdem locum decidit ac ruit. Quisnam igitur materiam ad supernum locum levavit ? Sane quidem suis meritis, ac ex se ipsa, eo motu haud moveatur qui ejus ipse exsistat. Necesse vero est vim ei illatam esse ut sursum ferretur, haud secus ac lapidi et glebæ. Verum nihil illi cum ea relinquunt, præter Deum. Manifestum igitur quid inde conficiatur : Deum scilicet, ut ipsi existimant, vi D ac necessitate, ipsum ad se materiam sublimem levasse.

C Ἀλλ' ὅπως ἠνέχθη εἰς τὴν τοῦ Θεοῦ χώραν, ἢ ἐκ ποίας αἰτίας ; κατὰ φύσιν μὲν γὰρ αὐτῇ τὸ κάτω καὶ τὸ σκότος, ὥς φασι, παρὰ φύσιν δὲ τὸ ἄνω καὶ τὸ φῶς· ὥς γε παρὰ φύσιν τότε γέγονεν αὐτῇ ἡ κίνησις. Καὶ τοιοῦτόν τι πέπονθεν, οἷον εἴ λίθον τις ἢ βῶλον γῆς εἰς τὸ ἄνω ῥίψειεν· δι' ὃ δὴ, ὀλίγον τὰ τοιαῦτα κουφισθέντα ὑπὸ τῆς τοῦ ῥίψαντος βίας, μετέωρα γεγονότα, εἰς τὸν αὐτὸν καταφέρεται τόπον. Τὴν οὖν ὕλην τίς ἐκούφισεν εἰς τὸν ἄνω τόπον ; Δι' αὐτὴν μὲν γὰρ καὶ ἐξ αὐτῆς οὐκ ἂν κινοῖτο ταύτην τὴν κίνησιν, αὐτῆς ὑπάρχουσαν. Δεῖ δὲ αὐτὴν ὑπομεῖναι βίαν, ἵνα εἰς τὸν ἄνω τόπον μετεωρισθῇ, καθάπερ ὁ λίθος καὶ ἡ βῶλος. Ἀλλ' ἕτερον μὲν οὐδὲν σὺν αὐτῇ ἀπολείπουσι, τὸν Θεὸν δέ. Φανερὸν οὖν τὸ ἐκ τοῦ λόγου συμβαῖνον· ὅτι, κατ' αὐτοὺς, ὁ Θεὸς βίᾳ καὶ ἀνάγκῃ ταύτην μετέωρον ἐποίησεν ὡς αὐτόν.

Atqui, si malum materia est, omnino etiam malæ sunt ejus appetitiones. Est vero mali appetitio mala ; boni vero atque honesti, ipsa valde honesta. Siquidem igitur materia quod splendidum est lucemque concupivit, haud mala ejus cupiditas est ; ut neque si quis vitiose vitam traducens, postea tandem virtutis desiderio exarserit. Secus vero, haud vacat crimine, si quis studiosus in mali desiderium venerit. Velut si quis dicat, Deum quæ materiæ competunt, mala appetere. Nec enim Dei bona talia æstimanda sunt, qualia sunt multæ opes et la-

Καὶ μὴν, εἰ κακὸν ἡ ὕλη, πάντως που εἰσὶν αὐτῆς καὶ ὀρέξεις τοιαῦται. Ἔστι δὲ ἡ μὲν τοῦ κακοῦ ὄρεξις φαύλη· ἡ δὲ τοῦ καλοῦ πάνυ σπουδαία. Εἰ δὲ τοῦ λαμπροῦ καὶ τοῦ φωτὸς ἐπεθύμησεν ἡ ὕλη, οὐ φαύλη ἡ ἐπιθυμία· καθάπερ οὐδὲ εἴ ἐν κακίᾳ τις ζῶν, μετὰ ταῦτά ποτε ἐπιθυμήσειεν ἀρετῆς. Τοὐναντίον γὰρ, ἐν ἐγκλήματι τὸ σπουδαῖόν τινα τοῦ φαύλου εἰς ἐπιθυμίαν ἐλθεῖν· καθάπερ ἂν εἴ τὸν Θεὸν φαῖεν ὀρέγεσθαι τῶν τῇ ὕλῃ προσόντων κακῶν. Οὐ γὰρ δὴ τὰ τοῦ Θεοῦ ἀγαθὰ τοιαῦτα ὑπολητέον, οἷόν ἐστιν ὁ πλοῦτος καὶ ἡ πολλὴ γῆ, καὶ ὁ πολὺς χρυσὸς,

Digitized by Google

ὧν ἐλάττων γίνεται τῷ κεκτημένῳ ἡ ἀπὸ τῶν ἀνθρώπων εἰς ἕτερον μετάστασις. Ἀλλ' εἴ τινα τούτων ὅλως εἰκόνα ἐπινοῆσαι δεῖ, τὴν σοφίαν, οἶμαι δὲ καὶ ὡς ἄν τις παραβάλοι καὶ τὰς ἐπιστήμας. Ὥσπερ οὖν οὔτε ἡ σοφία ἐλαττοῦται οὔτε ἡ ἐπιστήμη, οὔτε οἱ αὐτὰς ἔχοντες, ἂν ἕτερος τῶν αὐτῶν μεταλάβῃ· οὕτως οὔτε τὸν Θεὸν εὔλογον φθονῆσαι τῇ ὕλῃ τῆς τοῦ καλοῦ ὀρέξεως· εἰ δὴ κατὰ αὐτοὺς ὠρέχθη τούτου. A tifundia ingensque auri vis, quorum minores domino cedunt partes, si quis in alterum ab eo transtulerit. Sed si quod omnino horum simulacrum animo informandum sit, sapientiam, puto vero et scientias, in exemplum adduxerit. Quemadmodum igitur neque sapientia minuitur neque scientia, nec qui illis prædītus est damni aliquid facit, quod aliquis horum particeps effectus fuerit: sic neque ratio satis favet, ut existimemus Deum materiæ invidisse appetitionem boni honestique; dum juxta illos, appetiisse ipsum dederimus.

CAP. X. *Deorum mythologica: iisque similia Manichæi placita. Homericæ Theomachiæ allegoria. Æmulatio et invidia in Deo, Manichæorum sententia. Vitia hæc in nullo studioso, probraque admittenda.*

Πολὺ δὲ τοὺς μυθοποιοὺς ὑπερβεβλήκασι, τοὺς ἢ τὰ τοῦ Οὐρανοῦ αἰδοῖα τέμνοντας, ἢ τὰς ἐπιβουλὰς κατὰ τοῦ Κρόνου ὑπὸ τοῦ υἱοῦ συντιθέντας, ἵνα αὐτὸς κατάσχῃ τὴν ἀρχήν· ἢ ποιοῦντας πάλιν τὸν Κρόνον τοὺς υἱοὺς καταπίνειν· εἶτα διαμαρτάνοντα διὰ τῆς τοῦ λίθου εἰκόνος. Πῶς γὰρ τὰ λεγόμενα ὑπ' αὐτῶν οὐ τοιαῦτα; ὅτ' ἂν πόλεμον ἄντικρυς τῆς ὕλης πρὸς τὸν Θεὸν ὑφηγήσωνται· καὶ μηδὲ ταῦτα μέντοι δι' ὑπονοίας λέγωσι, καθάπερ Ὅμηρος, χαίρειν τὸν Δία ἐπὶ τῷ τῶν θεῶν πολέμῳ πρὸς ἀλλήλους ἐν *Ἰλιάδι*, αἰνιττόμενος τὸ ἐξ ἀνομοίων τὸν κόσμον συγκεῖσθαι, ἡρμοσμένων πρὸς ἄλληλα, καὶ νικώντων τε καὶ νικωμένων. Καὶ ταῦτά μοι εἴρηται, ἐπειδὴ γιγνώσκω τοὺς τοιούτους, ἐπειδὰν ἀποδείξεων ἀπορῶσιν, ἕνια πανταχόθεν ἀπὸ τῶν ποιήσεων συμφέροντας, καὶ ἀπολογίαν ταῦτα ὑπὲρ τῶν ἰδίων δοξῶν ποικιλλόμενους. Οὐκ ἂν δὲ ταῦτα ἐπεπόνθεισαν, εἰ μετά τινος φροντίδος ὅτινι δήποτε ἐνετύγχανον. Longe porro mythologos fabulis superarunt, eos nimirum qui aut Cœli virilia putent, aut adversus Saturnum a filio structas insidias, ut sibi ipse imperium arriperet, commenti sint; aut qui rursus B Saturnum filios vorare faciant, tumque frustratum consilio ex lapidis objecto simulacro. Quomodo enim, quæ ab eis dicuntur, non his similia? cum palam materiæ cum Deo bellum referant; ac neque hæc spiritali sensu ac mythologico dicant, velut Homerus in *Iliade*, gaudere Jovem deorum inter se pugna ac bello, obscure significans, mundum ex inæqualibus conflatum esse, quæ alia aliis conserta tum vincant, tum victoria cadant. Atque hæc idcirco a me dicta sunt, quod sciam istiusmodi genus hominum, ubi eos probationes ac rationum momenta defecerint, quædam undique ex poetarum commentis congerere, atque hinc suis opinionibus præsidium, ac quo se illis tueantur, quærere. Quod C ipsis haudquaquam evenisset, si majori quadam cura ac diligentia rem quidpiam legissent.

Καὶ μὴν πάντα μὲν τὰ κακὰ ἀπὸ τοῦ θείου χοροῦ ἀπελήλαται, ὁ ζῆλος δὲ μάλιστα καὶ ὁ φθόνος. Καταλείπουσι δὲ οὗτοι αὐτὰ παρὰ τῷ Θεῷ, ὅτ' ἂν φῶσιν αὐτὸν τὴν ἐπιβουλὴν κατὰ τῆς ὕλης συντάξαι, διότι δὴ τοῦ καλοῦ ἐπεθύμησε. Τίνι δὲ καὶ ὁ Θεὸς ὢν εἶχεν ἐβουλήθη τὴν ὕλην τιμωρήσασθαι; τὸ μὲν γὰρ ἁπλοῦν φάναι τὸν Θεὸν ἀκριβέστερον οἶμαι ἢ κατὰ τούτους. Ἔστι καὶ ἡ τῆς ἐννοίας τούτου ἀφήγησις, οὐχ ὡς περὶ τῶν ἄλλων, εὔκολος. Οὐδὲ γὰρ ἁπλῶς ἐνδείξασθαι αὐτὴν δυνατὸν, διὰ δὲ πολλῆς παιδεύσεως καὶ πόνου. Ἀλλὰ τοῦτό γε πάντες ἴσμεν, ὅτι ἡ ὀργὴ καὶ ἡ τῆς τιμωρίας κατὰ τῆς ὕλης δρεξις πάθη ἐστὶ, περὶ τὸν οὕτω διωκόμενον συνιστάμενα· ταῦτα δὲ οὐδὲ περί τινα σπουδαῖον γένοιτο ἂν τὰ παθήματα· μήτι γε περὶ τὸ ἀγαθὸν αὐτό. Atqui, cum mala quidem omnia a divino choro exsulent, tum vel maxime æmulatio et invidia. Sinunt tamen hi apud Deum ista, dum dicunt Deum insidias struxisse adversus materiam, ea ratione quod bonum cupivisset. Quonam vero etiam Deus eorum quæ habebat, punire materiam voluit? Equidem accuratioris doctrinæ existimo ut Deus simplex dicatur, quam pro illorum ratione. Nec vero, ut in aliis, hujus etiam mentis facilis enarratio exsistit. Haud quippe simpliciter nudoque sermone eam demonstrare licet, sed multa disciplina atque opera. Cæterum omnes id scimus, iram ac furorem, adversusque materiam vindictæ appetitum, affectus D esse et perturbationes (πάθη) circa eum quem sic illa persequatur, versantes: ejusmodi sane ut nec circa ullum qui virtute fultus sit, versari unquam contingat; tantum abest ut illis ipsum bonum subjaceat.

CAP. XI. *Missa virtus Manichaica. Materiæ virtutes, pari minorive malitia.*

Ἐφ' ἕτερα τοίνυν ἥκει πάλιν ὁ λόγος περιφερόμενος. Ἐπειδὴ γὰρ δύναμιν τὸν Θεὸν εἰς τὴν ὕλην καταπέμψαι φασὶ, σκοπεῖν ἄξιον, πότερον ἡ δύναμις αὕτη κατὰ τὸ ἀγαθὸν ἠλάττωται παρὰ τὸν Θεὸν, ἢ ὁμοίως εἶχεν. Εἰ μὲν γὰρ ἠλάττωται, τί τὸ αἴτιον; ὕλης μὲν γὰρ οὐδὲν μετεῖχε τῶν παρὰ Θεῷ· ἓν δὲ μόνον ἀγαθὸν εἰσάγει τὸν Θεὸν, καὶ ἓν κακὸν τὴν ὕλην· εἰ δὲ ὁμοίως εἶχε, τίνος ἕνεκα ὁ μὲν ὥσπερ Ad alia igitur rursus tendit circumvolitans oratio. Quia enim misisse Deum virtutem in materiam dicunt, consideremus operæ pretium, utrum hæc virtus, ad boni rationem quod attinet, præ Deo minor esset, aut simili ratione haberet. Siquidem enim illa deficiebat minorque erat, quænam ratio? Nam quæ apud Deum, nullum materiæ admittunt commercium. Unum vero duntaxat bonum Deum

Digitized by Google

insignit, unumque malum materiam. Sin autem similiter habebant, quidnam causæ est, cur ipse velut rex quidam imperaret, ipsa vero laborem hunc invita subiret?

A τις βασιλεὺς ἐπέταττεν, ἡ δὲ τὸν πόνον τὸν ἀκούσιον ἀνέτλη τοῦτον;

Quin ad materiam quoque quod attinet, quæretur, num mali ratione similes sint an minores virtutes? Nam si minores, prorsus minore malitia ac pravitate. Boni ergo commercio exsistant illæ. Cum enim duo mala sint, quod minus est, tale plane boni commercio nactum ut esset ac ita se haberet. At illi circa materiam nullum bonum relinquunt. Rursus igitur alia emergit quæstio. Nam si alia quædam virtus mali ratione materiæ præcellit quæ dominio polleat, ipsa principalior exsistit. Quod enim magis malum, ipsum illius imperio polleat.

Καὶ ἐπὶ τῆς ὕλης δὲ ζητηθήσεται, πότερον εἰς τὸ κακὸν ὅμοιαι ἢ ἐλάττους δυνάμεις; Εἰ γὰρ ἐλάττους, πάντως τε κακίας ἐλάττους· μετοχῇ ἄρα τοῦ ἀγαθοῦ αὗται ἂν γένοιντο. Δύο γὰρ ὄντων κακῶν, τὸ ἧττον τοιοῦτον κατὰ μετάληψιν τοῦ ἀγαθοῦ πάντως που οὕτως ἔσχηκεν. Ἀγαθὸν δὲ οὐδὲν περὶ τὴν ὕλην ἀπολείπουσι. Πάλιν τοίνυν ἀπορία ἑτέρα. Εἰ γάρ τις ἄλλη δύναμις τῷ κακῷ ὑπερβάλλει τὴν ἡγεμονεύουσαν ὕλην, αὕτη ἐστὶν ἡγεμονικωτέρα· τὸ γὰρ μᾶλλον κακὸν τῆς ἀρχῆς τῆς κατ' αὐτὴν ἠγεῖτο.

CAP. XII. *Improbata virtutis immissione, mali destructio; quod mali ex ea nulla minutio. Expuncta Zenonis opinio, solis igne orbem esse conflagraturum.*

Misisse autem Deum virtutem in materiam, dicitur quidem nulla probatione; ac quod omni prorsus probabilitate careat. Par tamen est, ut et ipsum pari ratione suis sermonibus ac explicatione gaudeat. Hujus sane causam hanc esse dicunt, ut nullum sit malum, sed omnia bona. Decebat enim virtutem materiæ misceri, athletarum more, qui congressu implexuque adversarios superant; quo scilicet mali victoria, ipsum aboleretur. Longe vero augustius arbitror, Deique excellentia dignius, primo statim existentium cogitatu materiam sublatam esse. Haud tamen puto rem admiserunt, quod nunc quoque malum quidpiam exsistat, quod materiam vocant. Res vero nihil magis cessare ac aboleri possibile est, quæ tales sint, ne quis in deterius quædam mutari admiserit. Decebat enim hujus quemdam sensum fieri, quod nempe hæc mediocriter quovis sane modo imminuta essent, ut et in posterum meliores nobis spes suppeterent. Pulchre enim in Zenonis Citiei sententiam dictum est, qui rerum universitatem igni conflagraturam, sic argueret, *Quiquid habet quod urat, non cessaverit, donec totum comburat; solque ignis est, nec quod habet, comburet?* Ex quo conficiebat, ut sibi videbatur, rerum hanc universitatem igni exurendam esse. Ad quem facetiorum quemdam dixisse ferunt. *Atqui ego heri, et ante annum, ac diu ante vidi, nuncque similiter video, nullam labem solis ignem attulisse. Decebat cum tempore paulatim rem fieri, ut quandoque universum hoc conflagraturum crederemus.* Quin ad Manichæi quoque doctrinam, quanquam nulla nititur fide ac ratione, eadem puto responsio congruat, nihil hæc decrementi fecisse: sed et fuisse prius, ejus temporibus, qui mortalium primus conditus est, cum frater fratrem sustulit, et nunc adhuc esse: eademque bella, et diversas magis cupiditates ac libidines. Decebat autem hæc, vel si non cessaverant, certe minuta esse, ut et quandoque tempore cessatura augurarentur. Dum autem eadem exinde perseverant, quænam spes futurorum?

B Τὸ δὲ, Κατέπεμψε ὁ Θεὸς δύναμιν ἐπὶ τὴν ὕλην, λέγεται μὲν μετ' οὐδεμιᾶς ἀποδείξεως· ἔστι δὲ πιθανὸν οὐδ' ὁπωστιοῦν. Χρὴ δὲ ὁμοίως καὶ αὐτὸ τυχεῖν τῶν οἰκείων λόγων. Τὸ μὲν γὰρ αἴτιον τούτου ἐκεῖνο εἶναι, ὅπως μηδὲν μὲν ᾖ κακὸν, ἀγαθὰ δὲ πάντα. Ἔδει μιχθῆναι τὴν δύναμιν τῇ ὕλῃ, κατὰ τοὺς ἀθλητὰς, τοὺς ἐν τῷ συμπλέκεσθαι καταγωνιζομένους τοὺς ἀντιπάλους, ἵνα, κρατήσασα τοῦ κακοῦ, παύσῃ αὐτὸ τοῦ εἶναι. Πολὺ δὲ οἶμαι σεμνότερον, καὶ τῆς τοῦ Θεοῦ ὑπεροχῆς ἐπάξιον, τὸ ὁμοῦ νοήματι τῶν ὄντων ἀφανίσαι τὴν ὕλην. Ἀλλ' οἶμαι, τοῦτο οὐκ ἀπεδέξαντο, διὰ τὸ καὶ νῦν κακόν τι ὑπάρχειν, ὃ τὴν ὕλην εἶναί φασι. Τὰ πράγματα δὲ οὐδὲν μᾶλλον δύναται παύσασθαι ὄντα τοιαῦτα, ἵνα τις τὸ μὴ μεταβάλλεσθαι εἰς τὰ χείρω ἔνια συγχωρήσῃ. Ἔδει δέ C τινα αἴσθησιν γενέσθαι τούτου, ὅτι μετρίως ὅπως δήποτε ἐμειώθη ταῦτα, ἵνα καὶ τὰς εἰς τὸ μέλλον ἐλπίδας βελτίους ἔχωμεν. Καλῶς γὰρ δὴ πρὸς τὸν Ζήνωνος τοῦ Κιτιέως εἴρηται λόγον, ὃς τὸ πᾶν ἐκπυρωθήσεσθαι λέγων, *Πᾶν τὸ καῖον ἔχον οὐ παύσῃ ἕως ὅλον καύσῃ· καὶ ὁ ἥλιος πῦρ ἐστι, καὶ ὃ ἔχει οὐ καύσει;* Ἐξ οὗ συνήγετο, ὡς ᾤετο, τὸ πᾶν ἐκπυρωθήσεσθαι. Πρὸς ὃν τις τῶν χαριεστέρων εἰρηκέναι λέγεται· *Ἀλλ' ἐγώ τοι χθὲς, καὶ πρὸ ἐνιαυτοῦ, καὶ πρὸ πλείονος χρόνου εἶδον, καὶ νῦν ὁμοίως ὁρῶ, οὐδὲν ὑπὸ τοῦ ἡλίου πεπονθός. Χρῆν δὲ σὺν χρόνῳ κατ' ὀλίγον γενέσθαι τοῦτο, ἵνα καὶ ὅτι ποτὲ ἐκπυρωθήσεται τὸ ὅλον πιστεύσωμεν.* Καὶ πρὸς τὸν Μανιχαίου δὴ λόγον, καίτοι D σὺν οὐδεμιᾷ πίστει ῥηθέντα, ἡ αὐτὴ, οἶμαι, ἀπόκρισις· ὅτι Ἀλλ' οὐδὲν ἐμειώθη ταῦτα· ἀλλὰ καὶ πρότερον ἦν ἐπὶ τοῦ πρώτου γενομένου ἀνθρώπου, ὅπου ἀδελφὸς ἀδελφὸν ἀπόλλυσι, καὶ νῦν ἔτι ἐστί· καὶ πόλεμοι οἱ αὐτοὶ, καὶ ποικιλώτεραι ἐπιθυμίαι. Χρῆν δὲ, εἰ καὶ μὴ πεπαῦσθαι, μεμειῶσθαι γ' οὖν ταῦτα, ἵνα οἰηθήσωμεν, ὅτι καὶ παύσηταί ποτε σὺν τῷ χρόνῳ. Ὄντων δὲ τῶν αὐτῶν ἐκεῖθεν, τίς ἡ πίστις τῶν εἰς τὸ μέλλον;

Digitized by Google

CAP. XIII. *Malum minime in sideribus et stellis. Mala vitæ omnia Manichaice vana, quæ vitæ inducant interitum : delirio supra exposito transvectionis animarum ex luna ad solem.*

Τίνα δὲ καὶ τὰ κακὰ εἶναι λέγει; Περὶ μὲν γὰρ τὸν ἥλιον καὶ τὴν σελήνην οὐδὲν ἀπολείπει· περὶ δὲ τὸν οὐρανὸν καὶ τοὺς ἀστέρας, εἴ τι τοιοῦτον εἶναί φησι, καὶ τί ποτ' ἐστὶ τοῦτο, εὔλογον ἐφεξῆς ζητεῖν. Ἀλλ' ἡ μὲν ἀταξία κατ' αὐτούς ἐστι τὸ κακὸν καὶ ἡ ἄτακτος κίνησις· ταῦτα δὲ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχει· καὶ οὔτε τινά τις τῶν πλανωμένων αἰτιάσεται, ὡς παρὰ τὸν τεταγμένον χρόνον ἐπιμεῖναί ποτε ζωδιακῷ ἀξιώσαντα, οὔτε τῶν ἀπλανῶν, ὡς οὐκέτι τῆς αὐτῆς μένοντα ἕδρας καὶ μὴ συμπεριπολοῦντα τῇ τοῦ παντὸς περιφορᾷ, ἐν ἑκατὸν ἔτεσι μίαν μοῖραν ἐπὶ τὰ ἑπόμενα κινούμενα. Ἐν γῇ δὲ εἰ τὸ ἀνήμερον ἐνίων χωρίων αἰτιᾶται, ἢ μέμψονται οἱ κυβερνῆται ἐν τῇ θαλάσσῃ χειμῶνας· πρῶτον μὲν κατ' αὐτοὺς τῆς τοῦ ἀγαθοῦ μοίρας τὰ τοιαῦτα. Εἰ γοῦν ἐπὶ γῆς μηδὲν φύοιτο, τάχιστα ἂν ἀπόλοιτο πάντα τὰ ζῶα. Τοῦτο δὲ πολὺ τῆς ἐναπειλημμένης τῇ ὕλῃ δυνάμεως πρὸς τὸν Θεὸν παραπέμψαι δύναται καὶ πολλὰς σελήνας δεήσει γενέσθαι, ἵνα ἀθρόως χωρῆσαι δυνηθῶσι τοσαύτας προσπελαζούσας ψυχάς. Τὰ δὲ αὐτὰ καὶ περὶ τὴν θάλατταν. Ἔρμαιον γὰρ ἀπόλλυσθαι, ἵνα τάχιστα τῆς πρὸς τὸν Θεὸν ὁδοῦ ἔχωνται ἀπολλύμενα. Οἱ δὲ πόλεμοι οἱ ἐπὶ γῆς, καὶ λιμοὶ καὶ πᾶν ὅ τι φθοροποιὸν, ἐν πλείστῃ τιμῇ κατ' αὐτούς. Πᾶν γὰρ τὸ ἀγαθῶν αἴτιον τιμητέον. Ἀγαθοῦ δὲ αἴτια ταῦτα ἐκ τῆς συμβαινούσης φθορᾶς, ἂν πρὸς τὸν Θεὸν παραπέμπει τὴν διακρινομένην ἀπὸ τῶν ἀπολλυμένων δύναμιν.

A Quænam vero etiam mala esse dicit? Ad solem quidem ac lunam quod attinet, deest nihil. Quod vero ad cœlum et stellas, si quid tale esse dixerit, ac quidnam tandem illud sit, æquum est ut sequentibus exquiramus. Enimvero, inordinatio, ut illi existimant, malum est, motusque inordinatus. Hæc autem secundum eadem atque eodem semper modo habent : nec ullam quis inerrantium stellarum vituperaverit, eo nomine, quod præter constitutum tempus in signifero circulo quandoque morari voluerit; neque fixarum, quasi non eadem sede situque manserit, nec universi circumlatione in orbem pariter rotetur, uno gradu retro acto ad sequentia motu, centum annorum spatio. In terra autem si quorumdam locorum agrorumque duram ac indo-
B mitam indolem accusaverit; aut gubernatores maris tempestatibus ac procellis offensi fuerint. Primum quidem ut illi sentiunt, talia, boni portionis sunt. Etenim nullo terræ germine exsistente, futurum sit, ut animalia omnia celerrime intereant. Id vero dum ita contigerit, ejus virtutis quæ materiæ implexa est, partem plurimam ad Deum transmittere possit : ac necesse erit plures lunas exsistere, ut tantam repente propinquantium animarum multitudinem capere possint. Nec aliter de mari loquendum sit. Lucrum enim insperatum perire, ut ea quæ intereunt, quam citissime quæ ad Deum ducit, viam teneant. Quæ autem in terra geruntur bella, famesque, ac si quid est quod interitu mergat, illorum sententia, maximo habendum honore est. Quidquid enim causa bonorum est, quod honore habeatur dignum est. Sunt vero hæc boni causa, ex interitu qui est illis comes, dum discretam ab his qui intereunt, virtutem ad Deum traducit.

CAP. XIV. *Ægyptiis culta animalia noxia. Homo artibus maleficus. Libidines et injustitiæ, legibus castigatæ et disciplina. Contingentia et necessaria, quibus nihil labis.*

Ἠγνοήκαμέν τε, ὡς ἔοικεν, ὅτι ἐν δίκῃ τὸν κροκόδειλον καὶ τὸν λέοντα καὶ τὸν λύκον τιμῶσιν Αἰγύπτιοι· ἐπειδὴ ταῦτα μάλιστα παρὰ τὰ ἄλλα ζῶα καρτερικώτατα ὄντα, καταναλίσκει σιτούμενά τε αὐτὰ καὶ πάντα τρόπον διαφθείροντα· καὶ τὸν ἀετὸν καὶ τὸν ἱέρακα ὅτι καὶ ταῦτα τῶν ἐν ἀέρι καὶ ἐπὶ γῆς ἀσθενεστέρων ζώων ἀναιρετικά. Τάχα δὲ κατ' αὐτοὺς ὁ ἄνθρωπος διὰ τοῦτο ἐν πλείστῃ τιμῇ, ὅτι μάλιστα πάντων ταῖς ἐπινοίαις καὶ ταῖς τέχναις πλεῖστα τῶν ζώων δαμάζειν εἴωθεν· ἵνα καὶ αὐτὸς μὴ ἀμοιρῇ τούτου τοῦ ἀγαθοῦ, βορὰ ἑτέρων γίνεται. Πάλιν οὖν αἱ γενέσεις ἄτοποι, κατ' αὐτούς, ἐκ μικροῦ καὶ τοῦ τυχόντος σπέρματος πᾶν μέγα τι ἀποτελοῦσαι· καὶ πολὺ κάλλιον κατ' αὐτοὺς ἀνῃρῆσθαι ταύτας ὑπὸ τοῦ Θεοῦ, ἵνα ἂν σύντομος ἐγένετο ἀπαλλαγὴ τῆς ἐνταῦθα διατριβῆς τῆς δυνάμεως τῆς θείας.

C Atque, ut videtur, nescivimus Ægyptios merito crocodilum colere et leonem et lupum, quod hæc maxime animalia præ reliquis robustiora, ipsam prædam vorant, omnique modo interimunt : aquilam quoque et accipitrem, quod et horum indoles sit, ut imbecilliora animalia in aere et super terram enecent. Forte vero etiam juxta illos homo eam ob rem maximo honore habetur, quod omnium maxime subtilibus inventis atque artibus, pleraque animalium domare solet. Ne vero et ipse hujus expers boni exsistat, aliorum ipse esca cedit. Rursus igitur absurdæ generationes, illorum sententia, quæ ex exiguo vilique spermate quidquid magnum est efficiant; præstatque, ut hi opinantur, a Deo interimi, quam nasci, ut divina virtus cito liberetur a
D mundi hujus incolatus molestiis.

Ἀλλὰ τί καὶ πρὸς ἀκολασίας καὶ ἀδικίας, καὶ πᾶν ὁτιοῦν τοιοῦτον, φήσειέ τις ἄν, ὁ Μανιχαῖος ἐρεῖ; Οὐκοῦν πρὸς ταῦτα βοηθὸς δέδοται ἡ παίδευσις καὶ ὁ νόμος· ἡ μὲν παίδευσις ἐκφροντίζουσα τοῦ μηδὲ τοιοῦτόν τι περὶ τοὺς ἀνθρώπους συμβαίνειν· ὁ νόμος δὲ τιμωρούμενος τὸν ἁλόντα ἔν τινι τῶν ἀδικημάτων ὄντα.

Quid enimvero etiam ad libidines impudicitiasque ac injustitias, ac quidquid ejus generis est, dicat aliquis, dicturus Manichæus? Igitur ad hæc disciplina lexque suppetias veniunt. Disciplina quidem, in hoc diligenter incumbens, ne quid ejusmodi in hominibus contingat : lex vero puniens, si quis injustum aliquid admisisse deprehensus fuerit.

Digitized by Google

Deinde vero, quid est quod terræ vitio vertatur, quod eam subigere ac exercere agricola neglexerit? quod Dei principatus imminutus est, qui in justi ratione consistit, cum fuerint ejus quidem alia fructuum frugumque feracia; aliaque contraria qualitate prædita; aut cum ventis ruentibus, secundum aliam rationem, alios inde commodum sentire, alios vero etiam invitos mala quædam ferre contigerit? Nempe nesciant necesse est, quænam eorum indoles, quæ contingentia, et quæ necessaria sunt. Sic enim non talia prodigio verterent ac calumniarentur.

A Ἔπειτα δὲ τί τὸ ἔγκλημα τῆς γῆς, εἰ γεωργὸς ἀμελήσειε τοῦ ταύτην ἡμεροῦν; ὅτι ἠλάττωται ἡ τοῦ Θεοῦ ἀρχή, ἥτις ἐστὶ κατὰ τὸ δίκαιον, ὅτ' ἂν ᾖ τὰ μὲν καρπῶν γόνιμα, τὰ δὲ μὴ τοιαῦτα· ἢ φερομένων τῶν πνευμάτων καθ' ἑτέραν αἰτίαν, τοὺς μὲν ὠφελεῖσθαι, τοὺς δὲ καὶ ἀβούλητά τινα ὑπομένειν, συμβαίνῃ; ἀπείρους τούτους εἶναι τῆς τῶν ἐνδεχομένων φύσεως καὶ τῆς τῶν ἀναγκαίων. Οὕτω γὰρ οὐκ ἂν τὰ τοιαῦτα ἐτερατεύοντο.

Cap. XV. *Libido et cupiditas rerum sentientium. Dæmones, animalia sentientia. Sol item et luna, stellæ. Platonice, non Christiane.*

Unde igitur voluptas seu libido et cupiditas? Hæc enim maxime mala esse dicunt, oderuntque; nec materia aliud quidquam magis videatur. Sane quod hæc solum animalibus attineant quæ sensu prædita sunt, nullaque alia res quam quæ sentiunt, cupiditatem percipiat ac libidinem seu voluptatem, manifestum est. Quis enim stirpi voluptatis ac tristitiæ dolorisque sensus? Quisnam vero terræ, aquæ aut aeri? Dæmones vero, si quidem sunt animalia sensu prædita, eam forte ob rem constitutis sacrificiis ac legitimis delectantur, ægreque ferunt cum illa defuerint: cum nihil ejusmodi de Deo cogitari possit. Igitur qui dicunt: *Quidnam causæ est cur animalia voluptate afficiantur ac cupiditate?* prius inde querelam moveant, *Cur hæc sint sensu prædita, quæve causa sit cur cibo indigeant?* Ea sane animalia quæ immortalia erant, a corruptionis interitu augmentoque fuere liberata, cujusmodi sunt sol et luna et stellæ, quanquam sunt hæc etiam sensu prædita: extra tamen hæc sunt, nihilque huic criminationi obnoxia. Homo autem, cum et sensu uti valeat et judicare, sitque potentia sapiens (potestatem enim habet ut talis fiat), accepto quod proprium est, illud nimirum concupicat.

B Πόθεν οὖν ἡδονὴ καὶ ἐπιθυμία; Ταῦτα γὰρ μάλιστα κακὰ εἶναι λέγουσι καὶ διαμεμισήκασι τὴν ὕλην (4) οὐχ ἑτέρα μᾶλλόν ἐστιν. Ὅτι μὲν οὖν περὶ τὰ αἰσθητικὰ τῶν ζώων μόνων ἐστὶ ταῦτα, καὶ οὐδὲν ἕτερον ἀντιλαμβάνεται ἐπιθυμίας καὶ ἡδονῆς ἢ τὰ αἰσθανόμενα, φανερόν. Ποία γὰρ αἴσθησις ἡδονῆς καὶ λύπης φυτῷ; ποία δὲ γῇ, ὕδατι ἢ ἀέρι; Οἱ δαίμονές τε, εἴπερ εἰσὶν αἰσθητὰ (5) ζῶα, διὰ τοῦτο ἴσως τοῖς νενομισμένοις περὶ τὰς θυσίας ἥδονται, καὶ ἀπολειπομένων δυσφοροῦσιν· οὐδενὸς τοιούτου περὶ Θεοῦ ἐπινοεῖσθαι δυναμένου. Οἱ δὴ λέγοντες· *Διὰ τί ἥδεται καὶ ἐπιθυμεῖ τὰ ζῶα; αἰτιάσθωσαν πρότερον· Διά τί ἐστιν αἰσθητικὰ ταῦτα; ἢ διὰ τί τροφῆς δεῖται;* Ἂν μὲν γὰρ ἦν ἀθάνατα ζῶα, καὶ φθορᾶς καὶ αὔξης ἀπήλλακται, οἷον ἥλιος καὶ σελήνη καὶ ἀστέρες, καίτοι ὄντα αἰσθητικά· ἐκτὸς δὲ τούτων C ἐστὶ καὶ τῆς τοιαύτης αἰτιάσεως. Ὁ δὲ ἄνθρωπος, καὶ αἰσθέσθαι καὶ κρίνειν δυνάμενος, καὶ δυνάμει σοφὸς (ἔχει γὰρ δύναμιν τοιοῦτος γενέσθαι), ἀπολαβὼν τὸ ἴδιον δή, καταπατεῖ.

Cap. XVI. *Quod sapientes aliqui, nihil vetat et alios esse. Diligentia et studio paranda virtus. Saniore philosophia homines ad bonum provehendi. Commune virtutis stadium a Christo omnibus apertum.*

Prorsus enim operæ pretium ex his viris quæramus: Nullusne hominum studiosus possit evadere, an aliquem contingat virtutem capessere? Ac si quidem nemo sapiens, quid ipse tandem Manichæus? Mitto enim non solum alios studiosos dicere; sed et alios idoneos, qui tales faciant, non adesse. Quod si omnino aliquis est, quid vetat omnes pariter studiosos evadere? Quod enim de uno, de omnibus quoque contingens est; et quorum opera quibusve mediis unus, iisdem et omnes virtutis arcem possint arripere: nisi quid plurimum virtutis ac potentiæ dicunt talibus intercludi.

Rursus igitur primum: Quæ necessitas laboris ad capessendas disciplinas (liceat enim et dormiendo virtutem nancisci)? aut quæ causa est cur viri isti auditores suos potissimum in spem erigant parandæ honestatis atque virtutis? Nam etsi volutantes cum meretricibus, proprium bonum nancisci possint. Quod si disciplina meliorque institutio ac educatio,

D Ὅλως γὰρ ἄξιον πυθέσθαι τούτων τῶν ἀνδρῶν, πότερον οὐδένα ἄνθρωπον δυνατὸν σπουδαῖον γενέσθαι, ἢ τινά γε ἐνδέχεται; Εἰ μὲν γὰρ οὐδεὶς σοφός, τί δήποτε αὐτὸς ὁ Μανιχαῖος; Ἐῶ γάρ, ὅτι τοὺς ἄλλους οὐ μόνον σπουδαίους εἶναι λέγει· ἀλλὰ καὶ ἄλλους φησὶν ἱκανοὺς εἶναι τοιούτους ποιῆσαι. Εἰ δ' ὅλως ἐστί τις, τί κωλύει καὶ πάντας γενέσθαι σπουδαίους; Ὃ γὰρ περὶ ἕνα, καὶ περὶ πάντας ἐνδέχεται· καὶ δι' ὧν καὶ εἷς, διὰ τούτων καὶ πάντες ἐνάρετοι ἂν γένοιντο· εἰ μή τί φασιν τῆς δυνάμεως πλεῖστον τοῖς τοιούτοις ἐναπολαμβάνεσθαι.

Πάλιν τοίνυν πρῶτον μέν· Τίς χρεία τοῦ περὶ τὴν παίδευσιν πόνου (γενοίμεθα γὰρ ἂν καθεύδοντες σπουδαῖοι)· ἢ διὰ τί μάλιστα τοὺς ἀκροωμένους αὐτῶν οἱ τοιοῦτοι ἄνδρες εἰς ἐλπίδας ἄγουσι τοῦ καλοῦ; Καὶ γὰρ καλινδούμενοι σὺν ταῖς ἑταίραις, τὸ οἰκεῖον ἔχειεν ἂν ἀγαθόν. Εἰ δὲ ἡ παίδευσις καὶ ἡ περιαγωγὴ ἡ βελτίων καὶ τὸ σπουδαῖον περὶ τὴν τῆς

(4) *Την ὕλην.* Ἡ τε ὕλη.

(5) *Αἰσθητά.* Αἰσθητικά.

Digitized by Google

ἀρετῆς ἀνάληψιν τοιοῦτον αὐτὸν ἐπειργάσαντο, πάντες γινέσθωσαν τοιοῦτοι, καὶ ἀνῄρηται ἡ θρυλλουμένη ὑπ' αὐτῶν τῆς ὕλης ἄτακτος κίνησις.

diligentiaque ac sedulitas percipienda virtute talem eum reddidere, omnes tales fiant, sublatusque est ab eis celebratus decantatissimusque inordinatus materiæ motus.

Πολὺ δὲ κάλλιον ἦν τὴν σοφίαν ὅπλον φάναι τοῖς ἀνθρώποις ὑπὸ τοῦ Θεοῦ δεδόσθαι, ἵν' ὅ ἐστιν αὐτοῖς διὰ τὸ αἰσθητικοῖς εἶναι ἐξ ἐπιθυμίας καὶ ἡδονῆς, τοῦτο κατὰ μικρὸν εἰς τὸ ἀγαθὸν περιάγουσα, τὸ ἑπόμενον ἄτοπον ἐξ αὐτῶν ἀνέλῃ· οὕτως γὰρ οὗτοί τε, ἀρετὴν ἐπαγγελλόμενοι διδάσκειν, ζηλωτοὶ ἂν ἦσαν τῆς προθέσεως καὶ τοῦ βίου· πολλή τε ἂν ἦν ἐλπὶς τοῦ, ὅτι ποτὲ παύσεται τὰ κακὰ, πάντων γενομένων σοφῶν. Ὁ δοκεῖ μοι κατανενοηκέναι ὁ Ἰησοῦς· καὶ ἵνα μὴ ἀπεληλαμένοι ὦσι τοῦ ἀγαθοῦ γεωργοί τε καὶ τέκτονες καὶ οἰκοδόμοι καὶ οἱ ἄλλοι ἀπὸ τῶν τεχνῶν, κοινὸν συνέδριον καθίσαι πάντων ὁμοῦ· καὶ διὰ ἁπλῶν καὶ εὐκόλων διαλέξεων, καὶ εἰς Θεοῦ ἔννοιαν αὐτοὺς ἀπενηνοχέναι, καὶ τοῦ καλοῦ εἰς ἐπιθυμίαν ἐλθεῖν ποιῆσαι.

Longe vero præstaret, ut dicerent, sapientiam organum a Deo hominibus concessam, ut quod illis ex cupiditate et voluptate seu libidine molitum est, ea ratione qua sunt sensu præditi, hoc paulatim in bonum traducens, quod sequitur absurdum ab eis auferret. Sic enim ipsi, qui se virtutis doctores profiteantur, ex proposito vitaque æmulandi essent; magnaque spes affulgeret, fore ut quandoque mala cessarent, cum omnes sapientes evasissent. Idque adeo Jesus mihi considerasse videtur; ac ne plebs rusticana, agricolæ, fabri, cæmentarii, reliquique artifices et mechanici a bono extorres essent, commune omnium simul conflasse concilium; ac simplicis facilisque alloquii dissertationibus, tum in Dei eos sensum extulisse, tum in boni honestique desiderium adduxisse.

Cap. XVII. *Exagitata Manichaica virtus in Materia. Si una virtus creata sine Materia, et reliquæ. Virtus in materia explosa.*

« Ἐπεὶ τοίνυν τέταρτον ἤδη Πάσχα ἐπικατέλῃφε « τὸν διωγμὸν, αὐτάρκως ἔχει τοῖς μὲν προσενεχθεῖσι, « καὶ φυλακισθεῖσι, βασάνους τε ἀνυποίστους [1] ὑπο- « μεμενηκόσι, καὶ ἀφορήτους μάστιγας, καὶ πολλὰς « ἑτέρας ἀνάγκας δεινὰς, ὕστερον δὲ προδεδομένοις [1*] « ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, εἰ καὶ μὴ ἐξ ἀρ- « χῆς παρεδέχθησαν διὰ τὴν παρακολουθήσασαν με- « γίστην πτῶσιν, ὅμως διὰ τὸ πολλὰ αὐτοὺς ἠθλη- « κέναι καὶ ἐπὶ πολὺ ἀντιμαχέσασθαι [2] (οὐ γὰρ κατὰ « προαίρεσιν ἐν τούτῳ ἐληλύθασιν, ἀλλὰ καταπρο- « δοθέντες ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς), ἐπειδὴ καὶ « στίγματα τοῦ Ἰησοῦ ἐνδείκνυνται ἐν τοῖς σώμασιν « ἑαυτῶν [2*], καὶ ἤδη τινὲς τρίτον ἔτος ἔχουσι καταπεν- « θοῦντες· προσεπιτιμηθῆναι αὐτοῖς ἀπὸ τῆς προσ- « ελεύσεως καθ' ὑπόμνησιν ἄλλας τεσσαράκοντα « ἡμέρας, ἃς, καίπερ νηστεύσας ὁ Κύριος καὶ Σωτὴρ « ἡμῶν Ἰησοῦς Χριστὸς, μετὰ τὸ βαπτισθῆναι, « ἐπειράσθη ὑπὸ τοῦ διαβόλου· εἰς ἃς καὶ αὐτοὶ « κατὰ τὸ περισσὸν διαγυμνασθέντες, εὐτονώτερόν [2**] « τε νήψαντες, γρηγορήσουσιν εἰς προσευχὰς τοῦ « λοιποῦ, καταμελετῶντες τὸ λελεγμένον [2***] ὑπὸ τοῦ « Κυρίου πρὸς τὸν πειράζοντα αὐτὸν, ἵνα προσκυνήσῃ « γὰρ, *Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ*

ΒΑΛΣ. Οἱ παρόντες κανόνες περὶ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν οἰκείαν πίστιν, καὶ μετανοησάντων, διαλαμβάνουσι. Καὶ αὐτίκα ὁ πρῶτος κανὼν διακελεύεται, τοὺς θύσαντας μετὰ βασάνους πολλὰς, ὡς μὴ δυνηθέντας διὰ ἀσθένειαν ἐγκαρτερῆσαι, καὶ διαβιβάσαντας τρία ἔτη ἐν τῇ μετανοίᾳ, προσεπιτιμηθῆναι καὶ ἑτέρας τεσσαράκοντα ἡμέρας, καὶ οὕτω δεχθῆναι. Σημείωσαι τοὺς παρόντας κανόνας διοριζο-

[a] *Matth.* IV, 10.

VARIÆ LECTIONES.

[1] ἀνηκέστους. [1*] προδιδομένοις. [2] ἀντιμάχεσθαι. [2*] αὐτῶν. [2**] ἐντονώτερον. [2***] λεγόμενον.

Digitized by Google

μένους διάφορά τινα καὶ ἀναγκαῖα, χάριν τῶν ἀρνησαμένων ζητούντων μετάνοιαν, καὶ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον καὶ ἐκπεπτωκότων, καὶ πάλιν ὁμολογησάντων τὴν πίστιν, καὶ περὶ ἄλλων τινῶν τοιούτων. Ζήτει ἀναγκαίως καὶ τοὺς πλείους κανόνας τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ZONAP. Διαιρέσεις ποιεῖται ὁ ἅγιος οὗτος Πατὴρ τῶν ἐν διωγμοῖς ἀρνησαμένων τὴν πίστιν τὴν οἰκείαν, καί φησιν, ὅτι τοῖς ἀχθεῖσι πρὸς τοὺς τυράννους, καὶ εἰς φυλακὴν ἐμβληθεῖσι, βασάνους τε ἀνηκέστους ὑπομεμενηκόσι, καὶ ἀφρονήτους (*f.* ἀφορήτους) μάστιγας, καὶ σχεδὸν ἀνιάτους καὶ ἀθεραπεύτους (ἄκος γὰρ ἡ θεραπεία ἐστὶ, καὶ ἀνήκεστον τὸ ἀθεράπευτον), καὶ ἄλλας ἀνάγκας, καὶ μετὰ ταῦτα ὑποκύψασι καὶ θύσασιν, ὡς ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς προδοθεῖσι, μὴ δυνηθείσης μέχρι τέλους ἐγκαρτερῆσαι τοῖς ἀλγεινοῖς, ἀρκεῖ ὁ παρελθὼν χρόνος εἰς ἐπιτίμησιν. Τέταρτον γάρ φησιν ἤδη Πάσχα ἐπικατέληψεν, ἐξότου πεπτώκασι τὴν μεγίστην πτῶσιν. Καὶ εἰ τάχα καὶ ἐξ ἀρχῆς, ὅτε προσῆλθον μεταμελόμενοι, οὐκ ἐδέχθησαν, ὅμως ὅτι οὐ κατὰ προαίρεσιν ἦλθον εἰς τὸ θῦσαι, καὶ ἀντέστησαν ἐπιπολὺ, καὶ στίγματα τοῦ Ἰησοῦ, ἤγουν μώλωπας τῶν τραυμάτων, ὧν ὑπέστησαν ὑπὲρ τοῦ Χριστοῦ, ἔχουσι, καὶ ἤδη τρίτον ἔτος παρῆλθεν πενθούντων αὐτῶν διὰ τὴν πτῶσιν, προσεπιτιμηθῆναι ὥρισεν, ἀντὶ τοῦ, ἐπὶ πλέον ἐπιτιμηθῆναι, ἄλλας τεσσαράκοντα ἡμέρας ἐξότου προσῆλθον ζητοῦντες δεχθῆναι· ἐν αἷς ἐπὶ πλέον γυμνασίαν ἐπιδείξαντες, καὶ εὐτονώτερον νήψαντες, ἤγουν σπουδαιότερον προσχόντες ἑαυτοῖς, γρηγορήσουσιν εἰς προσευχὰς, καταμελετῶντες, ἤγουν συνεχῶς ἐν φροντίδι ποιούμενοι, καὶ λέγοντες, ἃ ὁ Κύριος πρὸς τὸν πειράζοντα εἶπεν· *Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.*

A finiunt in gratiam eorum qui Deum abnegarunt, et pœnitentiam petunt, et de iis qui ad martyrium ultro advolarunt, et lapsi sunt, et rursus fidem sunt confessi, et de aliis quibusdam ejusmodi. Quære etiam non absque fructu plurimos canones synodi Ancyranæ.

ZONAR. Inter eos qui turbulentis temporibus propriam fidem abnegarunt, discrimen sanctus hic Pater statuit, aitque, qui ad tyrannos rei acti sunt, ac in vincula conjecti, tormentaque gravissima flagellaque haud tolerabilia, quæque nulla propemodum cura, aut medicina sanari possent (ἄκος namque *curationem* significat, estque ἀνήκεστον idem quod *immedicabile*), aliasque necessitates sustinuerunt; ac postea succumbentes immolarunt, velut a B carnis imbecillitate proditi, quæ ad finem usque obdurare in doloribus haud potuerit, iis mulctæ nomine decursum jam tempus sufficere. Quartum siquidem, inquit, Pascha jam exactum est, ex quo in gravissimum hunc incidere casum. Ac etiamsi forte initio cum pœnitentia ducti accesserunt, non sunt suscepti, tamen quia non sponte processere ad immolandum diuque repugnarunt, ac stigmata Jesu, vulnerum nempe quæ pro Christo sustinuere cicatrices gerunt: tertiusque jam effluxit annus ex quo lugent lapsum illum, insuper mulctari, hoc est, alios adhuc quadraginta dies ex quo ad communionem admitti postulantes accesserunt, mulctæ nomine injungendos esse decernit. In quibus majorem adhuc ostendentes pœnitentiæ exercitationem, et C intentius, hoc est, attentiore cura jejunantes, attendentes sibimetipsis, vigilent in orationibus, meditantes, hoc est animo perpetuo versantes, voceque usurpantes quæ Dominus ad tentatorem dixit: *Abi pone me, Satana; scriptum est enim: Dominum Deum tuum adorabis, et illi soli servies.*

ΚΑΝΩΝ Β'.

« Τοῖς δὲ μετὰ τὸ φυλακισθῆναι μόνον [a] καὶ ὑπο-
« μεμενηκέναι τὰς ἐν τῷ δεσμωτηρίῳ, ὡς ἂν ἐν πο-
« λιορκίᾳ, θλίψεις τε καὶ δυσωδίας, ὕστερον δὲ
« χωρὶς πολέμου βασάνων γενομένοις [a*] αἰχμαλώτοις,
« κατὰ πολλὴν πτωχείαν δυνάμεως, καὶ κατά τινα
« τυφλότητα τεθραυσμένοις, ἐπαρκέσει ἐνιαυτὸς
« πρὸς τῷ ἑτέρῳ χρόνῳ· ἐπεὶ ὅλως καὶ αὐτοὶ ἐπι-
« δεδώκασιν ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χρι-
« στοῦ [b] θλιβῆναι· εἰ καὶ ἀπέλαυσαν ἐν τῷ δεσμω-
« τηρίῳ τῆς παρὰ τῶν ἀδελφῶν πολλῆς ἀναπαύ-
« σεως. Ἅπερ πολλαπλασίονα ἀποδώσουσι, ποθοῦν-
« τες λυτρωθῆναι ἀπὸ τῆς πικροτάτης αἰχμαλω-
« σίας τοῦ διαβόλου, μεμνημένοι μάλιστα τοῦ λέγον-
« τος· *Πνεῦμα τοῦ* [b*] *Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν* [b**]
« *ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ*
« *με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς*
« *ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέ-*
« *σει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως.* »

CANON II.

« Iis autem qui postquam in custodiam traditi
« sunt, et in carcere, tanquam in obsidione, af-
« flictiones gravesque fetores passi sunt; postea
« autem sine bello tormentorum captivi facti sunt,
« nimia virium inopia et quadam cæcitate confracti,
« annus ad aliud tempus injunctus sufficiet: nam
« ipsi quoque se omnino pro nomine Christi affli-
« gendos dedere: si etiam a fratribus in carcere
D « multam consolationem assecuti sunt. Quæ qui-
« dem multiplicata reddent, liberari cupientes ab
« acerbissima captivitate diaboli, ejus maxime re-
« cordantes qui dicit: *Spiritus Domini super me,*
« *quam ob causam unxit me: ut pauperibus evan-*
« *gelizarem misit me, et annuntiarem captivis libe-*
« *rationem, et cæcis visus recuperationem, et mitte-*
« *rem fractos in remissionem, prædicare annum*
« *Domini acceptabilem, et diem retributionis* [a]. »

[a] *Isa.* LXI, 1, 2; *Luc.* IV, 18, 19.

VARIÆ LECTIONES.

[a] μόνον om. [a*] γενομένων. [b] τοῦ Χριστοῦ om. [b*] τοῦ om. [b**] εἵνεκεν.

Digitized by Google

Bals. Hic canon statuit ut qui in custodia solum male affecti sunt, et sine tormentis lapsi sunt, post triennium alius quoque anni pœna puniantur. Si forte enim, inquit, consolationem assecuti sunt, utpote aliquibus fidelibus vitæ subsidia suppeditantibus, ii quoque debent veniam obtinere, ut qui gravia pro fide passi sunt.

Zonar. In secundo ordine eos locat qui tantummodo in vincula conjecti, atque in carcere male affecti sunt, tum nullis vexati cruciatibus peccaverunt: quibus præter decursum tempus, triennium videlicet de quo supra dictum est, anni quoque præterea unius mulctam irrogari placet. Quoniam et ipsi, inquit, pro Christi nomine divexati sunt; etiamsi forte solatii quidpiam in carcere a fratribus consecuti sunt. Probabile enim est fideles, quicunque nulla custodia detinebantur, in vincula conjectis vitæ subsidia ministrasse, iisque proinde levationis aliquid attulisse. Quæ quidem multiplicata reddent, pro iis nimirum quibus in custodia obleotati sunt, pœnitentiam agentes vexabunt se ipsos, ac multis modis afflictabunt; si ex eo quod Christum abnegarunt, a diaboli captivitate liberari velint, illius captivi et servi facti. Subjicit mox prophetæ verba, quæ sunt ex Isaia deprompta, quorum meminisse oportere ipsos affirmat.

CANON III.

« Iis autem qui nihil ejusmodi passi sunt, nec « fidei fructum ostenderunt, sed ad vitium ultro « transfugerunt, a metu et timiditate proditi; nunc « autem veniunt ad pœnitentiam, necesse est et « conveniens infrugiferæ ficus parabolam proponere, ut Dominus dicit : *Habebat quis ficum plantatam in suo vineto : et venit quærens in ea fructum, et non invenit. Dixit autem vinitori : Ecce tres annos, ex quo ego venio quærens fructum in hac ficu, et non invenio; exscinde eam : cur terram inaniter occupat? Ille vero respondens dicit illi : Domine, dimitte illam hoc quoque anno, donec circa eam fodero, et lætamen injecero; si quidem fructum fecerit; sin minus, eam in futurum exscindes* [a] : qua ante oculos accepta, et ostenso digno fructu pœnitentiæ, in tanto temporis « intervallo magis juvabuntur. »

Bals. Eos qui propter solum metum et timiditatem transfugerunt, ad pœnitentiam autem respexerunt, triennio punit canon secundum parabolam ficus quæ est in Evangeliis. Dominus enim inquit : *Jam tribus annis ad hanc venio quærens fructum, et non invenio.* Vinitor autem, *Dimitte illam*, inquit, *et hoc anno.*

Zonar. Quicunque vero, inquit, nihil perpessi acerbum, ob metum solum ac timiditatem transfugerunt, pro eo quod ipsi sponte pravitatem sunt consectati; mox animum ad pœnitentiam adjecere,

[a] *Luc.* XIII, 6-9.

A Βαλσ. Οὗτος ὁ κανὼν διαλαμβάνει τοὺς μόνον κακοπαθήσαντας ἐν τῇ φυλακῇ καὶ χωρὶς βασάνων παραπεπτωκότας, ἐπιτιμᾶσθαι μετὰ τὸν τριετῆ χρόνον καὶ ἐπὶ ἕτερον ἐνιαυτόν. Εἰ τάχα γάρ, φησὶ, καὶ ἀπέλαυσαν παρακλήσεως, ὥς τινων πιστῶν χορηγούντων αὐτοῖς τὰ πρὸς διοίκησιν, ἀλλὰ καὶ οὗτοι ὀφείλουσι συγγνώμης ἀξιοῦσθαι ὡς ὑπὲρ τῆς πίστεως κακοπαθήσαντες.

Ζωναρ. Ἐν δευτέρᾳ τάξει τίθησι τοὺς μόνον φυλακισθέντας, καὶ κακοπαθήσαντας ἐν τῇ φυλακῇ, καὶ χωρὶς βασάνων παραπεπτωκότας· οἷς ἐνιαυτὸν ἔταξαν (*ſ.* ἔταξεν) εἰς ἐπιτίμιον μετὰ τὸν παρελθόντα χρόνον, ἤγουν τὴν τριετίαν ἣν εἴρηκεν ἄνω. Διότι καὶ αὐτοὶ, φησὶν, ὑπὲρ τοῦ ὀνόματος ἐθλίβησαν τοῦ Χριστοῦ, εἰ καὶ τάχα ἀπέλαυσαν ἐν τῷ δεσμωτηρίῳ παρακλήσεως ἐκ B τῶν ἀδελφῶν. Ὡς ἔοικε γὰρ, οἱ πιστοὶ, ὅσοι οὐ συνεσχέθησαν, τοῖς κατειργμένοις ἐχορήγουν τὰ εἰς διοίκησιν, καὶ ἀνέπαυον αὐτούς. Ἅπερ πολλαπλασίονα ἀποδώσουσιν, ἀντὶ τοῦ, ἀνθ' ὧν ἀπήλαυσαν ἐν τῇ φυλακῇ μετανοοῦντες θλίψουσιν ἑαυτοὺς καὶ κακώσουσι πολλαπλασίως, εἰ θέλουσι λυτρωθῆναι ἀπὸ τῆς αἰχμαλωσίας τοῦ διαβόλου, αἰχμάλωτοι καὶ δοῦλοι γεγονότες αὐτῷ διὰ τὴν ἄρνησιν τοῦ Χριστοῦ. Εἶτα ἐπάγει τὰ προφητικὰ ῥήματα, ἅπερ ἐκ τοῦ Ἡσαΐου εἰσὶ, λέγων δεῖν μεμνῆσθαι αὐτούς.

ΚΑΝΩΝ Γ'

« Τοῖς δὲ μηδ' ὅλως μηδέν τι τοιοῦτον πεπονθόσι, « μηδὲ ἐνδειξαμένοις καρπὸν πίστεως, ἀλλ' αὐτομο- C « λήσασι πρὸς τὴν κακίαν, προδεδομένοις ὑπὸ δει- « λίας καὶ φόβου, νῦν δὲ εἰς μετάνοιαν ἐρχομένοις, ἀνα- « γκαῖόν ἐστι καὶ ἁρμόζον τὴν τῆς ἀκάρπου συκῆς πα- « ραβολὴν παραθέσθαι, ὡς ὁ Κύριος λέγει· *Συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ· καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. Εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· Ἰδοὺ τρία ἔτη ἀφ' οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ; Ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ· Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω τὰ περὶ αὐτὴν, καὶ βάλω κόπρια· κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μή γε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν* · » ἦν πρὸ ὀφθαλμῶν λαβόντες, ἐν- « δειξάμενοί τε καρπὸν ἄξιον τῆς μετανοίας, ἐν τῷ D « διαστήματι τοῦ τοσούτου χρόνου μᾶλλον ὠφελη- « θήσονται. »

Βαλσ. Τοὺς μέντοι διὰ φόβον μόνον καὶ δειλίαν αὐτομολήσαντας, εἶτα εἰς μετάνοιαν ἀπιδόντας, διὰ τριετίας ἐπιτιμᾷ ὁ κανὼν, κατὰ τὴν ἐν Εὐαγγελίοις παραβολὴν τῆς συκῆς. Ὁ γὰρ Κύριος, *Τρία ἔτη*, ἔφησεν, *ἔρχομαι πρὸς αὐτὴν ζητῶν καρπὸν, καὶ οὐχ εὑρίσκω· ὁ δὲ ἀμπελουργὸς, Ἄφες*, εἶπεν, *αὐτὴν, Κύριε, καὶ τοῦτο τὸ ἔτος.*

Ζωναρ. Ὅσοι, δὲ, φησὶ, μή τι ὑποστάντες ἀλγεινὸν, διὰ φόβον μόνον καὶ δειλίαν ηὐτομόλησαν, ἀντὶ τοῦ, αὐτοὶ ἑκόντες προσῆλθον τῇ κακίᾳ, εἶτα εἰς μετάνοιαν ἀπεῖδον, τοῖς τοιούτοις ἡ τῆς συκῆς

Digitized by Google

ἐρμόσει παραβολὴ κατὰ τὸ Εὐαγγέλιον· ἣν λαβόντες πρὸ ὀφθαλμῶν, κόπον ἄξιον μετανοίας ἐπὶ τοσοῦτον χρόνον δόντες ὠφεληθήσονται, ἤγουν ἐπὶ τετραετίαν. Ὁ γὰρ Κύριος, *Τρία ἔτη*, ἔφησεν, *ἔρχομαι πρὸς αὐτὴν, ζητῶν καρπὸν, καὶ οὐχ εὑρίσκω*· ὁ δὲ ἀμπελουργὸς, *Ἄφες αὐτὴν*, εἶπεν, *Κύριε, καὶ τοῦτο τὸ ἔτος.* A in eos parabola evangelica ficus quadrabit : quam præ oculis habentes, dignum pœnitentiæ labore aequali tempore exhibentes, juvabuntur, hoc est ad quartum usque annum. Dominus namque, *Tres annos*, inquit, *venio ad ipsam, quærens fructum, nec invenio.* Agricola vero, *Dimitte*, ait, *illam, domine, et hoc anno.*

ΚΑΝΩΝ Δ'.

« Τοῖς γὰρ παντάπασιν ἀπεγνωσμένοις καὶ [a] ἀμετανοήτοις, δέρμα τε Αἰθίοπος ἀμετάβλητον κεκτημένοις, καὶ ποικίλματα παρδάλεως, λεχθήσεται τὸ τῆς ἑτέρας συκῆς· *Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα*· διὸ καὶ παραχρῆμα ξηραίνεται. Ἀποκληροῦται γοῦν ἐπ' αὐτοῖς καὶ τὸ ὑπὸ τοῦ Ἐκκλησιαστοῦ εἰρημένον· *Διεστραμμένον οὐ δύναται* [b] *ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι.* Εἰ μὴ γὰρ πρότερον τὸ διεστραμμένον διορθωθῇ, ἀδύνατόν ἐστι αὐτὸ ἐπικοσμηθῆναι· καὶ εἰ μὴ πρότερον τὸ ὑστέρημα ἀναπληρωθῇ, ἀδύνατόν ἐστιν αὐτὸ ἀριθμηθῆναι. Ὅθεν καὶ ἐπὶ τέλους συμβήσεται αὐτοῖς τὸ λεγόμενον [c] ὑπὸ τοῦ προφήτου Ἡσαΐου· *Καὶ ὄψονται γὰρ* [d], φησὶ, *τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί·* ἐπεὶ καὶ ὡς προέλεκται ὑπ' αὐτοῦ· *Οἱ δὲ ἄδικοι, ὡς θάλασσα ἀναβεβρασμένη* [e], *οὕτω κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ μὴ δυνήσονται* [f] (*f.* δυνήσωνται). *Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός.* »

CANON IV.

« Iis enim qui sunt omnino desperati, et pœnitentiam non agunt, et pellem Æthiopis immutabilem possident et pardi varietates, dicetur, quod alii ficui dictum est : *Nequaquam ex te fructus fiat in æternum* [a], et ideo statim quoque exarescit. In iis enim impletur quod ab Ecclesiaste dictum est : *Quod perversum est, non poterit exornari, et defectus numerari non poterit* [b]. Nisi enim quod perversum est prius rectum fuerit, fieri non potest ut id exornetur; et nisi prior defectus expletus fuerit, fieri non potest ut is numeretur. Unde et in fine eis eveniet quod a propheta Isaia dicitur : *Et videbuntur*, inquit, *membra eorum qui transgressi sunt in me. Vermis enim ipsorum non morietur, et ignis eorum non exstinguetur : et erunt in aspectum omnis carnis* [c]. Quandoquidem, ut et ab ipso prædictum est : *Injusti autem sic fluctuabunt, et requiescere non poterunt. Non est gaudere impiis, dicit Deus* [d]. »

ΒΑΛΣ. Ἃ μὲν προείρηται περὶ τῶν πεπτωκότων, εἴρηται καὶ περὶ μεταμελομένων· κατὰ δὲ τῶν ἀμετανοήτων τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει, πρὸς ἣν ὁ Κύριος ἔφη διὰ τὸ ἄκαρπον· *Μηκέτι ἐκ σοῦ καρπὸς γένηται.* C

Bals. Quæ prius quidem dicta sunt de lapsis, de resipiscentibus etiam dicta sunt. Adversus eos autem qui nulla pœnitentia ducuntur, alterius ficus exsecrationem inducit, ad quam Dominus dicit propter infertilitatem : *Fructus amplius ex te non fiat.*

ΖΩΝΑΡ. Ἃ μὲν προείρηται περὶ τῶν παραπεπτωκότων, εἴρηται καὶ [add. περὶ] μεταμελομένων. Κατὰ δὲ τῶν ἀμετανοήτων ἐξ ἀπογνώσεως ἢ πονηρᾶς γνώμης, καὶ τὸ ἐξ ἁμαρτίας μελάνωμα ἀμετάβλητον καὶ ἀνέκπλυτον ἐχόντων, ὡς οἱ Αἰθίοπες τὸ ζοφερὸν τοῦ δέρματος, καὶ ἡ πάρδαλις τὰ ποικίλματα, τὴν κατάραν τῆς ἑτέρας συκῆς ἐπάγει· πρὸς ἣν ὁ Κύριος ἔφη διὰ τὸ ἄκαρπον· *Μηκέτι ἐκ σοῦ καρπὸς γένηται*· καὶ πληροῦσθαί φησιν ἐπ' αὐτοῖς τὰ τοῦ Ἐκκλησιαστοῦ [e], λέγοντος· *Διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι, καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι*· εἶτα σαφηνίσας τὰ ῥητὰ ταῦτα, προστίθησι καὶ τὰ τοῦ Ἡσαΐου. D

Zonar. Quæ prius quidem de lapsis dicta sunt, dicta sunt etiam de resipiscentibus. Contra illos vero qui ex desperatione vel depravata opinione pœnitentiam non agunt, ac perpetuo inhærentem ac indelebilem peccati nigrorem gestant, ut Æthiopes fuscam pellem, pardusque varietates; alterius ficus exsecrationem inducit. Ad quam Dominus ob sterilitatem, *Ne fructus*, inquit, *amplius ex te nascatur.* Implendumque ait in ipsis illud Ecclesiastes, dicentis : *Quod perversum est non poterit exornari, et defectus numerari non poterit :* quibus mox explicatis, Isaiæ quoque verba subjungit.

ΚΑΝΩΝ Ε'.

« Τοῖς δὲ καθυποκριναμένοις κατὰ τὸν ἐπιληπτεύσαμενον Δαβὶδ, ἵνα μὴ ἀποθάνῃ, οὐκ ὄντα ἐπίληπτον· καὶ μὴ γυμνῶς ἀπογραψαμένοις τὰ πρὸς ἄρνησιν, ἀλλὰ διαπαίξασι κατὰ πολλὴν στενοχωρίαν, ὡς ἂν παιδία βουλευτικὰ ἔμφρονα ἐν παιδίοις ἄφροσι, τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ἤτοι ὡς διελ-

CANON V.

« Iis autem qui simularunt sicut et David [e], qui se epilepticum fingebat, ne moreretur, quamvis re vera epilepticus non esset; et non nude negationem inscripserunt, sed in multis angustiis, tanquam pueri consilio et prudentia præditi inter pueros insipientes, inimicorum insidias ludificati

[a] *Matth.* XXI, 19. [b] *Eccle.* I, 15. [c] *Isa.* LXVI, 24. [d] *Isa.* LVII, 20, 21. [e] *I Reg.* XXI, 13.

VARIÆ LECTIONES.

[a] καὶ om. [b] δυνηθήσεται. [c] λελεγμένον. [d] deest γάρ. [e] ὡς θάλασσα ἀναβεβρασμένη om. [f] καὶ add. [g] Ἐκκλησιαστικοῦ.

Digitized by Google

« sunt, vel ut qui altaria pervaserint, vel tanquam A « qui chirographum dederint, vel ut qui pro se « ethnicos immiserint; etiam si nonnulli eorum « qui confessi sunt, ut audivi, aliquibus eorum « ignoverunt, quoniam maxima cautione vitarunt, « ne ipsi suis manibus ignem facerent, et dæmonas « impuros suffirent : licet vero ex agentis igno- « rantia eos latuit, semestris tamen pœnitentiæ « pœna illis imponetur. Sic enim ipsi quoque ma- « gis juvabuntur, prophetæ dictum meditantes, et « dicentes : *Puellus genitus est nobis, filius et datus « est nobis, cujus principatus est in humero suo, et « vocatur nomen ejus, magni consilii Angelus* [a]. Qui, « ut scitis, in sexto mense conceptionis, cum alius « infans prædicasset *ante adventum ejus pœniten-* « *tiam in remissionem peccatorum* [b], conceptus est B « et ipse ad prædicandam pœnitentiam. Etenim « utrosque audimus in primis prædicantes non so- « lum de pœnitentia, sed et de regno cœlorum : « quod quidem, ut didicimus, *intra nos est* [c], quod « *prope nos sit verbum* quod credimus *in ore nostro* « et corde nostro, quod Jesus est Christus : *cre-* « *dentes in corde nostro, quod Deus ipsum suscitavit* « *ex mortuis* : ut qui audiant quod *corde quidem* « *creditur ad justitiam, ore autem confessio fit ad* « *salutem* [d]. »

« θόντες [10] βωμοὺς, ἤτοι ὡς χειρογραφήσαντες, ἤτοι « ὡς ἀνθ' ἑαυτῶν βαλόντες ἐθνικοὺς, εἰ καί τισιν « αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων [10*], « ὡς ἤκουσα (ἐπεὶ μάλιστα κατὰ πολλὴν εὐλάβειαν « ἐξέφυγον αὐτόχειρες γενέσθαι τοῦ πυρὸς καὶ τῆς « ἀναθυμιάσεως τῶν ἀκαθάρτων δαιμόνων)· ἐπεὶ τοί- « νυν ἔλαθεν αὐτοὺς ἀνοίᾳ τοῦτο πράξαντας [11], ὅμως « ἑξάμηνος αὐτοῖς ἐπιτεθήσεται τῆς ἐν μετανοίᾳ ἐπι- « στροφῆς. Οὕτω γὰρ μᾶλλον καὶ αὐτοὶ ὠφεληθήσον- « ται, καταμελετῶντες τὸ προφητικὸν ῥητὸν, καὶ « λέγοντες· *Παιδίον ἐγεννήθη ἡμῖν υἱὸς, καὶ* [11*] « *ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ* « *καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγ-* « *γελος.* Ὅπερ [11**], ὡς ἴστε, ἐν τῷ ἕκτῳ μηνὶ τῆς « συλλήψεως τοῦ ἑτέρου παιδίου, τοῦ προκηρύξαντος « *πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ μετάνοιαν εἰς* « *ἄφεσιν ἁμαρτιῶν*, συνελήφθη καὶ αὐτὸ [11***] κηρύ- « ξαι μετάνοιαν. Καὶ γὰρ καὶ τῶν ἀμφοτέρων ἀκούο- « μεν ἐν πρώτοις κηρυττόντων [12] οὐ μόνον περὶ με- « τανοίας, ἀλλὰ καὶ περὶ βασιλείας οὐρανῶν, ἥτις, « καθὼς μεμαθήκαμεν, *ἐντὸς ἡμῶν ἐστι*, τῷ *ἐγγὺς* « *ἡμῶν εἶναι τὸ ῥῆμα* ὃ πιστεύομεν *ἐν τῷ στόματι* « *ἑαυτῶν* καὶ ἐν τῇ καρδίᾳ ἑαυτῶν· περὶ ἧς καὶ « αὐτοὶ ὑπομνησθέντες, μαθήσονται ὁμολογεῖν ἐν τῷ « στόματι ἑαυτῶν [13], ὅτι Ἰησοῦς Χριστός (1)· *πι-* « *στεύοντες ἐν τῇ καρδίᾳ ἑαυτῶν, ὅτι ὁ Θεὸς αὐ-* « *τὸν ἤγειρεν ἐκ νεκρῶν*· ἅτε δὴ [14] ἀκούοντες, ὅτι *καρδίᾳ μὲν πιστεύεται* [15] *εἰς δικαιοσύνην, στόματι* « *δὲ ὁμολογεῖται εἰς σωτηρίαν.* »

Bals. Si qui autem simularunt se ad aras quidem accedere, vel scribere quod fidem negant; non C nude autem et aperte hoc fecerunt, sed arte aliqua eos qui vim afferebant, illuserunt; sicut David qui se epilepsia correptum simulavit cum fugeret Saulem, et esset apud alienigenas; et ita mortem evasit : illuserunt autem inimicorum insidias, ut puelli consilio prudentiaque præditi pueros insipientes eludunt : impios enim fefellerunt, quod sacrificare quidem visi sunt, non tamen sacrificarunt : forte enim pro se ethnicos vel infideles submiserunt, et per illos sacrificare ipsos existimarunt : eis, inquit, semestre tempus sufficiet ad pœnitentiam. Etsi enim non sacrificarunt, quia tamen sacrificare polliciti sunt, vel alios submiserunt, pœnitentia indigere sunt existimati; etiamsi nonnullis eorum D ignoverunt quidam, qui pro fide testimonium dedere. Eos autem pueris quidem confert, ut qui non viriliter idololatris restiterunt; prudentibus vero, ut qui artificio sacrificia declinarunt.

ΒΑΛΣ. Εἰ δέ τινες ὑπεκρίθησάν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι, ὅτι ἀρνοῦνται τὴν πίστιν, οὐ γυμνῶς δὲ καὶ φανερῶς τοῦτο ἐποίησαν, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτούς, ὡς ὁ Δαβὶδ ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη, φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δὲ τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ ἔμφρονα διαπαίζουσιν ἄφρονας παῖδας· ἠπάτησαν γὰρ τοὺς ἀσεβεῖς, διὰ τὸ δόξαι μὲν θύειν, μὴ θῦσαι δέ· τυ- χὸν γὰρ ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς ἢ ἀπίστους, καὶ δι' ἐκείνων ἐνόμισαν τεθυκέναι· τοῖς τοιούτοις, φησὶν, ἑξάμηνος καιρὸς ἀρκέσῃ εἰς μετάνοιαν. Κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι ἢ ἑτέρους ὑπέβαλον, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν μαρτυρησάντων ὑπὲρ τῆς πίστεως. Ἀπεικάζει δὲ τούτους παισὶ μὲν ὡς μὴ ἀνδρικῶς ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἔμφροσι δὲ ὡς εὐμεθόδως τὴν θυσίαν ἐκκλίναντας.

Zonar. Si qui vero ad aras quidem se accedere simularunt, aut scribere quod fidem negant, verum

ΖΩΝΑΡ. Εἰ δέ τινες ὑπεκρίθησαν μὲν προσιέναι τοῖς βωμοῖς, ἤτοι γράψαι, ὅτι ἀρνοῦνται τὴν πίστιν,

[a] *Isa.* IX, 6. [b] *Luc.* I, 76, 77. [c] *Luc.* XVII, 21. [d] *Rom.* X, 8-10.

VARIÆ LECTIONES.

[10] διελθόντας... χειρογραφήσαντας... βαλόντας. [10*] ὁμολογητῶν. [11] τοῦ πράξαντος. [11*] ἐγενήθη ἡμῖν, υἱὸς καί. [11**] ὅσπερ. [11***] αὐτός. [12] κηρυσσόντων. [13] περὶ ἧς καὶ αὐτοὶ ὑπομνησθέντες μαθήσονται ὁμολογεῖν ἐν τῷ στόματι ἑαυτῶν om. [14] δέ. [15] πιστεύετε... ὁμολογεῖτε.

(1) *Ὅτι Ἰησοῦς Χριστός.* Harduinus in sua *Conciliorum* editione ex ms. Regio 2038, ὅτι Κύριος Ἰησοῦς. Sic Rom. x, 9. Idem paulo post, ἅτε δὴ. Hic autem locus paulo aliter effertur in edit. Paris. Zonaræ et Balsamonis.

Digitized by Google

οὐ γυμνῶς δὲ τὰ πρὸς ἄρνησιν ἔγραψαν, ἀντὶ τοῦ οὐκ ἀπαρακαλύπτως, οὐ φανερῶς, ἀλλὰ διά τινος μεθόδου διέπαιξαν τοὺς βιάζοντας αὐτούς, ὡς ὁ Δαβὶδ ὅτε τὸν ἐπίληπτον ὑπεκρίθη φεύγων τὸν Σαοὺλ, καὶ πρὸς τοὺς ἀλλοφύλους γενόμενος, καὶ οὕτω τὸν θάνατον διαπέφευγε· διέπαιξαν δὲ, φησὶ, τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς, ὡς παιδία βουλευτικὰ, ἔμφρονα, φρόνιμα, καὶ συνετῶς δηλαδὴ βουλευόμενα, διαπαίζουσιν ἐν ἄφροσι παιδίοις. Ἔμφροσι δὲ ἀπεικάζει τοὺς ἁπατήσαντας τοὺς ἀσεβεῖς, καὶ δόξαντας μὲν θύειν, μὴ θύσαντας δέ· ἔμφρονας μὲν ὡς τὴν θυσίαν τέως ἐκκλίναντας[15·] · παιδείους δὲ, ὡς μὴ τέλειον καὶ ἀνδρῶδες ἐνδειξαμένους φρόνημα, καὶ γενναίως ἀντικαταστάντας τοῖς εἰδωλολάτραις, ἀλλ' ὅμως συνθεμένους θῦσαι, εἰ καί τινες[15··] ἀνθ' ἑαυτῶν ὑπέβαλον ἐθνικοὺς, ἤγουν ἀπίστους, καὶ ἐκείνων θυσάντων ἐνομίσθησαν αὐτοὶ τεθυκέναι. Τοῖς τοιούτοις, φησὶν, ἐξάμηνος καιρὸς ἐξαρκέσει εἰς μετάνοιαν. Κἂν γὰρ οὐκ ἔθυσαν, ἀλλ' ὅτι συνέθεντο θῦσαι, ἢ ὅτι ἑτέρους ὑπέβαλον, καὶ ἔδοξαν αὐτοὶ θῦσαι, ἐλογίσθησαν δεῖσθαι μετανοίας, εἰ καί τισιν αὐτῶν συνεχώρησάν τινες τῶν ὁμολογησάντων. Τινὲς γὰρ τῶν μαρτυρησάντων καὶ παθόντων ὑπὲρ τῆς πίστεως συνεχώρησαν τοῖς διὰ μεθόδων, ὡς εἴρηται, μὴ θύσασι, καὶ ἐδέξαντο αὐτοὺς μετὰ τῶν πιστῶν, ὅτι ἐξέφυγον πολυτρόπως τὸ θυσιάσαι τοῖς δαίμοσι. Διὰ δὲ τὴν ἐξάμηνον προθεσμίαν ἐμνήσθη τοῦ διὰ Γαβριὴλ μηνύματος, τοῦ ἐν τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως τοῦ Προδρόμου, ἐν ᾧ συνελήφθη ὁ Κύριος. Ἐπιφέρει δὲ καὶ ῥήματα ἀποστολικά·

A quæ ad abnegationem spectant non nude scripserunt, hoc est non manifeste, non aperte; sed artificio quodam eos qui vim inferebant ludificati sunt: ut David, qui dum Saulem fugeret, ac ad alienigenas devenisset, se epilepticum finxit, eoque pacto mortem evitavit. Ludificati porro sunt, inquit, inimicorum insidias; veluti pueri prudentes, consilio nimirum ac prudentia præditi, quique scilicet solerter consilium capientes, insipientes pueros illudunt. Prudentibus autem comparat eos a quibus decepti sunt impii, quique cum non sacrificaverint, sacrificare nihilominus visi sunt; prudentes quidem, ut qui sacrificium eousque evitaverint: pueros autem, quod perfectum ac virilem sensum minime induerint, nec generose idolorum cultoribus repugnarint; verum se sacrificaturos sunt pacti, etiam si quosdam pro se submiserint, ethnicos, hoc est, infideles, iisque sacrificantibus, ipsi sacrificasse existimati sunt. Ejusmodi, inquit, hominibus semestre tempus ad pœnitentiam sufficiet. Nam etsi minime immolarunt; tamen quia se immolaturos sunt pacti, vel quod alios submisere, ipsique immolasse sunt visi, pœnitentia indigere judicati sunt: etsi quibusdam ex ipsis nonnulli confessorum ignovere. Eorum nempe quidam qui se fidei testes exhibuerunt ac pro fide sunt passi, iis qui artificio quodam, ut dictum est, non sacrificarunt, ignovere, ac illos cum fidelibus ad communionem admisere, quod ne dæmonibus immolarent studiose vitaverunt. Porro hujus semestris termini occasione, Annuntiationis per Gabrielem factæ meminit, sexto mense conceptionis Præcursoris, quo conceptus est Dominus. Tum apostolica verba subjungit:

B

ΚΑΝΩΝ Ϛ'.

C

« Τοῖς δὲ δούλους Χριστιανοὺς ἀνθ' ἑαυτῶν ὑποβεβληκόσιν, οἱ μὲν δοῦλοι, ὡς ἂν ὑποχείριοι ὄντες, καὶ τρόπον τινὰ καὶ αὐτοὶ φυλακισθέντες ὑπὸ τῶν δεσποτῶν, καταπειληθέντες τε[15···] ὑπ' αὐτῶν καὶ διὰ τὸν φόβον αὐτῶν εἰς τοῦτο ἐληλυθότες καὶ ὀλισθήσαντες, ἐν[15····] ἐναυτῷ τὰ τῆς μετανοίας ἔργα δείξουσι, μανθάνοντες τοῦ λοιποῦ, ὡς δοῦλοι Χριστοῦ ποιεῖν τὸ θέλημα τοῦ Χριστοῦ[15·····], καὶ φοβεῖσθαι αὐτόν· ἀκούοντες μάλιστα, ὅτι ἕκαστος ἐάν [*l.* ὃ ἄν] *τι ποιήσῃ ἀγαθὸν, τοῦτο κομίσεται παρὰ Κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερός ἐστι*[16]. »

ΚΑΝΟΝ VI.

« Ii autem qui servos Christianos pro se submiserunt, servi quidem, ut qui ipsi sub manu essent, et quodammodo ipsi quoque in dominorum custodia essent, minisque ab ipsis territi, et propter eorum metum eo compulsi et lapsi, anno opera pœnitentiæ ostendent, et deinceps discentes, ut servi Christi, facere Christi voluntatem et eum timere: audientes maxime, quod *unusquisque, si quid boni fecerit, hoc feret a Domino, sive servus sive liber sit*[a]. »

ΒΑΛΣ. Τοὺς κατὰ κέλευσιν καὶ ἀπειλὴν τῶν δεσποτῶν θύσαντας δούλους ἐπὶ ἐνιαυτὸν ἐπιτιμᾷ ὁ Πατὴρ οὗτος· ὡς μὲν γὰρ πεισθεῖσι τοῖς δεσπόταις συγγνωμονεῖ, καὶ βαρεῖαν οὐκ ἐπάγει κόλασιν· ὡς δὲ δούλοις Χριστοῦ μᾶλλον οὖσι, κἀκεῖνον πλέον φοβεῖσθαι ὀφείλουσι, μετρίως ἐπιτιμᾷ. *Ἕκαστος γὰρ*, φησὶ κατὰ τὸν μέγαν Παῦλον, *ὃ ἐὰν ποιήσῃ ἀγαθὸν, κομιεῖται τοῦτο παρὰ Κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος.*

D

Bals. Servos qui dominorum jussu ac minis sacrificarunt, anno punit hic Pater: ut qui enim domino paruerint, ignoscit, et grave supplicium non infligit: ut qui autem sint magis Christi servi, et eum debent magis metuere, mediocrem pœnam imponit. *Unusquisque enim*, inquit, secundum magnum Paulum, *quod fecerit bonum a Domino recipiet, sive servus sive liber.*

ΖΩΝΑΡ. Τινὲς δούλους οἰκείους Χριστιανοὺς ἀνθ' ἑαυτῶν καὶ ἀκόντων [*f.* ἄκοντας] ὑπέβαλον θύειν. Τοὺς

Zonar. Nonnulli servos suos Christianos, pro se ipsis, etiam invitos ad immolandum submisere.

[a] *Ephes.* VI, 8.

VARIÆ LECTIONES.

[15·] ἐκκλίνοντας. [15··] ἢ καὶ εἴ τινες. [15···] τε om. [15····] ἐν om. [15·····] Θεοῦ. [16] deest ἐστί.

Digitized by Google

Hosce igitur servos, quamvis dominorum jussione coacti, non autem sua voluntate, sacrificaverint, annum in pœnitentia degere hic Pater jubet : meminisseque se cum sint fideles, esse Christi servos, eumque magis timere oportere : ac *unumquemque*, ut magnus ait Apostolus, *sive servum, sive liberum, quæ fecerit reportaturum.*

CANON VII.

« Liberi autem tribus annis in pœnitentia exa- « minabuntur, tum quod dissimulaverint, tum « quod effecerint ut conservi sacrificarent, ut qui « Apostolo non obedierint, qui vult [a] *dominos ea- « dem facere quæ servi, remittentes minas. Scientes,* « inquit, *quod noster quoque et ipsorum Dominus est « in cœlis, et non est apud eum personarum acce- « ptio.* Si unum autem omnes habemus Dominum, « *apud quem non est personarum acceptio* [b]; quo- « niam *et omnia, et in omnibus est Christus, in Bar- « baris et Scythis, servis et liberis* [c] : debent con- « siderare quod fecerunt, volentes suam ipsorum « animam servare; qui conservos nostros trahe- « runt ad idololatriam, qui poterant et ipsi effugere, « si jus et æqualitatem ipsis præbuissent ut rursus « dicit Apostolus. »

Bals. Liberis autem seu dominis servorum sacrificare coactorum, triennii pœnam injungit, quod et sacrificare simularunt, et omnino annuere visi sunt, et quod conservos sacrificare coegerunt, et quod Apostolo non paruerunt jubenti *servis minas remittere;* utpote cum ipsi quoque domini Dei servi sint, et famulorum conservi. Atque ipsi quidem festinarunt suam servare animam, conservos autem suos ad idololatriam compulerunt, qui poterant effugere.

Zonar. Liberis autem, hoc est dominis servorum qui sacrificare sunt coacti, triennii pœnam injungit : tum quia sacrificare se simularunt, ac succumbere omnino visi sunt : tum quia conservos coegerunt ut immolarent; nec obtemperarunt Apostolo jubenti *servis minas remittere;* cum ipsi quoque domini sint Dei servi, et famulorum conservi. Ac ipsi quidem festinarunt suam servare animam, conservos autem, qui effugere poterant ad idololatriam compulerunt.

CANON VIII.

« Iis autem qui proditi sunt, et exciderunt, qui et « ipsi ad certamen accesserunt, se esse Christianos « confitentes, et in custodiam cum tormentis conjecti « sunt : æquum est in exsultatione cordis vires si- « mul addere, et eis in omnibus communicare, et in « orationibus, et in participatione corporis et san- « guinis Christi, et sermonis adhortatione : ut

[a] *Ephes.* VI, 9. [b] *Rom.* II, 11. [c] *Coloss.* III, 11.

δούλους, εἰ καὶ κελεύσει τῶν δεσποτῶν ἔθυσαν, βιασθέντες, ἀλλ' οὐκ ἐξ οἰκείου θελήματος, ἐνιαυτὸν ἐν μετανοίᾳ διάγειν ὁ Πατὴρ οὗτος διορίζεται, καὶ μαθεῖν, ὅτι, πιστοὶ ὄντες, Χριστοῦ δοῦλοί εἰσι, κἀκεῖνον μᾶλλον φοβεῖσθαι ὀφείλουσι· καὶ ὅτι ἕκαστος, κατὰ τὸν μέγαν Ἀπόστολον, ὁ *ἐὰν ποιήσῃ κομιεῖται, εἴτε δοῦλος εἴτε ἐλεύθερος.*

ΚΑΝΩΝ Ζ'.

« Οἱ δὲ ἐλεύθεροι ἐν τρισὶν ἔτεσιν ἐξετασθήσονται « ἐν μετανοίᾳ, καὶ ὡς ὑποκρινάμενοι [16a], καὶ ὡς κατα- « ναγκάσαντες τοὺς ὁμοδούλους θῦσαι, ἅτε [16b] δὴ πα- « ρακούσαντες τοῦ Ἀποστόλου *τὰ αὐτὰ* θέλοντος « *ποιεῖν τοὺς δεσπότας τοῖς δούλοις, ἀνιέντας « τὴν ἀπειλήν·* εἰδότες [17], φησὶν, *ὅτι καὶ ἡμῶν « καὶ αὐτῶν* [17a] *ὁ Κύριός ἐστιν* [18] *ἐν οὐρανοῖς, καὶ « προσωπολημψία παρ' αὐτῷ οὐκ ἔστιν.* Εἰ δὲ ἕνα « Κύριον ἔχομεν [19] οἱ πάντες, *ἀπροσωπόληπτον,* « ἐπεὶ *καὶ πάντα καὶ ἐν πᾶσίν ἐστιν ὁ Χριστὸς,* « *ἔν τε βαρβάροις καὶ Σκύθαις, δούλοις καὶ « ἐλευθέροις,* σκοπεῖν ὀφείλουσιν ὁ κατειργάσαντο « θελήσαντες τὴν ψυχὴν ἑαυτῶν σῶσαι [20], τοὺς δὲ [20a] « συνδούλους ἑαυτῶν [21] ἑλκύσαντες ἐπὶ εἰδωλολατρείαν, « δυναμένους καὶ αὐτοὺς ἐκφυγεῖν, εἰ τὸ δίκαιον καὶ « τὴν ἰσότητα ἦσαν αὐτοῖς παρασχόντες, ὡς πάλιν « ὁ Ἀπόστολος λέγει. »

ΒΑΛΣ. Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ· ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν κατανεῦσαι, καὶ ὅτι τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ Ἀποστόλου κελεύοντος *ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν,* ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων τῷ Κυρίῳ, καὶ τοῖς οἰκέταις συνδούλων. Καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν, τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατήπειγον, δυναμένους ἐκφυγεῖν.

ΖΩΝΑΡ. Τοῖς δὲ ἐλευθέροις, ἤτοι τοῖς δεσπόταις τῶν βιασθέντων θῦσαι δούλων, ἐπὶ τριετίαν ἐπιτιμᾷ· ὅτι τε ὑπεκρίθησαν θῦσαι, καὶ ὅλως ἔδοξαν ὑποκύψαι, καὶ ὅτι καὶ τοὺς συνδούλους ἠνάγκασαν θῦσαι, καὶ ὅτι παρήκουσαν τοῦ Ἀποστόλου κελεύοντος *ἀνιέναι τοῖς δούλοις τὴν ἀπειλήν,* ὡς καὶ τῶν δεσποτῶν δούλων ὄντων Κυρίῳ, καὶ τοῖς οἰκέταις συνδούλων. Καὶ αὐτοὶ μὲν ἔσπευσαν τὴν οἰκείαν σῶσαι ψυχήν, τοὺς δὲ συνδούλους ἐπὶ εἰδωλολατρείαν κατέπειξαν, δυναμένους ἐκφυγεῖν.

ΚΑΝΩΝ Η'.

« Τοῖς δὲ παραδεδομένοις καὶ [22] ἐκπεπτωκόσι, τοῖς « τε αὐτοῖς [23] προσεληλυθόσιν εἰς τὸν ἀγῶνα καὶ ὁμο- « λογοῦσιν εἶναι Χριστιανοῖς, ἐμβεβλημένοις τε ἐν τῇ « φυλακῇ μετὰ βασάνων, εὔλογόν ἐστιν ἐν ἀγαλλιάσει « καρδίας συνεπισχύειν καὶ κοινωνεῖν ἐν πᾶσιν, ἔν τε « ταῖς προσευχαῖς καὶ τῇ μεταλήψει τοῦ σώματος καὶ « τοῦ αἵματος τοῦ Χριστοῦ [24], καὶ τῇ παρακλήσει τῶν

VARIÆ LECTIONES.

[16a] ὑποκρινόμενοι. [16b] ὅτι. [17] εἰδότας. [17a] ὑμῶν αὐτῶν. [18] deest ἐστιν. [19] ἔχομεν. [20] add. εἰ. [20a] δέ om. [21] ἡμῶν. [22] καὶ om. [23] ἑαυτοῖς. [24] τοῦ Χριστοῦ om.

Digitized by Google

« λόγου· ἵνα εὐτονώτερον ἀγωνισάμενοι, καταξιωθῶσι A « καὶ αὐτοὶ τοῦ *βραβείου τῆς ἄνω κλήσεως*. Καὶ « γὰρ *ἑπτάκις*, φησὶ, *πεσεῖται ὁ δίκαιος καὶ ἀνα-* « *στήσεται*· ὅπερ εἰ καὶ πάντες οἱ ἐκπεπτωκότες « πεποιήκεσαν, τελειοτάτην [add. ἂν] καὶ ὁλοκάρδιον « μετάνοιαν ἐνεδείξαντο. »

ΒΑΛΣ. Τινὲς προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυράννοις, ἢ καὶ ἑκουσίως αὐτοῖς ἑαυτοὺς παρέδωκαν, ἡττηθέντες δὲ ὑπὸ τῶν κολάσεων, ἐκπεπτώκασι τῆς μαρτυρίας· εἶτα μεταμεληθέντες καὶ ἐπιγνόντες τὸ ἀγαθὸν, ὡμολόγησαν εἶναι Χριστιανοὶ, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ βασάνους ὑποστῆναι. Τοὺς τοιούτους οὖν εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι καὶ ἐπιῤῥωννύειν πρὸς τὴν ὀρθόδοξον πίστιν, καὶ κοινωνεῖν αὐτοῖς ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ διὰ B λόγου παρακαλεῖν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ καταξιωθῶσι τῆς ἐπουρανίου βασιλείας. Ἵνα δὲ μὴ, διότι πεπτώκασι, νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἀπὸ τῆς Γραφῆς, τό· *Ἑπτάκις*, ἀντὶ τοῦ, πολλάκις, *πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται*. Τοῦτο δὲ, φησὶν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτοὺς, ἐνεδείξαντο ἂν τελειοτάτην μετάνοιαν. Διαφορὰ γοῦν ἐστι τῶν ἐν τῷ παρόντι κανόνι διειλημμένων καὶ τῶν ἐν τῷ πρώτῳ κανόνι περιεχομένων αὖτη, ὅτι ἐκεῖ μὲν οἱ διὰ τὰς βασάνους ἐκπεπτωκότες οὐ μετεστράφησαν ἐνώπιον τῶν τυράννων εἰς τὴν ὁμολογίαν τῆς πίστεως· ἐν- C ταῦθα δὲ οἱ ἐκπεπτωκότες διὰ βασάνους, ἐξ ἀγαθοῦ μεταμέλου ἐπὶ τῶν τυράννων τὸν Κύριον ὡμολόγησαν, καὶ διὰ τοῦτο οὐδὲ λογίζονται ἐκπεσεῖν.

ΖΩΝΑΡ. Εἴ τινες δὲ, φησὶ, προσηγγέλθησαν καὶ παρεδόθησαν τοῖς τυραννοῦσιν, ἢ αὐτοὶ ἑαυτοὺς παρέδωκαν, καὶ ἐκπεπτώκασι τῆς μαρτυρίας, ἡττηθέντες τῶν κολάσεων, καὶ μὴ φέροντες τὰς ἐν ταῖς φυλακαῖς κακουχίας καὶ τὰς βασάνους, εἶτα ἀνεπάλαισαν τὴν πτῶσιν, καὶ ὡμολόγησαν εἶναι Χριστιανοὶ, ὥστε καὶ εἰς φυλακὰς ἐμβληθῆναι καὶ βασάνους ὑποστῆναι· τοὺς τοιούτους εὔλογον κρίνει ὁ ἅγιος μετὰ θυμηδίας δέχεσθαι, καὶ ἐπισχύειν, ἀντὶ τοῦ, ἐπιῤῥωννύειν, ἐνδυναμοῦν καὶ παραθαῤῥύνειν πρὸς τὴν ὁμολογίαν· καὶ κοινωνεῖν αὐτοῖς ἐν πᾶσιν, ἔν τε προσευχαῖς καὶ τῇ μεταλήψει τῶν ἁγιασμάτων, καὶ D διὰ λόγου παρακαλεῖν, ἤτοι διεγείρειν αὐτοὺς εἰς τὴν μαρτυρίαν, ἵνα πρὸς τὸν ἀγῶνα εὐτονώτεροι γένωνται, καὶ τῆς ἐπουρανίου βασιλείας ἀξιωθῶσιν. Ἵνα δὲ μὴ, διότι πεπτώκασι θύσαντες, νομίζωνταί τισιν ἄδεκτοι, ἐπάγει καὶ μαρτυρίαν ἐκ τῆς Γραφῆς, τό· *Ἑπτάκις*, ἀντὶ τοῦ, πολλάκις, *πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται*. Τοῦτο δὲ, φησὶν, εἰ καὶ πάντες οἱ τῆς ὁμολογίας ἐκπεπτωκότες ἐποίησαν, τὸ ἀναπαλαῖσαι τὴν πτῶσιν, καὶ ἐνώπιον τῶν τυράννων Χριστιανοὺς ὁμολογῆσαι ἑαυτοὺς, ἀνεδείξαντο [*f.* ἐνεδ-] ἂν τελειοτάτην μετάνοιαν.

« qui constantius decertaverint, ipsi quoque *super-* « *næ vocationis brabio* [a] dignentur. Etenim *se-* « *pties*, inquit, *cadet justus et resurget* [b]; quod qui- « dem si omnes quoque lapsi fecissent, perfectissi- « mam et toto corde susceptam pœnitentiam osten- « dissent. »

Bals. Quidam tyrannis delati et proditi fuerant, vel etiam ipsi se ipsos illis sponte tradiderant : victi autem tormentis testimonio exciderunt : deinde cum pœnitentia ducti essent, et quod bonum est, agnovissent, se esse Christianos confessi sunt ; adeo ut in custodiam conjecti, tormenta quoque sustinuerint. Eos ergo æquum censet sanctus lætanti animo suscipere, et ad fidem orthodoxam confirmare, et eis communicare et in orationibus et sacramentorum participatione, verbisque adhortari ut sint ad certamen constantiores, et cœlesti regno digni habeantur. Ne autem eo quod lapsi sunt, minime suscipiendi videantur, testimonium quoque ex Scriptura inducit, quod est, *Septies*, id est sæpe, *cadet justus et resurget*. Hoc autem, si etiam, inquit, omnes qui a confessione exciderunt, fecissent, ut scilicet lapsi reluctarentur, et se coram tyrannis Christianos faterentur, perfectissimam pœnitentiam ostendissent. Differunt ergo quæ in hoc canone comprehensa sunt, ab iis quæ in primo canone continentur, quod illic quidem qui propter tormenta lapsi sunt, ad confitendam coram tyrannis fidem nequaquam conversi sunt : hic autem qui propter tormenta lapsi sunt, ex bona pœnitentia sub tyrannis Dominum confessi sunt ; propterea neque cecidisse judicantur.

Zonar. Si qui vero, inquit, ad tyrannos delati ac proditi sunt, vel ipsi sese ipsis dediderunt, exciderunt que a testimonio vi tormentorum superati, nec ærumnas quibus in carcere afflictabantur cruciatusque perferentes ; mox revocato certamine se Christianos esse confessi sunt, ex quo et in vincula conjecti, et cruciatibus sunt affecti : ejusmodi homines cum exsultatione excipi sanctus hic rationi consentaneum judicat : tum roborare ipsos, hoc est, vires, animos, fiduciamque addere quo profiterentur fidem ; ac eisdem in omnibus communicare, tum in precationibus, tum in perceptione sacramentorum ; verbisque adhortari, hoc est, ipsos ad exhibendum fidei testimonium excitare, ut constantiores sint in certamine, ac cœlesti regno digni habeantur. Verum ne ex eo quod lapsi sunt sacrificantes, nullo modo admittendi ab aliquibus existimentur, testimonium quoque illud ex sacris litteris profert : *Septies*, hoc est sæpius, *cadet justus, ac resurget*. Hoc vero, inquit, si alii omnes qui a confessione exciderunt fecissent, ut post lapsum certamen repeterent, ac se ipsos coram tyrannis Christianos profiterentur, absolutam pœnitentiam indicavissent.

[a] *Philipp.* III, 14. [b] *Prov.* XXIV, 16.

Digitized by Google

CANON IX.

« Iis quoque qui tanquam ex somno ipsi ad certamen parturiens, et trahere differens, prosiliunt, « sibi autem pugnæ maritimæ, et multæ fluxuum « inundationis tentationem attrahunt, vel potius « fratribus peccatorum carbonem accendunt, ipsis « quoque communicandum est, ut qui in nomine « Christi ad id veniant : etsi verba ejus non animadvertant, qui docet *orare ne ingrediamur in « tentationem* [a], et eum rursus in oratione Patri « dicere, *Et ne nos inducas in tentationem, sed libera « nos a malo* [b]. Forte autem etiam ignorant patremfamilias et Dominum nostrum, sæpe ab iis qui « illi insidiari volebant, secessisse, et quod quando- « que etiam libere apud eos non incedebat, et quod « etiam quando passionis tempus appropinquavit, B « non se ipsum tradidit, sed exspectavit donec ad « eum venirent cum gladiis et fustibus. Dicit ergo « eis : *Tanquam ad latronem existis cum gladiis et « fustibus ad me comprehendendum* [c]. Qui etiam « *tradiderunt ipsum*, inquit, *Pilato* [d]. Ad ejus quo- « que similitudinem iis accidit, qui ejus scopum « sibi proponentes incedunt, divinorum ejus ver- « borum recordati, quibus nos confirmans, de per- « secutionibus dicit : *Attendite vobis ipsis : tra- « dent enim vos in concilia, et in suis synagogis vos « flagellabunt* [e]. *Tradent* autem, dixit, non, vos « ipsos tradetis : *et ad principes et reges ducemini « propter nomen meum* [f], non, vos ipsos ducetis. « Nam nos quoque vult a loco in locum transilire, « dum sunt qui nos persequuntur propter nomen C « ejus. Sicut rursus eum dicentem audimus : *Et « quando vos ab hac civitate persecuti fuerint, fugite « in aliam* [g]. Non vult enim nos ad diaboli stipatores satellitesque confugere, ne ipsis quoque « multifariæ mortis causa simus, ut qui ipsos, et « asperiores esse cogamus, et opera mortifera per- « agere : sed exspectare, et nobis cavere, *vigila- « reque et orare, ne intremus in tentationem* [h]. Ita « Stephanus primus, ejus vestigiis insistens, mar- « tyrium passus, Hierosolymis ab iniquis correptus, « et in concilium ductus, lapidibus obrutus, in no- « mine Christi glorificatus est, rogans, et dicens : « *Domine, ne statuas illis hoc peccatum* [i]. Ita Jaco- « bus secundus ab Herode comprehensus, gladio « capite truncatus est. Ita Petrus apostolorum pri- D « mus, sæpe comprehensus, et custodiæ traditus, « ignominiaque affectus, postremo Romæ crucifi- « xus est. Similiter et inclytus Paulus, sæpe tra- « ditus, et ad mortem usque in periculum adduc- « tus, multa mala perpessus, et in multis persecu-

A ΚΑΝΩΝ Θ'.

« Καὶ τοῖς δὲ ὡσὰν ἐξ ὕπνου ἑαυτοὺς [25] παραπη- « δῶσιν εἰς τὸν ἀγῶνα ὠδίνοντα καὶ μέλλοντα ἐλκῦ- « σαι, ἑαυτοῖς δὲ πειρασμὸν ἐπισπασαμένοις θαλατ- « τομαχίας καὶ πολλῆς κυματώσεως, μᾶλλον δὲ καὶ « τοῖς ἀδελφοῖς προσεκκαίουσιν ἄνθρακα [26] ἁμαρτω- « λῶν· καὶ αὐτοῖς κοινωνητέον, ἅτε δὴ [26'] ἐν ὀνόματι « Χριστοῦ παρερχομένοις εἰς τοῦτο, εἰ καὶ μὴ [26''] προ- « σέχουσιν αὐτοῦ τοῖς λόγοις, διδάσκοντος *προσεύχε- « σθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν* [26'''], καὶ πάλιν « ἐν εὐχῇ λέγειν τῷ Πατρί· *Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς « εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονη- « ροῦ*. Ἴσως δὲ καὶ ἀγνοοῦσι τὰς πολλάκις γινομέ- « νας [26''''] ἀναχωρήσεις τοῦ οἰκοδεσπότου καὶ διδασκά- « λου ἡμῶν ἀπὸ τῶν θελόντων ἐπιβουλεύειν, καὶ ὅτι « ἔσθ' ὅτε οὐδὲ [27] παῤῥησίᾳ περιεπάτει δι' αὐτοὺς, « καὶ ὅτι καὶ [28] ὅτε ὁ καιρὸς τοῦ πάθους αὐτοῦ προσ- « ήγγισεν, οὐχ ἑαυτὸν παρέδωκεν, ἀλλ' ἐδέξατο ἕως « ἦλθον ἐπ' αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων. Λέγει « γοῦν [28'] πρὸς αὐτούς· *Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε « μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με*. Οἱ καὶ « *παρέδωκαν αὐτὸν*, φησὶ, *Πιλάτῳ*. Καθ' ὁμοιό- « τητα γοῦν αὐτοῦ, καὶ οἱ κατὰ σκοπὸν αὐτοῦ βαίνοντες « πεπόνθασι, μεμνημένοι τῶν θείων αὐτοῦ λόγων, « δι' ὧν ἐπιστηρίζων ἡμᾶς περὶ τῶν διωγμῶν λέγει· « *Προσέχετε* [29] *ἑαυτοῖς· παραδώσουσι γὰρ ὑμᾶς « εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μα- « στιγώσουσιν ὑμᾶς. Παραδώσουσι* δὲ, εἶπεν, ἀλλ' « οὐχὶ [29'] ἑαυτοὺς παραδώσετε· *καὶ ἐπὶ ἡγεμόνας δὲ « καὶ βασιλεῖς ἀχθήσεσθε διὰ τὸ ὄνομά μου*, ἀλλ' « οὐχὶ [29''], ἑαυτοὺς ἄξετε· ἐπεὶ καὶ μεταπηδᾷν ἡμᾶς « βούλεται ἀπὸ τόπου εἰς τόπον [30] διωκομένους διὰ « τὸ ὄνομα αὐτοῦ· ὡς πάλιν ἀκούομεν αὐτοῦ λέγον- « τος· *Καὶ ὅθεν* (2) *διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως « ταύτης* [31], *φεύγετε εἰς τὴν ἑτέραν*· οὐ γὰρ θέλει « αὐτομολεῖν ἡμᾶς πρὸς τοὺς τοῦ διαβόλου ὑπασπι- « στὰς καὶ δορυφόρους, ὅπως μὴ καὶ πλειόνων θανά- « των αἴτιοι αὐτοῖς γινώμεθα [31'], ὡς ἂν καταναγκά- « ζοντες αὐτοὺς μᾶλλον κατατραχύνεσθαι καὶ τελε- « σιουργεῖν τὰ θανατηφόρα ἔργα· ἀλλ' ἐκδέχεσθαι « καὶ προσέχειν ἑαυτοῖς, *γρηγορεῖν τε καὶ προσ- « εύχεσθαι, ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν*. « Οὕτω Στέφανος πρῶτος, κατ' ἴχνος αὐτοῦ μαρτύριον « ἀναδεξάμενος, ἐν Ἱεροσολύμοις συναρπασθεὶς ὑπὸ « τῶν παρανόμων, καὶ ἀχθεὶς ἐν τῷ συνεδρίῳ, λιθο- « βολούμενος ἐν ὀνόματι Χριστοῦ ἐδοξάσθη, παρα- « καλῶν καὶ λέγων· *Κύριε, μὴ στήσῃς αὐτοῖς « ταύτην* [31''] *τὴν ἁμαρτίαν*. Οὕτως Ἰάκωβος δεύτε- « ρος συλληφθεὶς ὑπὸ Ἡρώδου, μαχαίρᾳ τὴν κεφαλὴν « ἀπετμήθη. Οὕτως ὁ πρόκριτος τῶν ἀποστόλων Πέ- « τρος, πολλάκις συλληφθεὶς καὶ φυλακισθεὶς καὶ

[a] *Matth.* xxvi, 41. [b] *Matth.* vi, 13. [c] *Matth.* xxvi, 55. [d] *Matth.* xxvii, 2. [e] *Matth.* x, 17. [f] *ibid.* 18. [g] *Matth.* x, 23. [h] *Matth.* xxvi, 47. [i] *Act.* vii, 59.

VARIÆ LECTIONES.

[25] ἑαυτοῖς. [26] προσεκκαίοντες ἄνθρακας. [26'] δέ. [26''] μὴ deest. [26'''] διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν deest. [26''''] γενομένας πολλάκις. [27] οὔτε. [28] deest καί. [28'] οὖν. [29] προσέχεται. [29'] οὐχ. [29''] οὐχ. [30] τόπων εἰς τόπους. [31] ὅταν... ἐν τῇ πόλει ταύτῃ. [31'] γενώμεθα. [31''] ταύτην om.

(2) *Καὶ ὅθεν*. In ms. cod. bombycino amplissimi senatoris Bernardi Nani, fol. 208, ubi exstant canones 9, 10, 12, 13, 14, hic legitur καὶ ὅταν, ut in textu Matth. x, 23.

Digitized by Google

« ἀτιμασθεὶς, ὕστερον ἐν Ῥώμῃ ἐσταυρώθη (3).[32] Καὶ A « ὁ περιβόητος Παῦλος, πλεονάκις παραδοθεὶς καὶ « ἕως θανάτου κινδυνεύσας, πολλά τε ἀθλήσας καὶ « καυχησάμενος ἐν πολλοῖς δωγμοῖς καὶ θλίψεσιν, « ἐν τῇ αὐτῇ πόλει καὶ αὐτὸς μαχαίρᾳ τὴν κεφαλὴν « ἀπετμήθη· ὃς ἐν οἷς ἐκαυχήσατο, κατέληξε [32*]· ὅτι « καὶ [32**] ἐν Δαμασκῷ σπυρίδι ἐχαλάσθη διὰ τοῦ τεί- « χους νυκτὸς, καὶ ἐξέφυγε τὰς χεῖρας τοῦ ζητοῦντος « αὐτὸν πιάσαι. Τὸ γὰρ προκείμενον ἦν αὐτοῖς, ἐν « πρώτοις εὐαγγελίζεσθαι καὶ διδάσκειν (4) τὸν λόγον « τοῦ Θεοῦ, ἐν οἷς *ἐπιστηρίζοντες τοὺς ἀδελφοὺς* « *ἐμμένειν ἐν τῇ πίστει*, καὶ τοῦτο ἔλεγον, *ὅτι διὰ* « *πολλῶν θλίψεων δεῖ εἰσελθεῖν εἰς τὴν βασι-* « *λείαν τοῦ Θεοῦ*. Ἐζήτουν γὰρ οὐ τὸ ἑαυτῶν συμ- « φέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι, καὶ ἦν « πολλὰ λέγειν αὐτοῖς εἰς ταῦτα πρὸς τὸ κατὰ λόγον « *ἂν ἡμᾶς διηγουμένους ὁ χρόνος*. »

« tionibus afflictionibusque gloriatus, in eadem « urbe ipse quoque gladio capite multatus est ; qui « in quibus gloriatus est, ipse in iis vitam finiit ; « et quod Damasci in sporta noctu per murum de- « missus est, et effugit ejus manus qui eum cona « batur opprimere. Erat enim eis in primis propo- « situm evangelizare, et verbum Dei docere : in « quibus *fratres confirmantes ut manerent in fide* [a], « hoc quoque dicebant, *quod per multas afflictio-* « *nes oportet in regnum Dei ingredi*. Quærebant enim « non quod sibi erat utile, sed quod multis, ut ser- « varentur, et multa ipsis liceret ad hæc facientia « dicere, ut verbo Dei convenienter facerent : « *Nisi*, ut dicit Apostolus, *nos tempus narrantes de-* « *ficeret* [b]. »

ΒΑΛΣ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλ- B λον εἰ ὠμόῦπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον καὶ ἀκατάστατον· τοιούτοις παρείκασεν ὁ ἱερομάρτυς οὗτος τοὺς παραπηδῶντας εἰς τὸν ἀγῶνα, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ, μήπω εἰς φανερὸν ἐκραγῆναι, ἀλλὰ μελετώμενον καὶ μέλλοντα, ἤτοι βραδύνοντα ἑλκῦσαι τοὺς ἀγωνιζομένους, οἵτινες ἑαυτοῖς πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμόν. Μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν, τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. Ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτω ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι διὰ τὸν Χριστὸν ὑπεισῆλθον τὸν ἀγῶνα, κἂν ἠγνόησαν τὴν ἐκείνου διδα- C σκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκεν, ἀλλὰ παρεδόθη· καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστὰς, ἵνα μὴ αἴτιοι αὐτοῖς γίνωντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας. Ἐπάγει δὲ καὶ διάφορα παραδείγματα Γραφικὰ ὁ κανών.

ΖΩΝΑΡ. Οἱ ἄρτι τοῦ ὕπνου ἐξανιστάμενοι, καὶ μᾶλλον εἰ ὠμόῦπνοι εἶεν, οὐ καθεστηκότα τὸν λογισμὸν ἔχουσιν, ἀλλὰ τεταραγμένον, καὶ ἀκατάστατον. Τοιούτοις παρείκασεν ὁ ἱερομάρτυς οὗτος τοὺς παραπηδῶντας εἰς τοὺς ἀγῶνας, ἤγουν τοὺς μὴ εὐτάκτως ἀλλὰ θρασέως καὶ ἀπερισκέπτως εἰσωθοῦντας ἑαυτοὺς εἰς τὸν ἀγῶνα, ὠδίνοντα καὶ μέλλοντα ἑλκῦσαι, ἀντὶ τοῦ μήπω εἰς φανερὸν ἐκραγέντα, ἀλλὰ μελετώμενον καὶ μέλλοντα, ἤτοι βραδύνοντα ἑλκῦσαι D τοὺς ἀγωνιζομένους· οἵτινες πειρασμὸν ἐπισπῶνται, ἤγουν εἰς ἑαυτοὺς ἕλκουσι πειρασμὸν, μᾶλλον δὲ καὶ ἄλλοις πιστοῖς ἀνάπτουσιν ἄνθρακας ἁμαρτωλῶν,

Bals. Qui e somno modo exsurgunt, et maxime si crudo profundoque somno premebantur, non habent constantem rationem, sed perturbatam et instabilem : talibus assimilat sacrosanctus hic martyr eos qui non ordinate, sed temerarie et inconsiderate se in certamen intrudunt ; parturiens, et trahere differens, pro eo quod nondum in apertum erupit, sed meditatur et differt, seu cunctatur decertantes trahere, qui sibimet tentationem alliciunt, sive in se ipsos tentationem trahunt. Maxime autem, et aliis fidelibus peccatorum carbones accendunt, a tyrannis scilicet punitiones. Sed etsi eos qui sic faciunt, repreliendit ; jubet tamen fideles eis nihilo secius communicare, quia propter Christum certamen subierunt, quamvis illius doctrinam ignorarunt : qui docet petere ne tentemur, et quod ne se ipsum quidem tradidit, sed traditus est ; et non esse ad tortores confugiendum, ne pluribus se cædibus contaminandi ipsis causæ sint ; ut qui eos incitent ad sumenda de piis supplicia. Infert autem et diversa sacræ Scripturæ exempla canon.

Zonar. Qui a somno recentes exsurgunt, præsertim si graviore somno opprimebantur, ratione haudquaquam sedata, sed perturbata inconstantique utuntur. Ejusmodi hominibus sanctus hic martyr similes eos asserit qui in certamen proruunt, hoc est, non ordinate sed audaci ac temerario impetu se ipsos intrudunt in certamen ; parturiens, ac trahere differens, pro eo quod nondum in apertum erupit, sed meditatur, et differt sive cunctatur decertantes trahere : qui quidem tentationem accersunt, hoc est, ad se ipsos tentationem pelliciunt, quin potius aliis fidelibus accendunt carbones pec-

[a] *Act.* xiv, 21. [b] *Hebr.* xi, 32.

VARIÆ LECTIONES.

[32] ὁμοίως add. [32*] κατέλεξεν. [32**] καὶ ὅτι. [33] ἐπιλείψῃ.

(3) *Ἐστυυρ. Καὶ.* Id. codex Nan., ἐσταυρώθη Ὁμοίως καί. Mox πολλάκις pro πλεονάκις.
(4) *Διδάσκειν.* Id. cod., φυλάττειν. Paulo post ἐμμένειν τῇ πίστει, omissa præpositione. Mox δεῖ ἡμᾶς εἰσ., ut in textu Act. xiv, 21.

Digitized by Google

catorum, tormenta nimirum quæ a tyrannis inferuntur. Sed quamvis accuset eos qui hoc modo se gerunt, ipsis tamen a fidelibus communicandum esse decernit, quod in nomine Christi ad hoc prodeunt : fidentes videlicet Christo, aut in ejus nomine sibi certamen deposcentes ; etiamsi forte illius præceptioni minus obtemperent, docentis petere ne tentemur, vel etiam ignorent Dominum secessisse ab insidiatoribus suis, solitumque aliquando non palam deambulare, nec se ipsum prodidisse ut pateretur, verum ab aliis proditum ; præcepisseque discipulis, ut quo tempore illos inimici insectarentur, fugerent e civitate in civitatem, nec se ipsos ultro tortoribus traderent, ne pluribus se cædibus contaminandi causam ipsis præberent, eos velut irritantes ad supplicia piis hominibus irroganda. Affertque apostolorum exemplum, Stephani, Jacobi, ac supremorum ordinis sui procerum Petri et Pauli.

CANON X.

« Unde non est æquum, ut vel clerici qui sua « sponte aufugerunt, lapsi autem et reluctati sunt, « amplius in sacro ministerio maneant, ut qui Domini gregem reliquerint, et se ipsos vituperaverint : quod nullus fecit ex apostolis. Etenim cum « multas persecutiones obiisset, et multa certaminum præmia ostendisset beatus apostolus Paulus, sciens esse longe melius *dissolvi et esse cum Christo* [a], infert et dicit : *In carne autem manere, magis necessarium propter vos.* Considerans « enim non suam, sed multorum utilitatem, ut serventur, magis quam suam quietem, necessarium « existimavit, apud fratres manere, et eorum curam gerere. Qui etiam vult eum qui docet, esse « *in doctrina exemplum* [b] fidelibus. Unde qui in « carcere contendentes, a ministerio exciderunt, et « reluctati sunt, sensus plane sunt expertes. Quomodo enim petunt quod reliquerunt, cum in ea « tempestate esse possent fratribus suis utiles ? « Quandiu itaque firmi stabilesque manserunt, ejus « quod præter rationem fecerant, eis venia dabatur. « Quando autem lapsi sunt, ut qui perperam se « gesserunt et se ipsos vituperaverunt, non possunt « amplius sacra ministeria obire. Et ideo magis curam gerant, quomodo in humilitate vitam peragant a vana gloria cessantes. Eis enim sufficit « communio, quæ diligenter et accurate fit duabus « de causis, tum ne videantur molestia affici, hinc « dissolutionem vi arripientes : tum ne lapsi aliqui « causentur se propter pœnæ occasionem fuisse remissos : Qui quidem plusquam omnes probrum

A τὰς ἐκ τῶν τυράννων δηλονότι κολάσεις. Ἀλλ' εἰ καὶ αἰτιᾶται τοὺς οὕτως ποιοῦντας, κοινωνεῖν τέως αὐτοῖς τοὺς πιστοὺς διατάττεται, ὅτι ἐν ὀνόματι τοῦ Χριστοῦ παρέρχονται εἰς τοῦτο, θαρροῦντες δηλαδὴ τῷ Χριστῷ, ἢ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ αἱρούμενοι τὸν ἀγῶνα, εἰ τάχα καὶ οὐ κατὰ τὴν ἐκείνου ποιοῦσι διδασκαλίαν, διδάσκοντος αἰτεῖν μὴ πειρασθῆναι, ἢ καὶ ἀγνοοῦσιν, ὅτι ὁ Κύριος ὑπεχώρει ἀπὸ τῶν ἐπιβουλευόντων αὐτῷ, καὶ ἔστιν ὅτε καὶ οὐ φανερῶς περιεπάτει, καὶ ὅτι οὐδὲ ἑαυτὸν παρέδωκε παθεῖν, ἀλλὰ παρεδόθη· καὶ ἐν τῷ διώκεσθαι τοὺς μαθητὰς αὐτοῦ, διετάξατο φεύγειν εἰς πόλιν ἐκ πόλεως, καὶ μὴ αὐτομολεῖν πρὸς τοὺς κολαστάς, ἵνα μὴ αἴτιοι αὐτοῖς γίνοιντο πλειόνων φόνων, ὥσπερ παραθήγοντες αὐτοὺς εἰς τὰς κατὰ τῶν εὐσεβῶν τιμωρίας.
B Καὶ τοὺς ἀποστόλους παράγει εἰς ὑπόδειγμα, τὸν Στέφανον, τὸν Ἰάκωβον, καὶ τοὺς κορυφαιοτάτους Πέτρον καὶ Παῦλον.

ΚΑΝΩΝ Ι'.

« Ὅθεν (5) οὐκ ἔστιν εὔλογον οὐδὲ τοὺς ἀπὸ κλήρου « αὐτομολήσαντας, ἐκπεπτωκότας τε καὶ ἀναπαλαί« σαντας, ἔτι ἐν τῇ λειτουργίᾳ εἶναι, ἅτε δὴ καται« λείψαντας τὸ ποίμνιον Κυρίου καὶ μωμησαμένους « ἑαυτούς· ὅπερ οὐδεὶς τῶν ἀποστόλων πεποίηκε. Καὶ « γὰρ ὁ πολλοὺς διωγμοὺς ἐξανύσας (6), πολλά τε « ἆθλα ἀγωνισμάτων ἐνδειξάμενος, ὁ μακάριος ἀπό« στολος [24] Παῦλος, ἐγνωκώς τε ὅτι κάλλιόν ἐστιν « *ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι*, ἐπιφέρει καὶ « λέγει· *Τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον* « *δι' ὑμᾶς*. Σκοπῶν γὰρ οὐ τὸ ἑαυτοῦ συμφέρον, « ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν, ἀναγκαιότερον
C « τῆς ἑαυτοῦ ἀναπαύσεως ἡγήσατο τὸ παραμένειν « τοῖς ἀδελφοῖς καὶ ἐπιμελεῖσθαι αὐτῶν. Ὃς καὶ τὸν « διδάσκοντα θέλει εἶναι *ἐν τῇ διδασκαλίᾳ τύπον* « γινόμενον τῶν πιστῶν. Ὅθεν οἱ ἐν τῇ εἱρκτῇ ἐπι« δικαζόμενοι τῆς λειτουργίας ἐκπεπτωκότες, καὶ « ἀναπαλαίσαντες, πάνυ ἀναισθητοῦσι. Πῶς γὰρ « αἰτοῦσιν ὃ κατέλειψαν, δυνάμενοι τοῖς ἀδελφοῖς « εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ; Ἕως μὲν οὖν « ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παρα« λόγῳ [25] αὐτῶν πράξει· ὅτε δὲ ἔπταισαν, ὡς ἂν
D « περπερευσάμενοι καὶ ἑαυτοὺς μωμησάμενοι, οὐκέτι « δύνανται λειτουργεῖν. Διὸ φροντιζέτωσαν μᾶλλον « ἐν ταπεινοφροσύνῃ, πῶς ἐκτελέσουσι παυσάμενοι « τῆς κενοδοξίας. Ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία « μετ' ἐπιστάσεως [26] καὶ ἀκριβείας πρὸς ἀμφότερα [26a] « γινομένη, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι μετὰ βίας « περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως (7), καὶ « ἵνα μή τινες ἐκπεσόντες, προφασίζωνται [27] ὡσὰν [28] « διὰ τὴν ἀφορμὴν τῆς ἐπιτιμίας ὑπεκλελυμένοι·

[a] *Philipp.* I, 23, 24. [b] *Tit.* II, 7.

VARIÆ LECTIONES.

[24] deest ἀπόστολος. [25] παρὰ λόγον. [26] ἐπιτάσεως. [26a] ἀμφότερον. [27] προφασίσωνται. [28] ὡς.

(5) *Ὅθεν*, κ. τ. λ. Confer cum his narrationem Epiphanii de Meletianis, hær. LXVIII, n. 2 et 3. HARDUIN.

(6) *Ἐξανύσας*. Ms. cod. Nan. ἐξαντλήσας.

(7) *Τῆς ἐντεῦθεν ἀναλ.* Zonaras et Balsamon videntur hunc locum perperam interpretari, et τὴν ἐντεῦθεν ἀνάλυσιν de morte accipere. HARDUIN.

Digitized by Google

« οἵτινες πλέον ἁπάντων αἰσχύνην καὶ ὀνειδος ἕξουσι, A « κατ' ἐκεῖνον τὸν τεθεικότα θεμέλιον, καὶ μὴ ἰσχύ- « σαντα ἐκτελέσαι· *Ἄρξονται* γὰρ, φησὶν, *πάντες « οἱ παραπορευόμενοι ἐμπαίζειν αὐτὸν, λέγοντες· « Οὗτος ὁ ἄνθρωπος θεμέλιον ἔθηκε* [a], *καὶ οὐκ « ἰσχυσεν ἐκτελέσαι.* »

ΒΑΛΣ. Περὶ αὐτομολησάντων εἰς τὸν τοῦ μαρτυ- ρίου ἀγῶνα διαλεχθεὶς ὁ Πατὴρ, νῦν καὶ περὶ κλη- ρικῶν τοιούτων τὸν λόγον ποιεῖται· καί φησιν, ὡς, εἰ κληρικὸς ηὐτομόλησεν, εἶτα μὴ στέγων τὰς τιμωρίας ἐκπέπτωκε, καὶ αὖθις εἰς ἑαυτὸν γενόμενος, ἀνεπά- λαισε τὴν οἰκείαν πτῶσιν, καὶ Χριστιανὸν ἑαυτὸν ὡμολόγησεν ἐνώπιον τῶν τυράννων, ὁ τοιοῦτος οὐκέτι ἐν τῇ λειτουργίᾳ ἔσται, διότι καταλέλοιπε τὸ ποίμνιον τοῦ Κυρίου· καὶ διὰ τὸ αὐτομολῆσαι καὶ μὴ καρτε- ρῆσαι τὰς βασάνους, μῶμον προσήνεγκεν ἑαυτῷ. Τὸ B δὲ καταφρονῆσαι τῆς διδασκαλίας τοῦ λαοῦ καὶ προ- τιμήσασθαι τὸ ἑαυτῷ συμφέρον, οὐδὲ οἱ ἀπόστολοι ἐποιήκασιν. Ὁ γὰρ μέγας Παῦλος, μετὰ τὸ πολλὰς βασάνους ὑπομεῖναι, κατανοήσας κρεῖττον εἶναι τὸν βίον ἀπολιπεῖν, προετιμήσατο ζῆν καὶ βασανίζεσθαι διὰ τὴν σωτηρίαν καὶ διδασκαλίαν τοῦ λαοῦ. Ἀναί- σθητοι γοῦν εἰσιν οἱ αἰτοῦντες τὴν λειτουργίαν, ἧς ἐθελονταὶ ἐκπεπτώκασι. Πῶς γὰρ αἰτοῦσιν ὃ κατ- έλιπον, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ, διωγμοῦ δηλαδή; Εἰ μὲν οὖν οὐ πεπτώκασι, φησὶν, εἶχον ἂν συγγνώμην ἐπὶ τῇ πα- ραλόγῳ αὐτῶν πράξει, τῆς αὐτομολήσεως δηλαδὴ, ἢ τῆς περὶ τὸ διδάσκειν καὶ στηρίζειν τοὺς ἀδελφοὺς ῥᾳθυμίας· εἰ δὲ πεπτώκασιν ἐκ περπερείας, ἤτοι C ἀλαζονείας, [τοιοῦτον γάρ ἐστι τὸ κατατολμῆσαι προ- πετῶς τῶν βασάνων καὶ μὴ ἐμμεῖναι, καὶ διὰ τοῦτο ἐθριαμβεύθησαν·] οὐκέτι δύνανται λειτουργεῖν. Διὸ φροντιζέτωσαν μᾶλλον πῶς ἐκτελέσουσι τὴν ὁμολο- γίαν ἐν ταπεινοφροσύνῃ, παυσάμενοι τῆς ἀπὸ τοῦ ζητεῖν τὴν λειτουργίαν κενοδοξίας· ἀρκεῖ γὰρ αὐτοῖς ἡ μετὰ τῶν πιστῶν κοινωνία διὰ δύο γινομένη τινὰ μετὰ ἐπιστασίας ἀκριβοῦς καὶ οἰκονομίας. Εἰ γὰρ εἴπωμεν μὴ ἔχειν αὐτοὺς κοινωνικοὺς, τούτους τε λυπήσομεν, ὡς ἀποφαινόμενοι μετὰ βίας, ἤγουν ἐπι- τετιμημένους, ἐντεῦθεν ἀναλῦσαι αὐτοὺς, ἤγουν ἀποθανεῖν· καὶ τοὺς ἄλλους δὲ ἐκπεσόντας ἴσως καὶ βουλομένους ὑποστρέψαι εἰς τὸ ἀγαθὸν, ἐκλελυμένους πρὸς τοῦτο καὶ ἀμελεῖς ποιήσομεν, προφασιζομένους τὸ μὴ μέλλειν αὐτοὺς εἶναι κοινωνικοὺς τοῖς πιστοῖς, D κἂν ὁμολογήσωσι τὴν πίστιν μετὰ τὴν ἔκπτωσιν· οἵτινες, μὴ ἐπιστρέφοντες, πλέον ἁπάντων ἵνα ὀνει- δισθῶσι καὶ αἰσχυνθῶσι! καθὰ (*f.* κατὰ) τὸν ποιήσαντα μὲν θεμέλιον, μὴ πληρώσαντα δὲ οἴκημα. Τούτῳ γὰρ ἐοίκασιν οἱ πρὸς βασάνους αὐτομολήσαντες μὲν διὰ Χριστὸν καὶ οἱονεὶ καλὸν θέμενοι θεμέλιον, μὴ δυ- νηθέντες δὲ τελειῶσαι τὸ καλὸν διὰ τὴν ἔκπτωσιν. Σημείωσαι οὖν, ὅτι οὐδὲ ἡ διὰ Χριστὸν ὁμολογία ἀποκαθιστᾷ τὸν ἅπαξ ἐκ τοῦ κλήρου ἀποξενωθέντα διὰ τὴν ἔκπτωσιν.

« et ignominiam habebunt : sicut ille qui fundamen- « tum posuit, et non potuit perficere : *Incipient* « enim, inquit, *omnes qui prætergredientur, eum il- « ludere, dicentes : Hic homo posuit fundamentum, et « non potuit perficere* [a]. »

BALS. De iis qui sua sponte ad martyrii certa- men confugiunt, locutus Pater, nunc de clericis quo- que qui sunt ejusmodi loquitur : et dicit quod si clericus ad certamen sua sponte profugit, deinde cum non posset ferre tormenta, excidit, et cum rur- sus ad se rediisset, lapsum suum revocavit, et se coram tyrannis Christianum confessus est; is non amplius sacra ministeria obibit, eo quod gregem Do- mini reliquerit ; et eo quod cum sua quidem sponte B confugerit, et tormenta sufferre non potuerit, sibi ipsi labem attulit. Ut autem populi doctrinam ne- gligerent, et suam utilitatem præferrent, nec apo- stoli fecerunt. Magnus enim Paulus, postquam multa tormenta subiisset, intelligens multo esse melius vitam relinquere, maluit vivere et torqueri propter salutem et doctrinam populi. Sensu ergo omnino carent, qui petunt sacrum ministerium, a quo sua sponte exciderunt. Quomodo enim petunt quod re- liquerunt, cum possint in hac tempestate, perse- cutionis scilicet, fratribus esse utiles? Si itaque non cecidissent, inquit, ejus quod præter rationem fe- cissent, eis daretur venia, spontaneæ scilicet fugæ, vel in fratribus docendis et confirmandis socordiæ. Sin autem propter suam insolentiam et arrogantiam C lapsi sunt (tale enim est se temere tormentis obji- cere audere, nec posse tolerare, et propterea de eis triumphus actus est), non possunt amplius sacra ministeria obire. Quamobrem magis curent quomodo confessionem in humilitate peragant, cessantes a vana gloria sacrum ministerium petendi : sufficit enim eis cum fidelibus communio, quæ fit propter duo, diligenti cautione rectoque consilio. Si enim dixerimus nos eos non habere pro communicanti- bus, et eos molestia afficiemus tanquam sententiam ferentes, eos, vi, seu mulctatos, hinc dissolvi, seu mori; et alios quoque qui fortasse lapsi sunt, et volunt ad quod bonum est redire, remissos ad hoc et negligentes efficiemus, causantes se fidelibus non D esse communicaturos, etiamsi post lapsum fidem confessi fuerint : qui si non convertantur, plus pro- bri et ignominiæ quam omnes susceperint, quema- modum et qui fecit fundamentum, domum autem non perfecit. Ei enim sunt similes, qui ad tormenta quidem propter Christum confugerunt, et veluti pulchro jacto fundamento, id quod honestum est, perficere propter lapsum non potuerunt. Nota ergo, quod ne confessio quidem propter Christum resti- tuit eum, qui semel a clero abalienatus est propter lapsum.

[a] *Luc.* XIV, 29, 30.

VARIÆ LECTIONES.

[a] τίθεικε.

Digitized by Google

ZONAR. De iis qui se ultro martyrii certamini objecerunt locutus Pater, nunc de clericis qui idem fecerunt orationem instituit : atque clericum si quis se ultro dedidit, mox vim tormentorum minime perferens lapsus est, ac rursum se ipsum colligens denuo se ad certamen erexit, ac se Christianum coram tyrannis est professus, non esse ejusmodi hominem ad sacra ministeria amplius admittendum. Causamque subjungit : quia nimirum Domini gregem deseruit, ac ex eo quod sponte se objecit hostibus, neque constanter tormenta pertulit, ignominiam sibi ipsi conciliavit. Ut autem populi institutionem contemnerent, suamque utilitatem cæteris omnibus anteferrent, ne apostoli quidem fecerunt. Magnus namque Paulus, cum multos pertulisset cruciatus, sentiretque utilius esse sibi vitam relinquere, ut populi saluti ac institutioni consuleret, vitam sibi ac tormenta potiora duxit. Proinde et sensus omnino expertes eos demonstrat, qui sacrum sibi ministerium deposcunt, a quo volentes ipsimet exciderunt. Nam quo modo, inquit, id postulant, quod reliquere, cum ejusmodi tempore, excitatæ videlicet persecutionis, magno fratribus adjumento esse possent ? Quandiu igitur a lapsu immunes fuissent, veniam obtinuissent actionis temere susceptæ, se nimirum adversariis ultro offerendi, vel in eruendis fratribus socordiæ. Cum vero ceciderint, quippe qui perperam egerint, sacra ministeria obire amplius haud permittuntur. Si ergo, inquit, minime cecidissent, veniam impetrassent ob ipsorum a ratione alienam actionem ; actionem a ratione alienam vocans, non solum quod se hostibus dediderint, sed potius quod deseruerint gregem Domini, nec ipsum custodierint, ac fratres qui persecutionis tempore vexabantur confirmarint. Si vero ceciderunt ex eo quod se perperam gesserint, superbiam hic, et arrogantiam; τὴν περπερείαν vocans, quod ex arrogantia fiduciam in se ipsis posuere, dissolveruntque certamen, ac se ipsos vituperarunt ; hoc est, sibi ipsis maculam ob lapsum inusserunt, in sacro ministerio versari ipsis amplius haud licet. Propterea studeant, inquit, potius in humilitate confessionem peragere, cessantes videlicet ab inani gloria. Quod enim sacro ministerio ascribi postulent, a studio ambitionis proficiscitur. Sufficit namque ipsis communio, ut cum ipsis nimirum fideles communicent, ac una precentur, vel sacrorum mysteriorum perceptio. Atque hæc quidem certo consilio sedulaque administratione fiunt, tum ne videantur molestia affici, hinc dissolutionem vitæ arripientes, ne scilicet molestia, inquit, affecti, decedant solventes, a corpore videlicet abscedentes, ob vim tormentorum, afflictationumque quas in carcere patiuntur; ac ne qui excusationem præferant mulctæ hujus, ob quam in confessionis certamine dissolutos ac ignavos se gesserunt, atque ideo ceciderunt. Qui potius rubore suffundentur, juxta illud quod in Evangelio dicitur : *Qui fundamentum non potuit perficere.*

ΖΩΝΑΡ. Περὶ αὐτομολησάντων εἰς τὸν τοῦ μαρτυρίου ἀγῶνα, διαλεχθεὶς ὁ Πατὴρ, νῦν καὶ περὶ κληρικῶν τοιούτων τὸν λόγον ποιεῖται· καί φησιν, ὡς, εἰ κληρικὸς ηὐτομόλησεν, εἶτα μὴ στέγων τὰς τιμωρίας ἐκπέπτωκε, καὶ αὖθις εἰς ἑαυτὸν γενόμενος ἀνεπάλαισε τὴν οἰκείαν πτῶσιν, καὶ Χριστιανὸν ἑαυτὸν ὡμολόγησεν ἐνώπιον τῶν τυράννων, ὁ τοιοῦτος οὐκέτι ἐν τῇ λειτουργίᾳ ἔσται. Καὶ τὴν αἰτίαν ἐπάγει· ἥδε ἐστίν· ὅτι κατέλιπε τὸ ποίμνιον τοῦ Κυρίου, καὶ διὰ τὸ αὐτομολῆσαι καὶ μὴ καρτερῆσαι τὰς βασάνους, μῶμον προσήνεγκεν ἑαυτῷ. Τὸ δὲ καταφρονῆσαι τῆς διδασκαλίας τοῦ λαοῦ, καὶ προτιμήσασθαι τὸ ἑαυτοῖς συμφέρον, οὐδὲ οἱ ἀπόστολοι πεποιήκασιν. Ὁ γὰρ μέγας Παῦλος, μετὰ τὸ πολλὰς βασάνους ὑπομεῖναι, κατανοήσας κρεῖττον εἶναι τὸν βίον ἀπολιπεῖν, προετιμήσατο ζῆν καὶ βασανίζεσθαι διὰ τὴν σωτηρίαν καὶ διδασκαλίαν τοῦ λαοῦ. Οὓς καὶ πάνυ ἀναισθήτους ἀποφαίνεται, αἰτοῦντας τὴν λειτουργίαν, ἧς ἐθελονταὶ ἐκπεπτώκασι. Πῶς γὰρ, φησὶν, αἰτοῦσιν ὁ κατέλιπον, δυνάμενοι τοῖς ἀδελφοῖς εὔχρηστοι εἶναι ἐν καιρῷ τοιούτῳ, διωγμοῦ δηλαδή ; Ἕως μὲν οὖν ἄπταιστοι ἦσαν, συγγνώμην εἶχον ἐπὶ τῇ παραλόγῳ αὐτῶν πράξει, τῇ αὐτομολήσει δηλαδὴ, ἢ τῇ περὶ τὸ διδάσκειν τοὺς ἀδελφοὺς ῥᾳθυμίᾳ· ὅτε δὲ ἔπταισαν, ὡς ἂν περπερευσάμενοι, οὐκέτι δύνανται λειτουργεῖν. Εἰ μὲν οὖν οὐ πεπτώκασι, φησὶν, εἶχεν ἂν συγγνώμην ἐπὶ τῇ παραλόγως αὐτῶν πράξει· παράλογον πρᾶξιν οὐ τὸ αὐτομολῆσαι μόνον καλῶν, ἀλλὰ μᾶλλον τὸ καταλιπεῖν τὸ ποίμνιον τοῦ Κυρίου, καὶ μὴ παραμένειν αὐτῷ καὶ στηρίζειν τοὺς ἀδελφοὺς κλονουμένους ἐν τῷ καιρῷ τοῦ διωγμοῦ. Εἰ δὲ πεπτώκασιν ἐκ περπερείας, περπερείαν δ' ἐνταῦθα τὴν οἴησιν καὶ τὴν ἀλαζονείαν καλεῖ· ὅτι ἐξ ἀλαζονείας ἐθάῤῥησαν ἑαυτοῖς, καὶ τὸν ἀγῶνα ὑπέλυσαν καὶ ἑαυτοὺς ἐμωμήσαντο, ἀντὶ τοῦ, διὰ τὴν πτῶσιν μῶμον ἐπήνεγκαν ἑαυτοῖς, οὐκέτι δύνανται λειτουργεῖν. Διὸ φροντιζέτωσαν, λέγει, μᾶλλον ἐν ταπεινοφροσύνῃ, πῶς ἐκτελέσουσι τὴν ὁμολογίαν, δηλαδὴ παυσάμενοι τῆς κενοδοξίας. Τὸ γὰρ λειτουργίαν ζητεῖν, διὰ κενοδοξίαν, φησὶ, γίνεται. Ἀρκεῖ γὰρ αὐτοῖς ἡ κοινωνία, ἤγουν τὸ συγκοινωνεῖν αὐτοῖς τοὺς πιστοὺς, ἤτοι συνεύχεσθαι, ἢ καὶ τῶν θείων μυστηρίων μετάληψις. Καὶ ταῦτα μετ' ἐπιστασίας καὶ ἀκριβείας γενόμενα, καὶ ἵνα μὴ δόξωσι λυπεῖσθαι, μετὰ βίας περιδρασσόμενοι τῆς ἐντεῦθεν ἀναλύσεως, καὶ ἵνα μὴ λυπούμενοι, φησὶν, ἀπέλθωσιν ἐντεῦθεν ἀναλύοντες, ἀπὸ τοῦ σώματος δηλονότι ἐξερχόμενοι, μετὰ βίας τῆς ἐκ τῶν κολάσεων καὶ τῆς ἐν ταῖς εἱρκταῖς κακοπαθείας· καὶ ἵνα μή τινες πρόφασιν σχῶσι τοῦ ἐκλυθῆναι καὶ χαυνωθῆναι πρὸς τὸν ἀγῶνα τῆς ὁμολογίας, καὶ διὰ τοῦτο ἐκπεσεῖν, τὴν ἐπιτίμησιν. Οἵτινες μᾶλλον αἰσχυνθήσονται, κατὰ τὸ ἐν Εὐαγγελίοις εἰρημένον· *Ὃς θεμέλιον οὐκ ἴσχυσεν ἐκτελέσαι.*

Digitized by Google

Ἐκεξήγησις φερομένη κατὰ τοῦ Μουζάλωνος ἅπασα.

Digressio quæ tota adversus Muzalonem intenditur.

Ἐπιστησάτωσαν δὲ τὸν νοῦν τοῖς παρὰ τοῦ μεγάλου τοῦδε Πατρὸς καὶ ἱερομάρτυρος εἰρημένοις ἐνταῦθα οἱ λέγοντες δύνασθαι τοὺς ἀρχιερεῖς παραιτεῖσθαι τὰς ἐκκλησίας αὐτῶν, καὶ παρακρατεῖν τὴν ἱερωσύνην. Εἰ γὰρ οἱ πρὸς ὁμολογίας ἀγῶνα ἑκόντες ὁρμήσαντες κληρικοὶ, καὶ κολασθέντες καὶ μὴ ἐπιμείναντες, ἀλλὰ ἐνδόντες, εἶτα ἀναπαλαίσαντες μόλις ἀξιοῦνται συγγνώμης, εἰς τὸ τὴν λειτουργίαν ἀναβαλεῖν· κατὰ τὸν θεῖον τοῦτον **Πατέρα**, οὐδὲν ἕτερον ἐγκαλούμενοι, ἢ τὸ καταλιπεῖν τοὺς ἀδελφοὺς, δυνάμενοι αὐτοῖς ἐν καιρῷ περιστάσεως εὔχρηστοι εἶναι εἰς τὸ στηρίζειν αὐτοὺς, καὶ ταῦτα μαρτυρίας ἀξιωθέντες, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ αὐτῶν περιφέροντες· πῶς ἀρχιερεὺς καὶ ποιμὴν, ὃς ὀφείλει τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καταλιπὼν τὴν ἐμπιστευθεῖσαν ποίμνην αὐτῷ, καὶ παραιτησάμενος τὴν αὐτῆς φροντίδα καὶ ἐπιμέλειαν, καὶ ὅσον τὸ κατ' αὐτὸν τοῖς λύκοις ταύτην ἐκδεδωκὼς, ἀντέχεσθαι τῆς λειτουργίας δίκαιος λογισθήσεται, καὶ οὐ μᾶλλον βαρυτάτων ἐπιτιμίων κριθήσεται ἄξιος, διὰ τὴν τοῦ ἀνατεθέντος αὐτῷ λαοῦ ἐγκατάλειψιν; Ἀλλὰ καὶ γέρας ὑπὲρ ταύτης αἰτήσει, ἢ μᾶλλον αὐτὸς ἑαυτῷ παρέξει· τὸ μὲν κόπον προξενοῦν αὐτῷ παραιτούμενος, τὴν διδασκαλίαν φημὶ καὶ τὴν τῶν σφαλλομένων διόρθωσιν, τὸ δὲ δόξαν καὶ τιμὴν περιποιοῦν παρακατέχων, καὶ οἰκειούμενος, καὶ τούτου ἁπλῶς ἐχόμενος, καὶ μηδὲν μεθιστάμενος. Εἰ γὰρ ἐπὶ κληρικῶν παράλογος ὠνομάσθη πρᾶξις, τὸ καταλιπεῖν τὸν λαὸν, καὶ πρὸς τὸν ὑπὲρ εὐσεβείας αὐτομολῆσαι ἀγῶνα· πόσῳ πλέον παραλογώτερον ἂν κριθείη ἐπὶ ἐπισκόπου καταλιπόντος τὸν οἰκεῖον λαὸν, καὶ οὐ πρὸς ἀγῶνα χωροῦντος, πρὸς ῥᾳστώνην δὲ καὶ ἀνάπαυσιν, καὶ φροντίδων ὑπὲρ ὠφελείας ψυχῶν ἀπόθεσιν καὶ ἀπόδρασιν; Καὶ ὁ ις' δὲ κανὼν τῆς ἑβδόμης οἰκουμενικῆς συνόδου πολλὴν ἀδελτηρίαν κατηγορεῖ τῶν ψηφιζομένων δύνασθαι τοὺς ἀρχιερεῖς τὰς ἐπισκοπὰς παραιτεῖσθαι, τὴν δὲ ἱερωσύνην παρακρατεῖν. Εἰ γὰρ κατὰ τὸν εἰρημένον κανόνα ὁ ἐπίσκοπος, ὑπὲρ τὸ ἑξάμηνον τῆς οἰκείας ἀποδημήσας ἐπισκοπῆς [ἂν μὴ] μιᾶς τῶν ἀπηριθμημένων ἐν αὐτῷ αἰτιῶν, καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀρχιερωσύνης ἐκπίπτει, καὶ ἀμφοῖν ἠλλοτρίωται· πῶς ὁ παραιτησάμενος τὴν ἐπισκοπὴν, καὶ ἀπαγορεύσας μηκέτι ποιμαίνειν τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, καὶ τῆς τούτου φροντίδος διὰ βίου καταφρονήσας, εἴη ἂν ἀρχιερεύς; Εἰ γὰρ ὁ τὸ ἧττον ἁμαρτάνων, τὸ ἐπὶ πλέον ἑξαμηνιαίου καιροῦ καταλιπεῖν τὸν ὑπ' αὐτὸν λαὸν ἀπολιμαντόν τε καὶ ἀτημέλητον, ἐκπτώσει καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης ἀφίσταται· ὁ τὸ μᾶλλον καὶ τὸ πολλαπλάσιον πλημμελῶν, τὸ δι' ὅλου καταλιπεῖν τὰ πλήθη, ἅπερ αὐτῷ ἐπισκοπεῖν τε καὶ ὁρᾶν ἡ τοῦ θείου Πνεύματος χάρις ἀνέθετο, μᾶλλον ἂν εἴη δίκαιος σφοδρότερον κολασθήσεσθαι, καὶ μείζονα τιμωρίαν ὑφέξειν τῆς ὅσον ἐπ' ἐκείνῳ ἀπωλείας ποιμνίου, οὗ προεχειρίσθη ποιμὴν παρὰ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως καὶ ἀρχιποιμένος. Οἱ δὲ καὶ γέρας αὐτῷ καὶ ἀμοιβὴν τῆς παραιτήσεως ἐπιψηφιζόμενοι τὴν ἱερω-

Adjiciant porro animum iis quæ ab hoc magno Patre, ac sancto martyre hoc loco allata sunt, qui dicunt episcopis licere ecclesias suas dimittere, ac sacerdotii dignitatem retinere. Etenim si clericis qui sponte se certamini confessionis objecerant, ac tormentis affecti minus constanter obstiterant, sed postquam cesserant, in certamen redeuntibus vix conceditur venia, quod sacrum ministerium obire distulissent; nec ex hujus divini Patris sententia quidquam aliud ipsis objicitur, quam quod fratres deseruissent, cum adversis ac turbulentis temporibus possent ipsis in fide confirmandis esse utiles; idque cum et digni habiti essent qui testimonium perhiberent fidei, et stigmata Christi in sua carne circumferrent: quonam modo summus sacerdos et pastor, qui pro ovibus debet animam ponere, deserto grege sibi commisso, ejusque cura et administratione repudiata, et quantum quidem in ipso est eo lupis prodito, dignus putabitur qui sacri ministerii dignitatem retineat, ac non gravissimis potius pœnis quod sibi commendatum populum deseruerit, mulctandus esse judicabitur? Quin potius ob eam rem præmium deposcet, imo sibi ipsemet suppeditabit; quod quidem laborem ipsi affert recusans, docendi videlicet munus vitiaque corrigendi; quod vero gloriam ac decus conciliat amplectens, sibique asciscens, mordicusque id retinens, neque vel tantillum remittens. Si enim ubi de clericis est sermo, actio rationi absona nominata sit deserere populum, atque ad certamen pietatis causa transmigrare; quanto id magis a ratione alienum in episcopo judicabitur, qui populum suum deserit, non ut ad certamen tendat, sed ut quieti se ac remissioni tradat, curasque pro salute animarum deponat ac effugiat. Decimus sextus quoque canon septimæ œcumenicæ synodi, stultitiæ graviter accusat eos qui ab episcopo, repudiato episcopatu, sacri ministerii dignitatem retineri posse decernunt. Si namque ex canonis allati sententia, episcopus qui ultra semestre tempus a suo episcopatu abfuerit, nisi una aliqua ex iis quæ ibi numerantur, causa intercesserit, et episcopatu et summi sacerdotii dignitate excidit, ac utroque privatur: quonam modo qui repudiavit episcopatum, creditumque sibi gregem adhuc pascere omnino abnuit, ejusque curam inertis vitæ studio contemnit, adhuc in episcoporum numero habebitur? Etenim si qui minus delinquit, ut ultra semestre tempus subjectum sibi populum pastoris cura et administratione destitutum relinquat, episcopatus et sacræ dignitatis privationem incurrit; qui in eo quod majus et multis partibus gravius est, peccat, ut multitudinem quam ipsi curandam et custodiendam sancti Spiritus gratia commisit, omnino deserat; merito plane punietur vehementius, gravioremque pœnam persolvet, perditi, quod in ipso est, gregis, cujus ipse pastor a primario illo ac supremo sacer-

Digitized by Google

dote et Pastore creatus est. Qui vero ipsi præmium insuper ac detrectati muneris honorarium, sacerdotii dignitatem decernunt; et illum et se ipsos, mea quidem sententia, Dei judicio obnoxios constituent.

σύνην, οἶμαι, καὶ ἑαυτοὺς κἀκεῖνον ὑπευθύνους ποιήσουσι τῷ κρίματι τοῦ Θεοῦ.

CANON XI.

« Qui enim primum in persecutionis fervore prosilierunt judicium circumstantes, et sanctos martyres qui *ad brabium supernæ vocationis* [a] festinabant, aspicientes, honesta æmulatione incitati, se ipsos ad hoc tradiderunt, magna libertate utentes, maxime videntes eos qui subtrahebantur, labi, propter quos interius excitati, et quodam veluti sono impulsi ad debellandum se efferentem et adversarium, ad id contendebant, ne *apud se prudens esse* [b] videretur, ob ea in quibus ejus calliditate inferiores esse visi sunt, etiamsi se ipsum vinci ab iis, qui scuticarum flagellorumque tormenta, et gladii aciem, et ignis ustulationem, et aquarum immersiones constanter tulerunt, eum latuit : iis quoque qui, ut ex fide preces et orationes fiant, persequuntur, vel pro iis qui in custodia puniti sunt, et a fame et siti traditi sunt, vel pro iis qui extra custodiam scuticis et flagellis in judicio torti sunt, postea autem a carnis imbecillitate victi fuere, æquum est annuere. Cum iis enim qui lugent et mœrent, pro iis qui in certamine victi sunt a magnis maligni diaboli viribus, sive pro parentibus, vel fratribus, vel liberis, una dolere, et tristitia affici neminem quidquam penitus lædit. Scimus enim etiam propter aliorum fidem, quosdam esse Dei bonitatem assecutos, et in peccatorum remissione, et corporis sanitate, et mortuorum resurrectione. Memores itaque multorum laborum et miseriarum, quas pro Christi nomine sustinuerunt, cum ipsi etiam pœnitentiam egerint, et quod a se factum est per proditionem in corporis languore et mortificatione defleverint, et se præterea testentur, in vita sua fuisse a civitate alienos, simul oremus, et postulemus pro eorum reconciliatione cum aliis quæ decet per eum qui est nobis *advocatus apud Patrem*, se nostris peccatis propitium exhibentem. *Et si quis*, inquit, *peccaverit, habemus advocatum apud Patrem Jesum Christum justum : et is est propitiatio pro peccatis nostris* [c]. »

ΚΑΝΩΝ ΙΑ'.

« Οἱ γὰρ πρῶτοι (8) παραπηδήσαντες ἐν τῷ βράσματι τοῦ διωγμοῦ, περιεστῶτες εἰς τὸ δικαστήριον, καὶ θεωροῦντες τοὺς ἁγίους μάρτυρας σπεύδοντας *ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως*, ἐν καλῷ τῷ ζήλῳ προθυμούμενοι ἐπεδίδουν ἑαυτοὺς εἰς τοῦτο, πολλῇ τῇ παῤῥησίᾳ χρώμενοι, βλέποντες [60] μάλιστα τοὺς ὑποσυρομένους καὶ ἐκπίπτοντας, δι' οὓς ὑποθερμαινόμενοι ἔσωθεν καὶ ἐνηχούμενοι καταπολεμῆσαι τὸν ὑπεραιρόμενον καὶ ἀντικείμενον [61], ἔσπευδον εἰς τοῦτο, ἵνα μὴ καὶ [62] δοκῇ *παρ' ἑαυτῷ φρόνιμος εἶναι* ἐφ' οἷς κατὰ πανουργίαν ἔδοξεν ἡττᾶν, εἰ καὶ ἐλάνθανεν ἑαυτὸν νικώμενον ὑπὸ τῶν ἐγκαρτερούντων τὰς τῶν ξυστήρων καὶ μαστίγων βασάνους, τήν τε ὀξύτητα τῆς μαχαίρας, καὶ τὰς καταφλέξεις τοῦ πυρὸς, καὶ τὰς τῶν ὑδάτων καταποντώσεις· καὶ τοῖς κατὰ πίστιν ὑπεξουσιοῦσιν εὐχὰς [63] καὶ δεήσεις γίνεσθαι [64] ἤτοι ὑπὲρ τῶν ἐν φυλακῇ κατατιμωρηθέντων καὶ προδεδομένων [64a] ὑπὸ λιμοῦ καὶ δίψης [65], ἤτοι ὑπὲρ τῶν ἔξωθεν τῆς φυλακῆς ἐπὶ τοῦ δικαστηρίου καταβασανισθέντων διὰ ξυστήρων καὶ μαστίγων, ὕστερον δὲ ἡττηθέντων ὑπὸ τῆς ἀσθενείας τῆς σαρκὸς, ἄξιόν ἐστιν ἐπινεῦσαι. Συμπάσχειν γὰρ καὶ συναλγεῖν τοῖς ὀδυρομένοις καὶ στενάζουσιν ὑπὲρ τῶν ἐν ἀγῶνι ἡττηθέντων ὑπὸ τῆς πολλῆς βίας τοῦ κακομηχάνου διαβόλου, ἤτοι ὑπὲρ γονέων ἢ ἀδελφῶν ἢ τέκνων, οὐδένα οὐδὲν καταβλάπτει. Ἴσμεν γὰρ καὶ δι' ἑτέρων πίστιν ἀπολαύσαντάς τινας τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἐπί τε ἀφέσει ἁμαρτιῶν καὶ ὑγείᾳ σώματος, καὶ ἀναστάσει νεκρῶν. Μεμνημένοι τοίνυν τῶν πολλῶν αὐτῶν καμάτων, ὧν προῦπήνεγκαν ἐν ὀνόματι τοῦ Χριστοῦ, καὶ τῶν τανταλισμῶν [66], οὐ μὴν ἀλλὰ καὶ μεταγνόντων αὐτῶν καὶ ἀποδυρομένων τὸ πεπραγμένον αὐτοῖς κατὰ πρόδοσίαν ἐν ἀτονίᾳ καὶ νεκρότητι τοῦ σώματος, ἔτι τε καὶ μαρτυρουμένων ἀπολιτεύτων [67] γενομένων ἐν τῷ βίῳ αὐτῶν, συνευχόμεθα καὶ συμπαρακαλοῦμεν ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων, διὰ τοῦ γενομένου [67a] ὑπὲρ ἡμῶν *παρακλήτου πρὸς τὸν Πατέρα* ἱλασκομένου ταῖς ἁμαρτίαις ἡμῶν. *Καὶ ἐάν τις γάρ, φησὶν, ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.* »

Bals. Cum superius dixisset Sanctus, quod qui sua sponte confugerunt et lapsi sunt, pœnitentiam autem non egerunt, nec suum lapsum revocarunt, plus dedecoris subibunt, ut qui non supra funda-

ΒΑΛΣ. Εἰπὼν ἀνωτέρω ὁ Ἅγιος, ὅτι οἱ αὐτομολήσαντες καὶ ἐκπεσόντες μὲν, μὴ μεταμεληθέντες δὲ, καὶ τὴν ἔκπτωσιν ἀνακαλεσάμενοι, ἐπὶ πλέον αἰσχύνην ἔξουσιν, ὡς μὴ ἐπὶ τῷ θεμελίῳ καὶ δροφον τεκτη-

[a] *Philipp.* III, 14. [b] *Rom.* XII, 16. [c] *I Joan.* II, 1.

VARIÆ LECTIONES.

[60] ἐμβλέποντες. [61] verba καταπολεμῆσαι τ. ὑπ. καὶ ἀντικ. om. [62] καὶ om. [63] ὑπεξιοῦσιν. [64] δὲ add. [64a] προδιδομένων. [65] δίψους. [66] ταλανισμῶν. [67] μεμαρτυρημένων εὐπολιτεύτων. [67a] γινομένου.

(8) *Οἱ γὰρ πρῶτοι.* Scilicet ii de quibus dictum est can. 9, hoc est laici. Harduin.

Digitized by Google

νάμενοι, ἤτοι μὴ τελειώσαντες τὸ καλόν· νῦν· καὶ κατασκευὴν τούτου τε καὶ τῶν λοιπῶν ἐπάγει, λέγων· Οἱ γὰρ ἐν τῷ βράσματι, ἤγουν ἐν τῇ ἀκμῇ τοῦ διωγμοῦ ἱστάμενοι, καὶ ὁρῶντες τὰ μαρτύρια τῶν ἁγίων, καὶ ὅπως σπεύδουσι τοὺς ἐξ οὐρανῶν στεφάνους λαβεῖν κατὰ ζῆλον θεῖον, ἐπεδίδουν ἑαυτοὺς εἰς τὸ μαρτύριον μετὰ παῤῥησίας πολλῆς, καὶ μάλιστα ὅτι ἔβλεπόν τινας ὑποσυρομένους, ἀντὶ τοῦ, κλεπτομένους καὶ ἀπατωμένους ὑπὸ τοῦ διαβόλου, καὶ ἐκπίπτοντας, ἤτοι ἀρνουμένους τὴν εὐσέβειαν· ὧν χάριν ὑποθερμαινόμενοι ἔσωθεν, ἤτοι τὴν καρδίαν πυρούμενοι, ὡς καὶ ἀκούοντες καταπολεμῆσαι, ἤτοι νικῆσαι διὰ τούτου τὸν ἀλαζόνα καὶ ἀντικείμενον διάβολον, ἐσπούδασαν ὑποδῦναι τὸ μαρτύριον, ἵνα μὴ καυχήσηται ὁ διάβολος καὶ δόξῃ ἑαυτῷ φρόνιμος εἶναι, ὡς νικήσας κατὰ πανουργίαν τοὺς αὐτομολήσαντας· εἰ καὶ ἐλάνθανε μᾶλλον νικᾶσθαι ὑπὸ τῶν ἀθλητῶν τῶν καρτερησάντων τὰς βασάνους. Τοῖς γοῦν πιστοῖς ἄξιόν ἐστιν, εὐχομένοις ὑπὲρ αὐτῶν τῶν τιμωρηθέντων καὶ ἡττηθέντων, ἐπινεύειν, ἤτοι συντρέχειν, ὅ τι καὶ δέδοκται, καὶ κατά τι οὐ βλάπτει συμπάσχειν καὶ λυπεῖσθαι μετὰ τῶν γονέων ἢ τῶν ἄλλως προσῳκειωμένων ὑπὲρ τῶν μαρτυρησάντων, καὶ ἐκπεπτωκότων ἀπὸ μηχανῆς τοῦ διαβόλου. Γινώσκομεν γὰρ, ὡς πολλοὶ ἀπήλαυσαν τοῦ ἐλέους καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ διὰ εὐχῆς ἑτέρων. Διά τοι τοῦτο αὐτοῖς τε δοθῆναι ἄφεσιν παρὰ τοῦ Θεοῦ ἐξαιτήσομεν, καὶ τοῖς ἄλλοις τοῖς ἐκπεπτωκόσι, καὶ μετὰ ταῦτα τὴν πλάνην ἀνακαλεσαμένοις καὶ ὁμολογήσασι τὴν εὐσέβειαν, συγκοινωνήσομεν, μεμνημένοι τῶν πρὸ τῆς ἐκπτώσεως ἀγώνων αὐτῶν, ὧν ὑπήνεγκαν διὰ τὸν Θεὸν, ἀλλὰ μὴν καὶ τοῦ μετὰ ταῦτα ἀγαθοῦ μεταμέλου τούτων, καὶ ὅτι μεμαρτύρηται ἀπολιτεύτους λογίζεσθαι ἑαυτοὺς διὰ ἁμάρτημα· καὶ οὐ μόνον συγκοινωνήσομεν αὐτοῖς, ἀλλὰ καὶ συνευξόμεθα ὑπὲρ ἱλασμοῦ αὐτῶν μετὰ τῶν ἄλλων τῶν καθηκόντων, ἤγουν μετὰ τῶν ὀφειλουσῶν γίνεσθαι εὐποιῶν περὶ τούτους, νηστείας δηλονότι, ἐλεημοσύνης καὶ μετανοίας· δι' ὧν ὁ γινόμενος παράκλητος ὑπὲρ ἡμῶν ἐξευμενίζεται ἡμῖν τὸν Πατέρα. Εἶτα καὶ χρήσει κέχρηται γραφικῇ. Ἡ δέ ἐστιν ἐκ τῆς πρώτης καθολικῆς ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου.

mentum tectum quoque fabricaverint, seu quod bonum est non perfecerint : nunc hujus et reliquorum confirmationem inducit, dicens : Qui enim in persecutionis fervore, seu vehementia stantes, et videntes sanctorum martyria, et quomodo cœlestes coronas divino zelo accipere contendant, se ipsos dabant martyrio cum multa libertate, et maxime quia videbant quosdam subtractos, hoc est eductos et deceptos a diabolo, et lapsos seu negantes pietatem : quamobrem interius accensi seu corde inflammati, ut qui audirent se per hoc debellasse ac vicisse superbum adversarium diabolum, studuerunt subire martyrium, ne glorietur diabolus et sibi prudens esse videatur, ut qui calliditate sua et malitia eos vicerit qui sua sponte ad martyrium confugerunt : etiam si eum latuit se magis vinci ab athletis, qui tormenta fortiter perpessi sunt. Fidelibus ergo orantibus æquum est pro ipsis supplicio affectis et punitis, annuere, sive in hoc concurrere, quod etiam visum est, et aliquo modo nihil lædit, una cum parentibus vel aliis necessitudine conjunctis, pro iis qui testimonium dederunt martyriumque subierunt, sed lapsi sunt diaboli arte et insidiis, dolere et tristitia affici. Scimus enim quod multi bonitatem et misericordiam Dei consecuti sunt per aliorum orationes. Ideoque et ipsis dari a Deo peccatorum remissionem postulabimus, et aliis qui lapsi sunt, et postea errorem revocaverunt et pietatem confessi sunt, communicabimus, memores eorum quæ ante lapsum propter Deum sustinuerunt certaminum, et etiam bonæ eorum postea pœnitentiæ, et quod se ipsos testati sunt esse a civitate alienos propter peccatum : et non solum ipsis communicabimus, sed et pro eorum reconciliatione orabimus, cum aliis quæ decet, seu cum bonis operibus quæ debent ab ipsis fieri, jejunio scilicet, eleemosyna et pœnitentia; per quæ, qui pro nobis est advocatus, Patrem nobis propitium benevolumque efficit. Deinde et sacræ Scripturæ sententia usus est. Ea vero est ex prima catholica epistola sancti apostoli et evangelistæ Joannis.

ΖΩΝΑΡ. Ὁ νοῦς τοῦ παρόντος κανόνος τοιοῦτός ἐστιν· Οἱ ἐν τῷ βράσματι, φησὶ, τοῦ διωγμοῦ, ἤγουν ἐν τῇ ἀκμῇ, τῇ ζέσει ἱστάμενοι, καὶ ὁρῶντες τὰ μαρτύρια τῶν ἁγίων, καὶ ὅπως σπεύδουσι τοὺς ἐξ οὐρανοῦ στεφάνους λαβεῖν, κατὰ ζῆλον θεῖον ἐπεδίδουν ἑαυτοὺς εἰς τὰ μαρτύρια, μετὰ παῤῥησίας πολλῆς ὁρμήσαντες εἰς τὸν ἀγῶνα, ζηλώσαντες τοὺς ἁγίους πάσχοντας, καὶ ἐπιδόντες ἑαυτοὺς προθύμως τῇ μαρτυρίᾳ, καὶ μάλιστα ὅτι ἔβλεπόν τινας ὑποσυρομένους, ἀντὶ τοῦ, κλεπτομένους, ἀπατωμένους καὶ ἀρνουμένους τὴν εὐσέβειαν, ὑποθερμαινόμενοι, ἤτοι πυρούμενοι τὴν καρδίαν, ἔσπευδον καταπολεμῆσαι τὸν αὐτοὺς ὑποσύροντα πονηρὸν, ἵνα μὴ καυχᾶται, ὡς ἡττῶν τοὺς εὐσεβεῖς· εἰ καὶ ἐλάνθανεν ἑαυτὸν ἀγνοῶν, ὅτι μᾶλλον ἡττᾶται, πολλῶν μέχρι θανάτου τὴν ὑπὲρ τῆς πίστεως ἔνστασιν ἐνδειξαμέ-

Zonar. Hujus canonis sententia ejusmodi est. Qui in fervore, inquit, persecutionis, hoc est in summo illius discrimine vehementissimaque dimicatione constituti, ac martyria sanctorum intuentes, et quam vehementer ad accipiendas cœlestes coronas festinarent, divina æmulatione se ipsos martyrio tradidere, multa cum libertate in certamen desilientes, sanctorum qui patiebantur imitatione, seque promptos ad fidem testimonio confirmandam obtulere, tum ob id maxime quia multos cernerent qui subtrahebantur, hoc est traducebantur, decipiebantur, pietatem negabant, ferventes, hoc est, flammato corde, infestum ipsis adversarium debellare studuerunt, ne veluti piorum victor gloriaretur; quamvis cum latuerit, vinci se potius, cum multi ad mortem usque pro fide constantiam præ

Digitized by Google

se tulerint. Festinarunt ergo, inquit, ut id agerent, superati autem vi tormentorum ob imbecillitatem carnis, partim in custodiis male accepti, partim vero in judiciis pœnis affecti, nec ferentes supplicia. Operæ pretium est igitur cum iis qui ipsorum causa lugent, condolescere. Lugent porro, inquit, parentum alii, alii fratrum, alii liberorum lapsum. Cum iis igitur qui lapsos lugent, simul lugere neminem lædit, nec cum iis una precari et dolere qui pro ipsis rogant, cum aliis nempe rationi consentaneis; cum eo scilicet, ut qui lapsi sunt, alia quoque præstent, quæ congruunt pœnitentiæ: sunt hæc porro jejunia et lacrymæ, aliæque afflictationes, mulctarum observationes: tum si facultas suppetat, pecuniarum in pauperes erogatio; quas ob res qui pro nobis advocatus est factus, Patrem nobis propitium reddet. Adhibet mox petitam quoque ex sacris litteris sententiam, quæ est ex prima Epistola sancti apostoli et evangelistæ Joannis.

ν ων. Ἔσπευδον μὲν οὖν, φησὶν, οὕτως ποιῆσαι, ἡττηθέντες δὲ τῶν βασάνων δι' ἀσθένειαν τῆς σαρκὸς, οἱ μὲν ἐν ταῖς φυλακαῖς κακοπαθοῦντες, οἱ δὲ ἐπὶ δικαστηρίου κολασθέντες, καὶ μὴ ἐνεγκόντες τὰς τιμωρίας. Ἄξιον οὖν ἐστι τοῖς ὑπὲρ αὐτῶν πενθοῦσι συμπάσχειν. Πενθοῦσι δὲ, φησὶν, οἱ μὲν ὑπὲρ γονέων, οἱ δὲ ὑπὲρ τῶν ἀδελφῶν, οἱ δὲ ὑπὲρ τέκνων παραπεπτωκότων. Τὸ γοῦν συμπενθεῖν τοῖς τοὺς παραπεπτωκότας πενθοῦσιν οὐδένα καταβλάπτει, καὶ τὸ συνδέεσθαι καὶ συναλγεῖν τοῖς δεομένοις ὑπὲρ αὐτῶν μετὰ τῶν ἄλλων καθηκόντων, ἤγουν μετὰ τοῦ ποιεῖν ἐκείνους τοὺς παραπεπτωκότας καὶ τὰ ἄλλα τὰ πρέποντα τῇ μετανοίᾳ· ἅπερ εἰσὶ νηστεῖαι καὶ δάκρυα, ἄλλαι τε κακοπάθειαι, ἐπιτιμίων φυλακαί· εἰ δ' ἂν εὐπορεῖν, καὶ δόσεις χρημάτων πρὸς πένητας, δι' ὧν ὁ γινόμενος παράκλητος ὑπὲρ ἡμῶν ἐξευμενίσεται ἡμῖν τὸν Πατέρα. Εἶτα καὶ χρήσει κέχρηται γραφικῇ, ἥτις ἐστὶν ἐκ τῆς πρώτης ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου.

CANON XII.

« Iis enim qui pecuniam dederunt, ut ipsi omni « ex parte ab omni malitia imperturbati essent, « crimen intendi non potest. Damnum enim et jacturam pecuniarum sustinuerunt, ne ipsi animæ « detrimento afficerentur, vel ipsam etiam perderent, quod alii propter turpe lucrum non fecerunt : quamvis Dominus dicat [a] : *Quid enim hominem juvabit, si universum mundum lucratus « fuerit, animæ autem detrimento fuerit affectus, « vel eam etiam perdiderit?* Et rursus [b] : *Non potestis Deo servire et mammonæ* : in illis enim apparuerunt qui Deo servirent, exosis, conculcatis, « contemptisque pecuniis, et in eo compleverunt « quod scriptum est [c] : *Pretium redemptionis animæ hominis, propriæ divitiæ.* Nam et in Actibus « quoque apostolorum legimus, eos qui pro Paulo « et Sila Thessalonicæ ad magistratus trahebantur, « cum multis pecuniis fuisse dimissos. Postquam « enim ipsos propter nomen multum onerassent, « et multitudinem magistratusque perturbassent, « *ab Jasone*, inquit, *et reliquis satisdatione accepta, eos dimiserunt. Fratres autem noctu protinus Paulum et Silam miserunt in Berræam* [d]. »

ΚΑΝΩΝ ΙΒ'.

« Τοῖς γὰρ ἀργύρια δεδωκόσι πρὸς τὸ ἀνενοχλήτους αὐτοὺς [48] παντάπασι γενέσθαι ἀπὸ [49] πάσης (9) « κακίας, οὐκ ἔστιν ἔγκλημα προσάγειν [50]. Ζημίαν « γὰρ καὶ ἀπώλειαν χρημάτων ὑπήνεγκαν, ἵνα μὴ « τὴν ψυχὴν ἑαυτῶν [50*] ζημιωθῶσιν ἢ ἀπολέσωσιν, « ὅπερ ἄλλοι κατὰ αἰσχροκέρδειαν οὐ πεποιήκασι· « καίτοι γε τοῦ Κυρίου λέγοντος· *Τί γὰρ ὠφελήσει « ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν « δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ, ἢ ἀπολέσῃ;* καὶ ὅτι, « *Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.* « Ἐφάνησαν γὰρ παρ' ἐκείνοις Θεῷ [51] (10) δου- « λεύοντες, τὰ [51*] ἀργύρια μισήσαντες καὶ καταπατή- « σαντες, [52] καὶ καταφρονήσαντες αὐτῶν, ἀνεπλή- « ρωσάν [52*] τε καὶ ἐν τούτῳ τὸ γεγραμμένον· *Λύτρον « ἀνδρὸς ψυχῆς, ὁ ἴδιος πλοῦτος.* Ἐπεὶ καὶ ἐν « ταῖς Πράξεσι τῶν ἀποστόλων ἀνέγνωμεν τοὺς συ- « ρέντας ἀντὶ Παύλου καὶ Σίλα ἐν Θεσσαλονίκῃ ἐπὶ « τοὺς πολιτάρχας, μετὰ καὶ πλησμονῆς ἀπολυθέν- « τας. Μετὰ γὰρ τὸ καταβαρῆσαι αὐτοὺς πολλὰ διὰ « τὸ ὄνομα, καὶ ταράξαι τὸν ὄχλον καὶ τοὺς πολιτάρ- « χας, *Λαβόντες*, φησὶ, *τὸ ἱκανὸν παρὰ τοῦ Ἰά- « σονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς· οἱ « δὲ ἀδελφοὶ εὐθέως διὰ νυκτὸς ἐξέπεμψαν τόν « τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέρροιαν* [52**]. »

Bals. Postquam Sanctus de iis qui sua sponte ad martyrium confugiunt, perfecisset, dicit eos non esse reprehendendos, qui se ipsos datis pecuniis a tormentorum afflictione liberarunt. Maluerunt enim suarum pecuniarum, quam suæ animæ jacturam facere. Deinde hoc ipsum confirmat et affert diversa

ΒΑΛΣ. Πληρώσας ὁ Ἅγιος τὰ περὶ τῶν αὐτομολησάντων εἰς τὸ μαρτύριον, φησὶν ἀκαταιτιάτους εἶναι τοὺς διὰ χρημάτων δόσεως ἀνενοχλήτους συντηρήσαντας ἑαυτοὺς ἀπὸ τῆς κακώσεως τῶν κολάσεων. Εἵλοντο γὰρ χρήματα ζημιωθῆναι, καὶ μὴ τὰς ἑαυτῶν ψυχάς. Εἶτα κατασκευάζων τοῦτο αὐτὸ, ἐπιφέρει

[a] *Matth.* xvi, 26. [b] *Matth.* vi, 24. [c] *Prov.* xiii, 8. [d] *Act.* xvii, 9, 10.

VARIÆ LECTIONES.

[48] τό add. [49] ὑπό. [50] προσαγαγεῖν. [50*] αὐτῶν. ταπατήσαντες om. [52*] ἀπεπλήρωσαν. [52**] Βέροιαν. [51] παρ' ἐκεῖνον τῷ Θεῷ. [51*] add. γάρ. [52] καὶ κα-

(9) *Ὑπὸ πασ.* Ms. Nan., ἀπὸ πασ.

(10) *Παρ' ἐκείνοις Θεῷ.* Id. cod., παρ' ἐκείνων τῷΘεῷ. Mox, τὰ γὰρ ἀργύρια. Desunt autem ibid. sequentia, καὶ καταπατήσαντες. Et paulo post, μετὰ πλησμονῆς, omisso *καί*.

Digitized by Google

καὶ διάφορα γραφικὰ καὶ παραδείγματα ἐκ τῶν ἀποστολικῶν Πράξεων περὶ τοῦ μακαρίου ἀποστόλου Παύλου καὶ ἑτέρων.

A Scripturæ exempla ex Actibus apostolorum de beato Paulo apostolo et aliis.

ΖΩΝΑΡ. Οἱ δὲ χρήματα, φησὶ, δεδωκότες καὶ ἐκφυγόντες, καὶ αὐτοῖς τηρήσαντες τὴν εὐσέβειαν, οὐκ αἰτιαθήσονται, οὐδὲ ἔγκλημά τις ἐντεῦθεν προσάψει αὐτοῖς. Εἵλοντο γὰρ χρήματα ζημιωθῆναι, καὶ μὴ τὰς ἑαυτῶν ψυχὰς, καὶ ἐφάνησαν τῷ Θεῷ δουλεύειν βουλόμενοι, καὶ οὐ τῷ μαμμωνᾷ, ἤτοι τοῖς χρήμασι. Ἐπιφέρει δὲ καὶ ῥήματα γραφικὰ, καὶ παράδειγμα ἐκ τῶν Πράξεων περὶ τοῦ μακαρίου ἀποστόλου Παύλου καὶ ἑτέρων. Τὸ δὲ ἀνενοχλήτους γενέσθαι ἀπὸ πάσης κακίας, ἢ τὸ μὴ ὀχληθῆναι εἰς ἄρνησιν τῆς εὐσεβείας ἐστὶν, ἥπερ πᾶσαν κακίαν νικᾷ, ἢ κακίας τὰς κακώσεις ὠνόμασε τὰς ἐκ τῶν

Zonar. Qui vero, inquit, pecuniam erogarunt, eoque effugio pietatem conservarunt, non sunt reprehendendi, nec ob eam rem illos quisnam accuset. Maluerunt namque pecunias, quam ipsorum animas perdere, ostenderuntque se Deo servire velle, non mammonæ, hoc est divitiis. Profert autem et Scripturæ verba, tum ex Actis apostolorum, beati Pauli et aliorum exempla. Quod vero dicitur, imperturbatos fuisse ab omni improbitate, sic accipiendum est, aut imperturbatos fuisse, quod ad pietatis abnegationem attinet quæ universam superat improbitatem, vel κακίας vexationes tormen-

B torum nominavit.

ΚΑΝΩΝ ΙΓ'.

« Ὅθεν οὐδὲ τοῖς καταλείψασι πάντα διὰ τὴν τῆς « ψυχῆς σωτηρίαν καὶ ἀναχωρήσασιν ἔστιν ἐγκαλεῖν, « ὡς ἂν ἑτέρων δι' αὐτοὺς κατασχεθέντων. Καὶ γὰρ « καὶ ἐν τῇ Ἐφέσῳ ἀντὶ Παύλου[83] συνήρπασαν « Γάϊον εἰς τὸ θέατρον καὶ Ἀρίσταρχον, συνεκδήμους Παύλου, βουλομένου[83*] εἰσελθεῖν εἰς τὸν δῆμον· « ἐπεὶ καὶ δι' αὐτὸν πείσαντα καὶ μεταστήσαντα πολὺν ὄχλον ἐπὶ τὴν θεοσέβειαν ἡ στάσις ἦν γενο« μένη[83**].[84] *Οὐκ εἶων αὐτὸν οἱ μαθηταὶ*, φησίν. Οὐ « μὴν ἀλλὰ καί τινες τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ[85] « φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦ« ναι ἑαυτὸν εἰς τὸ θέατρον. Εἰ δὲ ἐπιμένοιέν τινες « ἐρεσχελοῦντες τοῖς εἰλικρινῶς προσέχουσι τῷ λέ« γοντι[86] (11), *Σῴζων σῶζε τὴν σεαυτοῦ ψυχὴν*, « *καὶ*[86*] *μὴ περιβλέψῃς*[86**] *εἰς τὰ ὀπίσω*, ὑπο« μνησθήτωσαν καὶ περὶ τοῦ (12) προκρίτου τῶν ἀπο« στόλων Πέτρου, *βεβλημένου τε ἤδη εἰς φυλακὴν*, « *καὶ παραδοθέντος τέτταρσι τετραδίοις*[87] *στρα« τιωτῶν, φυλάσσειν αὐτόν*. Οὗ ἐν νυκτὶ φυγόντος « καὶ ἐκ χειρὸς ῥυσθέντος τῶν Ἰουδαίων κατ' ἐντο« λὴν ἀγγέλου, φησὶ, Κυρίου, *γενομένης ἡμέρας « ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί « ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρῴδης δὲ, ἐπιζητήσας « αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας, « ἐκέλευσεν ἀπαγχθῆναι* (13), δι' οὓς οὐδεμία « αἰτία τῷ Πέτρῳ προσάπτεται. Ἐξῆν γὰρ, καὶ αὐτοὺς ἰωρακότας τὸ γινόμενον[88], ἐκφυγεῖν, ὡς καὶ « πάντα τὰ παιδία τὰ ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς « ὁρίοις αὐτῆς, εἰ ἐγνώκεισαν οἱ γονεῖς αὐτῶν τὸ « μέλλον ἔσεσθαι· ἅπερ ἀνῃρέθησαν ὑπὸ τοῦ μιαιφό« νου Ἡρῴδου διὰ τὸ ὑπ' αὐτοῦ ζητούμενον ἀπολέσθαι « ἐν παιδίον, ὅπερ καὶ αὐτὸ κατ' ἐντολὴν ἀγγέλου[88*]

CANON XIII.

« Unde nec eos qui omnia reliquerunt propter « salutem animæ et secesserunt, licet accusare « tanquam aliis propter ipsos detentis. Nam et « Ephesi pro Paulo Gajum et Aristarchum in thea« tro comprehenderunt, una cum Paulo peregri« nantes[a], qui volebat ad populum adire : quoniam « propter ipsum qui persuaserat, et multam turbam « ad Dei cultum traduxerat, seditio facta fuerat. « *Non sciverunt eum*, inquit, *discipuli*. Quin etiam « nonnulli ex Asiarchis qui ei erant amici, misе« runt ad eum et suaserunt, ne se theatro daret. Si « qui autem cum iis contendere perrexerint, qui « animum sincerum ei adhibent, qui dicit[b] : *Dili« genter serva animam tuam, et ne retro aspexeris.* « Petrus quoque apostolorum princeps eis in men« tem revocetur, qui *jam in custodiam erat con« jectus, et traditus quatuor quaternionibus militum « ad eum servandum*[c] : qui cum noctu fugisset, et « ex Judæorum manu servatus esset, jussu angeli « Domini : *Facto*, inquit, *die erat non parvus tu« multus inter milites, quidnam factum esset Petro.* « *Herodes autem cum eum quæsivisset, et non inve« nisset, interrogatos custodes jussit suffocari*[d], pro« pter quos nulla culpa in Petrum confertur : lice« bat enim eis illo viso quod factum fuerat effuge« re ; sicut et omnes infantes qui erant in Bethle« hem[e] et in omnibus ejus finibus, si scivissent « eorum parentes quod erat futurum : qui a cru« deli homicida Herode sublati sunt, ut unus qui ab « eo quærebatur infans periret, qui et ipse jussu « angeli Dei effugit, qui celeriter jam cœperat spo« lia accipere, et acriter præpascere, secundum

C

D

[a] *Act.* XIX, 26-30. [b] *Gen.* XIX, 17. [c] *Act.* XII, 4. [d] *ibid.* 18, 19. [e] *Matth.* II, 13—16.

VARIÆ LECTIONES.

[83] πάλιν add. [83*] Παύλου οὐ βουλ. [83**] γινομένη. [84] καὶ add. [85] αὐτοῦ. [86] τῷ λέγοντι om. [86*] καὶ om. [86**] περιβλέψῃ. [87] τετραδύοις. [88] γενόμενον. [88*] ἀγγέλου deest.

(11) *Προσέχουσι τῷ λέγοντι.* Id. cod. ms., προσέχουσι, τῷ λέγοντι πεισθήτωσαν· Σώζων, κ. τ. λ. Recte. Sic enim legendum suadet mox subsequens ὑπομνησθήτωσαν. Huic geminus locus exstat infra sub finem canonis 14.

(12) *Καὶ περὶ τοῦ.* Deest præpositio in eodem ms. Ubi paulo post legitur, καὶ ῥυσθέντος ἐκ χειρὸς τοῦ φονώδους Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων, κατ' ἐντολ., ut habetur in Act. XII, 11.

(13) Ἀπαγχθῆναι. Id. ms , ἀποκτεῖναι. Textus Act. XII, 19, ἀπαχθῆναι.

Digitized by Google

« appellationem nominis, quemadmodum scriptum « est [a] : *Voca nomen ejus, celeriter spolia, velociter « depopulare, eo quod priusquam infans sciat vocare « patrem et matrem, capiet potestatem Damasci et « spolia Samariæ, coram rege Assyriorum.* Magi « ergo ut jam spoliati et prædationibus infestati « infantem humiliter et suppliciter adorant, the- « sauros suos aperientes, et ei offerentes maxime « opportuna et magnifica dona, aurum et thus et « myrrham [b], ut regi et Deo et homini : unde ad « regem Assyrium non amplius reverti voluerunt, « a Providentia vetiti. *Divinitus* enim *admoniti*, in- « quit, *in somnio ne reverterentur ad Herodem, per « aliam viam regressi sunt in regionem suam.* Unde « cum vidisset sanguinolentus Herodes se a magis « illusum, valde fuit commotus. *Et mittens*, inquit, B « *interfecit omnes infantes qui erant in Bethlehem et « in omni ejus confinio, a bimatu et infra, juxta « tempus quod a Magis diligenter didicerat* [c]. Cum « quibus, et alium prius natum infantem, cum in- « terfecturus quæsivisset et non invenisset, patrem « ejus Zachariam interfecit inter templum et alta- « re, cum effugisset filius cum matre Elisabeth. « Unde nec ullo modo reprehenduntur. »

« Κυρίου ἐξέφυγεν (14), ἤδη ἀρξάμενον ταχέως[58**] « σκυλεύειν καὶ ὀξέως προνομεύειν, κατὰ τὴν ἐπί- « κλησιν τοῦ ὀνόματος, καθὼς γέγραπται· *Κάλεσον « τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως « προνόμευσον, διότι πρὶν ἢ*[58***] *γνῶναι τὸ παιδίον « καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δα- « μασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἐναντι βασι- « λέως Ἀσσυρίων.* Οἱ γοῦν μάγοι, ὡς ἤδη σκυλευ- « θέντες καὶ προνομευθέντες, ὑποτεταγμένως καὶ τι- « μητικῶς προσκυνοῦσι τῷ παιδίῳ[59], ἀνοίγοντες « τοὺς θησαυροὺς αὐτῶν καὶ προσφέροντες αὐτῷ καιρι- « ώτατα καὶ πρεπωδέστατα[60] δῶρα, χρυσὸν καὶ λί- « βανον καὶ σμύρναν, ὡς βασιλεῖ καὶ Θεῷ καὶ ἀν- « θρώπῳ· ὅθεν οὐκέτι πρὸς τὸν Ἀσσύριον βασιλέα « ἠξιώθησαν ὑποστρέψαι, συνεργούμενοι ὑπὸ τῆς « Προνοίας· *Χρηματισθέντες* γάρ, φησί, *κατ' ὄναρ « μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι' ἄλλης ὁδοῦ « ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.* Ὅθεν[61] ἰδὼν « ὁ αἱμοβόρος Ἡρῴδης ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μά- « γων, ἐθυμώθη λίαν. *Καὶ ἀποστείλας*, φησὶν, « *ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, « καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ « κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ « τῶν Μάγων.* Μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γεννη- « θὲν ἕτερον παιδίον ζητήσας ἀποκτεῖναι, καὶ μὴ εὑρὼν, τὸν πατέρα αὐτοῦ Ζαχαρίαν ἐφόνευσε μεταξὺ « τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἐκφυγόντος τοῦ παιδὸς[61*] μετὰ τῆς μητρὸς Ἐλισάβετ· ἀφ' ὧν οὐδεμίαν « μέμψιν ἔχουσιν[62] (15). »

Bals. Si qui autem, inquit, relictis suis facultatibus secesserunt, ne detenti in periculum vocentur, ut qui forte non possint ad finem usque in confessione persistere, propter tortorum sævitiam, non culpabuntur, etiamsi alii detenti sunt propter ipsos. Et adducit in exemplum ejus rei gratia, Gajum et Aristarchum, qui pro Paulo detenti fuerunt : milites qui Petrum servabant : infantes qui ab Herode interfecti sunt propter Christum : et venerabilis sanctique Præcursoris patrem Zachariam.

ΒΑΛΣ. Εἰ δέ τινες, φησὶ, κατέλιπον τὰς περι- C ουσίας αὐτῶν καὶ ἀνεχώρησαν, ἵνα μὴ κατασχεθέντες κινδυνεύσωσιν, ἴσως μὴ δυνάμενοι μέχρι τέλους ἐμμεῖναι τῇ ὁμολογίᾳ διὰ τὴν τῶν κολαζόντων ἀπήνειαν, οὐκ ἐγκληθήσονται, κἂν καὶ ἕτεροι κατεσχέθησαν δι' αὐτούς. Καὶ παράγει χάριν τούτου εἰς παράδειγμα τὸν Γάϊον καὶ τὸν Ἀρίσταρχον, τοὺς ἀντὶ Παύλου κατασχεθέντας· τοὺς στρατιώτας τοὺς φυλάττοντας τὸν Πέτρον· τὰ νήπια τὰ παρὰ τοῦ Ἡρῴδου ἀναιρεθέντα διὰ τὸν Χριστόν· καὶ τὸν τιμίου καὶ ἁγίου Προδρόμου πατέρα Ζαχαρίαν.

Zonar. Si qui autem, inquit, suas reliquerunt possessiones ac secesserunt, ne detenti periclitarentur, quia forte ob tortorum sævitiam in confessione ad finem usque persistere haud possint, etiamsi ipsorum causa alii detenti ac pœnis affecti fuerint, minime sunt accusandi. Rursumque exemplum ex apostolicis Actis adducit, dicens Ephesi quoque pro Paulo comprehensos fuisse Gajum et D Aristarchum ; nec tamen ob id accusatum Paulum : neque Petrum ab angelo e custodia eductum, cum is quidem effugit periculum ; qui vero illum custodiebant milites, ob illum supplicio affecti sunt. Mox aliud quoque exemplum ex Evangelio adhibet, eorum qui ab Herode interfecti sunt puerorum ;

ΖΩΝΑΡ. Εἰ δέ τινες, φησὶ, κατέλιπον τὰς περιουσίας αὐτῶν καὶ ἀνεχώρησαν, ἵνα μὴ κατασχεθέντες κινδυνεύσωσιν, ἴσως μὴ δυνάμενοι μέχρι τέλους ἐμμεῖναι τῇ ὁμολογίᾳ διὰ τὴν τῶν κολαζόντων ἀπήνειαν, οὐκ ἐγκληθήσονται, οὐδὲ εἰ δι' αὐτοὺς ἕτεροι κατεσχέθησαν καὶ ἐκολάσθησαν. Καὶ πάλιν ἀπὸ τῶν Πράξεων ἐπάγει παράδειγμα λέγων, ὅτι καὶ ἐν Ἐφέσῳ ἀντὶ τοῦ Παύλου συνηρπάγησαν Γάϊος καὶ Ἀρίσταρχος· ἀλλ' ὁ Παῦλος διὰ τοῦτο οὐκ ἠτιάθη· οὔτε ὁ Πέτρος ὑπὸ ἀγγέλου τῆς φυλακῆς ἐκβληθεὶς, ὅτε ἐκεῖνος μὲν διέδρα τὸν κίνδυνον, οἱ δὲ φυλάσσοντες αὐτὸν στρατιῶται δι' ἐκεῖνον ἐκολάσθησαν. Καὶ ἀπὸ τοῦ Εὐαγγελίου ὑποδείγματι κέχρηται τοῖς ὑπὸ τοῦ Ἡρῴδου ἀναιρεθεῖσι παισί· δι' ἃ, φησὶν, οὐκ

[a] *Isa.* VIII, 3, 4. [b] *Matth.* II, 11-13. [c] *ibid.* 16.

VARIÆ LECTIONES.

[58**] ὀξέως. [58***] ἢ om. [59] τὸ παιδίον. [60] καιριώτερα καὶ πρεπωδέστερα. [61] ἔνθεν. [61*] παιδίου. [62] ἐφ'... ἔσχον.

(14) *Ἐξέφυγεν.* Ms., ἐξέφυγε· μεθ' ὧν καὶ τὸ πρὸ αὐτοῦ γεννηθὲν παιδίον, κ. τ. λ., sub finem canonis. Reliqua intermedia desunt in codice. Neque sane Balsamon et Zonaras ea legisse videntur.

(15) *Ἀφ' ὧν ... ἔχουσιν.* Ms., ἐφ' ᾧ ... ἔσχον.

Digitized by Google

ἠτιάθη ὁ Κύριος· καὶ τῆς Ἐλισάβετ φυγούσης μετὰ Ἰωάννου, καὶ παραφυλαξάσης αὐτὸν, ὁ πατὴρ αὐτοῦ Ζαχαρίας ἀνῃρέθη, τὸν υἱὸν ἀπαιτούμενος, ἀλλ' ὁ Ἰωάννης διὰ τοῦτο οὐκ ἠτιάθη.

A quam ob rem, inquit, haud accusatus est Dominus. Cumque fugisset Elisabeth cum Joanne, ipsumque servasset, interfectus est Zacharias, a quo efflagitabatur puer, neque id Joanni crimini est datum.

ΚΑΝΩΝ ΙΔ'.

(24) Ἀποσυνάγωγος ἔμεινε τριῶν ἐπισκόπων. Hujus verbi vim non intellexerunt interpretes. Quos secutus Baronius ad annum 318 scribit, Lucianum a tribus episcopis sibi continue succedentibus, Ecclesia ejectum fuisse. Atqui non hoc dicit Alexander, sed tantum ait Lucianum schisma fecisse in Antiochensi Ecclesia, et sub tribus episcopis continue sibi succedentibus collectas seorsum celebrasse. Id enim significat vox ἀποσυνάγωγος. Itaque Epiphanius Scholasticus non male hunc locum interpretatus est hoc modo, *cui succedens Lucianus, extra synanogas mansit trium episcoporum plurimo tempore.* Basilius in epistola prima ad Amphibolochium παρασυναγωγὴν usurpat eodem sensu, ubi distinguit inter hæresim, et schisma, et παρασυναγωγὴν. Παρασυναγωγὰς autem ait esse illegitimos conventus, qui fiunt ab immorigeris presbyteris vel episcopis et laicis. Verbi gratia, si quis criminis convictus, et a ministerio sacro suspensus, judicio non pareat, sed ministerium suum obire velit, et populum colligat. Inter παρασυναγωγὴν autem et schisma parum distat. Porro causa schismatis Luciano fuit doctrina Pauli Samosatensis quam defendebat, ut docet Alexander. Cujus gratia diu separavit se a tribus episcopis, Domno, Tymæo ac Cyrillo. Tantum vero ad unitatem Ecclesiæ reversus est, ut ex Alexandro colligitur. Neque enim eum usque ad exitum vitæ in schismate mansisse Alexander scribit, sed tantum longo tempore separatum fuisse. Cæterum hanc vocem ἀποσυνάγωγος mutuatus est Alexander ex Joannis Evangelio, cap. xvi, ubi Christus prædicit apostolis suis, quod Judæi ipsos e synagogis suis ejecturi essent, ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς.

(25) Ἐν Συρίᾳ χειρ. ἐπίσκοποι τρεῖς. Intelligit Eusebium Cæsareæ Palæstinæ episcopum, Theodotum Laodiceæ et Paulinum Tyri. Hos enim anathemate damnatos fuisse ab Alexandro Alexandriæ episcopo, testatur Arius in epistola ad Eusebium Nicomediensem episcopum, quæ refertur a Theodorito, *Hist. eccl.* lib. i, cap. 5.

(26) Ὑπανακείσθω. In codice Leonis Allatii, et in Regio J. Pini, et in editione Basiliensi legitur ἀνακείσθω. Quomodo etiam scribitur apud Nicephorum.

(27) Τὰς τῇ ὑποστάσει δύο φύσεις. Duas naturas dicit Alexander, non simpliciter et absolute duas, sed personaliter duas, eo quod in duabus personis exsistat una natura. Quare φύσις ἐν ὑποστάσει idem est quod persona.

Digitized by Google

est id quod sancti dicunt in Psalmis : *In lumine tuo videbimus lumen* [27]. Quocirca qui honore afficit Filium, simul honore afficit Patrem ; et qui honorat Patrem, honorat etiam Filium [28] : et quidem merito. Omne enim impium verbum quod profertur in Filium, ad personam Patris pertinet.

X. Post hæc vero, fratres charissimi, cui mirum videatur id quod scripturus sum, si calumnias ab illis conflctas adversus me et adversus religiosissimam plebem exposuero? Nam qui divinitatem Filii Dei oppugnare aggressi sunt, nos quoque ingrato animo conviciis appetere non verentur. Qui nec ullos ex antiquis sibi comparari volunt : nec eos quibus nos ab ineunte ætate magistris usi sumus, exæquari sibi patiuntur. Sed nec ullum ex omnibus qui hodie sunt collegæ nostri, ad mediocrem scientiam pervenisse censent : solos sapientes ac nihil possidentes, solos dogmatum inventores se esse jactantes, sibique solis ea revelata esse, quæ nemini unquam eorum qui sub cœlo sunt, in mentem venerint. O impiam arrogantiam! o vesaniam immensam! o inanem gloriam, atra bile percitis convenientem! o superbia Satanæ, quæ sceleratis eorum mentibus insedit! Non illis pudorem incussit veterum Scripturarum perspicuitas religiosa : nec collegarum nostrorum consentiens de Christo doctrina audaciam eorum adversus illum repressit. Quorum impietatem ne ipsi quidem dæmones laturi sunt, quippe qui cavent, ne quam adversus Filium Dei impiam vocem emittant.

XI. Atque hæc pro virili parte nunc a nobis disputata sint adversus eos qui in imperita materia tanquam in pulvere volutati, Christum impugnare aggressi sunt, et nostram erga illum pietatem calumniari instituerunt. Aiunt enim isti ineptarum fabularum inventores nos, qui impiam et nullo Scripturarum testimonio fultam blasphemiam ex non exstantibus aversamur, duo ingenita asserere. Duorum enim alterum necessario esse dicendum affirmant imperiti : aut illum ex non exstantibus esse, aut certe duo esse ingenita : nec intelligunt rudes atque ignari, multum interesse inter Patrem ingenitum, et res ab illo creatas ex nihilo, tam ratio-

A *ὑψόμεθα φῶς*. Διὸ δὴ καὶ ὁ τιμῶν τὸν Υἱὸν, τιμᾷ τὸν Πατέρα (28), καὶ εἰκότως· πᾶσα γὰρ ἀσεβὴς φωνὴ εἰς τὸν Υἱὸν λέγεσθαι τολμωμένη, εἰς τὸν Πατέρα τὴν ἀναφορὰν ἔχει.

X. Καὶ τί λοιπὸν ἔτι θαυμαστὸν ὃ μέλλω γράφειν, ἀγαπητοὶ, εἰ τὰς κατ' ἐμοῦ ψευδεῖς διαβολὰς καὶ τοῦ εὐσεβεστάτου ἡμῶν λαοῦ ἐκθήσομαι; Οἱ γὰρ κατὰ τῆς θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ παραταξάμενοι, οὐδὲ τὰς καθ' ἡμῶν ἀχαρίστους παροινίας παραιτοῦνται λέγειν· οἵ γε οὐδὲ τῶν ἀρχαίων τινὰς συγκρίνειν ἑαυτοῖς ἀξιοῦσιν, οὐδὲ οἷς ἡμεῖς ἐκ παίδων ὡμιλήσαμεν διδασκάλοις, ἐξισοῦσθαι ἐνέχονται. Ἀλλ' οὐδὲ τῶν νῦν πανταχοῦ συλλειτουργῶν τινα εἰς μέτρον σοφίας B ἡγοῦνται· μόνοι σοφοὶ καὶ ἀκτήμονες, καὶ δογμάτων εὑρεταὶ λέγοντες εἶναι, καὶ αὐτοῖς ἀποκεκαλύφθαι μόνοις, ἅπερ οὐδενὶ τῶν ὑπὸ τὸν ἥλιον ἑτέρῳ πέφυκεν ἐλθεῖν εἰς ἔννοιαν. Ὦ ἀνοσίου τύφου καὶ ἀμέτρου μανίας, καὶ μελαγχολικῆς ἡρμοσμένης δόξης (29) κενῆς, καὶ σατανικοῦ φρονήματος, εἰς τὰς ἀνοσίους αὐτῶν ψυχὰς ἀποσκιρώσαντος (30)! Οὐ κατῇδεσεν αὐτοὺς ἡ τῶν ἀρχαίων Γραφῶν φιλόθεος σαφήνεια· οὐδὲ ἡ τῶν συλλειτουργῶν σύμφωνος περὶ Χριστοῦ εὐλάβεια τὴν κατ' αὐτοῦ θρασύτητα αὐτῶν ἡμαύρωσεν (31). Ὧν οὐδὲ τὰ δαιμόνια τῆς ἀνοσιουργίας ἀνέξεται, φωνὴν βλάσφημον κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰπεῖν φυλαττόμενα.

C XI. Ταῦτα μὲν οὖν ἡμῖν κατὰ τὴν παροῦσαν δύναμιν ἐπαπορείσθω, πρὸς τοὺς ἀπαιδεύτῳ ὕλῃ (32) κατὰ τοῦ Χριστοῦ κονισαμένους, καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν ἡμῶν συκοφαντεῖν προθεμένους. Φασὶ γὰρ ἡμᾶς οἱ φληνάφων ἐφευρεταὶ μύθων, ἀποστρεφομένους τὴν ἐξ οὐκ ὄντων ἀσεβῆ καὶ ἄγραφον κατὰ Χριστοῦ βλασφημίαν, ἀγέννητα διδάσκειν δύο. Δυοῖν θάτερον λέγοντες δεῖν εἶναι οἱ ἀπαίδευτοι, ἢ ἐξ οὐκ ὄντων αὐτὸν εἶναι φρονεῖν, ἢ πάντως ἀγέννητα λέγειν δύο· ἀγνοοῦντες οἱ ἀνάσκετοι, ὡς μακρὸν ἂν εἴη μεταξὺ Πατρὸς ἀγεννήτου, καὶ τῶν κτισθέντων ὑπ' αὐτοῦ ἐξ οὐκ ὄντων, λογικῶν τε καὶ ἀλόγων. Ὧν μεσιτεύουσα φύσις μονογενὴς (33), δι' ἧς τὰ ὅλα ἐξ οὐκ

[27] *Psal.* xxxv, 10. [28] *Joan.* v, 23.

(28) *Τιμᾷ τὸν Πατέρα.* Epiphanius Scholasticus quædam hic addit quæ non leguntur in Græco. Sic enim habet : *Quapropter et qui honorat Patrem, honorat et Filium, et qui honorat Filium, honorat et Patrem, et recte.* Quam lectionem confirmant sequentia. Itaque error videtur librariorum, qui hanc pericopen omiserunt decepti vocum similitudine.

(29) *Καὶ μελαγχολικῆς ἡρμοσμένης δόξης.* Lego μελαγχολικοῖς, quemadmodum edidit Jacobus Sirmundus : cujus tamen factum probare non possum, in eo quod lectionem nullius scripti codicis auctoritate firmatam in textum admittere non dubitavit : quam ad latus editionis suæ rejicere, aut in adnotationibus referre potius conveniebat. Apud Nicephorum, in lib. VIII, cap. 7, legitur καὶ μελαγχολικῆς δόξης, omissa voce ἡρμοσμένης.

(30) *Ἀποσκιρώσαντος.* In manuscripto codice Henrici Savilii scriptum est ἐνσκηνώσαντος. Epiphanius Scholasticus legisse videtur ἀποσκιρτήσαντος. Sic enim vertit : *Sapientia Satanæ in animas eorum nequissimas vehementer insiliens.*

(31) *Ἠμαύρωσεν.* Codex Leonis Allatii habet ἠμέρωσεν. Atque ita prorsus legit Epiphanius Scholasticus, ut ex interpretatione ejus apparet. Sic enim vertit : *Non comministrorum concors reverentia de Christo, ferocitatem eorum mansuefecit.*

(32) *Ἀπαιδεύτῳ ὕλῃ.* Sic vocat dialecticas argumentationes, quibus utebatur Arius adversus Christi divinitatem. In codice tamen Allatii pro ὕλῃ legitur ὑλακῇ, id est *latratu*, quod non probo.

(33) *Ὧν μεσιτεύουσα φύσις μονογενὴς.* Benigne intelligendum est quod hoc loco ait Alexander, naturam unigenitam mediam esse inter Patrem ingenitum et creaturas. Ubi naturam sumit pro persona. Intelligit enim φύσιν ἐν ὑποστάσει, ut paulo ante locutus est Alexander. Mediam autem vocat

Digitized by Google

ὄντων ἐποίησεν ὁ Πατὴρ τοῦ Θεοῦ Λόγου· ἢ ἐξ αὐτοῦ τοῦ ὄντος Πατρὸς γεγέννηται· ὡς καὶ αὐτός που διεμαρτύρατο λέγων ὁ Κύριος, *Ὁ ἀγαπῶν τὸν Πατέρα, ἀγαπᾷ καὶ τὸν Υἱὸν τὸν γεγεννημένον ἐξ αὐτοῦ.*

nales quam rationis expertes. Inter quæ duo medium obtinens unigenita natura Dei Verbi per quam Pater universa condidit ex nihilo, ex ipso vero Patre progenita est. Sicut ipse Dominus quodam loco testatus est his verbis [29] : *Qui diligit Patrem, diligit etiam Filium qui ex eo genitus est.*

XII. Περὶ ὧν ἡμεῖς οὕτως πιστεύομεν, ὡς τῇ ἀποστολικῇ Ἐκκλησίᾳ δοκεῖ· Εἷς μόνον ἀγέννητον Πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον ἔχοντα, ἄτρεπτόν τε καὶ ἀναλλοίωτον, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα, οὔτε προκοπὴν, οὔτε μείωσιν ἐπιδεχόμενον· Νόμου καὶ Προφητῶν καὶ Εὐαγγελίων δοτῆρα, πατριαρχῶν καὶ ἀποστόλων, καὶ ἁπάντων ἁγίων Κύριον. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, γεννηθέντα οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ τοῦ ὄντος Πατρὸς, οὐ κατὰ τὰς τῶν σωμάτων ὁμοιότητας, ταῖς τομαῖς ἢ ταῖς ἐκ διαιρέσεων ἀπορρύοιαις, ὥσπερ Σαβελλίῳ καὶ Βαλεντίνῳ δοκεῖ· ἀλλ' ἀῤῥήτως καὶ ἀνεκδιηγήτως, κατὰ τὸν εἰπόντα, ὡς ἀνωτέρω παρεθήκαμεν, *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;* Τῆς ὑποστάσεως αὐτοῦ πάσῃ τῇ γεννητῇ φύσει (34) ἀπεριεργάστου τυγχανούσης, καθὼς καὶ αὐτὸς ὁ Πατὴρ ἀπεριέργαστός ἐστι, διὰ τὸ μὴ χωρεῖν τὴν τῶν λογικῶν φύσιν, τῆς πατρικῆς θεογονίας τὴν εἴδησιν· ἅπερ οὐ παρ' ἐμοῦ δεῖ μαθεῖν ἄνδρας τῷ τῆς ἀληθείας πνεύματι κινουμένους, ὑπηχούσης ἡμᾶς καὶ τῆς φθασάσης Χριστοῦ περὶ τούτου φωνῆς καὶ διδασκούσης· *Οὐδεὶς οἶδε τίς ἐστιν ὁ Πατὴρ, εἰ μὴ ὁ Υἱός· καὶ οὐδεὶς οἶδε τίς ἐστιν ὁ Υἱὸς, εἰ μὴ ὁ Πατήρ.* Ἄτρεπτον τοῦτον καὶ ἀναλλοίωτον ὡς τὸν Πατέρα, ἀπροσδεῆ, καὶ τέλειον Υἱὸν, ἐμφερῆ τῷ Πατρὶ μεμαθήκαμεν, μόνῳ τῷ ἀγεννήτῳ λειπόμενον ἐκεῖνον. Εἰκὼν γάρ ἐστιν ἀπηκριβωμένη, καὶ ἀπαράλλακτος τοῦ Πατρός. Πάντων γὰρ εἶναι τὴν εἰκόνα (35) πλήρη, δι' ὧν ἡ μείζων ἐμφέρεια δῆλον, ὡς αὐτὸς ἐπαίδευσεν ὁ Κύριος· *Ὁ Πατήρ μου,* λέγων, *μείζων μου ἐστί.* Καὶ κατὰ τοῦτο καὶ τὸ ἀεὶ εἶναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς πιστεύομεν. *Ἀπαύγασμα* γάρ *ἐστι τῆς δόξης, καὶ χαρακτὴρ τῆς* πατρικῆς *ὑποστάσεως.* Ἀλλὰ μή τις τὸ *ἀεὶ* πρὸς ὑπόνοιαν Ἀγεννήτου λαμβανέτω, ὡς οἴονται οἱ τὰ ψυχῆς αἰσθητήρια πεπηρωμένοι. Οὔτε γὰρ τὸ *ἦν,* οὔτε τὸ *ἀεὶ,* οὔτε τὸ *πρὸ αἰώνων,* ταὐτόν ἐστι τῷ Ἀγεννήτῳ. Ἀλλ' οὐδ' ὁτιοῦν ἀνθρώπων ἔννοια ὀνοματοποιῆσαι σπουδάσει, δηλοῖ τὸ ἀγέννητον. Ὡς καὶ ὑμᾶς οὕτως ἐκδέχεσθαι πιστεύω, καὶ τεθάῤῥηκα τῇ περὶ πάντων ὑμῶν ὀρθῇ προθέσει, κατὰ μηδένα τρόπον τούτων τῶν ὀνομάτων τὸ ἀγέννητον δηλούντων. Ἔοικε γὰρ

XII. De quibus nos ita credimus, quemadmodum apostolica sentit Ecclesia : In unum ingenitum Patrem, qui a nullo causam habet essentiæ suæ : nec conversioni obnoxium nec mutationi, qui semper eodem modo se habet, nec profectum nec diminutionem admittit : qui Legem et Prophetas et Evangelia nobis dedit : qui Dominus est patriarcharum et apostolorum sanctorumque omnium. Et in unum Dominum Jesum Christum, Filium Dei unigenitum : non ex nihilo genitum, sed ex eo qui Pater est ; non corporum more, per incisiones aut defluxus divisionum, quemadmodum Sabellio videtur et Valentino, sed inexplicabili et inenarrabili quodam modo, juxta prophetæ verba [30] quæ supra retulimus : *Generationem ejus quis enarrabit?* Quippe cum ejus subsistentiam nulla mortalis natura pervestigare possit, sicut nec Pater ab ullo investigari potest ; propterea quod rationalis natura modum divinæ illius ex Patre generationis percipere haudquaquam valet. Verum homines qui Spiritu veritatis moventur, non opus habent ista a me discere, cum auribus nostris insonent verba jam olim a Christo hac de re prolata, nosque ita doceant : *Nemo novit Patrem nisi Filius, et nemo novit quis sit Filius nisi Pater* [31]. Hunc conversionis ac mutationis expertem perinde ac Patrem, nullius egentem, et perfectum Filium, Patrisque similem esse didicimus, hoc solo inferiorem Patre, quod ingenitus non est. Est enim imago Patris exactissima et in nullo discrepans. Quippe liquet, eum imaginem esse plene omnia continentem, quibus maxima similitudo declaratur, sicut ipse Dominus docuit, cum ait : *Pater major me est* [32]. Et secundum hoc Filium e Patre semper exsistere credimus. *Est* enim *splendor* paternæ *gloriæ, et figura substantiæ ejus* [33]. Sed nemo eam vocem *semper* ad suspicionem trahat Ingeniti, sicut existimant ii qui sensus animi obcæcatos habent. Nam nec verbum *erat*, nec *semper*, nec *ante sæcula* idem est quod Ingenitum. Sed neque aliud ullum vocabulum humana mens comminisci potest quod significet ingenitum. Atque ita vos intelligere credo, vestroque in omnibus re-

[29] *I Joan.* v, 1. [30] *Isa.* LIII, 8. [31] *Matth.* XI, 27. [32] *Joan.* XIV, 28. [33] *Hebr.* I, 3.

naturam unigenitam, non quod Unigenitus inferior sit Patre, sed quod per illum omnia facit Pater, ut ait Joannes evangelista. Unde δι' οὗ proprie tribuitur Filio, quemadmodum notat Basilius in libro *De Spiritu sancto.*

(34) *Πάσῃ τῇ γεννητῇ φύσει.* Malim scribere γενητῇ, quemadmodum legisse videtur Epiphanius. Vertit enim, *omni creatæ naturæ imperscrutabili*, etc.

(35) *Πάντων γὰρ εἶναι τὴν εἰκόνα.* In codice Saviliano et in editione Basiliensi verbum interseritur hoc modo, πάντων γὰρ εἶναι δεῖ τὴν εἰκόνα πλήρη. Atque ita legisse videtur Epiphanius Scholasticus. Sic enim vertit, *et omnino imaginem convenit esse plenam eorum, per quæ non desit aliquid ab æqualitate ejus cujus imago est.* Sed et Christophorsonus eamdem scripturam in libris suis reperierat, nisi quod δεῖν in illis exemplaribus legebatur, melius fortasse. Refertur enim ad vocem δῆλον quæ sequitur. Quod si δεῖ legere malimus, tum scribendum erit δηλοῦται, ut legitur in codice Leonis Allatii, pro δῆλον.

Digitized by Google

cto consilio ac proposito confido, quandoquidem hæc verba nullatenus ingenitum significant. Etenim hæc verba nihil aliud videntur esse quam temporis productio : sed divinitatem, et quasi antiquitatem Unigeniti pro dignitate exprimere non possunt : a sanctis autem viris prolata sunt, dum singuli hoc mysterium pro captu suo nituntur exprimere, veniam petentes ab auditoribus, cum justa ac probabili excusatione dicendo : Huc usque pertigimus. Quod si qui sunt, qui ab ore mortali vocem aliquam exspectent præstantiorem humano sensu captuque, abolita esse, dicentes, ea quæ ipsis ex parte sunt cognita ; longe profecto inferius est illorum spe atque exspectatione verbum *erat*, et *semper*, et *ante sæcula*. Et quidquid tandem prolatum fuerit, non idem est cum Ingenito. Itaque Patri quidem ingenito propriam dignitatem servare oportet, nullam eum habere exsistentiæ suæ causam profitendo : Filio vero competens honor tribuendus est, principio carentem ex Patre generationem ei assignando, cultumque ei, sicut diximus, exhibendo ; ita ut tantummodo *erat*, et *semper*, et *ante sæcula*, pie ac religiose de illo prædicemus : divinitatem quidem ejus nequaquam rejicientes, sed imagini atque exemplari Patris respondentem in omnibus similitudinem ei ascribentes. Solum vero ingenitum Patris proprium esse dicamus, cum et ipse Servator dixerit [34] : *Pater major me est*. Præter hanc autem piam de Patre et Filio sententiam, unum insuper Spiritum sanctum, ut divinæ Scripturæ nos docent, confitemur ; qui et sanctos homines Veteris Testamenti, et divinos doctores ejus quod Novum appellatur, innovavit. Unam præterea ac solam catholicam, apostolicam Ecclesiam : quæ semper quidem inexpugnabilis est, licet universus orbis eam oppugnet : victrix autem est omnis impiæ factionis hæreticorum, qui adversus ipsam consurgunt. Quippe Sponsus illius animos nostros confirmavit his verbis : *Confidite, ego vici mundum* [35]. Ad hæc novimus resurrectionem mortuorum ; cujus primitiæ fuit Dominus noster Jesus Christus, qui carnem revera gestavit, non sola specie, sumptam ex Maria Deipara : qui in fine sæculorum, ut peccatum tolleretur, ad humanum genus advenit, crucique fixus et mortuus est : nec tamen idcirco divinitatis suæ detrimentum sensit : suscitatus ex mortuis, assumptus in cœlum, sedensque ad dexteram majestatis.

A οἱονεὶ χρόνων εἶναι παρέκτασις ταῦτα τὰ ὀνόματα, τὴν μέντοι κατ' ἀξίαν τοῦ Μονογενοῦς θεότητα, καὶ οἷον ἀρχαιότητα σημαίνειν μὴ δυνάμενα· τῶν δὲ ἁγίων ἀνδρῶν ὡς δύναμις ἑκάστῳ ἐμφανίσαι τὸ μυστήριον βιαζομένων, καὶ συγγνώμην αἰτούντων παρὰ τῶν ἀκροατῶν δι' εὐλόγου ἀπολογίας, (36) διὰ τοῦ λέγειν· Εἰς ἃ ἐφθάσαμεν. Εἰ δέ τι παρὰ τὸ ἀνθρώπινον, διὰ χειλέων φθέγμα μεῖζόν τι προσδοκῶσιν οἱ ἄνδρες, τὰ ἐκ μέρους αὐτοῖς γνωρισθέντα (37) καταργεῖσθαι λέγοντες, δῆλον ὅτι πολὺ τοῦ ἐλπιζομένου λείπεται τὸ *ἦν*, καὶ τὸ *ἀεί*, καὶ τὸ *πρὸ αἰώνων*· ὅπερ δ' ἂν ᾖ, οὐκ ἔστι ταὐτὸν τῷ Ἀγεννήτῳ. Οὐκοῦν τῷ μὲν ἀγεννήτῳ Πατρὶ, οἰκεῖον ἀξίωμα φυλακτέον, μηδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον λέγοντας· τῷ δὲ Υἱῷ τὴν ἁρμόζουσαν τιμὴν ἀπονεμητέον, τὴν ἀνάρχον αὐτῷ παρὰ B τοῦ Πατρὸς γέννησιν ἀνατιθέντας, καὶ ὡς ἐφθάσαμεν, αὐτῷ *σέβας* ἀπονέμοντες, μόνον εὐσεβῶς καὶ εὐφήμως τὸ *ἦν*, καὶ τὸ *ἀεί*, καὶ τὸ *πρὸ αἰώνων* λέγοντες ἐπ' αὐτοῦ· τὴν μέντοι θεότητα αὐτοῦ μὴ παραιτούμενοι, ἀλλὰ τῇ εἰκόνι καὶ τῷ χαρακτῆρι τοῦ Πατρὸς ἀπηκριβωμένην ἐμφέρειαν κατὰ πάντα ἀνατιθέντες. Τὸ δὲ ἀγέννητον τῷ Πατρὶ μόνον ἰδίωμα (38) παρεῖναι δοξάζοντες, ἅτε δὲ καὶ αὐτοῦ φάσκοντος τοῦ Σωτῆρος· *Ὁ Πατήρ μου μείζων μου ἐστί*. Πρὸς δὲ τῇ εὐσεβεῖ ταύτῃ περὶ Πατρὸς καὶ Υἱοῦ δόξῃ, καθὼς ἡμᾶς αἱ θεῖαι Γραφαὶ διδάσκουσιν, ἓν Πνεῦμα ἅγιον ὁμολογοῦμεν, τὸ καινίσαν (39) τούς τε τῆς Παλαιᾶς Διαθήκης ἁγίους ἀνθρώπους, καὶ τοὺς τῆς χρηματιζούσης Καινῆς παιδευτὰς θείους. Μίαν καὶ μόνην καθολικὴν, τὴν ἀποστολικὴν Ἐκκλησίαν· ἀκαθαίρετον μὲν ἀεὶ, κἂν πᾶς ὁ κόσμος αὐτῇ πολεμεῖν βουλεύηται (40)· νικηφόρον δὲ πάσης τῆς τῶν ἑτεροδόξων ἀσεβεστάτης ἐπαναστάσεως, εὐθαρσεῖς ἡμᾶς κατασκευάσαντος (41) τοῦ Οἰκοδεσπότου αὐτῆς, διὰ τοῦ βοᾷν· *Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον*. Μετὰ τοῦτο τὴν ἐκ νεκρῶν ἀνάστασιν οἴδαμεν· ἧς ἀπαρχὴ γέγονεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, σῶμα φορέσας ἀληθῶς καὶ οὐ δοκήσει, ἐκ τῆς Θεοτόκου Μαρίας, ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας ἐπιδημήσας τῷ γένει τῶν ἀνθρώπων, σταυρωθεὶς καὶ ἀποθανὼν, ἀλλ' οὐ διὰ ταῦτα τῆς ἑαυτοῦ θεότητος ἧττων γεγενημένος· ἀναστὰς ἐκ νεκρῶν, ἀναληφθεὶς ἐν οὐρανοῖς, καθήμενος ἐν δεξιᾷ τῆς μεC γαλωσύνης. D

[34] *Joan.* XIV, 28. [35] *Joan.* XVI, 33.

(36) *Διὰ τοῦ λέγειν· Εἰς ἃ ἐφθάσαμεν*. Hic locus ita cum Christophorsono dilucidius vertendus videtur : *Eatenus de his rebus instituimus, quatenus mentis nostræ vis consequi potuit.*

(37) *Τὰ ἐκ μέρους αὐτοῖς γνωρισθέντα*. In mss. codicibus Regio, Allatiano et Saviliano, et in editione Basiliensi scriptum est γνωσθέντα. Videtur autem alludere Alexander ad locum Pauli apostoli in Epistola prima ad Corinth., *ex parte cognoscimus et ex parte prophetamus*. Ita certe hunc locum exposuit Epiphanius Scholasticus.

(38) *Τῷ Πατρὶ μόνον ἰδίωμα*. In codice Leonis Allatii scriptum est μόνῳ. Sed reliqui codices vulgatam scripturam tuentur.

(39) *Τὸ καινίσαν*. In codice Leonis Allatii et in Regio J. Pini scriptum est κινῆσαν, quam scripturam licet reliqui codices refutent, haud tamen spernendam puto.

(40) *Αὐτῇ πολεμεῖν βουλεύηται*. In manuscripto codice Savilii, et in editione Basiliensi scriptum est βούληται. Sed et in codice J. Pini scriptum inveni πολεμεῖν αὐτῇ βούληται.

(41) *Εὐθαρσεῖς ἡμᾶς κατασκευάσαντος*. Magis placet scriptura, quam in codice Allatiano, et in Basiliensi editione reperi, κατασκευάζοντος. Confirmat hanc lectionem Epiphanius Scholasticus, qui sic vertit, *securos nos faciente patrefamilias ejus*, etc. In codice item regio J. Pini ita scribitur.

Digitized by Google

XIII. Ταῦτα ἐκ μέρους ἐνεχάραξα τῇ ἐπιστολῇ, τὸ καθ' ἕκαστον ἐπ' ἀκριβείας γράφειν, φορτικὸν, ὡς ἔφην, εἶναι νομίσας, διὰ τὸ μηδὲ τὴν ἱερὰν ὑμῶν ταῦτα λεληθέναι σπουδήν. Ταῦτα διδάσκομεν, ταῦτα κηρύττομεν. Ταῦτα τῆς Ἐκκλησίας τὰ ἀποστολικὰ δόγματα, ὑπὲρ ὧν καὶ ἀποθνήσκομεν, τῶν ἐξόμνυσθαι αὐτὰ βιαζομένων ἧττον πεφροντικότες, εἰ καὶ διὰ βασάνων ἀναγκάζουσι, τὴν ἐν αὐτοῖς ἐλπίδα μὴ ἀποστρεφόμενοι. Ὧν ἐναντίοι γενόμενοι οἱ ἀμφὶ τὸν Ἄρειον καὶ Ἀχιλλᾶν καὶ οἱ τῆς ἀληθείας σὺν αὐτοῖς πολέμιοι, ἀπεώσθησαν τῆς Ἐκκλησίας, ἀλλότριοι γενόμενοι τῆς εὐσεβοῦς ἡμῶν διδασκαλίας, κατὰ τὸν μακάριον Παῦλον λέγοντα· *Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, κἂν ἄγγελος ἐξ οὐρανοῦ εἶναι προσποιῆται.* Ἀλλὰ καὶ, *Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται τοῖς ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται, μηδὲν ἐπιστάμενος*, καὶ τὰ ἑξῆς. Τούτους οὖν ἀναθεματισθέντας ἀπὸ τῆς ἀδελφότητος, μηδεὶς ὑμῶν δεχέσθω, μηδὲ ἀνεχέσθω τῶν λεγομένων ἢ γραφομένων ὑπ' αὐτῶν. Πάντα γὰρ οἱ γόητες ψεύδονται, ἀλήθειαν οὐ μὴ λαλήσουσι. Περιέρχονται γὰρ τὰς πόλεις, οὐδὲν ἕτερον σπουδάζοντες, ἢ τῷ τῆς φιλίας προσχήματι καὶ τῷ τῆς εἰρήνης ὀνόματι, δι' ὑποκρίσεως καὶ κολακείας γράμματα διδόναι καὶ λαμβάνειν, πρὸς τὸ πλανᾶν διὰ τούτων τὰ ὑπ' αὐτῶν *ἠπατημένα ὀλίγα γυναικάρια, σεσορευμένα ἁμαρτίαις*, καὶ τὰ ἑξῆς.

A XIII. Hæc ex parte perscripsi in hac epistola, singula accurate persequi importunum arbitratus, ut antea dixi, eo quod religiosam vestram diligentiam non lateant. Hæc docemus, hæc prædicamus. Hæc sunt apostolica Ecclesiæ dogmata, pro quibus mortem quoque libenter oppetimus, parvi facientes eos qui nos ista negare compellunt, spemque in iis positam non abjicientes, licet isti tormentis adhibitis vim afferant. Quibus adversantes Arius et Achillas, et qui cum illis sunt hostes veritatis, Ecclesia expulsi sunt, utpote alieni a nostra pia doctrina, juxta beatum Paulum, qui ait [36]: *Si quis vobis evangelizaverit præter id quod accepistis, anathema sit; licet angelum de cœlo se esse* simulet. Sed et, *Si quis aliud doceat, et non acquiescat sa-*
B *cris sermonibus Domini nostri Jesu Christi, et ei quæ secundum pietatem est doctrinæ; is inflatur nihil sciens* [37]: et quæ sequuntur. Hos igitur ab universis fratribus anathematizatos nemo vestrum suscipiat, nec ea quæ ab illis aut dicuntur aut scribuntur admittat. Omnia enim mentiuntur præstigiatores, nec veritatem unquam loquentur. Circumeunt siquidem civitates, nihil aliud molientes, quam ut amicitiæ specie et sub nomine pacis, per simulationem et blanditias dent litteras atque accipiant; quibus *mulierculas paucas ab ipsis deceptas et peccatis onustas in errorem inducant* [38] et cætera.

XIV. Τούτους οὖν τοὺς τὰ τοσαῦτα κατὰ Χριστοῦ τολμήσαντας, τοὺς τὸν Χριστιανισμὸν τοῦτο μὲν δημοσίᾳ διασύραντας, τοῦτο δὲ ἐπὶ δικαστηρίων ἐπιδεικτικῶν φιλοτιμουμένους, τοὺς δωγμὸν ἡμῖν ἐν εἰρήνῃ τὸ ὅσον ἐπ' αὐτοῖς ἐπεγείραντας, τοὺς τὸ ἄῤῥητον μυστήριον τῆς Χριστοῦ γενέσεως ἐκνευρίσαντας, τούτους ἀποστραφέντες, ἀγαπητοὶ καὶ ὁμόψυχοι ἀδελφοὶ, σύμψηφοι γίνεσθε κατὰ τῆς μανιώδους αὐτῶν τόλμης, καθ' ὁμοιότητα τῶν ἀγανακτησάντων συλλειτουργῶν ἡμῶν, καὶ ἐπιστειλάντων μοι κατ' αὐτῶν, καὶ τῷ τόμῳ συνυπογραψάντων. Ἃ καὶ διεπεμψάμην ὑμῖν διὰ τοῦ υἱοῦ μου Ἀπίωνος τοῦ διακόνου (42), τοῦτο μὲν πάσης Αἰγύπτου καὶ Θηβαΐδος, τοῦτο δὲ Λιβύης τε καὶ Πενταπόλεως, καὶ Συρίας, καὶ ἔτι Λυκίας καὶ Παμφυλίας, Ἀσίας, Καππαδοκίας, καὶ τῶν ἄλλων περιχώρων. Ὧν καθ' ὁμοιότητα, καὶ παρ' ὑμῶν δέξασθαι πέποιθα. Πολλῶν γάρ μοι βοηθημάτων πρὸς τοὺς βλαβέντας πεπορισμένων, καὶ τοῦτο εὕρεται λυσιφάρμακον τοῦ ὑπ' αὐτῶν ἀπατηθέντος λαοῦ, πειθομένων καὶ ταῖς (43) τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσιν, εἰς μετάνοιαν διὰ τούτου ἐρχεσθαι σπουδαζόντων. Ἀσπάσασθε ἀλλήλους σὺν τῇ παρ' ὑμῶν ἀδελφότητι (44). Ἐῤῥῶσθαι ὑμᾶς ἐν Κυ-

C XIV. Hos ergo qui tot ac tanta ausi sunt contra Christum; qui Christianam religionem partim irriserunt publice, partim in judiciis traducere ac denotare student: qui pacis tempore persecutionem adversus nos, quantum in ipsis est, excitarunt; qui ineffabile mysterium generationis Christi enervarunt: hos, inquam, aversantes, charissimi atque unanimes fratres, suffragamini nobis adversus furiosam illorum audaciam, perinde ac collegæ nostri, qui indignati sunt, et nobis epistolas scripserunt adversus illos, et tomo nostro subscripserunt. Quæ etiam ad vos misi per filium meum Apionem diaconum, partim ex universa Ægypto ac Thebaide, partim ex Libya ac Pentapoli: item ex Syria, Lycia, Pamphylia, Asia, Cappadocia aliisque finitimis provinciis. Quorum exemplo a vobis quoque litte-
D ras me accepturum esse confido. Nam cum multa a me præsidia comparata sint ad sanandos eos qui læsi sunt, tum illud præcipue remedium excogitatum est ad curandam multitudinem quæ ab illis decepta est, ut collegarum nostrorum consensui obtemperent, et per hoc ad pœnitentiam redire festinent. Salutare vos invicem una cum fratribus, qui

[36] *Galat.* I, 8, 9. [37] *I Tim.* VI, 3, 4. [38] *II Tim.* III, 4.

(42) Ἀπίωνος τοῦ διακόνου. In cod. Leonis Allatii, et apud Nicephorum legitur τοῦ ἀρχιδιακόνου. Atque ita etiam legit Epiphanius Scholasticus, ut ex versione ejus apparet. Codex Regius J. Pini legit τοῦδε τοῦ διακόνου Ἀπίωνος.

(43) *Πειθομένων καὶ ταῖς.* Particula καί alieno loco posita est, et in suum locum sic restituenda, πειθομένων ταῖς τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσι, καὶ εἰς, etc.

(44) *Σὺν τῇ παρ' ὑμῶν ἀδελφότητι.* Apud Nicephorum legitur παρ' ἡμῶν, quod rectius mihi videtur.

Digitized by Google

vobiscum sunt. Opto vos in Domino valere, dilectissimi, meque ex vestra in Christum pietate fructum percipere.

ρίῳ εὔχομαι, ἀγαπητοί. Ὀναίμην ὑμῶν τῆς φιλοχριστου ψυχῆς.

—

II.

Ex Opp. S. Athanasii tom. I, part. 1, pagg. 397 seqq., edit. BB., Paris. 1698.

EXEMPLAR.

Charissimis honoratissimisque ubique Ecclesiæ catholicæ comministris, Alexander in Domino salutem.

1. Cum unum sit Ecclesiæ catholicæ corpus, in divinisque Scripturis jussum sit [9], ut concordiæ pacisque vinculum servetur; consentaneum est ut quæ a singulis geruntur invicem significemus : ut scilicet si membrum quodpiam vel patiatur vel lætetur, mutuo omnes una patiamur vel una lætemur. In nostra itaque parœcia haud ita pridem exorti sunt viri improbi, Christique adversarii, docentes defectionem, quam jure merito quis Antichristi prodromum suspicetur et vocet. Equidem volebam rem silentio tegere, ut in solis hæreseos præfectis malum absumeretur, ne in cætera loca pervadens, simpliciorum quorumdam aures contaminaret. At cum Eusebius jam Nicomediæ episcopus, ratus penes se sita esse ecclesiastica omnia, quia scilicet, postquam relicta Beryto, ambitione motus Nicomediensium invasit episcopatum, nulla hujusce ausus habita est ultio; cum ille, inquam, apostatarum istorum patrocinium susceperit, litterasque pro iis commendatitias ubique scribere aggressus sit, ut quosdam rei ignaros in hanc turpissimam Christique oppugnatricem pertrahat hæresim; necesse mihi fuit haud ignoranti quid in lege scriptum sit, non ultra rem silentio premere, sed vobis omnibus significare, ut cognoscatis tum eos qui apostatæ effecti sunt, tum inauspicata eorum hæresis verba : et si scripserit Eusebius, ne animum adhibeatis. Ille quippe cum veterem animi malitiam, quam aliquandiu occultarat, nunc eorum opera renovare studeat; sese simulat eorum gratia scribere : opere tamen comprobat, se id suapte causa agere.

[9] *Ephes.* IV, 3.

ΑΝΤΙΓΡΑΦΟΝ.

Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς ἁπανταχοῦ τῆς καθολικῆς Ἐκκλησίας, Ἀλέξανδρος ἐν Κυρίῳ χαίρειν (45).

I. Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς Ἐκκλησίας, ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις Γραφαῖς, τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστου (46) γινόμενα· ἵνα εἴτε πάσχῃ, εἴτε χαίρῃ ἓν μέλος, ἢ συμπάσχωμεν, ἢ συγχαίρωμεν ἀλλήλοις. Ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ ἐξῆλθον νῦν ἄνδρες παράνομοι καὶ Χριστομάχοι διδάσκοντες ἀποστασίαν, ἣν εἰκότως ἄν τις πρόδρομον τοῦ Ἀντιχρίστου ὑπονοήσειεν (47) καὶ καλέσειεν. Καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ τοιοῦτον, ἵν' ἴσως ἐν τοῖς (48) προστάταις μόνοις ἀναλωθῇ τὸ κακὸν, καὶ μὴ εἰς ἑτέρους τόπους διαβὰν τὸ τοιοῦτον, ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς. Ἐπειδὴ δὲ Εὐσέβιος ὁ νῦν ἐν τῇ Νικομηδείᾳ, νομίσας ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς Ἐκκλησίας, ὅτι καταλείψας τὴν Βηρυτὸν, καὶ ἐποφθαλμήσας (49) τῇ Ἐκκλησίᾳ Νικομηδέων, καὶ οὐκ ἐκδεδίκηται κατ' αὐτοῦ (50), προῖσταται καὶ τούτων τῶν ἀποστατῶν, καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συνιστῶν αὐτούς, εἴ πως ὑποσύρῃ (51) τινὰς ἀγνοοῦντας, εἰς τὴν αἰσχίστην ταύτην καὶ Χριστομάχον αἵρεσιν· ἀνάγκην ἔσχον εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον, μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ πᾶσιν ὑμῖν, ἵνα γινώσκητε τούς τε ἀποστάτας γενομένους, καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα (52)· καὶ ἐὰν γράφῃ Εὐσέβιος, μὴ προσέχητε. Παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν τὴν χρόνῳ σιωπηθεῖσαν, νῦν διὰ τούτων ἀνανεῶσαι βουλόμενος, σχηματίζεται μὲν ὡς ὑπὲρ τούτων γράφειν (53)· ἔργῳ δὲ δείκνυσιν, ὅτι ὑπὲρ ἑαυτοῦ σπουδάζων τοῦτο ποιεῖ.

(45) Titulus apud Socratem, lib. I, cap. 6, *Ἐπιστολὴ Ἀλεξάνδρου Ἀλεξανδρείας· Τοῖς ἀγαπητοῖς*, etc. Apud Gelasium, lib. II, cap. 3, *Καθαιρετικὸν Ἀρείου καὶ τῶν σὺν αὐτῷ διαπεμφθὲν παρὰ Ἀλεξάνδρου ἐπισκόπου Ἀλεξανδρείας τοῖς ἁπανταχοῦ ἐπισκόποις. Τοῖς ἀγαπητοῖς*, etc. Epiphanius Scholasticus, *Historiæ Tripartitæ* lib. I, cap. 13, hanc habet epistolam. MONTFAUC. *et deinceps.*

(46) Socrat. et Gelas., παρ' ἑκάστοις. Epiphan. Schol., *apud singulos.* Mox iidem πάσχει.... χαίρει.

(47) Sic Reg., Gelas. et codex Leonis Allatii in notis ad Socratem a Valesio laudatus. Socr., νομίσειε καὶ καλ.

(48) Sic Reg. et Socr. At Gelas, ὅπως ἐν τοῖς. Ibid. Socrat. et Gelas., ἀποστάταις μόνοις. Epiphan. Schol., *apostatas.* Utra lectio sit germana, dubium.

(49) Ita Reg. probe Gelas. et Socr., ἐποφθαλμίσας.

(50) Gelas., οὐκ ἐκδεδίκηται τὰ κατ' αὐτόν. In codice Leonis Allatii, οὐκ ἐκδεδίκηται τὰ κατ' αὐτοῦ. Reg. et Socr. bene habent οὐκ ἐκδεδίκηται κατ' αὐτοῦ. Epiph. Scholast. lectionem Regii asserit : *Non est in eo ultio subsecuta.*

(51) Reg., ἴσως ὑποσύρῃ. Gelas., ὅπως ὑποσύρῃ. Socr., εἴ πως ὑποσύρῃ, recte; cui accinit Epiph. Schol., *Si quo modo trahat.* Mox Socrat. et Gelas., εἰς τὴν ἐσχάτην. Reg., melius, εἰς τὴν αἰσχίστην. Epiph. Schol., *ad hanc pessimam.*

(52) Socrat., ῥημάτια.

(53) Sic Reg. et Gelas. et ita legit Epiphan. Schol., at Socrat., γράφων. Mox idem, ὡς ὅτι.

Digitized by Google

II. Οἱ μὲν οὖν ἀποστάται γενόμενοι, εἰσὶν Ἄρειος, καὶ Ἀχιλλεὺς (54), καὶ Ἀεισθάλης, καὶ Καρπώνης, καὶ ἕτερος Ἄρειος, καὶ Σαρμάτης, οἱ ποτε πρεσβύτεροι (55)· καὶ Εὐξώϊος, καὶ Λούκιος, καὶ Ἰούλιος (56), καὶ Μηνᾶς, καὶ Ἑλλάδιος, καὶ Γάϊος, οἱ ποτε διάκονοι· καὶ σὺν αὐτοῖς Σεκοῦνδος καὶ Θεωνᾶς, οἱ ποτε λεχθέντες ἐπίσκοποι. Ποῖα δὲ παρὰ τὰς Γραφὰς (57) ἐφευρόντες λαλοῦσιν, ἔστι ταῦτα.

III. Οὐκ ἀεὶ ὁ Θεὸς Πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ Θεὸς Πατὴρ οὐκ ἦν· οὐκ ἀεὶ ἦν ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν· ὁ γὰρ ὢν Θεὸς τὸν μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε· διὸ καὶ ἦν ποτε, ὅτε οὐκ ἦν. Κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ Υἱός, οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ Πατρί ἐστιν· οὔτε ἀληθινὸς, καὶ φύσει τοῦ Πατρὸς Λόγος ἐστίν· οὔτε ἀληθινὴ Σοφία αὐτοῦ ἐστιν· ἀλλ' εἷς μὲν τῶν ποιημάτων καὶ γενητῶν ἐστι· καταχρηστικῶς δὲ λέγεται Λόγος καὶ Σοφία, γενόμενος καὶ αὐτὸς (58) τῷ ἰδίῳ τοῦ Θεοῦ Λόγῳ, καὶ τῇ ἐν τῷ Θεῷ Σοφίᾳ, ἐν ᾗ καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ Θεός· διὸ καὶ τρεπτός ἐστι καὶ ἀλλοιωτὸς τὴν φύσιν, ὡς καὶ πάντα τὰ λογικά· ξένος τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ Λόγος τῆς τοῦ Θεοῦ οὐσίας· καὶ ἄῤῥητός (59) ἐστιν ὁ Πατὴρ τῷ Υἱῷ· οὔτε γὰρ τελείως καὶ ἀκριβῶς γινώσκει ὁ Λόγος τὸν Πατέρα, οὔτε τελείως (60) ὁρᾷν αὐτὸν δύναται. Καὶ γὰρ καὶ ἑαυτοῦ τὴν οὐσίαν οὐκ οἶδεν ὁ Υἱὸς ὡς ἔστι· δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι' ὀργάνου κτίσῃ ὁ Θεός. Καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ Θεὸς ἠθέλησε ποιῆσαι. Ἠρώτησε γοῦν τις αὐτοὺς, εἰ δύναται ὁ τοῦ Θεοῦ Λόγος τραπῆναι ὡς ὁ διάβολος ἐτράπη· καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν ὅτι δύναται (61)· τρεπτῆς γὰρ φύσεώς ἐστι γενητὸς καὶ κτιστὸς ὑπάρχων.

IV. Ταῦτα λέγοντας τοὺς περὶ Ἄρειον, καὶ ἐπὶ τούτοις ἀναισχυντοῦντας, αὐτούς τε καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς, ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον καὶ τὰς Λιβύας ἐπισκόπων ἐγγὺς ἑκατὸν ὄντων, συνελθόντες ἀνεθεματίσαμεν. Οἱ δὲ περὶ Εὐσέβιον προσεδέξαντο, σπουδάζοντες ἐγκαταμίξαι (62) τὸ ψεῦδος τῇ ἀληθείᾳ, καὶ τῇ εὐσεβείᾳ τὴν ἀσέβειαν· ἀλλ' οὐκ ἰσχύσουσι· νικᾷ γὰρ ἡ ἀλήθεια, καὶ *οὐδεμία ἐστὶ κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ.* Τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα; ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται, καὶ τὰς

II. Ecclesiæ autem desertores hi sunt : Arius, Achilles, Aithales, Carpones, Arius alter, Sarmates, olim presbyteri : Euzoius, Lucius, Julius, Menas, Helladius et Gaius, olim diaconi : ac cum ipsis Secundus et Theonas, olim episcopi nuncupati. Verba autem ab illis adinventa ac præter Scripturarum mentem prolata, hæc sunt.

III. Non semper Deus Pater fuit ; sed fuit quando Deus Pater non erat. Non semper erat Dei Verbum, sed ex non exstantibus factum est : Deus enim qui est, non exsistentem ex non exsistente condidit : quare erat aliquando cum non esset. Res quippe creata, resque facta est Filius : neque similis est Patri secundum substantiam : neque verum et naturale Verbum est Patris : neque vera ejus Sapientia; sed una ex rebus factis conditisque : abusive autem Verbum dicitur et Sapientia, cum factus ipse sit per proprium Dei Verbum, et per eam quæ in Deo est, Sapientiam, in qua cum cætera omnia, tum eum ipsum fecit Deus. Quapropter natura sua mutari atque verti potest, perinde atque omnia rationabilia. Extraneum autem, alienum atque semotum Verbum est a Dei substantia. Inenarrabilis etiam est Pater Filio : nam neque perfecte, neque accurate Patrem novit Verbum, neque perfecte illum videre potest. Etenim ne suam quidem substantiam novit Filius, sicuti illa est. Propter nos quippe factus est, ut nos illo quasi instrumento crearet Deus : neque exstitisset, nisi nos Deus condere voluisset. Sciscitante quodam, num perinde mutari posset Dei Verbum atque diabolus mutatus est; non veriti sunt illi respondere, Sane potest : nam, utpote factus et creatus, mutabilis est naturæ.

IV. Hæc Arianos loquentes, hæc impudentissime affirmantes, nos cum episcopis Ægypti et Libyarum prope centum, in unum coacti, illos cum sectatoribus suis anathemate percussimus. At Eusebius et socii admiserunt illos, operamque navarunt, ut veritati mendacium, pietati impietatem admisceant. Sed nequaquam id efficere valebunt : vincit quippe veritas, nullaque *societas luci ad tenebras*, nulla *consonantia Christi ad Belial* [60]. Quis enim unquam talia audivit ? quis jam audiens non obstupescat, auresque non obstruat, ut ne ejusmodi

[60] *II Cor.* VI, 14.

(54) Sic Reg. Socrat., Ἄρειος, Ἀχιλλᾶς. Gelas., Ἄρειος, καὶ Ἀχιλλεὺς, καὶ Θαλῆς.

(55) *Οἱ ποτε πρεσβύτεροι.* Hæc notatu dignissima verba desunt apud Socrat. et Gelas., et apud Epiphanium Scholasticum, qui omnia miscuit.

(56) Socrat., Ἰουλιανός. Mox illud, οἱ ποτε διάκονοι, desunt apud Socrat. et Gelas.

(57) Sic Socr. et Gelas. At Reg., minus recte, παρὰ ταῖς Γραφαῖς. Post ἔστι ταῦτα, Gelas. habet δόγμα Ἀρείου : quæ verba cum ad modum tituli, vel ad marginem scripta fuissent, demum in contextum translata sunt : quorum loco Florentinus codex a Valesio laudatus habet, πῶς φρονοῦσιν Ἀρειανοί.

(58) Socrat., καὶ αὐτὸς δέ. Codex Leonis Allatii, καὶ αὐτὸς δὲ ὢν ἐν τῷ ἰδίῳ τοῦ Θεοῦ Λόγῳ, καὶ ἐν τῇ τοῦ Θεοῦ Σοφίᾳ. Juxta quem Epiphan. Scholast. sic, *Et ipse et existens in proprio Dei Verbo et in Dei Sapientia.*

(59) Codex Leonis Allat., ἀόρατος. Epiphan. Schol., *invisibilis.*

(60) *Τελείως* deest apud Gelas. Mox idem καὶ γὰρ αὐτοῦ τήν.

(61) Socrat., ναὶ δύναται. Gelas., ὅτι ναὶ δύναται. Ibid. codex Leonis Allat., οἷα τρεπτῆς ὢν φύσεως καὶ γεννητός. Cui consonat Epiphan. Scholast., *tanquam natura convertibilis exsistens, factus aiunt et convertibilis est.* Ubi Socrat., καὶ τρεπτὸς ὑπάρχων. Sed longe præstat Regii cod. et Gelasii lectio, quam sequimur.

(62) Socrat., συγκαταμίξαι.

Digitized by Google

verborum sordes aures suas contaminent? Quis hæc Joannis audiens : *In principio erat Verbum* [61], homines non condemnet, qui aiunt : Fuit aliquando cum non esset? Quis si hæc Evangelii verba audiat : *Unigenitus Filius;* et : *Per ipsum facta sunt omnia* [62], illos non aversetur hæc loquentes : Una ille est ex rebus factis? Nam qui potest una ex rebus a se factis esse, aut qui unigenitus erit, qui, ut aiunt illi, omnibus annumeratur, si quidem et ille res est facta atque creata? Quomodo ex non exstantibus factus ille fuerit, cum Pater dicat, *Eructavit cor meum Verbum bonum* [63]; et, *Ex utero ante Luciferum genui te* [64]? Aut quomodo absimilis substantiæ Patris fuerit, qui est imago perfecta splendorque Patris, quique ait : *Qui vidit me, vidit et Patrem* [65]? Quo pacto si Verbum seu Ratio et Sapientia Dei Filius est, fuit tempus cum non esset? Perinde est enim ac si dicerent : Deum aliquando Ratione et Sapientia caruisse. Qui item verti mutarive potest, qui ait per se quidem ipse : *Ego in Patre, et Pater in me* [66]; et, *Ego et Pater unum sumus* [67] : per prophetam vero : *Videte me, quia ego sum, et non mutor* [68]? Nam etiamsi ad Patrem dictum illud referri queat, aptius tamen de Filio jam dicitur, quia cum factus homo sit, nequaquam mutatus est; sed, ut ait Apostolus [69] : *Jesus Christus heri et hodie, ipse et in sæcula.* Quis induxit illos ut dicerent, propter nos illum factum esse, licet Paulus dicat [70] : *Propter quem omnia, et per quem omnia?*

V. Quod spectat autem illam eorum blasphemiam qua aiunt, Filium non nosse perfecte Patrem; nequaquam mirandum : cum enim in animum induxerint Christo bellum inferre, oppugnant item hæc illius verba : *Sicut novit me Pater, et ego agnosco Patrem* [71]. Proinde si ex parte tantum Filium novit Pater, constat Filium non perfecte cognoscere Patrem. Quod si nefas sit ita loqui, et si Pater perfecte novit Filium; planum est sicut Pater Verbum novit suum, perinde Verbum, suum nosse Patrem, cujus ipsum Verbum est.

VI. Hæc dicendo, atque divinas Scripturas explanando, sæpenumero illos convicimus. Verum illi, quasi chamæleontes, mutata subinde sententia, dictum illud sibi vindicare nituntur : *Impius cum in profundum venerit, contemnit* [72]. Multæ sane ante illos exstitere hæreses, quæ, plus quam par erat, ausæ, in dementiam collapsæ sunt. At hi qui voculis suis omnibus id moliuntur, ut Verbi divinitatem tollant, id effecere, ut quodammodo justæ viderentur illæ, cum propius ipsi ad Antichristum

A ἀκοὰς βύει, ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν ῥημάτων ψαῦσαι τῆς ἀκοῆς; Τίς ἀκούων Ἰωάννου λέγοντος, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, οὐ καταγινώσκει τούτων λεγόντων, Ἦν ποτε ὅτε οὐκ ἦν; Ἢ τίς ἀκούων ἐν τῷ Εὐαγγελίῳ, *Μονογενὴς Υἱὸς*, καὶ, *Δι' αὐτοῦ ἐγένετο πάντα*, οὐ μισήσει τούτους φθεγγομένους ὅτι, Εἷς ἐστιν τῶν ποιημάτων (63); Πῶς γὰρ δύναται εἷς εἶναι τῶν δι' αὐτοῦ γενομένων, ἢ πῶς μονογενὴς ὁ τοῖς πᾶσι κατ' ἐκείνους συναριθμούμενος, εἴπερ καὶ αὐτὸς κτίσμα ἐστὶ καὶ ποίημα (64); Πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη, τοῦ Πατρὸς λέγοντος· *Ἐξηρεύξατο ἡ καρδία μου Λόγον ἀγαθόν*· καί· *Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε;* Ἢ πῶς ἀνόμοιος τῇ οὐσίᾳ τοῦ Πατρὸς, ὁ ὢν εἰκὼν τελεία καὶ ἀπαύγασμα τοῦ Πατρὸς, καὶ λέγων· *Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε*
B *τὸν Πατέρα;* Πῶς δὲ εἰ Λόγος καὶ Σοφία ἐστὶ τοῦ Θεοῦ ὁ Υἱὸς, ἦν ποτε ὅτε οὐκ ἦν; Ἴσον γάρ ἐστιν αὐτοὺς λέγειν ἄλογον καὶ ἄσοφόν ποτε τὸν Θεόν· πῶς δὲ τρεπτὸς καὶ ἀλλοιωτὸς ὁ λέγων, δι' ἑαυτοῦ μὲν, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· καί· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· διὰ δὲ τοῦ προφήτου· *Ἴδετέ με, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι;* Εἰ γὰρ καὶ ἐπ' αὐτόν τις τὸν Πατέρα δύναται τὸ ῥητὸν ἀναφέρειν· ἀλλὰ ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ Λόγου νῦν λεγόμενον, ὅτι καὶ γενόμενος ἄνθρωπος οὐκ ἠλλοίωται· ἀλλ' ὡς εἶπεν ὁ Ἀπόστολος *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας*· τίς δὲ (65) ἄρα εἶπεῖν αὐτοὺς ἔπεισεν, ὅτι δι' ἡμᾶς γέγονε, καίτοι τοῦ Παύλου γράφοντος· *Δι' ὃν τὰ*
C *πάντα, καὶ δι' οὗ τὰ πάντα;*

V. Περὶ γὰρ τοῦ βλασφημεῖν, ὅτι οὐκ οἶδεν τελείως ὁ Υἱὸς τὸν Πατέρα, οὐ δεῖ θαυμάζειν· ἅπαξ γὰρ προθέμενοι χριστομαχεῖν, παρακρούονται καὶ τὰς φωνὰς αὐτοῦ λέγοντος· *Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα.* Εἰ μὲν οὖν ἐκ μέρους ὁ Πατὴρ γινώσκει τὸν Υἱὸν, δῆλον ὅτι καὶ ὁ Υἱὸς μὴ τελείως γινωσκέτω (66) τὸν Πατέρα. Εἰ δὲ τοῦτο λέγειν οὐ θέμις, οἶδε δὲ τελείως ὁ Πατὴρ τὸν Υἱὸν, δῆλον ὅτι καθὼς γινώσκει ὁ Πατὴρ τὸν ἑαυτοῦ Λόγον, οὕτως καὶ ὁ Λόγος γινώσκει τὸν ἑαυτοῦ Πατέρα, οὗ καί ἐστι Λόγος.

VI. Ταῦτα λέγοντες καὶ ἀναπτύσσοντες τὰς θείας Γραφὰς πολλάκις ἐνετρέψαμεν αὐτούς. Καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλοντο, φιλονεικοῦντες ἑαυτοὺς ἐφελκύσαι τὸ γεγραμμένον· *Ὅτ' ἂν ἔλθῃ ἀσεβὴς*
D *εἰς βάθος κακῶν, καταφρονεῖ.* Πολλαὶ γοῦν αἱρέσεις πρὸ αὐτῶν γεγόνασιν, αἵτινες πλέον τοῦ δέοντος τολμήσασαι, πεπτώκασιν εἰς ἀφροσύνην. Οὗτοι δὲ δὴ πάντων ἑαυτῶν τῶν ῥημάτων ἐπιχειρήσαντες εἰς ἀναίρησιν (67) τῆς τοῦ Λόγου θεότητος, ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας ὡς ἐγγύτεροι τοῦ Ἀντιχρίστου γε-

[61] *Joan.* I, 1. [62] *Joan.* I, 18, 3. [63] *Psal.* XLIV, 1. [64] *Psal.* CIX, 3; *Hebr.* I, 3. [65] *Joan.* XIV, 9. [66] *ibid.* 10. [67] *Joan.* X, 30. [68] *Malach.* III, 6. [69] *Hebr.* XIII, 8. [70] *Hebr.* II, 10. [71] *Joan.* X, 15. [72] *Prov.* XVIII, 3.

(63) Socrat. post ποιημάτων habet ὁ Υἱός. Idem ibid., πῶς δὲ δύναται ἴσος εἶναι, minus recte.

(64) Hæc, εἴπερ καὶ αὐτὸς κτίσμα ἐστὶ καὶ ποίημα, desunt in Socrat., Gelas. et Epiphan. Schol., sed in Reg. leguntur.

(65) Socr. et Gelas., τί δέ. Epiph. Schol., *quæ causa putas*, etc.

(66) Socrat. et Gelas., γινώσκει.

(67) Socr., αὐτῶν τῶν ῥημάτων ἐπιχειρήσαντες ταῖς ἀναιρέσεσι.

Digitized by Google

όμενοι. Διὸ καὶ ἀπεκηρύχθησαν καὶ ἀνεθεματίσθησαν ἀπὸ τῆς Ἐκκλησίας. Λυπούμεθα μὲν οὖν ἐπὶ τῇ ἀπωλείᾳ τούτων· καὶ μάλιστα ὅτι μαθόντες ποτὲ καὶ αὐτοὶ τὰ τῆς Ἐκκλησίας, νῦν ἀπεπήδησαν· οὐ ξενιζόμεθα δέ· τοῦτο γὰρ καὶ Ὑμεναίῳ καὶ Φιλητῷ πεπόνθασι, καὶ πρὸ αὐτῶν Ἰούδας ὁ ἀκολουθήσας τῷ Σωτῆρι, ὕστερον γὰρ προδότης καὶ ἀποστάτης γέγονε. Καὶ περὶ τούτων δὲ αὐτῶν, οὐκ ἀδίδακτοι μεμνήκαμεν· ἀλλ' ὁ μὲν Κύριος προείρηκε· *Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ὅτι ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε. καὶ πολλοὺς πλανήσουσι· μὴ πορευθῆτε ὀπίσω αὐτῶν.* Ὁ δὲ Παῦλος μαθὼν ταῦτα παρὰ τοῦ Σωτῆρος ἔγραψεν· *Ὅτι ἐν ὑστέροις καιροῖς* (68), *ἀποστήσονταί τινες τῆς ὑγιαινούσης πίστεως, προσέχοντες πνεύμασι πλανοῖς, καὶ διδασκαλίοις δαιμονίων ἀποστρεφομένων τὴν ἀλήθειαν.*

VII. Τοῦ τοίνυν Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διά τε ἑαυτοῦ παραγγείλαντος, καὶ διὰ τοῦ Ἀποστόλου σημαίνοντος περὶ τῶν τοιούτων, ἀκολούθως ἡμεῖς αὐτήκοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι, ἀνεθεματίσαμεν, καθὰ προείπομεν, τοὺς τοιούτους, ἀποδείξαντές τε αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς Ἐκκλησίας τε καὶ πίστεως· ἐδηλώσαμεν καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοί, ἵνα μήτε τινὰς ἐξ αὐτῶν εἰ προπετεύσαιντο πρὸς ὑμᾶς ἐλθεῖν, προσδέξησθε, μήτε Εὐσεβίῳ ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε. Πρέπει γὰρ ἡμᾶς (69) Χριστιανοὺς ὄντας, πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας, ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέφεσθαι, καὶ μηδὲ κἂν Χαίρειν τοῖς τοιούτοις λέγειν· ἵνα μή ποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης. Προσείπατε τοὺς παρ' ὑμῖν ἀδελφούς· ὑμᾶς οἱ σὺν ἐμοὶ προσαγορεύουσιν.

A accedant. Quamobrem proscripti et anathemate percussi sunt ab Ecclesia. Et quidem, tametsi de illorum exitio dolemus, cum præsertim illi, postquam Ecclesiæ doctrinam didicissent, ab illa jam desciverint; nequaquam tamen magnopere miramur : id ipsum enim Hymenæo contigit et Phileto [53], et ante illos Judæ, qui cum Salvatorem secutus esset, postea proditor fuit atque desertor. Porro de his ipsis, nequaquam nobis prævia monita defuere; sic enim præfatus Dominus est : *Videte ne quis vos seducat; multi enim venient in nomine meo, dicentes, quia ego sum : et tempus appropinquavit, et multos seducent : nolite ergo ire post eos* [54]. Paulus autem hæc a Salvatore edoctus, scripsit : *Quia in novissimis temporibus discedent quidam a sana fide, attendentes spiritibus erroris, et doctrinis dæmoniorum veritatem aversantium* [55].

B

VII. Cum itaque Dominus et Salvator noster Jesus Christus per se ipse ita præceperit, et per Apostolum res nobis hujusmodi significaverit; jure nos, qui impietatem illorum ipsi coram audivimus, homines, uti supra dictum est, anathemate damnavimus, ipsosque a catholica Ecclesia et fide alienos declaravimus : remque, charissimi atque honoratissimi comministri, vestræ religioni indicavimus; ut ne quosdam ex illis, si petulanter vos adire ausi fuerint, recipiatis : neve Eusebio vel alii cuipiam de illis ad vos scribenti, fidem habeatis. Nos enim utpote Christianos decet, omnes qui contra Christum loquuntur aut sentiunt, velut Dei hostes animarumque corruptores aversari, ac ne quidem Ave illis dicere : ne quando scelerum ipsorum participes simus, ut præcipit beatus Joannes [56]. Salutate fratres qui vobiscum sunt : vos qui mecum sunt salutant.

C

Ἀλεξανδρείας πρεσβύτεροι (70).

Κόλλουθος πρεσβύτερος σύμψηφός εἰμι τοῖς γεγραμμένοις, καὶ τῇ καθαιρέσει Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.

Ἀλέξανδρος πρεσβύτερος, ὁμοίως.

Διόσκορος πρεσβύτερος, ὁμοίως.

Διονύσιος πρεσβύτερος, ὁμοίως.

Εὐσέβιος πρεσβύτερος, ὁμοίως.

Ἀλέξανδρος πρεσβύτερος, ὁμοίως.

Νειλαρᾶς (71) πρεσβύτερος, ὁμοίως.

Ἀρποκρατίων πρεσβύτερος, ὁμοίως.

Ἀγαθὸς πρεσβύτερος.

Νεμέσιος πρεσβύτερος.

Λόγγος πρεσβύτερος.

Σιλβανὸς πρεσβύτερος.

Περοῦς (72) πρεσβύτερος.

Alexandriæ presbyteri.

Colluthus presbyter hisce scriptis suffragor, nec non depositioni Arii, eorumque qui ejus impietatis sectatores sunt.

Alexander presbyter, similiter.

Dioscorus presbyter, similiter.

Dionysius presbyter, similiter.

Eusebius presbyter, similiter.

D Alexander presbyter, similiter.

Nilaras presbyter, similiter.

Arpocration presbyter, similiter.

Agathus presbyter.

Nemesius presbyter.

Longus presbyter.

Silvanus presbyter.

Perous presbyter.

[53] *II Tim.* II, 17. [54] *Luc.* XXI, 8. [55] *I Tim.* IV, 1. [56] *II Joan.* 10.

(68) Καιροῖς deest apud Gelas.

(69) Sic Socrat. et Gelas. Reg., ὑμᾶς, minus recte.

(70) Hæ subscriptiones habentur tantum apud Gelasium Cyzicenum, sed mirum in modum mutilæ.

(71) Gelas., Σίλας. Reg., Νειλαρᾶς, quod nomen reperitur item in subscriptionibus ad *apolog.* S. Athanasii *contr. Arian.*, pag. 190. Ὁμοίως ad singula nomina legitur apud Gelasium.

(72) Gelas., Πιρωούς.

Digitized by Google

Apis presbyter.
Proterius presbyter.
Paulus presbyter.
Cyrus presbyter, similiter.

Diaconi.

Ammonius diaconus, similiter.
Macarius diaconus.
Pistus diaconus, similiter.
Athanasius diaconus.
Eumenes diaconus.
Apollonius diaconus.
Olympius diaconus.
Aphthonius diaconus.
Athanasius diaconus.
Macarius diaconus, similiter.
Paulus diaconus.
Petrus diaconus.
Ambytianus diaconus.
Gaius diaconus, similiter.
Alexander diaconus.
Dionysius diaconus.
Agathon diaconus.
Polybius diaconus, similiter.
Theonas diaconus.
Marcus diaconus.
Commodus diaconus.
Serapion diaconus.
Nilus diaconus.
Romanus diaconus, similiter.

Mareotæ presbyteri.

Apollonius presbyter, hisce scriptis suffragor, necnon depositioni Arii, eorumque qui ejus impietatis sectatores sunt.
Ingenius presbyter, similiter.
Ammonius presbyter.
Dioscorus presbyter.
Sostras presbyter.
Theon presbyter.
Tyrannus presbyter.
Copres presbyter.
Ammonas presbyter.
Orion presbyter
Serenus presbyter.
Didymus presbyter
Heracles presbyter.
Boccon presbyter.
Agathus presbyter.
Achillas presbyter.
Paulus presbyter.
Thalelæus presbyter.
Dionysius presbyter, similiter.

A Ἅπις πρεσβύτερος.
Προτέριος πρεσβύτερος.
Παῦλος πρεσβύτερος.
Κύρος πρεσβύτερος, ὁμοίως.

Διάκονοι.

Ἀμμώνιος διάκονος, ὁμοίως.
Μακάριος διάκονος.
Πιστὸς διάκονος, ὁμοίως.
Ἀθανάσιος διάκονος.
Εὐμενὴς διάκονος.
Ἀπολλώνιος διάκονος.
Ὀλύμπιος διάκονος.
Ἀφθόνιος διάκονος.
Ἀθανάσιος (73) διάκονος.
B Μακάριος διάκονος, ὁμοίως.
Παῦλος διάκονος.
Πέτρος διάκονος.
Ἀμβυτιανὸς (74) διάκονος.
Γάϊος διάκονος, ὁμοίως.
Ἀλέξανδρος διάκονος.
Διονύσιος διάκονος.
Ἀγάθων διάκονος.
Πολύβιος διάκονος, ὁμοίως
Θεωνᾶς διάκονος.
Μάρκος διάκονος.
Κώμοδος διάκονος.
Σεραπίων διάκονος.
Νεῖλον (75) διάκονος.
Ῥωμανὸς διάκονος, ὁμοίως.

C *Μαρεώτου* (76) *πρεσβύτεροι.*

Ἀπολλώνιος πρεσβύτερος (77) σύμψηφός εἰμι τοῖς γεγραμμένοις, καὶ τῇ καθαιρέσει Ἀρείου, καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.
Ἰνγένιος (78) πρεσβύτερος, ὁμοίως.
Ἀμμώνιος πρεσβύτερος.
Διόσκορος πρεσβύτερος.
Σωστρὰς πρεσβύτερος.
Θέων πρεσβύτερος.
Τύραννος πρεσβύτερος.
Κόπρης πρεσβύτερος.
Ἀμμωνᾶς πρεσβύτερος.
Ὡρίων πρεσβύτερος.
Σέρηνος πρεσβύτερος.
D Δίδυμος πρεσβύτερος.
Ἡρακλῆς πρεσβύτερος.
Βόκκων πρεσβύτερος.
Ἀγαθὸς πρεσβύτερος.
Ἀχιλλᾶς πρεσβύτερος.
Παῦλος (79) πρεσβύτερος.
Θαλέλαιος πρεσβύτερος.
Διονύσιος πρεσβύτερος, ὁμοίως.

(73) Hic Ἀθανάσιος deest apud Gelas.
(74) Gelas., Ἀμυντιανός. Post sequentem, Gaium scilicet, omnes reliqui diaconi Alexandrini, decem numero, apud Gelasium desiderantur.
(75) Forte Νεῖλος.
(76) Gelas., Μαριώτου.
(77) Gelas., Ἀπολλὼς πρεσβύτερος, ὁμοίως, omissis reliquis usque ad Ἰνγένιος.
(78) Gelasius, Ἰγγένιος. Sequentem vocat Gelas. sic, Ἀμμωνᾶς. Vide *Apolog.* S. Athanas. *contr. Arian.*, pag. 192.
(79) Hi tres postremi, Παῦλος, Θαλέλαιος, Διονύσιος, desunt apud Gelasium.

Digitized by Google

Διάκονοι.		*Diaconi.*
Σαραπίων διάκονος, ὁμοίως.		Sarapion diaconus, similiter.
Ἰοῦστος διάκονος, ὁμοίως.		Justus diaconus, similiter.
Δίδυμος διάκονος.		Didymus diaconus.
Δημήτριος διάκονος.		Demetrius diaconus.
Μαῦρος διάκονος.		Maurus diaconus.
Ἀλέξανδρος διάκονος.		Alexander diaconus.
Μάρκος διάκονος.		Marcus diaconus.
Κόμων διάκονος.		Comon diaconus.
Τρύφων διάκονος.		Tryphon diaconus.
Ἀμμώνιος διάκονος.		Ammonius diaconus.
Δίδυμος διάκονος.		Didymus diaconus.
Πτολλαρίων διάκονος.		Ptollarion diaconus.
Σερᾶς διάκονος.		Seras diaconus.
Γάϊος διάκονος.		Gaius diaconus.
Ἱέραξ διάκονος.	B	Hierax diaconus.
Μάρκος διάκονος.		Marcus diaconus.
(80) Θεωνᾶς διάκονος.		Theonas diaconus.
Σαρμάτων διάκονος.		Sarmaton diaconus.
Κάρπων διάκονος.		Carpon diaconus.
Ζώϊλος διάκονος, ὁμοίως.		Zoilus diaconus, similiter.

III.

Apud eumdem Athanasium *ibid. pag.* 396.

ΚΑΘΑΙΡΕΣΙΣ ΑΡΕΙΟΥ

καὶ τῶν σὺν αὐτῷ, ὑπὸ Ἀλεξάνδρου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Ἀλέξανδρος, πρεσβυτέροις καὶ διακόνοις Ἀλεξανδρείας καὶ Μαρεώτου, παρὼν παροῦσιν (81), ἀγαπητοῖς ἀδελφοῖς ἐν Κυρίῳ χαίρειν.

IV. An ergo fides adhibenda sit vel a dæmone vexato Sauli, quasi veram exactamque cognitionem haberet, vel dæmoni de semet gloriose loquenti promittentique ab inferis justorum animas educturum, inter nos ipsos dijudicemus, discernamusque hæc et similia hoc modo intelligere, quam vanum impiumque sit, o optime hominum Eutropi. Mirum enim quantum a veritate, ut videtur, Origenes aberraverit. Et si Dominus noster Jesus Christus de diabolo dicat[9,10]: *Ipse homicida erat ab initio, et in veritate non stetit; quoniam veritas in ipso non erat. Cum loquitur mendacium, ex propriis loquitur, quoniam mendax est, et pater ipsius:* quid hic, ais, Origenes? Prius enim interrogandus es: Hæc quæ Salvator dixit vera sunt, an respondens contrarium dices? Itaque si verba Domini de more vera sunt, ergo dæmon audacter insolescens mentitus est. Verum si dæmonis sermones veritati non absonos definis, mendacem Dominum utique audes demonstrare. Videsne quam inculcas sententiam, quæ absurda ineptaque contineat? Quandoque enim dæmones ad veritatem dicendam vi compelluntur doloribus torti: verumtamen nihil usquam voluntarie sine mendacio dixerint. Tamen si quis dæmonem justos ab inferis evocare affirmabit, quomodo manifestum non erit, fraude mendacium obtrudere, illo animo ut aliquem præcipitem actum consternat? Ita est, ait: At illa dæmon nullus effatus est, sed narrans scriptoris vox; sermonum vero scriptorem esse Spiritum sanctum, et non hominem credimus. Forte seriei narrationis pugnantia in medium afferre non plane intelligis? Rectius itaque, qui paulatim ad omnifarios sermones animum intendere noverunt, tradidisse narrativam scriptoris locutionem, quæ videbatur facere vel dicere oracula, petenti Sauli engastrimythus, de ea videlicet auctor narrans ejusque ad verbum sermones exponens, inquit: *Et dixit mulier: Quem evocabo tibi?* Quis ita vecors et stolidus erit, ut simulet se minime capere, voces has scriptoris minime esse, sed mulieris a dæmone vexatæ? Certe si quid in hac re verum sincerumque sit, perspicere debemus, narratio illud tantum habuit: *Vidit mulier Samuelem.* Hæc porro ita prosecutus est scriptione, quasi ad minime ignaros de dæmoniaca loqueretur. Neque enim dubium esse debet, dæmonem qui pio-

[8] *I Reg.* xxviii, 12-14. [9,10] *Joan.* viii, 44.

τούτοις διαγορεύει ἡ θεία Γραφή; *Καὶ ἔγνω Σαοὺλ, ὅτι Σαμουὴλ ἐστιν οὗτος, καὶ ἔκυψεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ.* Φαίνεται τοίνυν ὡς οὐδαμοῦ τὸ παράπαν ἡ τοῦ θείου γράμματος ἔφησεν ἐκδοχὴ τὸν Σαμουὴλ ἀνῆχθαι διὰ τῆς ἐγγαστριμύθου· ἀλλ' αὐτὴ μὲν προηγουμένως διὰ τοῦ ἐκβαχχεύοντος αὐτῇ [*f.* αὐτήν, *v.* ἐν αὐτῇ] δαίμονος ἀποφθέγγεται δεῖν ἀνάγειν αὐτόν· εἶτα καὶ θεοὺς ἀνιόντας ἐπικομποῦσα θεωρεῖν, ἀπάτῃ μὲν ἐδίδου τὰ σημεῖα τἀνδρὸς εἰς ἐνέδραν· ὁ δὲ παράφρων ἔγνω Σαοὺλ ἐξ ὧν ἀκήκοεν ὡς αὐτὸς οὗτός ἐστι Σαμουήλ.

IV. Εἰ δὲ δεῖ πιστεύειν ἢ τῷ δαιμονιζομένῳ Σαοὺλ, ὡς ἀληθῆ γνώσεως ἠκριβωκότι κατάληψιν, ἢ δαίμονι καυχωμένῳ καὶ ψυχὰς ὑπισχνουμένῳ δικαίων ἐξ ᾅδου μεταπέμπεσθαι, κρίνωμεν παρ' ἑαυτοῖς ὅσης ἂν εἴη δυσφημίας ἀνάπλεα, ταῦτα καὶ τὰ τοιαῦτα νοεῖν, ὦ κράτιστε ἀνδρῶν Εὐτρόπιε· πολὺ γάρ, ὡς ἔοικεν, Ὠριγένης τῆς ἀληθείας ἐσφάλη· καίτοι τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ περὶ τοῦ διαβόλου διαῤῥήδην εἰρηκότος· *Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἔστηκεν, ὅτι ἀλήθεια οὐκ ἔστιν ἐν αὐτῷ. Ὅταν λαλῇ τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ.* Τί τοίνυν φῂς, ὦ Ὠρίγενες; ἀνάγκη γὰρ ἐρέσθαι σε πότερον, ἀληθῆ ταῦτά ἐστιν ἅπερ ἔφρασεν ὁ Σωτήρ, ἢ τοὐναντίον ἀνθυποφέρων ἐρεῖς; Εἰ μὲν οὖν ἀληθεῖς οἱ τοῦ Κυρίου τυγχάνουσι λόγοι, εἰωθότως, ἄρα ὁ δαίμων ἐψεύσατο θρασυνόμενος· εἰ δὲ ἀψευδῆ τὰ τοῦ δαίμονος ὁρίζῃ ῥήματα, ψεύστην ἀποφῆναι τὸν Κύριον ἐγχειρεῖς· ὁρᾷς εἰς ὅσην ἐκπέπτωκεν ἀτοπίαν ὁ παρὰ σοὶ δογματιζόμενος ὅρος; Ἄκοντες μὲν γὰρ ἔσθ' ὅτε τἀληθῆ λέγειν οἱ δαίμονες ἀναγκάζονται στρεβλούμενοι τοῖς πόνοις, οὐ μὴν ἑκόντες ἀψευδῶς εἴποιεν ἂν ὁτιοῦν. Εἰ δὲ δεῖ (*f.* δὴ *vel* δεῖν) καὶ δικαίους ἀνάγειν ἐξ ᾅδου τοῦτον ὁριεῖταί τις ἀμελητί, πῶς οὐκ ἂν εἴη γε σαφὲς ὡς ἀπάτῃ τὸ ψεῦδος ἀντεισάγει, βουλόμενος ἐκτραχηλιάσαι τινά; Ναί, φησίν, ἀλλ' οὐχ ὁ δαίμων ταῦτα εἴρηκεν, ἀλλ' ἡ διηγηματικὴ τοῦ συγγραφέως φωνή· συγγραφεὺς δὲ τῶν λόγων εἶναι πεπίστευται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐκ ἄνθρωπος. Εἶτ' οὐ νοεῖ πῶς ἐναντία φαίνει τῇ τοῦ διηγήματος ἐκδοχῇ; Κάλλιον οὖν ἴσασιν οἱ παντοίοις σχολαιότερον ὁμιλήσαντες λόγοις, ὡς ἡ διηγηματικὴ τοῦ συγγραφέως ὁμιλήσασα ταῦτα ἐξέδωκεν, ἅπερ ἐδόκει πράττειν ἢ λέγειν τῷ μαντευομένῳ Σαοὺλ ἡ ἐγγαστρίμυθος· ἀμέλει περὶ ἐκείνης ἐκδιηγούμενος ὁ συγγραφεύς, καὶ τοὺς λόγους αὐτῆς ἐπὶ λέξεως ἐκτιθέμενος, ἔφη· *Καὶ εἶπεν ἡ γυνή· Τίνα ἀναγάγω σοι;* Τίς δὲ οὕτως εὐήθης ἐστὶν ὡς ὑποκρίνεται [*f.* ὑποκρίνεσθαι] μὴ νοεῖν, ὅτι αὗται μὲν τοῦ συγγραφέως οὐκ εἰσὶ φωναί, τῆς δὲ δαιμονώσης εἰσὶ γυναικός; Ἀλλὰ μὴν εἶγε δεῖ φιλαλήθως εἰπεῖν, ἡ διηγηματικὴ τοῦτον (*f.* τοῦτο) ἔφησε μόνον, ὡς, *Εἶδεν ἡ γυνὴ τὸν Σαμουήλ·* οὕτως δὲ ταῦτα ἔγραψεν ὡς πρὸς εἰδότας περὶ δαιμονώσης ὁμιλῶν. Οὐ γάρ ἐστιν ἀμφισβητεῖν, ὅτι δαίμων οὐκ ἀνάγει ψυχὴν οὐδενός, ὃς, ὑπὸ τῶν εὐσεβῶν ὁριζόμενος ἀνθρώπων, ἐλαύνεται, πυροῦ-

Digitized by Google

ται, μαστίζεται, καὶ φεύγει τὸ σκήνωμα προλιπών· ἀλλ' εἶδεν ἡ παραπλὴξ ὡς ἔπρεπεν αὐτῇ τὸ σχῆμα τῆς πεφαντασιοκοπημένης ὄψεως. Εἴωθε γοῦν ὁ θὴρ εἰς πολυτροσώπους ἑαυτὸν ἐξαλλάττειν ἰδέας· ἵνα δὲ κατὰ τὸν ἁγιοφανῆ Παῦλον ἀποφθεγξάμενος εἴποιμ' ὅν· *Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός*· οὐ μέγα γοῦν εἰ διαλεγόμενος ἔταξε μὲν καὶ τόδε τὸ χωρίον, οἰόμενος ἐκ τούτου περιγράφειν τοὺς τὴν ἀλήθειαν ἀντεισάγοντας, ἀτεχνίᾳ δὲ μᾶλλον ἢ τέχνῃ δοκῶν ἀνασκευάζειν αὐτῷ προστέθη.

V. Καὶ διατί, φησὶν, οὐκ εἴρηται, *Εἶδεν ἡ γυνὴ δαιμόνιον ὃ προσεποιεῖτο εἶναι Σαμουὴλ, ἀλλὰ* γεγράφθαι πρὸς ἐπὶ τούτοις ἔφησεν, *Ἔγνω Σαοὺλ, ὅτι Σαμουὴλ ἐστιν;* Εἶτα πάλιν ἐπιφέρει προῒών· Εἰ μὴ ἦν Σαμουὴλ, ἔδει γεγράφθαι· *Καὶ ἐνόμιζε Σαοὺλ εἶναι αὐτὸν Σαμουήλ*· νῦν δὲ γέγραπται· *Ἔγνω Σαούλ*· οὐδεὶς δὲ ἔγνω τὸ μὴ ὄν· *Ἔγνω οὖν Σαοὺλ, ὅτι Σαμουὴλ ἐστιν. Ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ.* Ἵνα δὲ μὴ παρεκβὰς ἐφ' ἕτερα τῶν παραδειγμάτων, ἐξ αὐτῶν ὧν ἔγραψεν, ἐνταῦθα ποιήσομαι τὴν ἐρώτησιν· εἶθ' οὕτως ἐπὶ τὰ λοιπὰ βαδιοῦμαι παραδείγματος. Καί μοι λέγε πρὸς Θεοῦ· Τί φῂς, ὦ Ὠριγένες; πότερον ἡ γυνὴ τὸν Σαμουὴλ ἀνήγαγεν αὐτῷ σώματι, ἢ τῷ γε σχήματι σκιογραφίας εἴδει περιβεβλημένον; Εἰ μὲν οὖν ἀσώματον ἀνήγαγεν αὐτὸν, οὐκ ἄρα τὸν Σαμουὴλ ἀνέστησεν, ἀλλὰ πνεύματος ἰδέαν· ὁ γὰρ ἐκ ψυχῆς καὶ σώματος ἡρμοσμένος οὗτός ἐστι Σαμουὴλ ὁ ἄνθρωπος, ὁ κρᾶσιν ἔχων ἐξ ἀμφοῖν ἀνάλογον· εἰ δὲ ὁλόσωμον αὐτὸν ἀνήγαγε τὸν ἄνδρα, πῶς οὐχ ἑώρακεν αὐτὸν ὁ Σαούλ; εἰ γὰρ ἦν αὐτοψεὶ θεασάμενος αὐτὸν, οὐκ ἂν ὡς ἀβλεπτῶν ἐξήταζε τὴν γυναῖκα, φάσκων αὐτολεξεὶ τό, *Τί ἑώρακας;* Οὐκοῦν εἰ μὲν ἀόρατος ἦν, ἀναμφιλόγως ἀσώματος ἦν· εἰ δὲ ἀσώματος σχήματι διεφαίνετο, τί δήποτε τοὐναντίον ἔφραζεν ἡ πυθόμαντις, ἑωρακέναι μὲν ἄνδρα ὀρθιον ἐκ τῆς γῆς ἀναβαίνοντα, διπλοΐδα δὲ, κατὰ τὸ πρόσθεν ἔθος, ἀναβεβλημένον; Ἆρα οὖν αὐτὰ τὰ πράγματα μάχεταί σου τοῖς λόγοις, ὦ Ὠριγένες· ὁ μέν γε Σαοὺλ οὐδὲν ὅλως ἑωρακὼς ὡς περὶ φαντάσματος ἀοράτου διαλεγόμενος ἐπυνθάνετο, τὸ, *Τί ἑώρακας;* εἰπών· ἡ δὲ τοὐναντίον ὡς αὐτὸν ἄνθρωπον ἰδοῦσα κέκραγεν· *Ἄνδρα ὀρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς*· ὑπὲρ δὲ τοῦ πεῖσαι ὡς αὐτὸς ἄνθρωπός ἐστι, δίδωσιν αὐτῷ καὶ σημεῖον ἐπιφθεγξαμένη· *Καὶ οὗτος ἀναβεβλημένος διπλοΐδα.* Τί οὖν, ὦ τῆς ἀθεμίτου μαντείας ὑποθήμων, εἴπερ ἐτύγχανεν ἀνὴρ, οὐκ εἶδεν αὐτὸν ὁ Σαούλ; ἐκτὸς εἰ μήτοι καὶ τὸ αἰσθητὸν ὄμμα τυφλώττειν αὐτὸν εἴποις, ὡσπεροῦν ἀμέλει καὶ τὸ τῆς ἐννοίας αὐτὸ τὸ νοητόν.

VI. Ἀλλ' ἴσως ἐρεῖς ἁλισκόμενος εὐπετῶς· Αὐτὸ τὸ τῆς ψυχῆς ὄργανον ἀνθρωπόμορφον ἐσχηματίζετο κατὰ τὴν ὥραν, ἵνα ἐπιφανὲν ἐξείπῃ προφητικῷ μηνύματι τὸ μέλλον· οἷα δὴ κατὰ τοὺς ὕπνους ἐνίοτε

rum hominum imperio subest, ejicitur, igne crematur, flagris cæditur et fugit, habitatione neglecta, ullius animam evocare. Sed vidit vesana, ut aptiori figura rem quam imaginatione sibi confictam conceperat, repræsentaret. Bellua namque se in multas variasque formas mutare consuevit, ut cum divino Paulo dicam : *Ipse enim Satanas transmutatur in angelum lucis* [11]. Nihil mirum itaque si is inter disserendum, locum hunc Scripturæ apposuit, ratus exquisite describere eos qui veritatem assererent, cui id addidit, ut propriam confirmaret sententiam, etsi nulla arte.

V. Et quare, inquit, non dictum est : *Vidit mulier dæmonium, quod fingebat se esse Samuelem ;* sed scriptum esse dein dicit : *Intellexit Saul quod Samuel esset* [12]? Quibus paucis interjectis subdit : Si Samuel non erat, scribendum omnino erat : *Et putabat Saul illum esse Samuelem.* Nunc vero scriptum est : *Cognovit Saul.* Nemo autem cognovit id quod non est. *Intellexit itaque Saul, quod Samuel esset. Procidit pronus in terram, et adoravit illum.* Non aliunde petitis exemplis, sed ab iis ipsis quæ scriptis mandavit, hoc in loco interrogatione instabo. Tandem et reliquis utar exemplis. Effare ergo mihi per Deum, Quid hic ais, Origenes? Mulier evocavitne Samuelem una cum corpore, an figura umbræ tantum imagine obvolutum? Si incorporeum illum evocavit, non ergo Samuelem, sed spiritus formam suscitavit : ex anima enim et corpore compositus ipse est Samuel; homo ex utrisque proportione quadam constat. Si vero una cum toto corpore virum evocavit, quomodo non vidit illum Saul? quippe si oculatus testis ipse vidisset, non interrogasset mulierem, ac si non videret, illa ipsa verba enuntians : *Quid vidisti* [13]? Itaque si oculorum effugit obtutum, absque dubio et corporis expers erat. Si corporis expers figura apparebat, ut quid pythomantis oppositum dicebat [14] : *Vidisse* quidem *hominem rectum e terra salientem pallio*, uti prius ab eo fieri consueverat, *amictum?* Res itaque ipsæ, Origenes, cum tuis sermonibus pugnant. Et Saul ipse cum nihil omnino aspexisset, tanquam de phantasmate invisibili sermonem habens, interrogabat, inquiens : *Quid vidisti?* Illa porro ac si hominem intuita fuisset, clamavit : *Virum stantem ascendentem de terra :* ut autem illi suaderet hominem esse, notas illius enarrat, subdens : *Et hic pallio amictus.* Quare igitur, o sacrilegæ vaticinationis præceptor, si vir erat, non aspexit illum Saul? nisi illi etiam oculos qui sensui subsunt, cæcutire velis affirmare, quemadmodum duntaxat et intellectus ea pars quæ intelligibile.

VI. Sed cum facili negotio refellaris, fortasse dicas, tunc organum animæ in speciem humanam efformatum fuisse, ut apparens prophetico vaticinio futura prædiceret : quemadmodum in somniis

[11] *II Cor.* xi, 14. [12] *I Reg.* xxviii, 14. [13] *ibid.* 13. [14] *ibid.* 14.

Digitized by Google

quandoque et spiritus et animæ omnibus suis membris absolutæ, humanasque formas præ se ferentes, adveniunt; in quibus non una, sed varia indumenta conspicies, nec non cicatricum, typorum vibicumque, quin et plagarum et vulnerationum notas impressas. Si igitur animam tantum evocatam, non ipso corpore hominem decernis; quod etiam si volueris, Scripturæ series non concedet; tibimet ipsi pugnantia contrariaque loqui non percipis? Hocque tibi aliquis opponeret: Quare non dixit mulier: *Propheticam animam vidi*, sed oppositum, *virum erectum?* et eamdem, quam innuis rationem, quare Scriptura non ita effata est: *Vidit mulier dæmonium, quod fingebat se esse Samuelem?* Hac utique ratione ego tibi opponens objicerem: Quare evocata anima non dixit animam se vidisse, si res ita se haberet, quin contrarium, *hominem* et hunc *erectum*, quod habitudinis corporeæ, illiusque certæ figuræ signum est? Quippe mænas illa minime se vidisse affirmabat senem gibbosum, incurvum, sed stantem, intensum, directum, juvenili ardore bellum ambientem, ad nequitias promptum, vesano Sauli fraudem faciens; atque illud suadebat argumento, quod homo esset qui ascendebat e terra, eumque diploide amictum fatebatur. Quid igitur quispiam hic dicere posset? si vir ille prodiens, ipso emergeret corpore, nonne eum Saul vidisset, neque ab alio quis is esset, quasi cæcitate perculsus, conaretur perdiscere? Igitur res ipsa clamat eum hominem non fuisse, sed umbram, ut videtur, obscuram et fallacem, neque enim oculos fugisset. Et si opinaris, Origenes, animam Samuelis illic fuisse, quare umbra illa obvoluta diploide apparebat? Manifestum equidem est vestes, indumenta, nec non involucra corporibus potius, quam animabus convenire. Etenim non existimo te urbane faceteque respondentem etiam per simulationem dicturum, diploidem illam tot annis in sepulcro ad illam diem conservatam, ut prophetæ anima vestiretur, nec nuda hinc inde aberrans degeret. Et sane diceret quispiam nullum ignorare, sanctis e cœlo indumenta parari, nulli corruptioni obnoxia, claris luminibus late splendentia, non male textoris pectine percussa. Verum si Samuelis animam spectrum illud fuisse statuis, asserisque vestem tantum intellectu deprehensam fuisse, ut illius cæremoniæ ratio manifestaretur; utraque vero hæc intelligibilium rerum propria sunt: convincitur nihil sanum verumque mænadem illam effutiisse. Res enim aliter ac se habebant enuntiabat, eorum nomina quæ sub sensu cadunt invertens, et intellectualia manifestans. *Virum* itaque *erectum* appellans, et textile involucri indumentum manu factum, quod non videbatur, ex contrariis spiritum imaginatione tantum perceptum inferebat.

πνεύματα καὶ ψυχαὶ τοῖς ἀνθρώποις ἐφίστανται παμμελεῖ, τοὺς ἀνθρωπείους ἐπιδεικνύμεναι χαρακτῆρας· οὐ μὴν ἀλλά γε καὶ διάφορα καὶ ποικίλα φοροῦντες ἐσθήματα, καὶ σημασίας οὐλῶν, ἢ κτύπων, ἢ μωλώπων ἐπιφερόμενοι, καὶ πληγῶν, ἢ τρώσεων. Εἰ τοίνυν ὁρίζῃ ψυχὴν ἀνῆχθαι μόνον, ἀλλ' οὐκ ἄνθρωπον αὐτῷ σώματι (οὐδὲ γὰρ εἰ βούλει δίδωσί σοι τὸ γράμμα), μαχόμενα μὲν ἑαυτῷ θεσπίζων οὐκ αἰσθάνῃ; Σαυτὸν(3'') δὲ τοῦτό τις ἀνθυποφέρων ἐρεῖ σοι· Τί δήποτε οὐκ εἶπεν ἡ γυνὴ, *Προφητικὴν εἶδον ψυχὴν*, ἀλλὰ τοὐναντίον, *ἄνδρα ὄρθιον*; ᾧ γὰρ ἔφησθα τρόπῳ, καὶ διατί λέγων οὐκ εἴρηται· *Εἶδεν ἡ γυνὴ δαιμόνιον ὃ προσεποιεῖτο εἶναι Σαμουήλ*; Τούτῳ τῷ λόγῳ φαίην ἂν ἀνθυπενέγκας ἔγωγε· Τίνος ἕνεκα, ψυχῆς ἀναχθείσης, οὐκ εἴρηκεν ἑωρακέναι ψυχὴν, εἴπερ οὕτως εἶχεν, ἀλλ' ἐκ τῶν ἐναντίων *ἄνδρα*, καὶ τοῦτον *ὄρθιον*, ὅπερ ἐστὶ γνώρισμα σωματικῆς εὐεξίας; οὐ γὰρ ἀμφίκυρτον, οὐδὲ κεκυφότα γέροντα θεωρεῖν ἔφασκεν ἡ μαινὰς, ἀλλ' ὄρθιον, ἐντεταμένον, ἀπηυθυμένον, εἰς πόλεμον ἀεὶ νεάζοντα, περὶ τὰς τῆς κακίας ἀναδόσεις· ἀπάτῃ δὲ τὸν ἔκφρονα δελεάζουσα, σημείῳ μὲν ἔπειθεν αὐτὸν, ὡς ἄνθρωπός ἐστιν ὁ ἀνιὼν ἐκ τῆς γῆς, ἀναβεβλῆσθαι δὲ αὐτὸν ἔφαινε διὰ πλοΐδα. Τί οὖν (εἴποι τις ἄν); εἴπερ αὐτῷ σώματι προκύπτων ἐτύγχανεν ἀνὴρ, οὐκ ἂν ἑώρακεν αὐτὸν ὁ Σαοὺλ, ἀλλὰ παρ' ἑτέρου βούλεται μαθεῖν ὁποῖός ἐστιν, ὡς ἀορασίᾳ πληγείς; Οὐκοῦν αὐτὰ τὰ πράγματα κέκραγεν, ὡς ἄνθρωπος μὲν οὐκ ἦν, ἀλλὰ σκιά τις, ὡς ἔοικεν, ἀφανής· οὐ γὰρ ἂν ἀόρατος ἦν. Εἰ δὲ νομίζεις, Ὠριγένες, ὅτι ψυχὴ τοῦ Σαμουὴλ ἐτύγχανεν αὐτόθι, διατί διπλοΐδα περιβεβλημένον ἑωρᾶτο τὸ φάσμα; Προδήλῳ γοῦν ἐκφαίνεται σημασίᾳ, ὡς ἅπαντα τὰ τῆς ἐσθῆτος ἐνδύματα καὶ σκεπάσματα σώμασι πλέον, ἀλλ' οὐ ψυχαῖς ἁρμόττει· οὐ γὰρ οἶομαί σε φῆσαι (*l.* φήσειν) μεθ' ὑποκρίσεως ἀστεϊζόμενον, ὅτι μεμένηκεν ἡ διπλοῖς ἐπὶ τοῦ τάφου τοσούτους ἔτεσιν ἄχρι τῆσδε τῆς ἡμέρας, ἵνα ἡ ψυχὴ τοῦ προφήτου φορῇ, μή πη ἄρα γυμνὴ βαδίζουσα διάγοι· καίτοι γε φαίη τις ἄν, ὡς οὐδεὶς ἔοικεν ἀγνοεῖν, ὅτι τοῖς ἁγίοις ἀδιάφθορα πάρεστιν οὐρανόθεν ἐνδύματα φεγγοβόλοις ἐκλάμποντα μαρμαρυγαῖς, ἀλλ' οὐκ ἐσθῆτος ὑφάσματα ποικίλοις εὐδιάφορα. Εἰ δὲ τὴν τοῦ Σαμουὴλ ὁρίζῃ ψυχὴν μὲν εἶναι τὴν ὀφθεῖσαν, ἱμάτιον μέντοι φῆς ἑωρᾶσθαι κατ' ἔννοιαν, ἵν' ὁ τῆς ἱερουργίας ἔκδηλος εἴη τρόπος (ἀμφότερα δὲ ταῦτα νοητῶν ἐστι πραγμάτων ἴδια), συνέστηκεν ὡς οὐδὲν ὑγιὲς, οὐδὲ ἀληθῶς ἀπήγγειλεν ἡ μαινάς· ἕτερα γὰρ ἔλεγε παρὰ τὰ ὄντα, τὰ τῶν αἰσθητῶν ὀνόματα παραφέρουσα, καὶ τὰ νοητὰ διαδεικνύουσα πράγματα. Ἄνδρα γοῦν *ὄρθιον* ὀνομάζουσα, καὶ περιβολῆς ὑφαντὸν ἔσθημα χειρότευκτον, ἀόρατον, ἐκ τῶν ἐναντίων εἰσῆγεν πνεῦμα φαντασιῶδες.

VII. Eia dic ergo, o optime dogmatista, quomodo cognovit Saul illum fuisse Samuelem, quando nec umbræ quidem minimam partem, tantum

VII. Εἰπὲ τοίνυν, ὦ βέλτιστε δογματιστὰ, πῶς ἔγνω Σαοὺλ, ὡς αὐτὸς οὗτος ἐτύγχανε Σαμουὴλ, ὁπηνίκα μηδὲ σκιᾶς εἶδε μόριον, οὐχ ὅπως ἀνδρὸς ἰδέαν;

(3'') *Σαυτόν*. Sic impr., prave. Legendum prorsus videtur ταυτόν, ut pag. 644, B. Edit.

Digitized by Google

Ἀλλ' οὐκ ἐρυθριᾷς εἰρηκὼς, Ἔδει γεγράφθαι, *Καὶ ἐνόμιζε Σαοὺλ εἶναι αὐτὸν Σαμουήλ*, νῦν δὲ γέγραπται, *Ἔγνω Σαούλ;* Εἶτα ὅτι μὲν ὁ δαιμονιζόμενος ἔγνω παρὰ δαιμονώσης ἀκούσας, ἄνω καὶ κάτω λέγεις· ὅτι δὲ οὐδὲν οὐδὲ ὅλως ἐθεάσατο, σιγῇ τὸ γράμμα κρύπτεις· οὐδαμοῦ δὲ δὴ παραφέρεις ἐν μέσῳ τὸν ἔλεγχον, ἀφελεῖς μὲν οἰόμενος ἐξαπατᾷν ἀνθρώπους, εὕρημα δὲ μαντείας ἐπιτειχίζειν ἅπασιν ἀσεβοῦς· ἡ γάρτοι τοῦ δαιμονιζομένου γνῶσις ἀξία τοῦ κηρύγματος ἐτύγχανεν ἐκείνης τῆς καὶ τοὺς λόγους αὐτῷ διακονούσης. Ἀλλ' ἐπιστήμῃ καὶ συνέσει φαίης ἂν ὡς ἔγνω μὴ θεασάμενος, ἀλλ' οὐκ ἐνόμισεν· ἕκαστος γοῦν ἀνθρώπων ἀκοῇ μᾶλλον ἢ ὄψει πρᾶγμα παραλαβὼν οἴεται καὶ νομίζει, τὸ σαφὲς οὐκ εἰδώς, ἄλλως τε κἂν ὑπὸ δαιμονῶντος ἀκούῃ προσώπου· μόνα γὰρ τὰ τοῦ Θεοῦ βεβαιοῦνται ῥήματα πρὸς ἀκριβῆ κατάληψιν καὶ πίστεως ὀχυρότητα. Καὶ μὴν εἰ περὶ τῶν ἀνθρώπων ἔφησεν ὁ μελογράφος, *Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης*, πόσῳ γοῦν δὴ μᾶλλον εἰ περὶ γυναικὸς ἐκδιηγῆταί τις ἔκφρονος; Εἶτα λέγεις, ὅτι οὐδεὶς ἔγνω τὸ μὴ ὄν, οἷα μειρακίοις ἀντικρυς ὁμιλῶν. Εἰπὲ τοίνυν, πῶς ἔγνω τὸ ὄν, εἴπερ αὐτὸς οὐκ ἐθεάσατο πυνθανόμενος, οὐ τὸν ἄνδρα τὸν ὀρθιον, οὐ τὸ Ἐφοὺδ ὃ περιεῖχεν, οὐ τὸ ἀρχιερατικὸν ἱμάτιον, ἀλλ' οὐδὲν οὐδαμόθεν ὁρῶν ὑποκένοις ἀνερρίπιζετο λόγοις, ὥσπερ οὖν ἀμέλει καὶ σὺ κουφολογίᾳ τοὺς ἀστάτους ἀναπτεροῖς; Ἀλλ' ὁ μὲν ἱστοριογράφος ὄνομα προθεὶς ἐγγαστριμύθου, πρῶτον ἐδήλωσε τὸ πρόσωπον, ὁποῖόν ἐστιν, ἐμμανές· εἶθ' οὕτως αὐτῷ [*f.* αὐτό] τὴν ὀπτασίαν ἐωρακέναι διέγραφεν, ὡς πρέπει τοῖς εὖ φρονοῦσι περὶ τοῦ παραπεπληγμένου νοεῖν· οὐδεὶς γὰρ ἂν ὑπολάβῃ (*f.* ὑπολάβοι) φρενοβλαβῆ τινα, τὰ δέοντα θεωρεῖν. Ὁμοίῳ δὲ τρόπῳ καὶ τὸν ἔκφρονα Σαοὺλ ἔφησεν ἐγνωκέναι μαντευομένῳ [*f.* μαντευόμενον], ὡς ἄξιον ἂν εἴη περὶ ἐκείνου νοῆσαι, τοῦ τοσαύταις ἐτῶν περιόδοις ἐλαυνομένου πικρῶς ὑπὸ τοῦ δαίμονος.

A abest ut formam hominis aspexerit? Nec erubescis cum dicis scribendum fuisse : *Et putabat Saul illum esse Samuelem;* cum scriptum sit : *Cognovit Saul?* Sub hæc, quod a dæmone vexatus a dæmoniaca audiens cognoverit, ubique decantas; quod vero nihil omnino uspiam viderit, silentio præteris, neque reprehensionem ullam in medium affers, id in animo habens ut simplices homines fallas, omnibusque novam impiamque divinationem inculces. Dæmoniaci quippe cognitio illius quæ et verba ipsi subministrabat præconio digna erat. Dices illum scientia quadam prudentiaque quod non viderat cognovisse, sed non fuisse opinatum. Namque quilibet homo qui auditu potius quam oculis rem aliquam acceperit, cum verum non cognoscat, opi- B natur et credit, atque præcipue, si a dæmoniaca persona illam hauserit. Sola etenim divina verba ad exquisitam comprehensionem et fidei munimentum firmitatem habent. Nam si de hominibus carminum scriptor scripsit [15] : *Ego dixi in excessu meo : Omnis homo mendax*, de muliere demente sane multo aptius dici poterit. Dicis præterea neminem nosse quod non est; quasi cum puerulis sermonem consereres. Dic igitur quomodo cognovit id quod erat, si ipse jam interrogans non viderat, neque hominem erectum, neque Ephod quod continebat, non summorum sacerdotum vestem, sed nihil usquam conspiciens vanis sermonibus jactabatur, quemadmodum et tu non minori orationis vanitate C parum firmos commoves. Sed historiæ quidem scriptor, Engastrimythi nomine apposito, primum personam qualis esset, furiis videlicet agitatam, significavit. Deinceps ipsi spectrum quod viderat exposuit ea ratione, qua mentis compotes de excordibus debent judicare : nemo enim existimare potest aliquem mente captum videre ea quæ oporteat. Similiter et dementem Saulem, dum vaticinium peteret, dixerat cognovisse; quemadmodum de eo qui tot animorum conversionibus a pessimo dæmone correptus agitabatur, æquum erat discernere.

VIII. Ἀλλὰ μὴν ὅτι γε ταῦτα τοῦτον ἔχει τὸν τρόπον, αὐτὰ τὰ πράγματα βοὰς ἀφίησιν ἐναργεῖς. Ἵνα δὲ καὶ ἀφ' ἑτέρου τὰ ὅμοια συστήσαιμι παραδείγματος, φέρε τὴν ἐπὶ Ἠλίου τοῦ προφήτου προάγωμεν ἱστορίαν, ὁπηνίκα τὸν ἀριθμὸν ἠξίουν μὲν ἐν θυσίᾳ τὴν ἑκατέρων ἀνεξετάζεσθαι τάξιν, μηδένα δὲ πῦρ ἐπάγειν, ἀλλ' εὐχαῖς ἐπάγεσθαι πυρὸς ἐπιφοράν, ἵνα D ἐκ τοῦ κατακομπαζομένου μετεώρου οὐρανόθεν ἔκδηλος μὲν ἂν εἴη πᾶσιν ἐπακοῦσαι δυνάμενος ἐν φλογὶ πῦρ ἀποστέλλειν Θεὸς, ἐκ δὲ τούτου διαγινώσκηται τίς ἡ τοῦ κρείττονος ἐξουσία, καὶ πᾶσι φανερὸν ἂν εἴη γε τὸ ἄμεινον. Ὡς οὖν ἐπέταττε πρώτοις ἐπιτελεῖν ἐκείνοις, οἱ μὲν ἐπιλεξάμενοι βοΐδιον ἐμέλιζον εἰωθότως, ἐπικαλούμενοι δὲ δὴ τὸ τετράμορφον ἐμμελέτημα τοῦ καλουμένου Βάαλ, οὐδὲν ἧττον ἔπραττον, οὐδὲν οὐδαμῶς· ἀλλά γε *καὶ κατετέμνοντο κατὰ τὸ ἔθος αὐτῶν μαχαίραις*, ἔφη, *καὶ σειρομάσταις ἕως ἐκχύσεως αἵματος*· εἶτα ἐπὶ τούτοις ἡ διηγηματικὴ τοῦ συγγραφέως ἐπιφέρει βοή· *Καὶ προεφήτευον*

VIII. Et hæc in se habere res ipsæ clamant clarissima voce. Verum ut et alio exemplo rem mihi propositam confirmem, age Eliæ prophetæ historiam in medium afferamus [16], cum vellent numero in sacrificio partis utriusque præstantiam dijudicare, nullumque audere ignem injicere, sed precibus illum in cœlo conceptum subjicere, ut inde demisso cœlitus signo, quo liceret gloriari, pateret omnibus Deus, qui posset et exaudire et ignes suscitatos depellere, ex quo potioris dignitas elucesceret, et quod melius erat appareret. Ubi vero primum illis ut opus perficerent imperavit, illi selectam buculam more suo discerpebant in partes, et invocato non indiligenter quadriforme Baalis numine, nihil minus operabantur, nihil omnino. Addit [17] : *Et incidebant se ex more gladiis et siroma-* · *stibus ad effusionem usque sanguinis.* Subdit his auctor illius narrationis [18] : *Et prophetabant quousque præteriit vespera.* Cum itaque Scriptura non expo-

[15] *Psal.* CXV. 11. [16] *III Reg.* XVIII, 19-26 [17] *ibid.* 28. [18] *ibid* 29.

Digitized by Google

suerit verane an mendacia prophetarent, ideone illos prophetas fuisse veraces aliquis contenderet? Scilicet dicendum erat, ut Origenes ipse determinat, prophetabant ut ipsi opinabantur, non nisi mendacia conflantes. Neque enim fas erat in ipsis incidere præsagitionem; et tamen extricato claroque scribit sermone: *Et prophetabant quousque præteriit vespera.* Nonne ipsa rerum eventorumque consequentia hæc illis similia comprobantur? Etenim si amborum idem est auctor, unum etiam ex utrisque sensum elicere consequens est. Sed quemadmodum hic idololatrarum præfixo nomine id nobis innuit de illis ita sentiendum esse, scilicet pseudoprophetas fuisse omni prænotione destitutos; sic et ibi personis dæmone agitatis præpositis sacrilegique vaticinii facinoribus, per reticentiam quid de amentibus illis prudentes sentire deberent manifestavit.

IX. Sane si vellem rerum similium testimonia afferre, deficiet fortasse tempus dicentibus: satis vero erit, si alterum hujus rei exemplum adducam. In Exodi ergo historia habetur [19], Moysi Aaronique Dominum ipsum præcepisse ut ante Pharaonem in terram baculum dejicerent, qui commutata forma in eorum conspectu prodigio horribili Ægyptios deterreret. Quod ubi maxima omnium admiratione factum esset, princeps sine consilio amentia delusus vocavit una simul omnes et sapientes et incantatores Ægypti: *Et fecerunt etiam incantatores Ægyptiorum*, dixit, *per incantationes similiter; projeceruntque singuli virgas suas, et factæ sunt dracones: et devoravit baculus Aaronis virgas illorum* [20]. Refertur præterea [21] Ægyptiorum incantatores similiter sanguinem et ranas fecisse [22]. Cum igitur narratio neque hic singulorum actus subdividat, sed similiter incantatores fecisse fateatur; ideo ne dices quæ a magis confecta sunt, illis quæ a Moyse similia esse? Nequaquam, dicet quis, cum nec fas sit dicere curiosa isthæc et superstitiosa a Deo factis rebus assimilari. Quæcunque Moyses exsequebatur, veritatem præ se ferebant: at quæ incantatores ordiebantur, imaginatione tantum visum fallebant; quippe rerum imbecillitate satis abunde mendacium eludebatur. Quandoquidem, qua ratione una virga derepente omnes illas et multas devoravit? Neque fas est animo concipere quomodo illi ex rebus inanimatis possent facere uno impetu ut essent animatæ. Tunc enim nobis essent fortasse potiores, qui lignis emortuis animam indere haberent in facultate. Nec Moyses ipse quidpiam quod esset admiratione dignum præstabat, si illis similia perpetrabat. Quare æquum est hæc nullius esse momenti ostendere ipsius Scripturæ verbis. Nam si Deus, ut Ægyptiorum injurias propulsaret eosque puniret, omnes aquarum fluctus ut in sanguinem commutarentur imperabat; si similes plagas accipientes, ductus aquarum in sanguinem

A ἕως παρῆλθε τὸ δειλινόν. Ἐπεὶ τοίνυν οὐ διέστειλε τὸ γράμμα, πότερον ἀληθῆ προὐφήτευον ἢ ψευδῆ, παρὰ τοῦτο φαίη τις ἂν ἐκείνους εἶναι προφήτας ἀληθεῖς; Ἔδει γὰρ εἰρηκέναι κατὰ τὴν Ὠριγένους ἀπόφασιν, Προεφήτευον ὡς ὤοντο τὸ δοκεῖν, μηδὲν ἀληθὲς λέγοντες (ἐπεὶ μηδὲ θέμις ἐμπολιτεύεσθαι ἐν αὐτοῖς πρόγνωσιν), ἀλλ' οὐκ ἀνεπιπλόκῳ καὶ καθαρᾷ προφωνῆσαι λέξει· Καὶ προεφήτευον ἕως παρῆλθε τὸ δειλινόν. Ἆρ' οὖν ἀκολούθως ἐκ τῆς αὐτῆς τοῦ γράμματος ἱστορίας ἔστιν ἰδεῖν, ὅτι ταῦτα ἐκείνοις ἐπέοικεν· εἰ γὰρ ὁ αὐτός ἐστιν ἑκατέρων ὁ συγγραφεύς, ὅμοιον ἐξ ἀμφοῖν ἀνάγει τὸν νοῦν. Ἀλλ' ὥσπερ ἐνταῦθα τὸ τῶν εἰδωλολατρῶν ὄνομα προτάξας, ἐδήλωσε κατὰ ἔννοιαν, ὅτι χρὴ περὶ τούτων ὑπολαμβάνειν ὡς εἰσὶ ψευδοπροφῆται λειπόμενοι προγνώσεως· B οὕτω κἀκεῖ πρόσωπα δαιμονιζόμενα προτάξας, καὶ μαντείας ἀθεμίτου δράματα, κατὰ ἀποσιώπησιν ἐμήνυσε τί δέοι περὶ τῶν ἐκφρόνων δοξάζειν τοὺς ἔμφρονας.

IX. Ἀλλὰ τὰ τοιαῦτα μὲν εἰ παραφέροιμι μαρτύρια, τάχα ἴσως ὁ χρόνος ἡμᾶς ἐπιλείψει λέγοντας· ἄλλην δὲ μίαν παραδείγματος εἰκόνα προθεὶς ἀρκεσθήσομαι. Τοιγαροῦν ἐν τῷ τῆς Ἐξόδου κατασεσήμανται γράμματι, πῶς ἐπέταττεν τοῖς ἀμφὶ Μωσέα καὶ Ἀαρὼν αὐτὸς ὁ Κύριος εἰς ἕδαφος ἐκρίψειν τὴν ῥάβδον ἀντικρὺ Φαραώ, ἵνα εἰς ὄψιν ἀμείψασα τὸ σχῆμα σημείῳ καταπλήξῃ φοβερῷ τοὺς Αἰγυπτίους. Ὡς δὲ τοῦτο ἐγίνετο παραδόξως, ὁ δυνάστης ἀνοίᾳ φρενακιζόμενος ἀβούλῳ, συνεκαλέσατο μὲν ὁμόσε τοὺς σοφιστὰς καὶ τοὺς φαρμακοὺς Αἰγύπτου· Ἐποίησαν δὲ καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων, ἔφη, ταῖς C φαρμακείαις αὐτῶν ὡσαύτως, καὶ ἔρριψεν ἕκαστος τὴν ἑαυτοῦ ῥάβδον, καὶ ἐγένοντο δράκοντες· καὶ κατέπιεν ἡ ῥάβδος Ἀαρὼν τὰς ἐκείνων ῥάβδους. Ἔτι γε μὴν ἀναφερόμενόν ἐστιν, ὡς αἵματα καὶ βατράχους ἐποίησαν ἐπαοιδοὶ τῶν Αἰγυπτίων ὡσαύτως. Ἐπεὶ οὖν ἡ διηγηματικὴ μηδὲ δεῦρο διαιρεῖ φωνὴ τὰς ἑκατέρων τάξεις, ὡσαύτως δὲ καὶ τοὺς ἐπαιδοὺς ἐξεῖπε πεποιηκέναι, παρὰ τοῦτο φαίης ἄν, ὅτι τὰ δεδραμένα τοῖς φαρμακοῖς ὅμοια τοῖς διὰ Μωϋσέως γενομένοις ἐστίν; Οὐμενοῦν, εἴποι τις ἄν, ἀλλ' οὐδὲ θεμιτὸν ἂν εἴη λέγειν, ὡς ἐξομοιοῦται τὰ περίεργα καὶ γοώδη τοῖς οὐρανίοις ἀπομιμήμασιν. Ὅσα μέν γε διὰ Μωσέως ἐπράττετο, τὴν ἀλήθειαν ἐκ τῶν δρωμένων ἐξέφαινεν· ὅσα δ' οὖν διὰ τῶν ἐπαοιδῶν ἐκατ- D τύετο, τὸ δοκεῖν ἐφάνταζε τὰς ὄψεις· αὐτοτελῆ γὰρ ἔλεγχον ἐκ τῆς ἀδρανίας ἐπεφέρετο τὸ ψεῦδος· ἐπεὶ πῶς ἡ μία κατέπιε ῥάβδος ἄφνω τὰς πολλὰς ἐκείνας; Οὐδέ γε θέμις ἐστὶν ἐννοεῖν, ὡς ἐκ τῶν ἀψύχων ἐκεῖνοι ῥάβδους ἐμψύχους ἠδύναντο ἀποτελεῖν ἀθρόως· ἀμείνους γὰρ ἂν ἦσαν ἴσως ἡμῶν οἱ τὰ νεκρὰ δυνάμενοι ψυχῶσαι ξύλα· τάχα δὲ οὐδὲ Μωσῆς παράδοξον ἔπραττεν ἂν οὐδέν, εἰ τὰ παραπλήσια τούτοις εἰργάζετο. Καίτοι πῶς οὐ δίκαιον ἀδρανῆ φαίνειν αὐτὰ δι' αὐτοῦ τοῦ Γραφικοῦ μηνύματος; Εἰ γὰρ ἀμυνόμενος τοὺς Αἰγυπτίους ὁ Θεὸς, ἅπαντα μὲν ἐπεκελεύετο τὰ ῥεῖθρα τῶν ὑδάτων εἰς αἷμα μεταβάλλεσθαι τιμωρίας χάριν· εἰ (*f.* οἱ) δὲ τοιαύταις αἰκιζόμενοι

[19] *Exod.* VII, 10. [20] *ibid.* 11, 12. [21] *ibid.* 22. [22] *Exod.* VIII, 7.

Digitized by Google

πληγαῖς εἰς αἵματος ἰδέαν ἀμείβουσι τοὺς ὀχετοὺς ὡσαύτως, αὔξειν ἐπιτεχνώμενοι τὸ πάθος, ἕνεκα τίνος ἀξιοῦσι καὶ δέονται, πιεζόμενοι τῇ δίψῃ, καθαρισθῆναι τὰ κατὰ πᾶσαν Αἴγυπτον ὕδατα τῆς αἱμοφόρου μίξεως; Εἰ (*f.* οἱ) αὖ πάλιν ἀπειροπληθεῖς ἄφνω θεασάμενοι βατράχους, τί δήποτε παραιτούμενοι τοὺς ὄχλους αὐτῶν, αὖθις ἔπλαττον ἄλλους, εἰ μὴ τῶν μὲν ἐν σκιᾷ καὶ φαντασίας εἶδει φαινομένων οὐκ ἐπεφρόντιζον, ὑπὸ δὲ τῶν ἄλλων ἔργῳ δεικνυμένων ἐλυμήναντο δεινῶς; Οὐδεὶς γὰρ ἀνέλοιτο τῷ πολεμίῳ πλήθει ἕτερον πρωτιθέναι πλῆθος ἀναρίθμητον, ἀντὶ τοῦ νεολέκτους στρατολογεῖν εἰς συμμαχίαν δορυφόρους· οὐδὲ ἐπεγεῖραι πυρετῷ πυρετὸν, ἀπαλλαγῆναι τοῦ πρώτου γλιχόμενος, οὐδὲ πληγῶν ἀφορήτων βίᾳ μαστιζόμενος, ἄλλας ἑαυτῷ προσεπιφέρει πληγὰς, ἀνεθῆναι τούτων ἐφέσει καθαρᾷ καὶ πρεσβείᾳ καὶ δεήσει προσλιπαρῶν· ἀλλ' οὐδὲ τῶν οἴκοι πιμπραμένων, ἀντὶ τοῦ σβεστήρια καταψεκάζειν ὄργανα, τοὐναντίον ἔλαιον ἢ πίτταν ἐπιχέων, εἰς ἄμετρον μὲν ὕψος ἐγείρει τὴν φλόγα, φλεγομένη δὲ μεῖζον τὸ πάθος αὔξει, καὶ πῦρ ἄρδει κατὰ πυρὸς ἀπειροκάλως. Οὕτως ἄρα, δι' ὧν ἐφιλοτιμοῦντο πράττειν οἱ φαρμακοὶ, διὰ τούτων ἐναργεῖς ἐξέφερον ἐλέγχους, ὡς οἰησικοπίᾳ φαντασιώδει ψυχαγωγεῖν ᾤοντο δεῖν ἑαυτούς. Ἔστι γοῦν αὐτόθεν οὐ χαλεπῶς ἰδεῖν, ὅτι καὶ νυνὶ πολλῷ πλείονα καὶ μείζονα τούτων ἐν τοῖς θεάτροις οἱ ψηφοπαῖκται δρῶσιν εἰωθότως· ἀλλ' ὅμως αὐτοσχεδίῳ δυνάμει τούτων ἄντικρυς ἁλισκομένων ἑάλων· οὐδὲν ἧττον ἡ διηγηματικὴ προγράφει φωνή· *Καὶ ἐποίησαν οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως.* Ἔδει τοίνυν, ὡς ὁ δογματιστὴς ἐνομοθέτησεν Ὠριγένης, εἰπεῖν· *Ἐποίησαν δὲ τὰ παραπλήσια τῷ δοκεῖν οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων*· ἀλλὰ μὴ λέγειν, ὡσαύτως, ἵνα μή τινες ὑπολάβοιεν ἂν ὡς ἐξ ὁμοίας ὁρμᾶται δυνάμεως· εἰ γὰρ ὅμοια τοῖς ἀμφὶ Μωσέα πράττειν οἷοί τε ἦσαν, οὐκοῦν ὡσαύτως ἠδύναντο τοὺς ἐναντίους ἀμύνασθαι τοῖς ἴσοις, ὥστε τοὺς ἀγῶνας ἑκατέρωθεν ὑπάρχειν ἀντιπάλους· εἰ δ' οὐδένα δι' ὧν ἐσχημάτιζον ἔβλαπτον, ἀποκέχρηται μὲν ἄρα τῷ ῥήματι, πρόδηλα δὲ τὰ τῆς ἀψύχου φαντασίας ἐκτυπώματα. Οἷα δὴ κἀνταῦθα τὸ τῶν *ἐπαοιδῶν* ὄνομα προτάξας ὁ συγγραφεὺς, καὶ τὰ τῆς φαρμακείας ἐπιτηδεύματα, διέδειξεν ὡς οὐ χρεὼν ἂν εἴη τὸ παράπαν ἀμφισβητεῖν, ὅτι τοῖς μάγοις ἕκαστα περιεργείᾳ διεπράττετο τὰ γοώδη· τοιαῦτα καὶ τὰ τῇσδε τῆς ἱστορίας ἀπογράφεται δράματα· αὐτὴν γὰρ ἐγγαστρίμυθον ὀνομάσας, εἶτα καὶ μαντικῆς εὑρήματα διελέγχων ἀσεβῆ, δαιμονιζομένου τε τὸ πρόσωπον ἀποδείξας εἶναι τὸ μαντευόμενον, αὐτοτελῶς ἐξέφηνεν, ὅτι φαντασιοκοπίαις ἕκαστα διαπράττοιτο κιβδήλοις. Ἀλλὰ ταῦτα μὲν ἡμῖν οὕτω νοητέον.

X. Ἴωμεν δὲ πάλιν ἐξελίττοντες ἐπὶ τὰ τῶν λόγων ἴχνη. Τί οὖν, ὡς ἤρετο τὴν ἐγγαστρίμυθον ὁ Σαοὺλ, *Τί ἑώρακας*; εἰπών; Ἐν πρώτοις ἡ παραπλὴξ ἀνθυπενέγκασα βοᾷ· *Καὶ θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς*· ἐπειδὴ γὰρ ἐβούλετο ἐκτραχηλίσαι παντοίως τὸν ἄνδρα συναρπάσας ὁ διάβολος, ἐπει-

vertunt ea cura et studio ut calamitatem adaugeant, quanam de causa supplices exorant siti pressi per universam Ægyptum sanguinolentas aquas expurgari? Vel rursum infinitis ex improviso ranis conspectis, utquid, cum illarum multitudine molestarentur, alias effingebant; nisi quod de illis quæ in umbra et spectri tantum forma apparebant non curabant, verum ab aliis quæ re ipsa erant et videbantur, mirum in modum læsi perdebantur? Nemo enim multitudini hostium multitudinem aliam inimicorum innumeram addit, cum novos ministros ac satellites ad sui tutelam deberet conducere; neque febrim qua liberari avet febri excitare majori; neque qui plagis intolerandis vi petitur, alia sibimet ipsi infligit, dum puro cordis affectu et precibus et oratione orat ut liberetur. Sic etiam his qui domi exuruntur, pro machinis ad ignem exstinguendum adaptandis, oleum et picem si quis superinfundet, in immensum flammas excitabit, quæ ubi invalucre, malum majus exoritur, ignisque inepte contra ignem accenditur. Sic igitur magi per ea quæ ambitiose tentabant, manifeste deprehendebantur, tantum animi conceptu atque opinione, ut sibi videbantur, animum oblectasse. Indeque ad hæc tempora (quod non est difficile cogitatu) illis multo majora majorique in copia in theatris saccularii de more ludunt. Qui tamen facultate e re nata vani irritique plane deprehensi ceciderunt; et nihilominus Scriptura narrat: *Et fecerunt Ægyptiorum incantatores per incantationes eorum similiter.* Dicendum itaque erat, ut dogmatum lator Origenes quasi lege sancivit, *Fecerunt autem similia apparitione incantatores Ægyptiorum*, et non *similiter*; ne quis suspicaretur ex eadem potestate produci. Nam si similia Mosaicis illis conficiendi facultas fuisset, fuisset utique eadem ratione hostes ulciscendi, ita ut utrinque æquo Marte certandum foret. Si vero nullus per quæ efformabant lædebatur, abutitur ergo sermone, manifestæque fiunt inanimatæ imaginationis species. Quemadmodum et hic *incantatorum* nomine et magiæ studiis ac artibus præpositis demonstravit, omnino dubitandum non esse omnia illa a magis superstitiosa curiositate perfecta fuisse similia, et hujusce historiæ gesta repræsentantur. Nam engastrimytho inducta, deinceps magiæ artibus impiis deprehensis, et persona quæ vaticinia petebat dæmoniaca demonstrata; perfecte demonstravit imaginationibus iisque mentitis omnia fuisse peracta. Sed hæc ita nobis intelligenda sunt.

X. Porro iterum si quæ sunt verborum indicia, consideremus. Quid igitur? ut engastrimythum Saul interrogavit: *Quid vidisti?* inquiens [13], primum demens illa mulier respondens clamat: *Et deos vidi ascendentes e terra.* Cum enim modis omnibus virum præcipitem agere in animo haberet diabolus,

[13] *I Reg.* XXVIII, 13.

Digitized by Google

arripiens palam conabatur ostendere, dæmonium arbitratu suo ac potestate posse non tantum unam animam justi evocare, sed omnes simul sanctorum virorum; iblque dæmonum hostili exercitu instructo, ictuque oculi omnibus in unum collatis, cæteris per id conabatur persuadere, semet qui et alios congregarat, Deum esse. Eum vero propria quadam stoliditate sese Deum facere consuesse, Isaias adversa facie eum reprehendens, prophèticis sacrisque vocibus prædicat : *Tu vero dixisti in corde tuo : In cœlum ascendam, super astra ponam solium meum : sedebo in monte excelso super montes excelsos qui respiciunt Aquilonem : ascendam super nubes, et ero similis Altissimo* [24]. His non dissimilia per Ezechielem prophetam ipse Dominus aperte testimonium exhibet : *Propterea quod elatum est cor tuum, et dixisti : Deus sum ego, habitabo in corde maris; tu vero homo es, et non Deus* [25]. Quas autem propter id pœnas illi minetur, ex his quæ infra dicuntur facile erit videre. At divino sane oraculo manifestum est, eum quotidie superbe jactando similibus spectris inniti. Itaque si dæmon qui deorum nomine insigniuntur posset educere, non necesse est credere evocatis evocantem ipsum potiorem esse. Et si sanctis is præest, asserendum est etiam dæmoniorum principem illi præesse. Quæ si quis concesserit, argumentis quibus minime responderi potest, demonstravit Deum deorum esse, qui ministros suos ea donat potestate, ut spiritus et animas justorum ab inferis possint educere. Hæc nemo, dummodo sanæ mentis sit, affirmabit omnino, ne contra divina testimonia calculum atrum demittere videatur. Cum enim amens quæsisset, addens [26] : *Et dixit mulieri : Quid vidisti?* statim mulier ad interrogata respondens dixit : *Vidi hominem rectum ascendentem e terra, et hic amictus est diploide;* et cum neminem omnino vidisset, ubi verba percepit, cognovit, ut ipse sibi imaginabatur, illum esse Samuelem, quippe qui intus a dæmone oppugnaretur. Verum ut signorum nomine fuit abreptus, tunc facie in terram inclinata illum adoravit. Primo quidem rectissime id dici potest. Si Samuel ille fuisset, et non transformatus vafer serpens, dixisset pia quidem mente : *Dominum Deum tuum adorabis, et illi soli cultum præstabis* [27]. Secundo rursus addam, cum Samuel universo populo imperaret, primasque inter prophetas obtineret, Saul inter privatos adhuc parietes delitescebat; et dum patris asinas requireret, accedens ad ipsum veluti prophetam interrogaturus de jumentis deperditis [28], nequaquam illum adoravisse compertus est, etsi illius ope indigeret aperteque illi ut populi ductori subderetur. Quomodo igitur qui tunc non adoravit privatus principem, nunc ex opposito rex privatum adorat? Ilis tertio subnectam, utquid *deos ascendentes* cum audisset, horum neminem

ρᾶτο δεικνύναι σαφῶς, ὅτι τὸ δαιμόνιον ἐπ' ἐξουσίας εἶχεν οὐχὶ μίαν μόνον ἀνάξαι δικαίου ψυχὴν, ἀλλὰ καὶ πάσας ὁμοῦ τὰς τῶν ἁγίων ἀνδρῶν· ὁ δὲ ἐκ τῶν ἐναντίων τὴν τῶν δαιμόνων ἐνταῦθα στρατιὰν ὁπλίσας, καὶ σύνοδον ἐν μιᾷ ῥοπῇ ὥρᾳ συστησάμενος ἐκόμπαζε, πείσας (*l.* πεῖσαι) καὶ διὰ τοῦδε τοὺς ἅπαντας ἐθέλων, ὡς αὐτὸς εἴη Θεὸς ὁ συναγωγεὺς τῶν ἄλλων. Ὅτι δ' οὖν οἰκείᾳ χρώμενος ἀπονοίᾳ θεοποιεῖν εἴωθεν ἑαυτὸν, ὁ μὲν Ἡσαΐας ἀντιπροσώπως ἐλέγχων αὐτὸν, ἱεροφωνίᾳ κηρύττει προφητικῇ· *Σὺ δὲ εἶπας ἐν τῇ καρδίᾳ σου· Εἰς οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἀστέρων θήσω τὸν θρόνον μου· καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς Βορρᾶν· ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν· ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ.* Μαρτυρεῖ δὲ τούτοις ὅμοια καὶ διὰ τοῦ προφήτου φθεγγόμενος Ἰεζεκιὴλ αὐτὸς ὁ Κύριος ἀντικρυς· *Ἀνθ' ὧν ὑψώθη ἡ καρδία σου, καὶ εἶπας· Θεός εἰμι ἐγὼ, κατοικιῶ ἐν καρδίᾳ θαλάσσης· σὺ δὲ εἶ ἄνθρωπος, καὶ οὐ Θεός.* Ἀντὶ τούτου μὲν ὅσας αὐτῷ τιμωρίας ἀπειλεῖ, ῥᾴδιόν ἐστιν ἐκ τῶν ὑποκειμένων ἰδεῖν· ὅτι δὲ τοιούτοις ἐπερείδεται φάσμασι κομπολογῶν ἑκάστοτε, θείᾳ δεδήλωται ψηφοφορίᾳ. Τοιγαροῦν εἴπερ ὁ δαίμων οἷός τε ἦν ἀνάξαι τοὺς ὀνόματι θεοὺς ἀνακικλησκομένους, οὐκ ἀνάγκη νοεῖν, ὅτι μείζων ἐστὶ τῶν ἀναγομένων ὁ ἀνάγων; Εἰ δὲ προὔχει τῶν ὁσίων οὗτος, ἀκόλουθον ὑπολαμβάνειν, ὅτι καὶ τούτου πάλιν αὐτὸς ὁ ἀρχιδαίμων. Εἰ δὲ ταῦτά τις ἀποδώσειεν ἀναντιῤῥήτῳ δυνάμει, συνίστησιν ὡς αὐτός ἐστι Θεὸς θεῶν, ὁ τοῖς ὑπηρέταις τοῖς ἑαυτοῦ τοιαύτην ἀπονέμων ἐξουσίαν, ὥστε πνεύματα καὶ ψυχὰς ἐξ ᾅδου μεταπέμπεσθαι δικαίων. Ἀλλὰ ταῦτα μὲν οὐδείς πω τῶν εὖ φρονούντων ὁριεῖται τὸ σύνολον, ἵνα μὴ ταῖς ἁγίαις ἐναντία ψηφιεῖται μαρτυρίαις. Ἐπειδὴ δὲ τὸ δεύτερον ὁ παραπλὴξ ἤρετο συνάψας, *Καὶ εἶπε*(3''')*τῇ γυναικὶ, Τί ἔγνως;* αὐτίκα πάλιν ἀνθυπενέγκασα πρὸς τὴν ἐρώτησιν, ἔφησεν· *Εἶδον ἄνδρα ὄρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος ἀναβεβλημένος διπλοΐδα·* μηδένα δὲ τὸ παράπαν ἰδὼν, ὡς αὐτήκοος ἐγένετο τῶν λόγων, ἔγνω μὲν κατὰ τὴν ἔννοιαν τὴν ἑαυτοῦ τοῦτον εἶναι Σαμουὴλ, ἅτε διαπολιορκούμενος ὑπὸ τοῦ δαίμονος ἔνδοθεν· ὡς δὲ τῇ τῶν σημείων ὀνομασίᾳ συνηρπάσθη, τηνικαῦτα τὸ πρόσωπον ὑποκλίνας ἐπὶ τῇ γῇ, προσεκύνησεν αὐτῷ. Πρῶτον μὲν οὖν ὀρθότατα φαίη τις ἄν, εἰ Σαμουὴλ ἐτύγχανεν ἐκεῖνος, ἀλλὰ μὴ μεταμορφωθεὶς ὁ πολύτροπος ὄφις, ἀνθυπενέγκας ἔφρασεν ἂν εὐσεβεῖ λογισμῷ· *Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.* Δεύτερον δὲ πάλιν εἴποιμ' ἄν, ὁπηνίκα Σαμουὴλ τοῦ παντὸς ἦρχε λαοῦ καὶ προφήτης ἐτύγχανεν ἔγκριτος, ὁ Σαοὺλ ἰδιωτεύων ἔτι καὶ τὰς τοῦ πατρὸς ὄνους ἀναζητῶν, ἀπῆει μὲν ὡς αὐτὸν ἐρωτήσων, οἷα προφήτην, ἕνεκα τῶν ἀπολομένων ὑποζυγίων, οὐδαμοῦ δὲ φαίνεται προσκυνήσας αὐτῷ, καίτοι χρῄζων αὐτοῦ, καὶ προφανῶς ὑποκείμενος οἷα καθηγεμόνι λαοῦ. Πῶς οὖν ὁ

[24] *Isa.* XIV, 13, 14. [25] *Ezech.* XXVIII, 2. [26] *I Reg.* XXVIII, 13, 14. [27] *Matth.* IV, 10. [28] *I Reg.* IX, 14.

(3''')*Ἤρετο συνάψας· Καὶ εἶπε.* Sic restituimus quod in impr. legitur, ἤρετο καὶ συνάψας· Εἶπε. EDIT

τότε μὴ προσκυνήσας ὡς ἰδιώτης ἄρχοντι, νῦν ἐν τῶν ἐναντίων ὁ βασιλεὺς ἰδιωτεύοντι προσκυνεῖ; Τρίτον ἐπὶ τούτοις ἔχω λέγειν, τί δήποτε *θεοὺς ἀναβαίνοντας* ἀκούσας, οὐδενὶ τούτων προσεκύνησεν· ὅτε δὲ *τὸν ἄνδρα ὄρθιον* ἀκήκοεν *ἀναβεβηκότα*, τηνικαῦτα προσκυνήσας ὑπέκυψε; Καὶ μὴν, ὡς Ὠριγένης ἀπεφήνατο τολμηρῶς, εἴπερ ἄγγελοί τινες ἦσαν ἐκ τούτων ἢ χοροὶ προφητῶν, ἔδει τοῖς κρείττοσιν ὑποκύψαι. Οὐκοῦν ἐκ πάντων ὁμοῦ τῶν ἔργων εὐχερῶς ἐστιν ἰδεῖν, ὅτι τὸν ἡγεμόνα μὲν νοῦν ἐτύφλωττεν ὁ Σαοὺλ, ὑπὸ τοῦ δαίμονος ἐλαυνόμενος· ὁ δὲ διάβολος εἰς διαφόρους ἐξήλλαττεν ἑαυτὸν ἰδέας, ὑπὸ τοῦ δυνάστου προσκυνηθῆναι πραγματευόμενος, ἵνα ἐκ τούτου πλείστους ὅσους ἐξαπατήσῃ λεληθότως ὑποκύπτων(ζ''') αὐτῷ. Καίτοι γε δὲ [*f.* δὴ] οὐ ξένον ἐστὶν εἰπεῖν, ὅπου γε καὶ τὸ τοῦ Χριστοῦ πρόσωπον εἰσιδὼν, ἔργῳ μὲν ἔνδοθεν ἐώρα καὶ πράξει Θεὸν, καὶ φύσει Θεοῦ γνήσιον Υἱὸν, ἄνθρωπον δὲ καθαρὸν, ἄχραντον, ἀκηλίδωτον ἐξωτάτω περικείμενον ἐποπτεύων, καὶ ναοῦ χρῆμα περικαλλὲς, ἀφιερωμένον, ἀσύλητον, οὐδὲν ἧττον ἐκπειράζων αὐτὸν ἀμελητὶ προσείη (*l.* προσῄει), θεομαχῶν εἰωθότως· ὡς δὲ, τὰ πρῶτα καὶ τὰ δεύτερα καθ' ἑαυτοῦ προκαλεσάμενος, ἡττήθη ῥαγεὶς, ἄθλιος αὖθις εἰς ἄλλο μεταλλάξας ἦθος, ὑποδεικνύναι μὲν αὐτῷ πᾶσαν τὴν τοῦδε τοῦ κόσμου περιγραφὴν ἐπεχείρησε καὶ τὰς βασιλείας αὐτῆς, ἀπονοίᾳ δὲ καὶ ψευδηγορίᾳ θρασυνόμενος ἐκόμπαζε· *Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι.* Τοιαύτας μὲν οὖν ὁ ἀσεβὴς ἐῤῥῆξε δεῦρο φωνὰς, οἰόμενος εἰς ὀργὴν ἐκκαλέσασθαι τὰ τῆς ἀνεξικακίας ἤθη, καὶ διὰ τοῦ τοιοῦδε δοκεῖν ἐπιλαμβάνεσθαι· μακροθυμίᾳ δὲ κατεσίγασε τὸν ἀλάστορα θεοπρεπῶς ὁ Κύριος· ἴδιον γὰρ ἂν εἴη Θεῷ πάντα ἀνεξικάκως φέρειν. Εἰ τοίνυν αὐτῷ τῷ Κυρίῳ τοιαῦτα προσοίσει ῥήματα παρ' οὐδὲν ἡγήσατο, πῶς οὐκ ἔστι σαφὲς, ὅτι προσκυνεῖσθαι βουλόμενος ἴσα Θεῷ ταῦτα διεπράττετο; Τοῦτο μὲν, οἶμαι, τοῖς εὖ φρονοῦσι κατάφωρον ὑπάρχει πᾶσιν, ὅτι διὰ γυναικὸς ἐμμανοῦς ἠπάτησε τὸν ἔκφρονα δυνάστην ὑποκῦψαι αὐτῷ παρὰ τὸ δέον.

adorat; cum vero *virum rectum* intelligit *ascendentem*, tunc eo adorato humi se stravit? Et tamen, ut Origenes nimis audacter determinavit, si angeli illi vel chori prophetarum fuissent, ipsi tanquam præstantiores erant adorandi. Igitur his rebus omnibus simul consideratis, facile est intelligere, Saulis a dæmone vexati principem animæ partem cæcutiisse; diabolum vero in varias formas mutatum, dum a rege adorari ambit, ut quamplurimos falleret, adorationem sibi adstruere voluisse. Hoc sane minime mirum est, nec præter exspectationem: nam etsi Christi persona conspecta, quem intus re et operatione Deum [29], naturaque Dei legitimum Filium videbat, homine puro, incorrupto, nullis sordibus commaculato circumdatum, extra vero templum pulcherrimum, consecratum, inviolatum; nihilominus ad illum accedens perperam tentabat, suo modo et more pugnam Deo intendens. Ubi vero iterum atque iterum contra se ad pugnam provocans devictus est, misere disruptus, nova sibi specie ascita, universum terrarum ambitum et regna ostentare ausus; amentia mendaciisque superbiens jactabat: *Hæc omnia tibi dabo, si cadens adoraveris me* [30]. Similes hic impius voces emisit, eo animo ut in iram clementiam ipsam provocaret; quo videretur aggredi imparatum. Verum tolerantia maleficio dæmoni, ut Deo conveniebat, silentium imposuit. Solius quippe Dei est toleranter omnia ferre. Si igitur ipsi Domino talia effari parum illi curæ fuit, quomodo manifestum non erit non minus ipso Deo adorationem ambientem illa tentasse? Hoc qui sanæ mentis sunt omnes facile intelligunt, a dæmone per furiosam illam mulierem dementem regem deceptum præter jus sese inclinasse.

XI. Ἔτι δὲ διαληπτέον αὐτὰ τὰ τούτοις ὑποκείμενα καθεξῆς. Ὡς οὖν ὁ Σαοὺλ ὑπεκλίνθη τῷ φάσματι προσκυνήσας, αὖθις ὑποκρίνεται πεπονθέναι βίαν ὁ δολομήτης, εἰς τὸ σχῆμα τοῦ Σαμουὴλ ἀμείψας ἑαυτόν· εἶτα μετὰ εἰρωνείας ἀποκρίνεται σκυθρωπότερον· *Ἱνατί παρηνώχλησάς με, φάσκων ἀναβῆναι;* Ταῦτα δὲ πλαττόμενος ἀπαρεμφάτως ἐβούλετο σημαίνειν, ὅτι καὶ ἄκοντα τὸν προφήτην ὁ δαίμων ἠδύνατο μεταπέμπεσθαι, καὶ κατ' αὐτοῦ τοιαύτην ἔχειν ἐξουσίαν. Εἶτα τοσοῦτον ἀμβλυωποῦσί τινες, ὡς οὐ δύνασθαι νοεῖν, ὅτι τοὺς δαίμονας ἐν τῷ θείῳ φυγαδεύουσιν ὀνόματι πάντες οἱ τὰ τοῦ Χριστοῦ φρονοῦντες εἰλικρινῶς, οὐχὶ δὲ τούναντίον ὡς ὑποκείμενοι τούτοις ἄκοντες ἀναβαίνουσιν ἐξ ᾅδου, μεταπεμπόμενοι πρὸς αὐτῶν. Εἴ δέ τις οἴεται τὸ τῆς ἐγγαστριμύθου δαιμόνιον οὐδεπώποτε φυγαδεύεσθαι, προὔχον ἁπάντων ὁμοῦ τῶν ἄλλων, ἀναδραμέτω μὲν εἰς τὰς τῶν ἀποστόλων Πράξεις, ἐπ' αὐτῶν δὲ τῶν χωρίων ἐμβατεύσας, ἰδέτω πῶς ὁ περιοδεύων ἱεροκήρυξ ἀφίκετο Παῦλος

XI. Examinanda item sunt quæ dictis ordine continuato subduntur. Ut Saul humi procubuit adorato spectro, denuo dolosus ille, Samuelis forma assumpta, vim perpeti fingit; postea per dissimulationem vultuque mœstiori respondet: *Utquid perturbasti me*, dicens, *faciendo me ascendere* [31]? Hæc dum simulat, innuere voluit indefinite, dæmonem posse prophetam licet invitum evocare, potestatemque in eum habere. Et modo ita nonnulli cæcutiunt, ut intelligere nequeant, omnes qui animo puro sinceroque ea quæ Christi sunt profitentur, in divino nomine dæmonia ejicere; at non ex contrario ab illis invitos jussos ascendere ab inferis, ac si eis subjecti essent. Verum si quis existimat dæmonium engastrimythi, cum cæteris aliis superius sit, non posse verti in fugam, recurrat ad Actus apostolorum; et ubi ad loca pervenerit, examinet ut sacer præco Paulus errabundus Philippos devenit: ut vero mulierem nomine Lydiam pietatis cognitione illuminavit, abiit ut preces Deo effunde-

[29] *Philip.* II, 6. [30] *Matth.* IV, 9. [31] *I Reg.* XXVIII, 15.

(ζ''') Ὑποκύπτων. Forte legendum ὑποκύπτειν, ut referatur ad πλείστους ὅσους. EDIT.

Digitized by Google

ret. *Accidit autem ut puella quædam*, ait, *habens spiritum Pythonis occurreret, quæ quæstum magnum præstabat dominis suis divinando. Igitur hæc subsecuta Paulum et nos, clamabat, dicens sic: Isti homines servi Dei excelsissimi sunt, qui annuntiant nobis viam salutis. Et hoc faciebat per multos dies* [32]. Sed dæmon invisibilibus flagris cæsus nolens vi pellebatur ut illas ederet voces. Verum Paulus illius testimonio fidem non esse adhibendam existimans, idque rectissime, ægre ferens dixit spiritui : *Præcipio tibi in nomine Jesu Christi ut exeas ab ea.* Rem gestam auctor narrans subdit : *Et exiit eadem hora. Cum vidissent ergo domini ancillæ quod spes quæstus illorum funditus evanuisset, apprehensum Paulum et Silam traxerunt in forum ad principes* [33]; qui illorum calumniis seditione orta injuriis male habiti plagisque cæsi sunt. Igitur si Paulus spiritum increpans illico Pythonem depulit ipso ictu oculi, et spiritus potestate verbi aufugit, cum linguæ sonum non potuisset sustinere, dicat in apertum veniens qui illam sententiam probat, qua potestatis vi una cum Paulo sentientem Samuelem invitum dæmon evocans ab inferis eduxit ? Sed nihil horum quod verum sit poterit demonstrare. Ita ut hic quoque facili negotio intelligere possimus fraudulentum illum, dum diceret : *Utquid perturbasti me* [34] ? Saulem mutata forma allocutum fuisse. Innuebat quippe se non sua voluntate, sed invitum ascendisse, nolentem, necessitate et vi veluti præstantioris imperio coactum missum fuisse. Rex vero illi respondit : *Tribulor valde, et alienigenæ bellant in me; et Deus*, ait, *discessit a me, et non exaudivit me ultra, etiam in manu prophetarum et in somniis; et nunc vocavi te ad notificandum mihi quid faciam* [35]. Iterum igitur respondendum est : Nonne, si spectabilis ille Samuel prophetа fuisset, virum in meliorem frugem suis monitis reduxisset ? Nonne illi primum dixisset : Dic mihi, omnium hominum miserrime, si alienigenæ instructa acie cominus obvallant pugna decertaturi, si Deus discessit a te et penitus non exaudiit, neque prophetæ, dum pro te legationem subeunt, quidquam percipiunt, neque inter dormiendum neque inter vigilandum quid facto opus sit admoneris ; nonne ibi potius terræ procumbens Deum tibi propitium reddere debueras, et eleemosynis in pauperes erogatis peccatorum causas abluere, et non ad vatem engastrimythum confugere, et pro furiosa divinatione pietatis insignia commutare, neque non semel calamitate auctiori opprimere ? An te fugit exsecranda hæc Deum expressis verbis per Moysen in Levitico prohibuisse ? *Non sequemini engastrimythos, et incantatoribus non adhærebitis, ut inquinemini in eis. Ego sum Dominus Deus vester* [36]. Nonne scelera hæc impia putas Deo adversari. et similem fabulam agere audes ? Audi quæ sequuntur, Deo ipso oraculi ritu super hoc facinore enuntiante : *Et anima*, inquit [36*],

εἰς Φιλίππους· ὡς δὲ τὴν καλουμένην ἐφώτισε Λυδίαν εὐσεβείας ἐπιγνώσει, τηνικαῦτα μὲν ᾤχετο τὰς εὐχὰς ἀνοίσων· *Ἐγένετο δὲ παιδίσκην ἀπαντῆσαί τινα*, φησὶν, *ἔχουσαν πνεῦμα Πύθωνος, ἥπερ ἐργασίαν πολλὴν παρέσχε τοῖς κυρίοις αὐτῆς μαντευομένη. Τοιγαροῦν αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν ἔκραζε λέγουσα οὕτως. Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας.* Καὶ τοῦτο ἐπὶ πολλὰς ἔπραττεν ἡμέρας· ἀλλ' ὁ μὲν δαίμων ἀοράτῳ μάστιγι στρεβλούμενος, ἄκων ἠναγκάζετο τοιαύτας ἀφιέναι φωνάς· ὁ δὲ Παῦλος οὐκ ἀξιόπιστον εἶναι τὴν ἐκείνου μαρτυρίαν ἐννοήσας, ὀρθότατα, διαπονηθεὶς ἔφη τῷ πνεύματι, *Παραγγέλλω σοι*, λέγων, *ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ' αὐτῆς.* Εἶτα τὸ πρᾶγμα διηγούμενος ὁ συγγραφεὺς ἐπιφέρει· *Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Θεασάμενοι οὖν οἱ κύριοι τῆς θεραπαινίδος ὡς ἐκποδὼν ᾤχετο τῆς ἐργασίας αὐτῶν ἡ ἐλπὶς, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας·* ὕβρεσι δὲ καὶ πληγαῖς αἴτιοι γεγόνασι, συκοφαντίᾳ στάσιν ἐπεγείροντες. Εἰ τοίνυν ὁ Παῦλος, ἐπιτιμήσας τῷ πνεύματι, τὸν μὲν πυθόμαντιν ἀθρόως ἐξήλασεν ἐν αὐτῇ τῇ ῥοπῇ, τὸ δὲ πνεῦμα τῇ τοῦ ῥήματος ἀπέδρασεν ἐξουσίᾳ, μὴ δυνάμενον ὑποστῆναι τὸν τῆς γλώσσης ἦχον· εἰπάτω παριὼν εἰς τοὐμφανὲς ὁ τῷ τοιῷδε συνιστάμενος ὅρῳ, Ποταπῇ δυνάμεως ἀρετῇ τὸν ὁμόδοξον τῷ Παύλῳ Σαμουὴλ ἄκοντα μεταπαλούμενος ὁ δαίμων ἀνήγαγεν ἐξ ᾅδου; ἀλλ' οὐκ ἂν ἔχοι δεικνύναι τούτων οὐδὲν ἀληθές. Ὥστε καὶ διὰ τῶνδε μάλα ῥᾳδίως ἐστὶν ἰδεῖν, ὅτι μεταμορφωσάμενος ἠγόρευε τῷ Σαοὺλ ὁ δολομήτης· *Ἵνα τί παρηνώχλησάς με;* φήσας. Ἐπηνίττετο γὰρ, ὅτι παρὰ βούλησιν ἄκων ἀνέβαινεν, οὐ θέλων, ἀλλὰ ἀνάγκῃ καὶ βίᾳ, καθάπερ ὑπ' αὐτοῦ μεταπεμφθῆναι τοῦ κρείττονος ἐπιταχθείς. Ὁ δὲ δυνάστης ἀνθυπενέγκας ἔφη· *Θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοὶ, καὶ ὁ Θεὸς ἀφέστηκε*, φησὶν, *ἀπ' ἐμοῦ, καὶ οὐκ ἀκήκοέ μου ἔτι, οὔτ' ἐν χειρὶ τῶν προφητῶν, οὔτ' ἐν ἐνυπνίοις· καὶ νῦν κέκληκά σε γνωρίσαι μοι τί ποιήσω.* Πάλιν οὖν ἀποκριτέον· Εἰ Σαμουὴλ ὁ περίβλεπτος ἐτύγχανε προφήτης, οὐκ ἂν ἐσωφρόνισε τὸν ἄνδρα νουθετῶν; οὐκ ἂν εἶπεν αὐτῷ τὸ πρῶτον; Εἰπέ μοι, σχέτλιε πάντων ἀνθρώπων, εἰ περιέστηκαν οἱ ἀλλογενεῖς, εἰς πόλεμον ἀντιπαραταττόμενοι συσταδὸν, εἴπερ ὁ Θεὸς ἀφέστηκεν ἀπὸ σοῦ καὶ τὸ παράπαν οὐκ ἐπακήκοέ σου, οὔτε δὲ προφῆται πρεσβεύοντες ὑπὲρ σοῦ κατῄδεισαν, οὔτε ὄναρ, οὔτε ὕπαρ ἀπεκαλύφθη σοι τὸ δέον, οὐ ταύτῃ μᾶλλον ὤφελες ἐξιλεούμενος κλιθῆναι Θεῷ, καὶ πενήτων ἐλεημοσύναις ἀπολούσασθαι τὰ τῶν ἐγκλημάτων αἴτια, μήτι γε δὴ καταφεύγειν ἐπὶ μάντιν ἐγγαστρίμυθον, καὶ μανιώδει μαντικῇ τὰ τῆς εὐσεβείας ἀντικαταλλάττεσθαι σύμβολα, καὶ καθ' ἑαυτοῦ τὸ πάθος αὐξῆσαι διττῶς; ἢ γὰρ οὐ διανοητέον, ὅτι τὰ τοιάδε μιάσματα ῥητῶς

[32] *Act.* XVI, 16 18. [33] *ibid.* 18, 19. [34] *I Reg.* XXVIII, 15. [35] *ibid.* [36] *Lev.* XX, 27; *Deut.* XVIII, 11. [36*] Lev. XX, 6.

Digitized by Google

ἀπηγόρευσεν ὁ Θεὸς ἐν τῷ Λευϊτικῷ διὰ Μωσέως εἰπών· *Οὐκ ἐπακολουθήσετε τοῖς ἐγγαστριμύθοις, καὶ τοῖς ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε, μιανθῆναι ἐν αὐτοῖς. Ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν·* ἀλλ' οὐκ ἀσεβῆ τάδε τὰ βδελύγματα νομίζεις ἐναντία τῷ Θεῷ, δραματουργεῖν ἐγχειρῶν; Ἄκουε καὶ μεθ' ἕτερα τοῦ Θεοῦ χρησμῳδοῦντος ἐπὶ τῷ τοιῷδε τολμήματι· *Καὶ ψυχὴ, φησὶν, ἥτις ἂν ἐπακολουθήσῃ τοῖς ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς, ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν.* Ὁποῖα καὶ τίνα πείσεται προσθεὶς ἀπέφρασε προϊών, *Ἐπιστήσω τὸ πρόσωπόν μου, φάμενος, ἐπὶ τὴν ψυχὴν ἐκείνην, καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς.* Εἰ οὖν ἀρχῆθεν νομοθετήσας ὁ Θεὸς αὐστηροῖς ἀπέστειλε προγράμμασι τοὺς τοιαύταις ἐγχαλινευομένους ἐπαοιδαῖς ἢ μαντείαις, ἀπειλεῖ δὲ σκυθρωπὰ καὶ σκιώδη κολαστήρια κατὰ τῶν ἁλισκομένων ἐπὶ τῇ δίκῃ φοβερῶς, οὐ τὸν ἀνακείμενον ἐξ ἁπαλῶν ὀνύχων τῷ Θεῷ καὶ νομοφύλακα βέβαιον ἔδει περὶ τούτων ἐγκαλέσαι πρῶτον; Ἀλλ' ὁ νομομαθὴς ἐκ μειρακίου, καὶ τὰς νομικὰς ἀκριβῶσαι γραμμὰς ἀκρότατα δυνηθείς, οὐκ ἂν ἐπεζήτησε τὸ πταῖσμα, μήπη ἄρα διὰ τούτου τινὲς εἰς μανικὰς ἐξελκυσθῶσι μαντείας, ἁπάτῃ συλληφθέντες ἀθλίως. Ἀλλὰ τούτων μὲν ὠδὲν οὔτε εἶπεν οὔτε ἐζήτησεν· οὐ γὰρ ἦν ὁ Σαμουὴλ, ἀλλ' ὁ τὰ τοιάδε δράματα τυρεύων ἀνέκαθεν. Ἐπὶ δὲ τούτοις ἀποκρίνεται, τὸ πρόσωπον τοῦ προφήτου ὑποδὺς, *Ἱνατί*, λέγων, *ἐπερωτᾷς με, καὶ ὁ Κύριος ἀφέστηκεν ἀπὸ σοῦ, καὶ γέγονε μετὰ τοῦ πλησίον σου; Καὶ πεποίηκέ σοι Κύριος καθὰ ἐλάλησεν ἐν χειρί μου.* Ταῦτα μὲν οὖν ὡς ἐχθρὸς ἅμα καὶ ἐκδημίαν ὑποτυπούμενος εἰσάγει, ἀναγινώσκει τὰ τῆς κατηγορίας ὑπομνήματα.

A *quæ subsecuta fuerit engastrimythos et incantatores, ut fornicetur post eos :* quæ et qualia sunt illa quæ patietur, paucis annexis exponit : *Constituam faciem meam in animam illam, et perdam illam de populo illius.* Itaque cum primum Deus leges ferens, severis præceptis ab incantationibus et divinationibus inhibuit, miseranda vero obscuraque tormentorum loca contra eos qui talium rerum convicti fuerint terribilis minatur; nonne qui a teneris, ut aiunt, unguiculis Deo erat consecratus et constans legum observator hæc in primis debuerat accusare? Sed et qui jam a puero legibus erat instructus, quippe legales libros exactissime cognoscere poterat, nusquam errorem requisisset, ne misere fraude decepti in furiosas nonnulli divina- B tiones raperentur. Sed horum nihil vel dixit vel efflagitavit. Neque enim Samuel erat : sed qui hæc omnia a prima sui origine machinabatur, hæc prophetæ speciem præ se ferens respondit [37] : *Utquid,* dicens, *interrogas me, et Dominus discessit a te, et factus est cum proximo tuo? Et fecit tibi Dominus, sicut locutus est in manu mea.* Hæc igitur velut hostis, simul et decessum simulans, affert, libellos accusationis prosequitur.

XII. Θεωρητέον δὲ πῶς αὐτὰ τὰ συνεκτικὰ παρελὼν ἐγκλήματα, πλάττεται μὲν ὑποκρίσει δεικτικωτέρᾳ (4) φθέγγεσθαι· μηδὲν δὲ προγνώσεως ἄξιον εἰπὼν, ἐκεῖνα δευτερολ τεχνασμένως, ὅσα περιὼν ὁ Σαμουὴλ ἔτι προῦλεγε συνενεχθῆναι τῷ Σαοὺλ, ἅπερ ὡς ἤδη γεγονότα προανεφώνει προφητεύων. Ἀλλά γε μὴν ὅ γε φήσας αὐτῷ, *Τί με ἐπερωτᾷς;* διαῤῥήδην ὁμολογεῖ ταῦτα ἃ καὶ πρότερον εἰρήκει· διαυτολογεῖ(4') δὲ δὴ τὰ πρῶτα, διὰ τῶν ἔπειτα βεβαιῶν ἐπὶ προσχήματι γοωδῶς· Ὠριγένης δὲ τοὐναντίον αὐτὰ τὰ πάλαι τῷ προφήτῃ προαναφωνηθέντα ῥήματα παραλαβὼν ἐπὶ λέξεως, ὡς ἄρτια καὶ καινὰ προφητείας ἀποφθέγματα διορίζεται· διά τοι [*f.* τε] τοῦτο βούλεται τὸν Σαμουὴλ ἀνῆχθαι, καίτοι τῆς Γραφῆς ἄντικρυς ἐλεγχούσης αὐτὸν, ὥς γε συνομολογεῖ καὶ αὐτὸς ἐν μέρει τοπικῶς. Ἀλλὰ τί μετὰ ταῦτα προετίθη πάλιν, ὁπηνίκα τῷ δυνάστῃ διελέγετο τὸ φάσμα; *Διαῤῥήξει Κύριος τὴν βασιλείαν ἐκ χειρός σου, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ Δαυΐδ, διότι οὐκ ἤκουσας τῆς φωνῆς Κυρίου, καὶ οὐκ ἔπλησας θυμὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλήκ. Διὰ τὸ ῥῆμα τοῦτο ἐποίησε Κύριος τοῦτό σοι τῇ ἡμέρᾳ ταύτῃ· καὶ δώσει Κύριος τὸν Ἰσραὴλ μετὰ σοῦ εἰς χεῖρας ἀλλοφύλων.* Εἰ δέ τις ἀκριβῶσαι βούλοιτο τὸ ἀφελὲς, ἐπανίτω μὲν ἐπὶ τὴν τοῦ Γράμματος ἱστορίαν, ὀλίγῳ πρόσθεν ἀναδραμών· αὐτὸ δὲ τὸ χωρίον ἀναπτύξας, ἔνθα τὸν Ἀμαλὴκ ἠτήσας ἐσφετερίσατο τὰ κράτιστα τῶν σκύλων,

C XII. Considerandum utique est quanam ratione causis in se errores cohibentibus omissis, fingit se simulatione magis patente dicere, cum nihil quod prænotione dignum sit afferat; illa ex arte iterat quæ Samuel, dum adhuc in vivis esset, prædicebat Sauli contigisse, illa ac si facta essent vaticinando prænuntiabat. Sed certe qui ipsi dixerat : *Utquid me interrogas?* satis aperte quæ et prius dixerat fatetur. Prima vero illa per ea quæ postea contigere, ac si vaticinaretur, iterum recitat. Origenes e contrario prophetæ verba quæ jam olim prædixerat, ad verbum exposita, veluti perfecta et nova vaticinationis oracula discernit; proptereaque Samuelem evocatum fuisse vult, etsi illum Scriptura palam reprehendat, ut ipse etiam fatetur nonnullis in D locis. Porro quid postea, cum regem alloqueretur, phasma addebat? *Abscindet Dominus regnum de manu tua, et dabit illud proximo tuo David : quod non audieris vocem Domini, et non implesti indignationem iræ suæ in Amalec. Propter hoc verbum fecit Dominus hoc tibi in die hac; et tradet Dominus Israel tecum in manus alienigenarum* [38]. Si quis hujus veritatem expiscari cupit, ipsius Scripturæ historiam non multo antea pertractatam adeat : ibi enucleate considerato, ubi devicto Amalec spoliorum potissima usurpaverat, indeque tanquam primitias holocausta offerenda esse existimabat; et exquisitiori diligentia scienter et perite re examinata hæc

[37] *I Reg.* XXVIII, 16, 17. [38] *ibid.* 17-19.

(4) Δεικτικωτέρᾳ. Forte δεικτικώτερα. Edit.

(4') Διαυτολογεῖ. Forte ταυτολογεῖ

Digitized by Google

omnia verba tunc temporis ad verbum Samuelem prænuntiasse comperiet. Dixit enim : *Et abscidit Dominus de manu ejus regnum* [39]; tunc cum a rege apprehensam pallii laciniam scidit. Ad hæc ulterius prædicebat regnum illius scindendum fore, dandum proximo suo qui eo melior erat. Prophetavit præterea qua ratione Israel propter hoc scindendus erat, nec amplius reversurus. His enuntiatis, verba opere ipso confirmabat. Non diu enim post divino judicio unxit regem David [40]. Itaque qui per engastrimythum dicitur evocatus nihil de novo attulit, sed quæ Samuel prius dixerat veluti propria affectabat, fraude ac dolo personam assumens, et artificio probabili iterum repetens prophetarum more, vaticinari simulabat. Sed ut præstigiatores divitum ædes pulsantes uniuscujusque res olim gestas sedula inquisitione clanculum odorantur, moxque easdem quasi ex improviso canentes confestim auditores in stuporem rapiunt, iisque in futilem opinionem inductis, de futuris pro libidine mentiuntur; sic et engastrimythi spectrum nova forma inductum prophetica Samuelis enuntiat oracula, opinione vero vaticinari, cum nihil pro comperto haberet, videbatur, alienis veluti propriis præpositis exitiosum illum perterrebat, illis facillimo negotio ejus mentem arreptam deprædabatur. Quid igitur aliud his annexum est? *Et tu*, inquit, *cras, et filius tuus Jonathan mecum. Et castra Israel dabit Dominus in manus alienigenarum* [41]. Sed hæc porro dæmon ac si propria essent asserebat.

A καὶ τὰς ἐκ τούτων ᾤετο δεῖν ἀναφέρειν ὁλοκαυτώσεις ὡς ἀπαρχάς· ἀκριβολογίᾳ δὲ τρανωτέρᾳ ζητῶν ἐπιστημόνως, εὑρήσειεν ἄν, ὡς ἅπαντα τὰ ῥήματα ταῦτα κατ' ἐκεῖνο καιροῦ προεῖπεν ἐπὶ λέξεως ὁ Σαμουήλ· ἔφη γὰρ ὅτι· *Καὶ διέρρηξε Κύριος ἐκ χειρὸς αὐτοῦ τὴν βασιλείαν*· ὁπότε καὶ τὸ τοῦ διπλοΐδίου πτερύγιον ἐπιλαβόμενος ὁ δυνάστης ἐδίχασε· προῦλεγε δὲ αὐτῷ πρὸς ἐπὶ τούτοις μὲν, ὡς ἤμελλεν ἡ βασιλεία δοθήσεσθαι τῷ πλησίον αὐτοῦ τῷ μᾶλλον ὑπὲρ αὐτὸν ἀγαθῷ, προεφήτευε δὲ καὶ τίνα τρόπον ἕδει τὸν Ἰσραὴλ ἕνεκα τούτου διασχισθήσεσθαι καὶ μηκέτι ἐπιστρέψαι. Ταῦτα δὲ φήσας, ὁμοῦ τοῖς ἔργοις ἐβεβαίου τὰ λεκτέα· μετ' οὐ πολὺ γὰρ ἐκ θείας ἀποσταλείς ἐπικρίσεως ἔχρισε βασιλέα τὸν Δαυΐδ. Ἆρ' οὖν οὐδὲν ἀπήγγειλε ξένον ὁ διὰ B ἐγγαστριμύθου λεγόμενος ἀνῆχθαι, τὰ δὲ ὑπὸ τοῦ Σαμουὴλ εἰρημένα πρότερον, ὡς ἴδια μὲν ἐσχημάτιζε προσωποποιῶν ἀπάτῃ, πιθανῇ δὲ τεχνοποιίᾳ ταυτολογῶν, ὑπεκρίνατο δὴ προφητικῶς ὁμιλεῖν. Ἀλλ' ὥσπερ ἀγύρται μάντεις ἐπὶ πλουσίων ἰέναι θύρας ἐπειγόμενοι, τὰ μὲν ἤδη παροδεύσαντα τοῦ βίου πράγματα πολυπευστοῦντες ἀνιχνεύουσι λεληθότως, αὐτὰ δὲ τὰ πρὸ πολλοῦ γεγονότα λέγειν αὐτοσχεδίως ὑπονοούμενοι, παραχρῆμα μὲν ἐκπλήττουσι τοὺς αὐτηκόους, εἰς εὐήθη δὲ πίστιν αὐτοὺς ἀπαγόμενοι, περὶ τῶν μελλόντων ἅπερ ἐθέλουσι πλάττουσιν· οὕτως ἄρα καὶ τὸ τῆς ἐγγαστριμύθου φάσμα μεταμορφούμενον, αὐτὰ μὲν ἐξηγόρευε τὰ προφητικὰ τοῦ Σαμουὴλ ἀποφθέγματα, τῷ δὲ δοκεῖν ᾤετο προφητεύειν, οὐδὲν ἐπιστάμενος (4**)· ἀλλὰ τὰ μὲν ἀλλότρια προὔτατταν ὡς ἴδια, καὶ κατέπληττε τὸν ἀλάστορα, διὰ δὲ τούτων εὐχερῶς ὑπεπύλα καὶ τὸν νοῦν ἐκλεπτεν ἐκείνου. Τί οὖν ἄλλο μετὰ ταῦτα προσετέθη; *Καὶ σὺ*, φησὶν, *αὔριον, καὶ ὁ υἱός σου Ἰωνάθαν μετ' ἐμοῦ· καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων.* Ἀλλὰ ταῦτα μὲν ἐῴκει λέγειν ὁ δαίμων ὡς ἴδια.

XIII. Prius autem illud discutiendum : verane, uti ipse existimabat, prædicebat; et utrum consulte, an vero casu et fortuito enuntiabat; præterea, an præsagire aliqua possit. Primum quidem, Saulem die sequenti peremptum fuisse, ut spectrum affirmabat, non apparet. Quippe si sermone excepto, mœrore invalescente, non comedit panem toto die et tota nocte illa, ut divinæ testantur litteræ; post hæc iterum mulier adhortatur admonetque ut cibum prægustaret, cum iter aggredi deberet; manifestum est, altera scilicet die post diurnum illud nocturnumque perpetuum jejunium, ipsi humi prostrato persuasisse ut expedite assurgeret, decentiusque sederet in scamno : vitulum vero quem habebat subrumum prompte arreptum occidit, obsonia item instruens et azymos subigens edulia præparavit, quæ ubi illa optime condita instructaque regi et ejus ministris obtulisset, rex admonitionibus delinitus cibum sumpsit : necesse est illum, si nocte illinc se foras proripuit, aliis nocturnis horis in suam se stationem recepisse. Ita ut jam ma-

C XIII. Ζητητέον δὲ πότερον ἀληθῆ προὔλεγεν, ὡς ᾤετο· καὶ πότερον ἀπὸ στόχου (5) καὶ συγκυρίας ἀπήγγειλεν· καὶ πρὸς ἐπὶ τούτοις εἰ προεγνωκέναι ἠδύνατό τινα. Πρῶτον μὲν οὖν οὐ φαίνεται τῇ ἑξῆς ἡμέρᾳ διαφθαρεὶς ὁ Σαοὺλ, ὡς ἔφασκε τὸ φάσμα φθεγγόμενον· εἰ γὰρ ἀκούσας τῶν λόγων, ἐκ τῆς ἄγαν ἀθυμίας οὐκ ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, φησὶν, ἐκείνην, ὡς ἡ θεία διαγορεύει Γραφὴ, μετὰ δὲ τοῦτο παραινοῦσα πάλιν ἡ γυνὴ προὔτρεπεν ἐδωδῆς ἅψασθαι, προκειμένης ὁδοῦ· πρόδηλον, ὅτι τῇ δευτέρᾳ δήπουθεν ἡμέρᾳ, μετὰ τὴν πάννυκτον καὶ πανήμερον ἐκείνην ἀσιτίαν, ἔπεισε μὲν αὐτὸν, εἰς τοὔδαφος ἐῤῥιμμένον ἐκλύτως, ἀναστῆναι καὶ καθεσθῆναι κοσμιώτερον ἐπὶ τοῦ δίφρου· τὸ δὲ μοσχάριον, ὅπερ εἶχε γαλαθηνὸν, ἀμελητὶ λαβοῦσα D σφάττει· ὀψοποιοῦσα δὲ καὶ πέττουσα τοὺς ἀζύμους, ηὐτρέπιζεν ἐδωδάς· ἐπειδὴ δὲ προσέφερεν αὐτῷ καὶ τοῖς ἀμφ' αὐτὸν ἀριστοποιήσασα σπουδαίως, ὁ μὲν αὐτόθι σιτίων ἐλάβετο προτραπείς· ἀνάγκη δὲ νοεῖν, ὡς εἰς ἄλλας ἀφίκετο νυκτερίους ὥρας, εἴπερ ᾤχετο νυκτὸς ἐκεῖθεν ἐξορμήσας. Ὥστε τοῦτο μὲν αὐτοτε-

[39] *I Reg.* xv, 28. [40] *I Reg.* xvi, 13. [41] *I Reg.* xxviii, 19.

(4**) Ἐπιστάμενος. Forte ἐπιστάμενον. Edit.

(5) Ἀπὸ στόχου. Forte ἀπὸ στοχασμοῦ. (Ἀπὸ στόχου καὶ συγκυρίας, *conjectura et casu fortuito.* Στόχος vocabulum poeticum est; unde εὔστοχος, ἄστοχος. Edit.)

Digitized by Google

λῶς ἐλέγχεται ψευσάμενος ὁ δαίμων· οὐ γὰρ ὡς εἶπαν, *Αὔριον ἔσῃ σὺ μετ' ἐμοῦ*, γέγονεν οὕτως, ὁπηνίκα τὴν ἐξῆς αὐτόθι διέτριψεν ἡμέραν ἄσιτος· εἶτα τῇ δευτέρᾳ τῆς ἐδωδῆς ἁψάμενος ἐβάδιζεν εἰς τὸ στρατόπεδον. Οὐχὶ δὲ τοῦτο μόνον ἀλίσκεται παρὰ τὸ γεγονὸς εἰρηκὼς, ἀλλὰ καὶ τὸν Ἰωνάθαν ἕφη μονώτατον ὁμοῦ τῷ πατρὶ καταλῆξαι πρὸς αὐτόν· ἐκ δὲ τῶν ἐναντίων ἡ διηγηματικὴ τοῦ Γράμματος διαγορεύει φωνὴ, τὸν Σαοὺλ ἅμα τρισὶν ἀπεσφάχθαι παισὶν, ἀλλ' οὐχ ἑνὶ μόνῳ, ὡς ἔφησεν ἐκεῖνος. Οὐκοῦν ἀπορίᾳ προγνώσεως οὐδὲν ἀληθὲς ἐξεῖπεν ὁ δαίμων· οὐ γὰρ ἂν ἐναντία τῶν γεγονότων ἀπήγγειλεν· ἀλλὰ τὰ τῷ Σαμουὴλ εἰρημένα πρότερον, ὡς ἔφην, ὑποκλέψας, ὀλίγα ἄττα προσετίθη τούτοις, ἐκ τῶν εἰκότων ὁμοιότροπα συμπλέξας· οὕτως ἄρα καὶ θάνατον ἠπείλει τῷ δυνάστῃ, ταῖς ἐκείνου φωναῖς ἀποχρώμενος· ἀλλ' ἔτι γε καὶ τὴν τοῦ Ἰσραὴλ ἐκδοῦναι παρεμβολὴν ὑπισχνεῖτο, τῷ τὸν προφήτην ἐμβριθῶς εἰρηκέναι *διασχισθήσεσθαι τὸν λαόν*. Ὁρῶν οὖν ἐπιτετειχισμένα πολέμου μηχανήματα, καὶ τὸν τοῦ λαοῦ προεστῶτα περιδεῆ, προσέτι δὲ καὶ καταλειφθέντα πρὸς αὐτοῦ τοῦ Θεοῦ (δι' ὧν ὁ δυνάστης ὡμολόγει στοχαζόμενος, ὅτι δεῦρο περαιοῦται τὸ τοῦ προφήτου κήρυγμα), πρὸς τὰς ἐνεστώσας ὑπεχρίνατο κινήσεις ἀναφωνεῖν· ὅσα μέντοι προσέθηκεν ἴδια καθ' ἑαυτὰ, φανερῶς ἐάλω ψευσάμενος· οὔτε γὰρ τὴν τοῦ θανάτου ἠδύνατο προειπεῖν ἡμέραν, οὔτε τὰς τῶν υἱέων τοῦ Σαοὺλ ἀναιρέσεις, ὧν ἐπὶ ὀνόματος ἐμνημόνευσεν ἡ Γραφή. Ἐκ δὲ τούτων οὐ χαλεπῶς ἂν εἴη νοεῖν, ὡς οὐδὲν ἴδιον οὐδὲ ἀληθὲς ἀπήγγειλε τὸ πνεῦμα· ὅτε δὲ τοῦ Σαμουὴλ ὑπεξέκλεπτε ῥήματα, ταῦτα σφετεριζόμενον ᾤετο προφητεύειν. Ἀλλὰ μάλιστα μὲν οὐκ ἔστιν εἰπεῖν, ὅτι τοῦτο προὐφήτευεν ἀψευδῶς· εἰ δ' ἄρα καὶ πολέμου γένεσιν ἀνεκήρυττεν τὰ τῆς αἱματοχυσίας ἀνήκεστα ῥεύματα, τίς ὁ τῶν ἁπάντων αἴτιος ἐστι πολέμων; οὐχ ὁ διάβολος; Οὐκ αὐτὸς ἐξῃτήσατο τὸν Ἰώβ; οὐκ ἐπῆγειρεν αὐτῷ πόλεμον ἐξαίφνης ἀκήρυκτον, οὐ μεταμορφούμενος ἄλλοθι ἄλλως, αὐτάγγελος ἅμα καὶ μάρτυς ἐγίγνετο καὶ πολέμαρχος, εἰς τὰ τῶν ἀνθρώπων ἐντόσθια παρεισδύς;

XIV. Ἀλλὰ ἀσαφὲς εἶναι τὸ σχῆμα νενόμισται τοῖς πολλοῖς· ἰτέον οὖν ἀκολούθως εἰς τὰ τῆς τρίτης τῶν Βασιλειῶν ἴχνη. Φαίνεται τοίνυν ὅπως ὁ προφήτης ἐπερωτᾶται Μιχαίας ὑπὸ τοῦ Ἀχαάβ· ἀλλ' ἐπειδήπερ ἠναγκάζετο τἀληθῆ λέγειν ἀπαραλύπτως, *ἑωρακέναι* μὲν ἔφασκε *τὸν Κύριον ἐπὶ θρόνου καθήμενον, εἶτα καὶ στρατιὰς ἑστάναι περὶ αὐτὸν οὐρανίους ἔκ τε δεξιῶν ἅμα καὶ εὐωνύμων*· ὁμοῦ δὲ τῇ τῆς ὄψεως ἱστορίᾳ, καὶ φωνῆς ἔφησεν ἀκηκοέναι τοιᾶσδέ τινος· *Τίς ἀπατήσει τὸν Ἀχαάβ, καὶ ἀναβήσεται εἰς Ῥεμμὼδ Γαλαάδ, καὶ πεσεῖται ἐκεῖ;* τηνικαῦτα δέ φησιν, [ἵνα τὰ ἐν μέσῳ παραλείψας ἐρῶ τὸ ζητούμενον·] *Ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώπιον Κυρίου, καὶ εἶπεν· Ἐγὼ ἀπατήσω αὐτόν*· ὡς δὲ ὁ Κύριος ἀνθυπενέγκας ἔφρασεν, *Ἐν τίνι;* ἀνθυποφέρει πάλιν· *Ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ*. Πρὸς ταῦτα μὲν οὖν εἴρηκεν ὁ κρείττων·

A nifesto modo mendacii dæmon deprehendatur. Neque enim, ut ille dixerat, *Cras eris tu mecum*, evenit, cum ibi die sequenti jejunus commoratus fuerit; deinceps altera, cibo degustato, exercitum repetierit. Neque tantum hoc illum mentitum fuisse ac aliter quam evenerit pronuntiasse convincitur; sed Jonatham solum una cum patre ad ipsum diversurum dixit: verum narrationis series Saulem cum tribus filiis, et non uno solo, ut ille dixerat, mactatum fuisse asserit. Igitur prænotionis defectu nihil veri dæmon retulit: neque enim factis ipsis pugnantia enuntiasset: sed a Samuele prius memoratis surreptis, paucis nonnullis, iisque verisimilibus, annexis, mortem regi prænuntiat, illius vocibus abusus. Quinimo cum propheta satis aperte *scindendum populum* dixisset, ipse *castra Israel tradenda* pollicebatur. Itaque cum conspiceret paratas belli machinas, ducem populi timore perterritum, contremiscentem, ad hæc ab ipso Deo derelictum (quibus princeps conjectura non levi assecutus prophetici oraculi jam finem esse commemorabat), ad præsentes motus orationem convertere simulavit. Quæcunque itaque de suo addidit, illis aperte mentitus est: quippe neque mortis diem, neque filiorum Saulis quorum Scriptura nomina dixit, potuit præsagire. His facile possumus agnoscere, nihil proprium, nihil verum spiritum prænuntiasse, sed Samuelis verba suffuratum et ut propria venditantem existimasse se prophetare, et, quod præcipuum est, neque ea absque mendacio divinasse. Si ergo et bellorum æstus effusionumque sanguinis fluenta crudelissima præcineret, quis omnium est origo bellorum? nonne ipse diabolus? Nonne Jobum ipse deposcit? nonne ipsi bellum inexorabile excitavit? nonne sæpius in varias formas mutatus ipse nuntius simul et testis, et tribunus militum, in hominum viscera penetrans exstitit?

XIV. Sed hæc forma atque figura quamplurimis obscura videtur: itaque ordine non inverso ipsa Regnorum historia libri tertii investiganda est. Ibi quippe[11], ut apparet, Michæas propheta ab Achab interrogatur: sed cum vera fateri cogeretur, palam se *Dominum vidisse*, ait, *sedentem super solium suum; deinceps exercitus assistere ei cœlestes tum a dextris tum a sinistris;* cum hac visione et vocem audisse tradit hujuscemodi: *Quis decipiet Achab, et ascendet in Remmod Galaad, et cadet ibi?* tunc subdit, ut mediis silentio obvolutis quæstionem extricem: *Egressus est spiritus, et stetit coram Domino, et ait: Ego decipiam illum;* a quo cum peteret Dominus: *In quo?* rursum respondet: *Egrediar, et ero spiritus mendax in ore omnium prophetarum illius.* His potior dixit: *Decipies et prævalebis. Et nunc jam*, ait, *egredere, et fac ita.* Quæ cum propheta regi narrasset, illico subdit: *De-*

[11] *III Reg.* xxii, 19 et sqq.

Digitized by Google

dit Dominus spiritus mendacii in ore omnium prophetarum tuorum qui hic sunt, et Dominus locutus est contra te mala. Ergo si spiritum hunc qui mendacii fuit auctor, minime bonum sed pravum fuisse intelligere necesse sit, sequitur, hunc item credendum fuisse diaboli instrumentum. Cum autem re ipsa illi contigisse pateat, ergo prius audierat quo pacto scelestissimus Achab ad bellum procedens occubiturus esset. Nam ille mendacium pro veritate obtrudere voluit, ut belli causam moliretur impiumque perderet turpius. Ita ut hisce rebus, mala quæ scelestis inferuntur diabolum præscivisse, manifestum sit, cum pessimorum omnium ipse sit opifex. In Saule vero quidquid e re propria Samuelis oraculis addens immiscuit, non tantum probabiliter mentitus, sed impie irreligioseque locutus est. At primum illius impium dictum vel inde deprehenditur: primum quidem quod, quemadmodum Dominus latroni, qui regni ejus potentiam confessus fuerat, dixit [43]: *Hodie mecum eris in paradiso;* ita et hic illorum imitator, Sauli magicis vaticiniis expletis, dolosus artifex enuntiavit: *Cras eris tu mecum, et Jonathan filius tuus* [44]. Secundo, justum ab injusto nihil abesse conatur probare, ut callide piorum conatus atque impetus comprimat. Nemo, ut videtur, plane non novit, nullam inter fidelem et infidelem communionem intercedere: necnon rursus, quo pacto qui divitiarum copia profusis marcuerat epulis, longe a Lazari contubernio sejunctus secretusque fuerit [45], quamvis nihil in illum ausus. Sane nihil uspiam reliquiarum aut micarum in pavimentum cadentium exhibuit, sed nec plagis virum affixerat, nec flagris cæsum alio longius amandarat. Verum cum ambo hinc migrantes vitam commutassent cum morte, hic quidem in sinu Abrahæ generis auctoris quievit, ille perennibus flammis atque inexstinguibilibus correptus est: hic dum in inferis tortus cremaretur [46], videt a longe progenitorem, necnon et Lazarum in sinu ejus: at igne cum arderet, ex animo Abraham rogabat ut ad se mendicum mitteret: quippe obnixe precabatur ut Lazarus ad eum veniens extremum digiti sui in aquam intingeret, sicque linguam suam roris humiditate contrectatam refrigeraret: itaque ignitis cruciatibus male vexatus supplex hæc miser exorabat. Cum porro progenitor ad postulata respondisset, quemlibet in qualibet parte justas recepisse mercedes præmii loco, tunc temporis subdidit: *Et in his omnibus inter nos et vos chaos magnum firmatum est, ut hi qui volunt hinc transire ad vos non possint, neque inde ad nos transmeare* [47]. Si itaque magnum chaos est quod justos ab injustis sejungit, ita ut qui illic sunt non possint huc transvehi, neque qui hic commorantur illuc adduci; patet manifeste Saulem qui injustus erat, una cum propheta Samuele non degere. Nam si dives et pauper non possunt simul

Ἀπατήσεις, καὶ γε δυνήσῃ. Καὶ νῦν ἰδοὺ, φησὶν, ἔξελθε, καὶ ποίησον οὕτως. Ὁ δὲ προφήτης αὐτὰ ταῦτα τῷ βασιλεῖ διηγούμενος εὐθέως ἐπιφέρει· *Δέδωκεν ὁ Θεὸς πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν σου τούτων, καὶ ἐλάλησε Κύριος ἐπὶ σὲ κακά.* Τοιγαροῦν εἴπερ ἀνάγκη νοεῖν οὐκ ἀγαθὸν, ἀλλὰ πονηρὸν εἶναι τοῦτο τὸ πνεῦμα, τὸ τῆς ψευδηγορίας αἴτιον, ἀκόλουθον ὑπολαμβάνειν αὐτὸ τοῦτο τὸ διαβολικὸν ὄργανον ὑπάρχειν. Εἰ δὲ κυρίως ἀποδείκνυται τοῦτο εἶναι, προακήκοεν ἄρα πῶς ἤμελλεν ὁ μιαρὸς Ἀχαὰβ εἰς πόλεμον ἀπιὼν ἀποθνήσκειν· αὐτὸ γὰρ ἠξίωσε τὸ ψεῦδος ἀντὶ τῆς ἀληθείας ἐκβάλλειν, ἵνα πολέμου γένεσιν αὐτουργήσῃ καὶ διαφθείρῃ τὸν ἄδικον αἰσχίως. Ὥστε καὶ διὰ τούτων ἀποδείκνυται τῶν ἔργων, ὅτι τὰ κακὰ τοῖς ἀδίκοις ἐπιφερόμενα προμεμάθηκεν ὁ διάβολος, ἐπειδὴ τῶν ἐχθίστων ὁ δραματουργὸς αὐτός ἐστιν ἁπάντων. Ἐπὶ μέντοι τοῦ Σαοὺλ, ὅσα προσθεὶς ἀφ' ἑαυτοῦ συνέζευξε τοῖς τοῦ Σαμουὴλ ἀποφθέγμασιν, οὐ μόνον ἐψεύσατο πιθανῶς, ἀλλὰ καὶ ἐβλασφήμησεν ἀσεβῶς. Ἐνθένδε ποθὲν διελέγχεται ἡ πρώτη δυσφημία· Πρῶτον μὲν, ὅτι κατὰ μίμησιν, ὡς ὁ Κύριος ἔφη τῷ ληστῇ, τὸ κράτος ὁμολογήσαντι τῆς βασιλείας αὐτοῦ, *Σήμερον ἔσῃ μετ' ἐμοῦ*, λέγων, *ἐν τῷ παραδείσῳ*, ταυτὸν δὴ τοῦτο καὶ τῷ Σαοὺλ ἐκπληρώσαντι τὰς μαντικὰς αὐτοῦ μαντείας ἔφησεν ὁ δολομήτης· *Αὔριον ἔσῃ σὺ μετ' ἐμοῦ, καὶ Ἰωνάθαν ὁ υἱός σου.* Δεύτερον βούλεται δεικνύναι διὰ τούτων, ὅτι μηδὲν ὁ δίκαιος ἀδίκου διαφέρει, τὰς τῶν εὐσεβῶν ἐκκόψαι προθυμίας ἐπιτεχνώμενος. Οὐδεὶς ἔοικεν ἀγνοεῖν, ὅτι μηδεμία συνυπάρχει κοινωνία πιστῷ μετὰ ἀπίστου, ἢ αὖ πάλιν, ὅπως ὁ πλούτῳ κατατρυφήσας ἁπλήστῳ, πόῤῥω τῆς Λαζάρου διαίτης ἀπεκρίθη, καίτοι μηδὲν ὅμοιον ἐκείνῳ(5') δράσας. Ἀλλ' οὗτος μὲν οὐδὲν πώποτε μετέδωκε τῷ πενομένῳ, τὸ παράπαν οὐδὲν, οὔτε περιττευμάτων, οὔτε ψιχῶν εἰς τοὐδαφος ἐκριπτομένων· ἀλλ' οὐδ' ἐλυμήνατο τὸν ἄνδρα πληγαῖς, οὐ μάστιξιν αἰκισάμενος ἐδίωξε περαιτέρω που γῆς· ἀλλ' ὅπως ἐπειδὴ μετήλλαξαν ἅμφω μετάραντες ἐντεῦθεν, ὁ μὲν εἰς κόλπους ἔληξε τοῦ προπάτορος Ἀβραὰμ, ὁ δὲ ταῖς ἀκοιμήτοις ἐδόθη φλοξὶ τοῦ πυρός· ὡς οὖν ἐν τῷ ᾅδῃ βασανιζόμενος ἐφλέγετο, πόῤῥωθεν μὲν ὁρᾷ τὸν προπάτορα, θεωρεῖ δὲ καὶ τὸν Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ· τῇ δὲ δὴ φλογὶ πυρούμενος ἐκθύμως ἠξίου τὸν Ἀβραὰμ ὅπως ἐκπέμψῃ τὸν πένητα πρὸς αὐτόν· ἐδεῖτο γὰρ ἵν' ἀφικόμενος ὁ Λάζαρος, τὸ μὲν ἄκρον ὕδατι βάψῃ τοῦ δακτύλου, καταψύξῃ δὲ τὴν γλῶτταν αὐτοῦ, νοτίδος ἐπαφησάμενος (5'') ἱκμάδα· πυροφόροις οὖν ἀλγυνόμενος ὀδύναις, ἐπρέσβευε τοιαῦτα μεθ' ἱκετείας ὁ τάλας. Ἐπειδὴ δὲ πρὸς ἕπος ἀποκρινάμενος ὁ προπάτωρ, ἕκαστον ἐν ἑκάστῳ μέρει τὰς ἀξίας ἔφαινεν ἀμοιβὰς ἐπάθλου χάριν εἰληφέναι, τηνικαῦτα προσθεὶς ἐπεφθέγξατο· *Καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ὑμῶν καὶ ἡμῶν χάσμα*, φησὶν, *ἐστήρικται μέγα, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν*

[43] *Luc.* XXIII, 43. [44] *I Reg.* XXVIII, 19. [45] *Luc.* XVI, 19 sqq. [46] *ibid.* 23. [47] *ibid.* 26.

(5') Ἐκείνῳ. Scilicet τῷ πτωχῷ; sin autem referas ἐκεῖνο ad Lazarum, forte legendum ὡμόν pro ὅμοιον. EDIT.

(5'') Ἐπαφησάμενος. Forte ἐπαφυσάμενος. EDIT.

Digitized by Google

πρὸς ἡμᾶς διαπερῶσιν. Εἰ τοίνυν ἐστὶ χάσματος εἰδέα διείργουσα μεταξὺ δικαίων τὴδ' ἀδίκων, ὡς μὴ δύνασθαι τοὺς ἔνθεν ἐκεῖσε διαπορθμεῦσαι, μήτε δεῦρο τοὺς ἐκεῖθεν ἀφικέσθαι· συνέστηκεν ὡς ὁ Σαοὺλ ἄδικος ὢν οὐκ ἔστι μετὰ τοῦ προφήτου Σαμουὴλ· εἰ γὰρ ὁ πλούσιος οὐ δύναται μετὰ τοῦ πένητος εἶναι, καὶ ταῦτα μηδὲν ἀδικήσας μηδὲ διώξας αὐτὸν, ἀλλὰ μὴ μεταδοὺς αὐτῷ προχείρως ἐξ ὧν εἶχε, πόσῳ δὴ μᾶλλον ὁ σχέτλιος ἀνὴρ ἀνάξιός ἐστι τῆς τῶν ἁγίων ἀπολαῦσαι κοινωνίας;

A esse, nulla licet pauperem injuria affecerit, neque abegerit, tantum non illi prompte quæ ipse habebat ex parte distributis : quanto magis scelestus ac contumax homo indignus est, qui sanctorum communionem participet ?

XV. Ἀλλ' οὐ διανοητέον ὅπως αἰσχροῦ μὲν ἕνεκα κέρδους ἀθετεῖ τὸ θεῖον ἐπίταγμα, δαίμονι δὲ πληγεὶς ἀνιάτως, ἐλαύνεται βασκανίᾳ διώκειν τὸν ἁγιοπρεπῆ Δαυὶδ οὐδενὶ κόσμῳ πρέποντι, καίτοι ψαλμῳδίᾳ προφητικῇ τὴν ἀγριότητα τοῦ ἐκβακχεύοντος ἐν αὐτῷ δαίμονος ἡμεροῦντα· τοὺς ἱερεῖς ἀποσφάττει τοῦ Κυρίου τριακοσίους ὄντας πρὸς τοῖς πεντήκοντα τὸν ἀριθμόν· ἀφίσταται τοῦ Θεοῦ μαντευόμενος ἀσεβῶς. Εἰ δὲ ταῦτα καὶ τὰ τούτοις ἀδελφὰ διεπράξατο, πῶς οἷόν τε νομίζειν, ὅτι μετὰ τοῦ θαυματουργοῦ κατέληξε Σαμουὴλ, ὃς ἐν ὥρᾳ θέρους ὑετὸν ἠξίωσε γενέσθαι, καὶ παρ' αὐτῷ (5***) κατεσκεδάσθη πλῆθος ἀμέτρητον ὑδάτων; Εἰ δὲ οὐκ ἔστιν εἰπεῖν, ὅτι Σαοὺλ ἐστι μετ' αὐτοῦ (6) Σαμουὴλ, ἐψεύσατο μὲν ὁ λέγων αὐτῷ· *Αὔριον ἔσῃ σὺ μετ' ἐμοῦ*. Τοιγαροῦν εἰ ψεύστης ὁ ταῦτα εἰρηκὼς ὑπάρχει, πρόδηλον, ὡς οὐκ ἔστιν ὁ Σαμουὴλ οὗτος· οὐ γὰρ ἂν οὕτως ἀχρόνως ὁ τοῦ Κυρίου ψεύσαιτο προφήτης· ὥστε τοιαῦτα (7) δίχα πτισσόμενα ῥήματα, γυμνὸν ὑποδεικνύει τὸν πολυπρόσωπον ἐνδοτάτω θῆρα κρυπτόμενον. Αὐτὸς γοῦν ἐστιν ὁ κατασπάσας εἰς τὸ τοῦ ταρτάρου χάσμα καὶ τὸν ἐμμανῆ Σαούλ· ὅθεν οἰκείως αὐτῷ προσεφθέγγετο κρατήσας· *Αὔριον σὺ καὶ Ἰωνάθαν ὁ υἱός σου μετ' ἐμοῦ*. Διττῷ δὲ συστῆσαι προσώπῳ πειρώμενος, ὡς οὐδέποτε δίκαιος ἀδίκου διαφέρει, καὶ τὸν Ἰωνάθαν ἅμα τῷ πατρὶ τὸν αὐτὸν ἐκείνῳ κλῆρον ἀπενέγκασθαι συνωμολόγει, καίτοι μὴ συνενεχθέντα τῇ τούτου ὠμότητι. Τίς δὲ τῶν ὄντων ὑποκρίνεται μὴ νοεῖν, ὅτι κράτιστα βιώσας ὁ τοῦ προφήτου Δαυὶδ ἐραστής, ἀλλὰ μὴ διῶξαι δίκαιον ἀδίκως ἐγχειρίσας, οὐ τὴν αὐτὴν ἐπιφέρεται [*f.* ἀποφέρεται] τῷ διώξαντι μισθοφορίαν; οὐ γὰρ ἀποθανεῖται, τὸ ξύμπαν εἰπεῖν, υἱὸς ὑπὲρ ἀδίκου πατρός. Ἀλλὰ μὴν ἐλέγχεταί γε καὶ διὰ τοῦδε τοῦ μηνύματος ὁ ψευδορράφος.

B

XV. Sed minime cogitandum est infamis eum lucri causa præceptum violasse divinum [48] : a dæmone vero insanabili furore percitus, invidia sanctissimum, nullo decoris atque honesti respectu habito, persecutus est David [49], qui propheticis Psalmorum concentibus ferocitatem in illo debacchantis dæmonis demulcebat. Sacerdotes Domini trecentos et quinquaginta numero occisione occidit [50] : defecit a Deo, vaticinationes ac vatum præsagia impie exposcens. Hæc et his similia si confecit, qua ratione credere possumus eum quievisse una cum miraculorum effectore Samuele, qui maximo in æstu nubem impetravit [51], adeo ut immensa aquarum copia circa ipsum exundarit ? Verum si asserendum non est Saulem cum Samuele degere, omnino mentitus est qui illi dixit : *Cras eris tu mecum* [52]. Igitur si qui hæc effatur mendax est, manifestum, hunc Samuelem non esse ; neque enim sic circa tempora propheta Domini mentitus fuisset : ita ut ex his sic expositis multiformis intra ipsum degens bellua appareat. Hic ergo est, qui et furiosum Saulem in Tartari fauces detrusit. Quare non incongrue illo sibi mancipato fatetur : *Cras eris mecum, tu et filius tuus Jonathan*. Duplici persona commemorata confirmare nititur, nunquam justum ab injusto differre; Jonathan cum patre unum et eumdem finem et sortem habiturum, licet illius crudelitati minime consenserit, fatebatur. Quis vero mortalium se non capere simulabit, eum qui optime vixerit, prophetæ David amatorem, et qui nequaquam justum injuste persequi ausus fuisset, eamdem cum persecutore mercedem accipere ? Nunquam enim, ut verbo expleam, pro injusto patre mortem obibit filius. Ideoque hoc etiam indicio mendaciorum opifex deprehenditur.

C

XVI. Ἀπαραλήπτῳ (*f.* ἀπαραλείπτῳ) δὲ τάξεως ἀκολουθίᾳ, προσθεὶς ἔφησεν ὁ συγγραφεὺς, ὅτι, *Καὶ ἔσπευσε Σαοὺλ, καὶ ἔπεσεν ἐστηκὼς ἐπὶ τὴν γῆν, καὶ ἐφοβήθη σφόδρα*, λέγων, *ἀπὸ τῶν λόγων Σαμουήλ*· ἐκείνους γὰρ οἶδε τοῦ Σαμουὴλ εἶναι τοὺς λόγους, οὓς προεφήτευσε μὲν αὐτῷ σώματι καὶ γλώττῃ παρών· τὸ δὲ φάσμα τούτους ἀνεξελέξατο τοὺς. . . . . καὶ προὔφερεν ὡς ἰδίους· ὧν ὁ δυνάστης ὑπομνησθεὶς, καὶ τὰ τοῦ πολέμου σύμβολα θεωρῶν ἀντικρυς ἱδρυμένα, περιδεὴς ἐγεγόνει, τὸ πέρας αὐτῶν ἐννοῶν. Ἀλλ' Ὠριγένης ἑαυτῷ δόγματα πλάττων, εἰδὼς, ὅτι πλεῖστοι μὲν ὅσοι τυγχάνουσιν οἱ ταῦτα

D

XVI. Rerum porro gestarum serie non interrupta auctor subdit : *Et festinavit Saul, et cecidit porrectus super terram, et timuit valde a sermonibus Samuelis* [53]. Eos enim sermones Samuelis esse agnoverat, quos cum adhuc esset in vivis et corpore et lingua prophetaverat. Hæc a spectro delecta quasi propria proferebantur. Quorum cum meminisset rex, et conspexisset satis aperte belli signa erecta, finem imminentem animadvertens metu fractus ac debilitatus est. At Origenes, sibimet ipsi dogmata effingens, sciens plurimos esse qui hæc determinant, ad sua dicta oppugnantes oratione conversa minime id

[48] *I Reg.* xv, 9. [49] *I Reg.* xix, 9. [50] *I Reg.* xxii, 18. [51] *I Reg.* xii, 18. [52] *I Reg.* xxviii, 19. [53] *ibid.* 20.

(5***) *Παρ' αὐτῷ*. Forte παρ' αὐτό, vel παρ' αὐτά. Edit.

(6) *Μετ' αὐτοῦ*. Forte μετὰ τοῦ.

(7) *Τοιαῦτα*. Forte ταῦτα. (Ταῦτα ῥήματα non est Græca locutio. Edit.)

Digitized by Google

curæ habuit ut debito respectu id quod æquum erat conquireret, sed prius engastrimythi fabulam ad omnes pertinere fassus, veritate ad necessariam examinationem invocata veritatem ipsam palam oppugnat. Deinceps Samuelis laudibus ex divinis litteris hinc inde deductis et recensitis, tunc iterum sub potestate dæmonis illum ponens, hisce verbis syllabisque rem agit : *Fortasse tantus vir sub terra erat? et eduxit illum engastrimythus? Habetne facultatem dæmon in animam propheticam?* Sed hæc quasi hæsitans vel fortasse etiam interrogans videtur sibi apud nonnullos aliquando dicere. Verum ut per subsequentes perorationes hæc ita se habere confirmaret, clariore nescio quo clamore obstrepens et elocutione, subjungit : *Scripta sunt hæc?* ait : *verane sunt hæc an non? Illa non esse vera affirmare in infidelitatem ducit, quæ in dicentium capita, ut ipse dicit, veniet. Si vera sunt, quæstionem et dubitationem nobis exhibent.* Ad hæc rursus parum caute quæ fert stabiliens, et contrarium sentientium opinionibus expositis, subdit : *Et tamen scimus nonnullos ex nostris fratribus adverso animo Scripturam contuitos dicere : Non credo engastrimytho. Engastrimythus dicit Samuelem vidisse; mentitur.* Plura alia præterea interserit, quibus aperte increpat omnes qui vaticinationes engastrimythi falsas esse pronuntiant, et maledicta in capita non credentium illi congerit; et nullo negotio facile animis mobilibus se persuasurum ratus, ipsi Scripturæ narrationem impingit : *Scripta hæc sunt*, dicens, *an non scripta sunt?* Et ratiocinationis vi hæc eadem repetens infert : *Verane sunt hæc, an non sunt vera? Tamen prophetæ animam nequaquam fuisse evocatam dubitationem nobis, et scrupulum injicit.* At similia dæmoni concedere, quod erit illud scelus? quæ impietas? Nondum hæsitat, neque pura ac mera dementia depravatus animum advertit. Quippe hujuscemodi facultatem præter Deum animas ab inferis revocandi educendique nemo alius habet. Itaque denuo hic respondendum est, hæc quidem in sacris Scripturis contineri, at non ex persona propria id actum fuisse auctorem prædicere. Neque enim liber propheticis sermonibus pugnantia multa simul in unum congereret, ut et prius ostendimus, et paulo infra dicemus; qui engastrimythi verba, et furiosam regis cognitionem operibus ignorantiæ plenam deprehensam designabat. Nam neque aptum neque congruum erit ita divinas litteras pertractare. Quippe cum ipsæ fateantur diabolum semet ipsum Deum aperte pronuntiare; ideo ne sola narrationis illius serie illi credendum erit, ac omnia illi deferenda, ut ipse Origenes asserit? id enim in sacris litteris scriptum habetur. Vel rursum, cum immodica elatus superbia omnem simul mundi hujus machinam

A ψηφιζόμενοι, πρὸς τοὺς ἀντιλέγοντας αὐτῷ διαλεγόμενος, οὐκ ἐσπούδασε μετὰ τῆς ὀφειλομένης εὐλαβείας ἀκριβῶσαι τὸ δέον, ἀλλά γε τὸ τῆς ἐγγαστριμύθου δρᾶμα πάντων ἅπτεσθαι προλέγων, καὶ τὴν ἀλήθειαν εἰς τὴν ἐξέτασιν ἀνειμαίαν (8) ἐπικαλούμενος, αὐτῇ τῇ ἀληθείᾳ μάχεται προφανῶς. Εἶτα τῷ Σαμουὴλ ἐγκώμια διεξιών, ὅσα περὶ αὐτοῦ διαλαλοῦσιν αἱ θεῖαι Γραφαί, τηνικαῦτα πάλιν ὑπὸ τὴν τοῦ δαίμονος ἐξουσίαν ἀποφαίνων αὐτὸν, αὐτοῖς ῥήμασι καὶ αὐταῖς ἐπέφραζε συλλαβαῖς· Ἆρ' οὖν ὁ τηλικοῦτος ὑπὸ τὴν γῆν ἦν; καὶ ἀνήγαγεν αὐτὸν ἡ ἐγγαστρίμυθος; Ἐξουσίαν ἔχει δαιμόνιον ψυχῆς προφητικῆς; Ἀλλὰ ταῦτα μὲν ὡς ἐπαπορῶν, ἢ τάχα ἴσως; ἐρόμενος ὑπονοεῖται λέγειν ἐνίοτε παρά τισιν. Ἵνα δὲ διὰ τῶν ἑπειτα συστήσειεν ἐπιλόγων, B ὅτι ταῦτα οὕτως ἔχει, λευκοτέρᾳ προσετίθη φάσει τι ὑποχεχραγὼς, Ἐγγέγραπται ταῦτα; φησίν· ἀληθῆ ἐστιν, ἢ οὐκ ἔστιν ἀληθῆ; Τὸ μὴ εἶναι ἀληθῆ λέγειν εἰς ἀπιστίαν προτρέπει· χωρήσει ἐπὶ κεφαλὰς, φάμενος, τῶν λεγόντων· τὸ δὲ εἶναι ἀληθῆ ζήτησιν καὶ ἐπαπόρησιν ἡμῖν παρέχει. Μετὰ δὲ τοῦτο, πάλιν βεβαιῶν ἀνεπισκέπτως ἅπερ εἰσαγγέλλει, καὶ τὰς τῶν ἀντιδοξούντων αὐτῷ γνώμας ἐκτιθέμενος ἐπιφέρει· Καὶ μὴν ἴσμεν τινὰς τῶν ἡμετέρων ἀδελφῶν ἀντιβλέψαντας τῇ Γραφῇ, καὶ λέγοντας· Οὐ πιστεύω τῇ ἐγγαστριμύθῳ. Λέγει ἡ ἐγγαστρίμυθος ἑωρακέναι τὸν Σαμουήλ· ψεύδεται. Καὶ πολλά γε πρὸς ἐπὶ τούτοις ἕτερα· διὰ δὲ τούτων ἀπαρακαλύπτως ἐπιτιμᾷ τοῖς ἀποφαίνουσι ψευδῆ τὰ τῆς ἐγγαστριμύθου μαντεύματα, καὶ C καταρώμενος (9) ἐπὶ κεφαλὰς ἀναφέρει τῶν ἀπιστούντων αὐτῇ. Ῥᾴστα μέντοι πεῖσαι τοὺς εὐχερεῖς ἐθέλων, αὐτῇ περιάπτει τῇ Γραφῇ τὸ διήγημα, Γέγραπται ταῦτα, λέγων, ἢ οὐ γέγραπται; Συλλογιστικῇ δὲ δεινότητι χρώμενος ἐπάγει δευτερῶν, Ἀληθῆ ταῦτά ἐστιν, ἢ οὐκ ἔστιν ἀληθῆ; Καίτοι τὸ μὲν οὐκ ἀνῆχθαι τὴν τοῦ προφήτου ψυχὴν, ἐπαπόρησιν ἡμῖν, ἔφη, παρέχει καὶ ζήτησιν· αὐτὸ δὲ τὸ τὰ τοιαῦτα διδόναι τῷ δαίμονι, πόσης ἀσεβείας ἐστὶ μεστόν; Οὐκέτι λέγει ζητῶν, οὐδὲ προσέχει τὸν νοῦν ἀκράτῳ πληγεὶς ἀσυνεσίᾳ. Θεῷ γὰρ ὑπάρχει μόνῳ τοιαύτη ἐξουσίᾳ ἐπιτάσσειν, ὥστε ψυχὰς ἐξ ᾅδου μεταπέμπεσθαι καὶ καλεῖν. Ἀνθυπενεκτέον οὖν ἐνταῦθα πάλιν· Ἐν μὲν ταῖς ἱεραῖς ἀνείληπται ταῦτα D Γραφαῖς, οὐ μὴν ἐξ ἰδίου προσώπου τὸ τοιοῦτο διαπεπρᾶχθαι γράμμα (10) προὔλεγεν ὁ συγγραφεύς· οὐ γὰρ ἂν ἐκκλησίαζεν ἡ βίβλος, ἐναντία ταῖς προφητικαῖς ἀντιβοῶσα φωναῖς, ὥς γε καὶ πρόσθεν ἐδείξαμεν, καὶ μικρὸν ὕστερον ἐροῦμεν· ἀλλὰ δὴ τὰ τῆς ἐγγαστριμύθου διεχάραττε ῥήματα, καὶ τὴν ἐμμανῆ τοῦ δυνάστου γνῶσιν ἔργοις ἀγνωσίας ἀποδειγμένην ἀνάπλεον. Εἰ γὰρ οὕτως ἁρμόσει ταῖς ἁγίαις ἐπισκῆψαι Γραφαῖς, οὐκοῦν ἐπειδή φασιν, ὅτι καὶ Θεὸν ἀντικρυς ὁ διάβολος ἑαυτὸν ἀναγορεύει, εἰ παρὰ τοῦτο δεήσει πιστεύειν αὐτῷ, τῇ διηγηματικῇ

(8) *Ἀνειμαίαν*. Leg. ἀναγκαίαν. — Legendum potius, ἀνειμένως. EDIT.

(9) *Καταρώμενος*. Forte, κατάρας.

(10) *Γράμμα*. Forte πρᾶγμα.

Digitized by Google

τοῦ γράμματος ἐκβοχῇ τὸ πᾶν ἀνατιθέντας, ὡς Ὠριγένης εἰσηγεῖται; καὶ τοῦτο γὰρ εἰς αὐτὰς ἀναγέγραπται τὰς Γραφάς· ἢ αὖ πάλιν ἐπειδὰν ὑπερηφανίᾳ χρώμενος ἀμέτρῳ πᾶσαν ὁμοῦ τὴν τοῦδε τοῦ κόσμου περιγραφὴν ἤτοι καὶ τὰς βασιλείας αὐτῆς ἰδίας εἶναι λέγοι, παρὰ τοῦτο φαίη τις ἄν, ὡς ἄρα προσήκει νοεῖν, ὅτι δημιουργὸς αὐτός ἐστιν ἁπάντων; Οὔμενουν, εἴποι τις ἄν· ἡ γάρ τοι διηγηματικὴ διεχάραξε φωνὴ τὰς ἐκείνου μεγαληγορίας, οὐ μὴν ἀληθεῖς ἀποφαίνει αὐτάς· οὐδ' ἐστὶ δὲ, ὅτι τοῦτο δεῖξαι δυνάμενος οὐδεὶς οὐδαμῶς. Ἀλλὰ μυρία μὲν ἔστι τοιαῦτα πρὸς ἐπὶ τούτοις ἰδεῖν, οὐχ οἷόν τε δὲ πάντα παράγειν, ἵνα μὴ μακρηγορίᾳ δόξωμεν ἐκκρούεσθαι τοῦ ζητήματος.

A vel regna illius sua esse dicat [a], ideone diceret quispiam credendum esse illum rerum omnium opificem esse? At nemo sane id dixerit. Quippe si narrationis ordo futilis illius jactationis verba expressit, at non vera illa fuisse determinat: neque id ullus uspiam probare poterit. Sed similia his infinita sunt in promptu, quæ in medium afferre minime libet, ne verborum longo circuitu quæstionis nodum effugere videamur.

XVII. Ὡς οὖν ἐδόκει τοῖς ὀρθότατα φρονοῦσιν οὐ μετρίως ἐπιτιμᾷν, αὖθις ὑπεκκλέψας ἐπ' ἄλλην ἀπεπήδησεν ἔννοιαν, ἐδεινοποίει δὲ δημαγωγῶν, ὅτι φάσκουσι πρὸς τοῖς ἄλλοις, ὡς εἴη φρικῶδες ὑπολαβεῖν, ἐν ᾅδου γεγονέναι τὸν εὐκλεῆ Σαμουὴλ, ὃς ἐκκρίτῳ προφητείας ἀξίᾳ τετίμηται. Τοῦτο μὲν οὖν ἄνω δὲ καὶ κάτω ταυτολογεῖ γραωδῶς, ἐξ ἄλλων εἰς ἄλλα μεταχειρίζεσθαι τοὺς αὐτηκόους ἀπάτῃ τεχνώμενος. Ἡμεῖς δὲ περὶ τούτων οὐ διαφερόμεθα περὶ ὧν ἅπασι συνομολογητέα καθέστηκεν, ἀλλ' ὧν ἕνεκα κυρίως ἀμφισβητεῖν ἐγνώκαμεν· οὐ γὰρ εἰ Σαμουὴλ γέγονε ζητητέα, ἀλλ' εἰ τοιαύτην ἔχει δαίμων ἐξουσίαν, ὥστε δικαίων ἀναλεῖσθαι ψυχὰς ἐξ ᾅδου, καὶ πάλιν ἀποπέμπειν. Ἐπεὶ τοίνυν ἑπαυτοφώρῳ ληφθεὶς ἑάλω βλασφημίας ἐπαντλῶν, ἀλλὰ τὰς τῶν ἀκροατῶν ἀκοὰς ἀπατηλῇ μὲν ὑπεκκλίνει τέχνῃ, καταφεύγει δὲ ὅθεν ἐπὶ τοῦ Χριστοῦ πρόσωπον, ἵν' ἀντεξετάσας αὐτὸ τοῖς ἁγίοις ἀνδράσιν, ἀποδείξειεν, ὅτι καὶ αὐτὸς εἰς ᾅδου κατῆλθεν ὁ Χριστὸς ὁμοῦ τοῖς ἄλλοις ἅπασιν· ἀλλὰ γὰρ ὡς ἀπεδείκνυε τοῦτο, καὶ δὴ καὶ τὸ κατ' ἄνδρα παραινῶν ἐπεφθέγγετο, *Τί φοβῇ*, λέγων, *εἰπεῖν, ὅτι πᾶς χρῄζει τόπος αὐτοῦ τε τοῦ Χριστοῦ καὶ τῶν προφητῶν;* ὀλίγα ἄττα διὰ μέσου τάττων, ἄλλην ἐπιπλέκει δυσφημίαν, ἐκφαίνων, ὅτι *καὶ κάτω τυγχάνων ὁ Χριστὸς*, ἵν' οὕτως εἴπω, φησὶν, *ἐν τῷ κάτω τόπῳ ὢν, τῇ προαιρέσει ἄνω ἦν*· ὡς περὶ ἀνθρώπου δὲ μόνου προσομιλῶν, ἀλλ' οὐκέτι τῆς θείας αὐτοῦ στοχαζόμενος φύσεως, ἐν τοῖς κατωτάτω μὲν αὐτὸν ἔφασκεν ἀφῖχθαι, προαιρέσει δὲ δήπουθεν ἄνω βεβηκέναι, καθάπερ οὖν ἀμέλει καὶ τοὺς ἄλλους ἀνθρώπους. *Οὕτω γὰρ*, ἔφη, *καὶ οἱ προφῆται καὶ Σαμουὴλ, κἂν καταβῶσιν ὅπου αἱ ψυχαὶ*, φησὶν, *αἱ κάτω, ἐν τῷ κάτω μὲν δύνανται εἶναι τόπῳ, οὐ κάτω δέ εἰσι τῇ προαιρέσει.* Κουφολογίᾳ δὲ δὴ περιηχήσας ἀπειροπληθεῖ τὸν κόσμον, οὐδὲ τοῦτο ξυνίησιν, ὅτι πᾶς ὁστισοῦν ἀνθρώπων, εἰ καὶ σφόδρα σχέτλιός ἐστιν, ἐν ᾅδου κατελθών, ἄνω τῇ προαιρέσει καθέστηκεν· οὐδεὶς γοῦν ἂν εἴη γε δικαίων οὐδ' ἀδίκων ὃς οὐ γλίχεται ἀνωτάτω μὲν ἑκάστοτε διατρίβων ἔχεσθαι, τῶν δὲ καταχθονίων ἀπηλλάχθαι τόπων. Εἰ τοίνυν ἅπαντες ὁμοῦ οἱ καταχθέντες εἰς ᾅδου τῶν ἄνω φορῶν (11) ἐρῶσι προαιρέσει, καὶ οὐ πάνυ δικαίου τινὲς ἐπεμελήσαντο βίου, ποταπὸν ἀξίωμα τοῦ προφητικοῦ διεσάφει χοροῦ; τί δὲ τὸ περιττὸν ἀπήγγειλε τοῦ Κυρίου, πᾶσιν ὁμοιον ἀποφαίνων αὐτόν;

XVII. Verum postquam rectissime sentientibus non mediocriter insultasse visus est, iterum non obscure dissimulans in aliam transiliit sententiam, orationemque oratorie augens, inter alia quæ dicunt, horrendum sane id esse intellectu, indutum Samuelem præcipua vaticinii dignitate illustrem fuisse apud inferos. Hoc itaque satis aniliter sæpius iterat repetendo, ex aliis in alia auditores impellens, quod fraude deceptos adversos agere conatur. Sed nos de his quæ uno animo omnes recipiunt non dissidemus, verum de his quæ proprie in dubium verti posse cognoscimus. Nam minime disputandum an Samuel fuerit, sed an dæmon talem habeat potestatem, justorum scilicet animas ab inferis evocandi, rursusque transmittendi. Itaque re manifesta deprehensus blasphemias fundere, audientium aures subdola arte declinat, et ad Christi duntaxat personam confugit, ut ea cum sanctis viris collata, una cum aliis omnibus Christum ipsum ad inferos descendisse demonstret. Sed ubi illud probavit, ad hominem hortatione agens scribit: *Quid horres*, inquiens, *dicere omnem locum ipsius Christi et prophetarum indigere?* Et paucis interjectis novum horrendum dictu connectit, declarans, *licet Christus inferius esset*, ut ita dicam, *et inferiori loco, electione tamen et voluntate in superiori erat.* De quo quasi de solo homine loqueretur, nulla illius divinæ naturæ ratione habita, in infima illum dixit devenisse, et si voluntate supra ascendisset, eo ipso modo scilicet quo et cæteri homines. *Sic enim*, inquit, *et prophetæ et Samuel, tametsi eo descendant ubi degunt animæ quæ inferius sunt, possunt quidem in illo inferiori loco permanere, at inferius voluntate non sunt.* Is inani verborum copia profusa, quorum nec modus ullus nec finis inveniri potest, haud intellexit omnem hominem, licet in miseria alios excedat, ubi ad inferos migravit, superius degere voluntate. Itaque nullus, sive justus sive injustus, uspiam est qui non continuo semper teneatur desiderio a subterraneis ad suprema loca redeundi. Itaque si omnes simul ad inferos devecti, licet vitam rectam ac integram minime secuti sint, supernas semper appetunt stationes voluntate, quam ipse prophetici chori prærogativam agnoscit? quam Domini emi-

[a] *Matth.* IV, 8, 9.

(11) *Φορῶν.* Forte χορῶν.

Digitized by Google

nentiam manifestat, cum omnibus similem illum enuntiat? Sic imperite vocem emisit, non intelligens Verbum esse et Deum, qui non tam voluntate quam divinitatis vi omnia simul penetrat. Et si ante omnia spectabile suum templum ut dissolveretur permisit, post tertium diem nova quadam ratione statim ac iterum excitavit : anima vero illius humanæ habitationis in infimas terræ partes perveniens, portas quæ ibi erant impetu facto aperuit, animasque ibi detentas extraxit: sic autem divina corroborata fuit virtute propter Dei et Verbi communionem, ut omnem in se omnino potestatem haberet.

XVIII. Ego vero credo hujus conjecturam esse minime levem. Cum enim in subterraneos locos pervenit, inde latronis animam eodem die in paradisum introduxit. Nam si per unum hominem universis mortalibus salus advenit, manifestum fit, animam animas quæ ejusdem sunt generis redemptas liberasse, tum in subterranearum partium chaos accessu, tum in antiquissimam paradisi stationem restitutione, regni insuperabilis potestate. His consona Dei Filius antequam hæc essent prædicebat : *Nemo ascendit in cœlum, nisi qui de cœlo descendit, Filius hominis qui in cœlis est* [55]. Itaque si fatebatur eum qui ex humano genere ortum duceret, solum ex omnibus in cœlum ascendisse, indeque rursum huc descendisse, hicque commoratum in cœlum tendere, patet animæ vi ac quadam excellentia illa absolvisse. Sancta enim Christi anima cum Deo et Verbo convivens, omnia quidem simul lustrat, in ipsum supremum cœlum ascendit, quo nemo hominum pervenit. Quippe ad hæc elevata est et humana forma, quam Deus et Verbum sustentavit. Verum Dei Filium ubique et repente adesse ipse etiam Joannes testatus est, qui Christum ipsum audivit, ingentique voce clamat ad verbum : *Deum nemo vidit unquam : unigenitus Filius qui est in sinu Patris, ille exposuit* [56]. Et tamen cum Christus hic degeret, corpore ambulabat, dum hos sermones Joannes efferebat; qui, illius verbis exceptis, prædicabat, illum quidem in sinu Patris esse, qui super terra una cum ipso corpore convivebat; quomodo non intelligendum est tunc etiam cœlos ascendere, et dum in sinu Patris degeret, in terra quemadmodum Deum decebat deambulasse, et omnibus simul, veluti Deum adfuisse?

A Ἀλλ' οὕτως ἀμαθῶς ἐξήχησε τὴν φωνὴν, οὐκ ἐννοήσας, ὅτι Θεὸς ἦν ὁ Λόγος· οὐ προαιρέσει μᾶλλον, ἀλλ' ἀρετῇ τῆς θεότητος ἁπανταχοῦ πάρεστιν ἀθρόως. Εἰ δὲ καὶ τὸ μάλιστα τὸν ἔκκριτον ἑαυτοῦ ναὸν ἐπέτρεψε λυθῆναι, τριήμερον μὲν αὐτίκα πάλιν ἀνήγειρε καινοπρεπῶς· ἡ δὲ ψυχὴ τοῦδε τοῦ ἀνθρωπείου σκηνώματος εἰς τὰ κατώτατα κατελθοῦσα μέρη τῆς γῆς, ἀνεπέτασε τὰς ἐκεῖσε πύλας ἀθρόᾳ ῥοπῇ, καὶ τὰς αὐτόθι καθειργμένας ἀνῆκε ψυχάς· οὕτω δὲ θεσπεσίᾳ κεχραταίωται δυνάμει διὰ τὴν τοῦ Θεοῦ καὶ Λόγου συνουσίαν, ὥστε καὶ παντέφορον ἔχειν ἐξουσίαν.

XVIII. Ἀλλὰ μὴν ἔγωγε πείθομαι καὶ τούτου τεκμήριον εἶναι σαφές· ὁπηνίκα μὲν εἰς τοὺς καταχθονίους ἀφικνεῖτο τόπους, ἐν ταυτῷ δὲ καὶ τὴν τοῦ B ληστοῦ ψυχὴν αὐθήμερον εἰσῆγεν εἰς τὸν παράδεισον. Εἰ γὰρ δι' ἑνὸς ἀνθρώπου τοῖς ἅπασιν ὑπῆρξεν ἀνθρώποις ἡ σωτηρία, πρόδηλον, ὡς ἡ ψυχὴ τὰς ὁμογενεῖς ἀναλυτροῦται ψυχὰς, ἅμα μὲν εἰς τὰ καταχθόνια κατιοῦσα μέρη τοῦ χάους, ἅμα δὲ καὶ τῇ ἀρχαιοτάτῃ τοῦ παραδείσου πάλιν ἀποκαθιστῶσα νομῇ τὸν ὑπεισδύνοντα τῷ κράτει τῆς ἀηττήτου βασιλείας. Ἀκόλουθα δὲ καὶ πρὸ τούτων ὁ τοῦ Θεοῦ Παῖς ἐμαρτύρετο, προλέγων, ὅτι καὶ *Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.* Τοιγαροῦν εἴπερ ἔφασκε τὸν ἐκ τοῦ ἀνθρωπείου γένους ὁρμώμενον εἰς οὐρανὸν μὲν ἀναβεβηκέναι μονώτατον ἐκ πάντων, ἐκ δὲ τῶν ἐκεῖσε πάλιν καταβεβηκέναι ἐνθάδε, καὶ δεῦρο C βεβηκότα φοιτᾷν ἐν οὐρανῷ, συνέστηκεν, ὅτι ψυχῆς ἀρετῇ ταῦτα ἔπραττεν ὁ ἄνθρωπος ἐκκρίτως· ἡ γὰρ ἁγία τοῦ Χριστοῦ ψυχὴ τῷ Θεῷ συνδιαιτωμένη καὶ Λόγῳ, πάντα μὲν ἐκπεριπολεῖ συλλήβδην, εἰς αὐτὸν δὲ βέβηκε τὸν ἀνώτατον οὐρανὸν, εἰς ὃν οὐδεὶς ἄλλος ἀνῆλθε τῶν ἀνθρώπων· ἀλλὰ ταῦτα εἰς αὐτὴν ἀνῄρτηται τὴν ἀνθρωπείαν εἰδέαν, ἣν ὁ Θεὸς ἐφόρεσε καὶ Λόγος· ὅτι δὲ πανταχοῦ πάρεστιν ἀθρόως ὁ τοῦ Θεοῦ Παῖς, οὐχ ἥκιστα καὶ περὶ τούτου μάρτυς ἔστηκεν Ἰωάννης, αὐτήκοος μὲν ὑπάρχων αὐτοῦ τοῦ Χριστοῦ, βοᾷ δὲ γεγωνότως αὐτολεξεί· *Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς ἐκεῖνος ἐξηγήσατο.* Καὶ μὴν εἰ δεῦρο παρὼν ἐπεφοίτα σωματικῶς ὁ Χριστὸς, ὁπηνίκα τούτους ἀπήγγειλεν Ἰωάννης τοὺς λόγους, ὁ δὲ τὰς τούτου D ῥήσεις ὑποδεξάμενος ἐκήρυττε μὲν αὐτὸν ἐν τοῖς κόλποις εἶναι τοῦ Πατρὸς, ἐστιώμενον ἐπὶ γῆς αὐτῷ σώματι· πῶς οὐκ ἐννοητέον, ὅτι καὶ τῶν οὐρανῶν ἐπεβεβήκει τῶν τοῦτο (12) καὶ ὡς κόλπων εἴσω διαιτώμενος καὶ τῇ γῇ θεοπρεπῶς ἐπεδήμει, καὶ πᾶσιν ὁμοῦ παρῆν, οἷα Θεός;

XIX. Si quis autem Judaica laborans cæcitate, evangelicas voces non recipit, ipsi Salomonis oracula adducemus, et sic orationem formabimus : *Quippe cum quietum silentium contineret omnia, et nox in suo cursu medium iter haberet, omnipotens tuum Verbum e cœlo a regalibus thronis ensem acutum, sincerum scilicet mandatum tuum ferens, stans*

XIX. Εἰ δέ τις Ἰουδαϊκὴν ἀῤῥωστῶν ἀβλεψίαν τὰς εὐαγγελικὰς οὐ προσίεται φωνὰς, ἐπακτέον αὐτῷ τὰ τοῦ Σολομῶντος ἀποφθέγματα, καὶ ῥητέον ὧδέ πως· *Ἡσύχου γὰρ σιγῆς περιεχούσης τὰ πάντα, καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης, ὁ παντοδύναμός σου Λόγος ἀπ' οὐρανοῦ ἐκ θρόνων βασιλικῶν ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου φέρων,*

[55] *Joan.* III, 13. [56] *Joan.* I, 18.

(12) *Τῶν τοῦτο.* Forte τῶν τρίτων.

Digitized by Google

στας ἐπλήρωσε θανάτου τὰ πάντα· καὶ οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δὲ ἐπὶ γῆς. Εἰ τοίνυν ὁ μονογενὴς Υἱὸς αὐτοῦ τοῦ Θεοῦ Λόγος ἀναγορεύεται καὶ Θεὸς ὁμοδόξῳ συνοδίᾳ, δι' οὗ γεγόνασιν ἄγγελοι, οὐρανοί, καὶ γῆ, καὶ θάλαττα, καὶ βυθοί, καὶ φωστῆρες οὐρανοδρόμοι, καὶ συλλήβδην εἰπεῖν ἅπασα τῶν γεννητῶν ἡ σύστασις· οὗτος δὲ δικαίᾳ κρίσει σωφρονίζων ἅπαντας θρόνου μὲν οὐρανόθεν ἔχεται τῆς ἀϊδίου βασιλείας, ὀξείᾳ δὲ τιμωρεῖται δίκῃ τοὺς ἀδίκους· ἀλλὰ μὴν ἔργῳ καὶ πράξει παντοδύναμος ὤν, ἅτε δὴ Θεὸς καὶ Θεοῦ Λόγος, οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δὲ ἐπὶ γῆς ἐν ταυτῷ· θεότητος ἀρετῇ δηλονότι πάντα πληροῖ πανταχῶς. Οὐκοῦν εἰ τοιαύτης ἐπείληπται φύσεως, ἀσεβοῦσι μὲν οἱ νομίζοντες ἀδουλίᾳ τόπῳ καὶ ῥητῷ τινι χωρίου μορίῳ περιγράφεσθαι τὸ θεῖον· ἀμαθίᾳ δὲ μᾶλλον ἢ φρονήσει κοσμίᾳ φθέγγεται προχείρως Ὠριγένης, ὅτι κατελθὼν εἰς τὰ κατώτατα μέρη τῆς γῆς ὁ Χριστὸς, ἄνω τῇ προαιρέσει διέτριβεν· οὐ γὰρ ἐνόησεν, ὅτι Θεὸς ὢν οὗτος, οὕτω (13) προθυμίᾳ γνώμης ἄνω τῷ δοκεῖν ἐπιθυμίᾳ παρῆν, ὅσῳ θειότητος ἐνεργείᾳ τοῖς ἅπασιν ὡς ἑνὶ μάλιστα πάντα πληροῖ πανταχῶς.

morte omnia replevit; et cœlum quidem tangebat, pedibus vero calcabat terram [57]. Si itaque unigenitus Filius Dei coæquale ipsius Verbum, per quod angeli facti sunt, et cœli, et terra, et mare, et profunditates, et luminaria per cœlum errantia, et, ut uno verbo dicam, rerum omnium creatarum constitutio, Deus denuntiatur: hic justo judicio cœlitus omnibus mentem dans meliorem thronum perpetui regni obtinet, et celeri sententia punit ihjustos. Quin opera et actione, cum sit omnipotens, ut Deus et Dei Verbum, cœlum tangebat, eodemque tempore ambulabat in terris, divinitatis scilicet potentia omnia replens. Ergo si talem retinet naturam, impii quidem sunt qui inconsiderate existimant loco locique aliqua parte determinata divinitatem circumscribi. Et ignorantia potius quam mente moderata inconsiderate Origenes loquitur, dicens Christum, dum ad infimas terræ partes pervenisset, voluntate superius commoratum fuisse. Non enim intellexit quod, cum is esset Deus, sic voluntatis affectu, ut videbatur, et desiderio fuerit superius, qui divinitatis operatione omnibus omnia ubique quantum fieri potest compleret.

XX. Ἀλλὰ τοιαῦτα μὲν ἁρμόττει περὶ τοῦ Χριστοῦ δοξάζειν ἐκεῖνον, ὃς ὑπὸ δαίμονος ὁρίζεται ψυχὰς ἀνάγεσθαι προφητικάς· ἡ δὲ πυθόμαντις ὡς ἐθεάσατο τοὺς ὁμογαστρίους αὐτῇ δαίμονας, οἷα δή τινας ὁμοκοιλίους ἀδελφοὺς ἐπαίρουσα τὰ ὁμομήτρια γένη, βοᾷ *θεοὺς ἐωρακέναι ἀναβαίνοντας ἐκ τῆς γῆς*. Ἀλλ' ὁ μεγαληγόρος οὐκ ἔδεισεν Ὠριγένης εἰπεῖν, ὅτι τὸ δαιμόνιον οὐχὶ τὴν τοῦ προφήτου μόνον ἀνήγαγε ψυχὴν, ἀλλά· Μήτιγε καὶ ἄλλαι συναναβεβήκασιν, ἔφη, ψυχαὶ προφητῶν ἅγιαι; Μὴ κορεσθεὶς δὲ τῇ τοιαύτῃ παρανοίᾳ, καὶ τοὺς ἀγγέλους ὡρίσατο συναναβεβηκέναι τοῖς πνεύμασιν αὐτῶν· εἴρηκε γὰρ, ὅτι τῆς τῶν δεομένων ἕνεκα σωτηρίας ἀνίεσαν ἐνθάδε· μεγίστας οὖν, ὡς ἔοικεν, Ὠριγένης ἐλπίδας ὑποτίθεται τοῖς ἀγγέλοις καὶ προφήταις, ἤτοι καὶ παντὶ τῷ τῶν ἁγίων ὁμόσε χορῷ· πρῶτον μὲν εἰσάγων ὡς ὑπὸ δαίμονος ἐξουσίαν εἰσὶν, ἔπειτα δὲ μηνύων, ὅτι διὰ μαινάδος ἀνήχθησαν ἐνταῦθα γυναικὸς ἰατρεῦσαι τοὺς πάσχοντας, οἷα δεσμῶται προαχθέντες· οὕτι γέ μοι δοκεῖ μεῖον ἐκείνης ἀποφθέγγεσθαι φρενοβλαβῶς. Ἔστω γὰρ οὕτως· οἰκτρῶς ἐξεφαύλισε τοὺς ἁγίους ἄνδρας, οὐδὲ τὸ τῶν οὐρανοπετῶν ἀγγέλων ἠσχύνθη τάγμα διαλλαβεῖν (14)· ἢ δεικνύτω τρανῶς ὁ τῷ τοιούτῳ συνιστάμενος ὅρῳ πόθεν λαβὼν ἐκ τῆς γῆς ἔφησεν ἀνιέναι τοὺς ἐν τοῖς οὐρανοῖς ἑστιωμένους ἀγγέλους· οὐ γὰρ οὗτοι κατελήλυθασιν εἰς ᾅδου λυτηρίους ἐπαγόμενοι τοῖς αἰχμαλώτοις ἀφέσεις, ἀλλ' ὁ Χριστὸς, ἐπειδὴ καὶ νικηφόρον οὗτος ἴδρυσε κατὰ τοῦ πολεμίου τρόπαιον, καὶ τὰς τῶν αἰχμαλώτων ἀποσπάσας λείας αὐτῷ σώματι μεταρσίως ἀνῆλθεν εἰς οὐρανούς· ἄγγελοι δὲ τῷ Θεῷ παρεστῶσιν ἑκάστοτε, τὰς ὀφειλομένας ἐκτελεῖν ἐπειγόμενοι λατρείας, ἀλλ' οὐχὶ τὸν ᾅδην οἰκοῦσιν.

XX. Sed concedamus hæc de Christo illum sentire, qui prophetarum animas a dæmone evocari decernit. Pythomantis ut sibi similes ventre dæmones intuita est, veluti quosdam ex eodem ventre fratres extollens qui ab eadem sunt nati matre, clamat, *deos conspexisse ascendentes e terra* [58]. At grandiloquus ipse Origenes non dubitavit dicere: Dæmonium non tantum prophetæ animam eduxit, sed: Num et aliæ una simul ascenderunt animæ sanctæ prophetarum? Porro cum illi tanta dementia non esset satis, angelos item definiit simul ascendisse cum illorum spiritibus: dixit quippe egentium salutis causa illuc advenisse. Itaque, ut apparet, maxima spe angelos et prophetas, totum denique sanctorum simul chorum, excitat; primo illud decernens, eos sub potestate dæmonis esse; secundo exponens mænadis mulieris opera illuc eductos, veluti captivos conductos, ut laborantibus mederentur. Quare non minus quam illa mente læsus enuntiare videtur. Sic enim se habet: misere sanctis hominibus insultavit; angelorum item ordinem qui per cœlum volant, male tractare non est veritus. Vel saltem aperte dicat qui sententiam hanc defendit, undenam habuit, e terra angelos in cœlis commorantes ascendere. Neque enim hi descenderunt in infernum secum liberatrices ferentes captivis emissiones; sed Christus, qui ex hoste raptum victor sibi erexit tropæum, et captivorum præda parta corpore ipso ad cœlos sublimis ascendit. Verum angeli Deo jugiter præsentes cultus debitos persolvere conantur, nec inferos habitant.

[57] *Sap.* XVIII, 14-16. [58] *I Reg.* XXVIII, 13.

(13) *Οὕτω.* An τοσούτῳ;

(14) *Διαλλαβεῖν.* Forte διαβάλλειν.

Digitized by Google

XXI. Sed Origenes, ut videtur, hæc se non percipere simulat, ut superstitiosas inculcet præstigias. Præterea, qui omnia Scripturæ verba allegoriis exponere ausus est, hoc solum ad litteram tradere non erubescit, per simulationem et veluti ex oraculo determinans, nec etiam de ipso corpore recte judicans. Quinimo de paradiso quem Deus in Edem plantaverat [60] verba faciens, nec non quæ ratione ligna fructifera germinarunt enarrare tentans, inter alia subdit : *Cum legentes*, inquit, *a fabulis serieque quæ secundum litteram est gradu facto ascendimus, quænam illa ligna sint quæ Deus colit quærimus : dicimus in eo loco ligna quæ sensu accipi possunt, non reperiri.* Hæc cum per translationem exponat, non horret *fabulas* appellare quæ Deus creata perfecisse traditur, fidissimusque ejus servus Moyses scriptis consignavit. Et ex opposito, ea quæ fabula in ventre effingit et obscure insonat, ac si dogmata essent, programmate stabilit, vera esse demonstrans. Et verba Engastrimythi a Spiritu sancto dictata contendens, ea, ut sibi videtur, ascribens scripturæ, vult immota permanere; divinis vero oraculis a Moyse traditis *fabularum* nomine insignitis sensum invertit, litteræque traditioni non vult ut quis animum intendat. Nonne item ab Abraham puteos effossos [60], aliaque ad eos pertinentia, allegoriis exponit, tantaque sermonum copia in immensum protracta omne de illis negotium disterminat in aliam sententiam translatum, licet ad hæc usque tempora in regione illa oculis adhuc conspiciantur? Nonne Isaac et Rebeccæ res gestas [61] immutavit, inaures et armillas *sermones* esse *aureos* dicens, et universum denique argumentum per vim distortum, ad ea quæ animo cernuntur et ratione intelliguntur traductum, cavillationibus deturpavit? Porro de Job qui multa passus est [62] commentarios edens, non admiratur tolerantiam, non extollit labores, non commendat virtutem, non probat fidem, non fortitudinis animi exempla describit, non tirones milites magnitudine animi vigoreque prudentiæ ad virtutem hortatur, non armat certatores ut fortiter pro pietate pugnent; sed hæc omnia prætergressus sublimi dicendi modo filiarum nominibus exponendis aniliter multa sane consumpsit. Verum quæ de *Diei* nomine, et *Cassiæ* atque *Cornucopiæ* nugatus est, hic commemorare difficile est; multiplici namque scatent futilitate. Ad Lazarum [63] accedo. Cum debuisset Christi ingens opus magnifacere, illoque palam demonstrare Deum esse, qui mortuum jam fetentem e monumento auctoritate evocaverat, et verbi emissione corpora tumefacta animaverat, his omnibus silentio involutis, Lazarum amicum Domini, quem non abs re propter virtutem diligebat, in peccatis laborantem et mortuum trans-

A XXI. Ἀλλ', ὡς ἔοικεν, Ὠριγένης ὑποκρίνεται μὴ νοεῖν, ἵνα δεισιδαίμονα παρασκευάσῃ μαντείαν· εἶτα πάσας ἀλληγορῆσαι τὰς Γραφὰς ἐγχειρίσας, οὐκ ἐρυθριᾷ τοῦτο μόνον ἐπὶ τοῦ γράμματος ἐκδέχεσθαι, θεσπίζων ὑποκρίσει, καίτοι μηδ' αὐτῷ σώματι προσέχων εὐγνωμόνως· ἀλλὰ δὴ περὶ τοῦ παραδείσου διαλεγόμενος ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδέμ, εἶτα καὶ τίνα τρόπον ἐξανέτειλε τὰ καρποφόρα ξύλα διηγεῖσθαι βουλόμενος, ἐπέφερε πρὸς τοῖς ἄλλοις· *Ὅταν ἀναγινώσκοντες ἀναβαίνομεν ἀπὸ τῶν μύθων*, ἔφη, *καὶ τῆς κατὰ τὸ γράμμα ἐκδοχῆς, ζητῶμεν τίνα τὰ ξύλα*, φησὶν, *ἐστὶν ἐκεῖνα ἃ ὁ Θεὸς γεωργεῖ· λέγομεν, ὅτι οὐκ ἔνι αἰσθητὰ ξύλα ἐν τῷ τόπῳ.* Ταῦτα δὲ δὴ τροπολογῶν οὐ φρίττει *μύθους* ὀνομάζειν ὅσα δεδημιουργηκέναι μὲν ἱστορεῖται Θεὸς, ὁ δὲ B πιστότατος τοῦ Θεοῦ θεράπων ἔγραψε Μωϋσῆς· ἀλλ' ἐκ τῶν ἐναντίων, ἅπερ ὁ μῦθος ἐν γαστρὶ πλαττόμενος ἀφανῶς ὑπηχεῖ, ταῦτα δογματικῷ βεβαιοῖ προγράμματι, δεικνύων ἀληθῆ. Τὰ μέν γε τῆς ἐγγαστριμύθου ῥήματα διὰ τοῦ ἁγίου Πνεύματος εἰρῆσθαι συνιστῶν, ἀσάλευτα μένειν ἀξιοῖ τῇ Γραφῇ τὸ δοκεῖν ἀναθείς· αὐτὰ δὲ τὰ τοῦ Θεοῦ διὰ Μωϋσέως ἐκδοθέντα μηνύματα *μύθους* ὀνομάσας, ἐνδιαλλάττει τὴν ἔννοιαν, οὐ δικαιῶν ἐμμένειν τῇ τοῦ γράμματος ἐκδοχῇ. Ἀλλ' οὐχὶ τὰ ὑπὸ τοῦ Ἀβραὰμ ὀρωρυγμένα φρέατα, καὶ τῶν (15) ἀμφ' αὐτῶν ἀλληγορεῖ, καὶ τοσοῦτον ἀποτείνας λόγου ἐσμὸν, ἅπασαν ὁμοῦ τὴν πραγματείαν αὐτῶν ἀναιρεῖ, μεταθεὶς εἰς ἕτερον νοῦν, καίτοι τῶν φρεάτων ἐπὶ χώρας ἔτι καὶ νῦν ὄψει φαινομένων; Οὐχὶ τὰ τοῦ Ἰσαὰκ καὶ τὰ τῆς Ῥεβέκκας ἐτροπολόγησε πράγματα, τὰ μὲν ἐνώτια καὶ ψέλλια *λόγους* C εἶναι *χρυσοῦς* εἰρηκὼς, ἅπασαν δὲ τὴν ὑπόθεσιν ἐκβιασάμενος, ἐκείνην ἐπὶ τοῦ νοητοῦ παραλαβὼν ἐσυκοφάντησε; Περὶ δέ γε τοῦ πολύτλα προσομιλήσας Ἰὼβ, ἀντὶ τοῦ θαυμάσαι τὴν ὑπομονὴν, ἐπαινέσαι τοὺς πόνους, εὐφημῆσαι τὴν ἀριστείαν, ἀποδέξασθαι τὴν πίστιν, ἐκφράσαι τὰ τῆς καρτεροψυχίας ὑποδείγματα, προτρέψασθαι διὰ τούτου τοὺς νεολέκτους εἰς ἀρετὴν εὐψυχίᾳ καὶ ῥώμῃ φρονήσεως, ὁπλίσαι τοὺς ἀγωνιστὰς ἀνδρείως ὑπὲρ τῆς εὐσεβείας ἀθλεῖν, ἀφέμενος ἐκείνου, μετεώρως εἰς τὰ τῶν θυγατέρων ὁρμήσας ὀνόματα κατετρίβη γραωδῶς. Ἀλλ' οἷα μὲν ἐφλυάρησεν εἰς τὸ *τῆς Ἡμέρας* ὄνομα ὁρμήσας, καὶ *Κασσίας* ἤτοι, καὶ *τὸ τῆς Ἀμαλθείας κέρας*, οὐδὲ D λέγειν οἷόν τε· χλεύης γὰρ ἐστι παντοίας ἀνάπλεα. Περὶ δὲ τοῦ Λαζάρου γράφω (16). Ἀντὶ τοῦ δοξάσαι τὴν τοῦ Χριστοῦ μεγαλουργίαν καὶ διὰ τούτων ἀποδεῖξαι σαφῶς, ὅτι Θεός ἐστιν, ὁ τὸν ὀδωδότα νεκρὸν ἐκ τῶν μνημάτων ἐξουσίᾳ μεταπεμψάμενος, καὶ τῇ τοῦ ῥήματος ἀφέσει τὰ διῳδηκότα σώματα ψυχώσας, οὐδὲν μὲν ἕνεκα τούτου λέγων, Λάζαρον δὲ τὸν τοῦ Κυρίου φίλον, ὃν οὐκ ἀπεικότως ἠγάπα δι' ἀρετὴν, εἰς τὸν ἀσθενοῦντα καὶ τεθνειῶτα ταῖς ἁμαρτίαις ἀνήγαγεν. Οὐδεὶς δὲ κατὰ τοῦ δικαίου τοῦτα εἶπεν,

[60] *Gen.* II, 21. [60] *Gen.* XXI, 25. [61] *Gen.* XXIV, 22. [62] *Job* XLII, 14. [63] *Joan.* XI, 43.

(15) *Τῶν.* An τά;

(16) *Περὶ δὲ τοῦ Λαζάρου γράφω.* Huetius in notis ad exegetica Origenis, pag. 122, pro γράφω rescribit γράφων, de Origene verum istud accipiens; sicque reddit : *De Lazaro autem scribens* Origenes, *cum debuisset*, etc.

Digitized by Google

οὔτ' ἔγραψεν· οὐ γὰρ ἂν οὕτως ἀκρίτως (17) ἔστερ- A tulit. Quæ nemo de justo aut dixit, aut dicta scriγεν ὁ Κύριος αὐτὸν, εἰ μὴ θεσπεσίας ἐξῆπτο πολιτείας. Οὐκ ἔλαττον δὲ καὶ τὸ τῆς λιθοβολίας δρᾶμα θεωρῶν, ἐπειδὴ καὶ τοῦτο πειρᾶται τροπολογῆσαι, τοῦ εὐαγγελικοῦ καταψεύδεται γράμματος· *Οὐ πάνυ τι*, λέγων, *εὕρομεν, ζητήσαντες ἐν τοῖς πρὸ τούτου, ὅτι ἐβάστασαν οἱ Ἰουδαῖοι λίθους ἵνα λιθάσωσιν αὐτόν*· εἶτα μετ' ὀλίγα φησίν· *Εἰ γὰρ πάλιν ἐβάστασαν, πρότερον ἐβάστασαν*· ἄνω δὲ καὶ κάτω βούλεται κατασκεύασαι μὴ προηγεῖσθαι καὶ ἄλλην ὁμοίως ἐκδοχὴν, ἵνα συστήσειεν, ὅτι λόγους, ἀλλ' οὐχὶ λίθους, ἐβάστασαν ἀμελητὶ κατ' αὐτοῦ· καίτοι τοῦ εὐαγγελιστοῦ πρόσθεν εἰρηκότος· *Ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν*. Ὡς δὲ ταῦτα προῦγραψεν ἐν τῷ μεταξὺ πέντε που καὶ τριάκοντα πρὸς τοῖς ἑκατὸν στί- B χους ὑπερβάς, ἐπιφέρει προσθείς· *Ἐβάστασαν οὖν οἱ Ἰουδαῖοι λίθους ἵνα λιθάσωσιν αὐτόν*. Ἀλλὰ ταῦτα μὲν διττοῖς ἀναγέγραπται χωρίοις, ἐν διαφόροις δὲ φαίνεται πεπραγμένα καιροῖς ἀπὸ τοῦ μὴ τὰς αὐτὰς ἔχειν τῶν ῥημάτων ἐπιπλοκὰς ἢ συζυγίας· ἀλλ' Ὠριγένης. ὁ πάσας οἰόμενος εἰδέναι τὰς Γραφὰς, οὐκ ἀνέγνω τοῦτο καὶ ταῦτα γράφων ὡς ὅλον ὁμοῦ τὸ Εὐαγγέλιον ἐπὶ λέξεως.

ptis mandavit; neque enim eum tam valido amore Dominus prosecutus fuisset, nisi vitæ ratio quam profitebatur divina fuisset. Neque minus his, dum lapidationis factum speculatur, illud etiam ac si per tropos factum in aliam sententiam educere obnitens, in evangelicis verbis mire mentitur: *Licet*, inquit, *multum perscrutati fuerimus, nondum invenimus in his quæ scripta sunt, Judæos arripuisse lapides ut in illum injicerent*. Et paucis additis: *Nam si iterum assumpserunt, prius assumpserunt*. Vult autem tum in superioribus tum in inferioribus nil tale præcessisse, ut probet eos verba, sed non lapides, assumpsisse perperam in illum; et tamen evangelista prius dixit: *Tulerunt igitur lapides ut jacerent in illum* [64]. Quæ ubi scripsisset, centum et triginta quinque versiculis interjectis, subdit: *Sustulerunt itaque Judæi lapides ut lapidarent ipsum* [65]. Hæc quidem duplici loco descripta sunt, diversisque temporibus gesta apparent, quod non habeant eosdem verborum nexus vel conjunctiones. Sed Origenes ipse, qui se Scripturas omnes tenere existimat, hæc scribens, non cognovit totum id Evangelii scriptum ad litteram.

XXII. Εἰ δέ τις ὑπολαμβάνει ταῦτα πλάττειν ἡμᾶς, αὐταῖς ταῖς εὐαγγελικαῖς ἐντυχὼν ἀποφάσεσι, καὶ τοῖς ἐμπονηθεῖσιν αὐτῷ περὶ τοῦτο σπουδάσμασιν, εὑρήσει μηδὲν ἡμᾶς εἰρηκέναι ψευδές. Ἀλλά τι δεῖ περαιτέρω λέγειν; Ἅπαντα μὲν, ὡς ἔπος εἰπεῖν, ἐκ τῶν ὀνομάτων ἀλληγορῶν, ἀναιρεῖ τὰς τῶν πραγμάτων ὑποθέ- C σεις, οὐδὲ τοῦτο ἐννοῶν, ὅτι πολλαὶ μέν εἰσιν ὁμωνυμίαι δικαίων ἠδ' ἀδίκων, οὐχ οἷόν τε δὲ τὰς ἀνομοίους τοῦ βίου πολιτείας ἐκ τοῦ ἑνὸς ὠσαύτως ὀνόματος κρίνεσθαι· ἔστι γοῦν Ἰούδας ὁ προδότης, καὶ θάτερος Ἰούδας ἀπόστολος· ἢ αὖ πάλιν Ζαχαρίας ἀδικώτατος βασιλεὺς, καὶ Ζαχαρίας ἕτερος ὁ προφήτης. Οὐ μὴν ἀλλὰ καὶ ὁ βληθεὶς ἐν τῇ καμίνῳ τοῦ πυρὸς Ἀνανίας· ἔστι δὲ παρὰ τοῦτον ἄλλος Ἀνανίας D ὁ διώκων μὲν τὴν Ἐκκλησίαν ἀντὶ τοῦ διώκεσθαι, προστάττων δὲ τύπτεσθαι τὸν Ἀπόστολον, ᾧ καὶ καταντικρὺ πρὸς ἔπος ὁ Παῦλος ἀντεφθέγξατο· *Τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με μετὰ τὸν νόμον, καὶ παρανομῶν με κελεύεις τύπτεσθαι*; Τοιγαροῦν εἴπερ ὀνόματι τὰ πράγματα κρίνεται, λεγέτωσαν οἱ ταῖς τοιαύταις ἐπερειδόμενοι τροπολογίαις, ὁποίᾳ μεθόδῳ τὰς ἀνομοίους ἐπιστήμας ἢ πολιτειῶν ἀναγωγὰς ἐκ τῆς ὁμωνυμίας ἀξιοῦσιν ἑρμηνεύειν. Ἀμέλει πολλοὶ μὲν ἔτι καὶ τήμερον Ἰουδαῖοι προπατόρων ἢ προφητῶν ὀνόματα βαλλόμενοι δρῶσιν ἀθέμιτα· πολλοὶ δὲ καὶ παρ' Ἕλλησι Πέτροι καὶ Παῦλοι καλούμενοι πράττουσιν ἀνήκεστα. Τὰ μὲν τοίνυν ὑπόκενα τῶν λόγων Ὠριγένους οὐχ ἥκιστα καὶ διὰ τῆς τοιαύτης ἁλίσκεται κουφολογίας· ὅσα δὲ τῆς ἀναστάσεως ἕνεκα κακοδόξως εἰσηγεῖται, δηλῶσαι μὲν ἐπὶ τοῦ παρόντος

XXII. Porro si quis hæc nos effingere existimat, sententiis evangelicis perlectis, illiusque in eas commentariis, ab omni nos abstinuisse mendacio comperiet. Quid inde opus est ultra progredi? Omnia, ut verbo expediam, allegoriis ex nominibus desumptis exponit, rerum argumenta de medio tollit; neque illud percipiens, multas esse justorum et injustorum easdem denominationes, neque fieri posse ut diversæ vitæ rationes ab uno nomine similiter dijudicentur. Est itaque Judas proditor, et alter Judas apostolus; vel rursum, Zacharias rex injustissimus, et Zacharias alter propheta. Et qui in fornacem ignis injectus est, Ananias vocabatur; alter autem est præter hunc Ananias qui Ecclesiam persequebatur, cum ipse potius persecutionem pati debuisset, imperabatque ut flagris cæderetur Apostolus, cui in faciem ad verbum Paulus sic respondit: *Percussurus est te Deus, mure dealbate. Et tu sedes et judicas me secundum legem, et contra leges me jubes percuti* [66]? Igitur si nomine res ipsæ discernuntur, qui similibus tropologiis incumbunt, dicant qua methodo diversas scientias aut vitæ rationes ex eodem nomine explicant. Multi scilicet in hunc diem progenitorum aut prophetarum nominibus insigniti Judæi jus violant et impie vivunt; multi item et apud gentes Petri et Pauli nuncupati, nefarie rem suam gerunt. Itaque futilitas levitasque sermonum Origenis non minus per hanc vaniloquentiam deprehenditur. Quæ porro resurrectionis causa male sentiens intrudit, publicare non est præsentis negotii. Methodius enim sanctæ memoriæ in illud

[64] *Joan.* VIII, 59. [65] *Joan.* X, 31. [66] *Act.* XXIII, 3.

(17) Ἀκρίτως. Forte ἐκκρίτως.

Digitized by Google

quæsitum satis abunde scripsit, aperteque ostendit quod hæresim affectantibus ansam præbuerit male sentiendi, in specie, non ipso corpore resurrectionem fieri determinans. Ipsum vero allegoriis omnia invertisse, pravæque opinionis ubique semina ingessisse, facile cognitu est; sæpiusque hinc inde eadem revolventem ac repetentem, totum orbem immodica vanaque loquentia implesse. Hac duntaxat methodo ex more omnia ubique allegoriis infarciens, tantum Engastrimythi verba figurate extricare non potuit, neque ipsa rerum gestarum consequentia in lucem veritatis proferre.

XXIII. Quid præterea attulit religione sibi subterfugia fingens? Cum spectrum Sauli dixisse videretur: *Abscindet Dominus regnum de manu tua* [67]; his probabiliter dicens subintulit, non opus esse intelligere dæmonium de regno Israelitarum vaticinatum fuisse. Jam superius dicebamus verba ab Samuele prolata dæmonem suffuratum fuisse, ut amente Saule decepto ex propriis sermonem texere videretur. At hic simulat similes diaboli conatus non habere compertos. Ut ergo vaticinari videbatur dementis *regnum abscindendum*, tunc adjunxit: *Et dabit illud proximo tuo David*. At polyhistor Origenes hic motus dixit: Dæmonium non potest agnoscere regnum David divino suffragio destinatum. Mihi vero hic subest admiratio, quonam hic pacto apud plures sani consilii gloriam, ac si prudens simul et in sententiis ferendis optimus esset, assecutus sit. Igitur si regnum esset obscurum, forsan non incongrue se illud aliquo modo nescire dissimulasset: cum vero de illo testatus sit Deus, Davidque a Samuele unctus, et semper in bello primas ferens, regis gener sit effectus, ita ut huic quidem tripudiantes myriadas, Sauli chiliadas decantarint; si hæc et his similia manifestarant, quid mirum aut præter exspectationem erit, si regnum divino suffragio per prophetam munitum dæmon agnosceret? Nam si verum dicere velimus, non intelligendum illum solum corporea cognoscere, quemadmodum olei usus, cujus effusio tactus sensu percipitur. Sed nullus ambiget hæc omnibus manifeste innotescere. Addam vero quod excedit cætera. Si hæc manifesta non essent, quodnam majus est, ut simul conferamus, regnum David per olei unctionem agnoscere, an prophetarum animas ab inferis eduxisse? Et tamen illud de potiori persona commonstratum est. Nam a Christo dæmones torti, inviti clamant his verbis: *Quid nobis et tibi, Fili Dei? Venisti ante tempus delere nos* [68]? At animas ab inferis evocandi, et cœtus angelorum qui per cœlum volant eumdem in locum convocandi, re ipsa tantum Deus et divinissimus ejus Filius potestatem habet, præterque eos nullus omnino. Si itaque invisibile Dei regnum ac sancto Spiritu unctum

A οὐχ οἷόν τε. Μεθόδιος γὰρ ὁ τῆς ἁγίας ἄξιος μνήμης ἔγραψεν ἀποχρώντως εἰς τόδε τὸ θεώρημα, καὶ διέδειξέ γε φανδὸν, ὅτι τοῖς αἱρεσιώταις ἔδωκε πάροδον ἀβούλως ἐπὶ εἴδους, ἀλλ' οὐκ ἐπὶ σώματος αὐτοῦ τὴν ἀνάστασιν ὁρισάμενος. Ἀλλ' ὅτι μὲν ἅπαντα τροπολογίαις ἀνέτρεψε, καὶ τὰ τῆς κακοδοξίας ἔσπειρεν ἑκασταχοῦ σπέρματα, ῥᾴδιον ἐστιν ἰδεῖν· ἄνω δὲ καὶ κάτω ταυτολογῶν ἐπλήρωσε τὴν οἰκουμένην ἀμέτρῳ φλυαρίᾳ. Τοιαύτῃ δὲ μεθόδῳ συνήθως ἀλληγορῶν ἅπαντα πανταχῶς, οὐχ οἷός τε ἐγένετο τὰ τῆς ἐγγαστριμύθου τροπολογῆσαι ῥήματα μόνον, οὐδ' αὐτὸ σαφῶς ἐξ αὐτῆς ἱστορῆσαι τῆς ἀκολουθίας.

XXIII. Ἀλλὰ τί πρὸς ἐπὶ τούτοις εἰσήγαγεν ἀφοσιώσει πλαττόμενος ἀποφυγάς; Ἐπειδήπερ ἐδόκει τὸ φάσμα τῷ Σαοὺλ εἰρηκέναι· *Διαῤῥήξει Κύριος τὴν βασιλείαν ἐκ χειρός σου*, πρὸς ταῦτα πιθανολογῶν ἀνθυπέφερεν, ὡς οὐ χρεὼν εἴη νοεῖν, ὅτι δαιμόνιον προφητεύει περὶ βασιλείας Ἰσραηλιτικῆς. Ἤδη δὲ καὶ πρόσθεν ἔφαμεν ὅτι ταῦτα τὰ ῥήματα τῷ Σαμουὴλ εἰρημένα πρόσθεν ἔκλεψεν ὁ δαίμων, ἵνα δὴ τὸν ἔκφρονα Σαοὺλ ἐξαπατήσας ἴδια δόξῃ λέγειν. Ἀλλ' οὗτος οὐ προσποιεῖται τὰ τοιάδε τοῦ διαβόλου δράματα γινώσκειν· ὡς οὖν ἐδόκει προλέγειν, ὅτι *διαῤῥαγήσοι* τοῦ παραπλῆγος *ἡ βασιλεία*, τηνικαῦτα προσετίθει· *Καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ Δαυΐδ*. Ὁ μέντοιγε πολυΐστωρ Ὠριγένης ἐνταῦθα κινηθεὶς ἔφη· Δαιμόνιον δὲ λέγων, οὐ δύναται εἰδέναι τὴν βασιλείαν Δαυΐδ ὑπὸ Κυρίου χειροτονηθεῖσαν· ἀλλ' ἔμοιγε θαυμάζειν ἔπεισιν ὅπως οὗτος ἀποφέρεται δόξαν ἐπ' εὐβουλίᾳ παρὰ τοῖς πολλοῖς, ὡς ἔμφρων ἅμα καὶ γνώμης ἄριστος. Εἰ μὲν οὖν ἄδηλος ἦν ἡ βασιλεία, ἐξῆν ἂν ἴσως ἄγνοιαν ὑποκρίνεσθαί τινα σκηπτόμενον· εἰ δὲ μεμαρτύρητο μὲν ὑπὸ τοῦ Θεοῦ, κέχριστο δ' ἐπὶ τούτοις ὑπὸ τοῦ Σαμουὴλ, ἔν τε τοῖς πολέμοις ἀριστεύων ἀεὶ γαμβρὸς ἀναδέδεικτο τοῦ βασιλέως, ὥστε τούτῳ μὲν τὰς χορευούσας ἀναθῆναι τὰς μυριάδας, τῷ δὲ Σαοὺλ ἀποδοῦναι τὰς χιλιάδας· εἰ δὲ ταῦτα καὶ τὰ τοιαῦτα καθεστήκει σαφῆ, τί ξένον ἢ τί παράδοξον ἦν, εἰ τὴν οὖσαν κεχειροτονημένην ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου βασιλείαν ἐπεγίνωσκεν ὁ δαίμων; Εἰ γὰρ οὐ διανοητέον, εἴγε δεῖ λέγειν ἐξ ὑπερβολῆς, ὅτι τὰ σωματικὰ μόνον εἶδεν, ὡς ἡ τοῦ ἐλαίου χρῆσις αἰσθητὴν ἔχει τὴν τῆς ἁφῆς ἐπιφοράν· ἀλλὰ ταῦτα μὲν οὐδεὶς ἀμφιλέξει πρόδηλα καθεστάναι πᾶσιν· ἵνα δὲ τὸ ὑπερβάλλον ἐρῶ προσθείς. Εἰ γὰρ καὶ μὴ τοιαῦτα (18) καθέστηκε σαφῆ, πότερον ἂν εἴη μείζω πρὸς σύγκρισιν τὸ γνῶναι τὴν τοῦ Δαυΐδ βασιλείαν, ἢ ψυχὰς ἐξ ᾅδου προφητικὰς ἀνάξαι; Καίτοι τοῦτο καὶ ἐπὶ τοῦ κρείττονος ἀποδέδεικται προσώπου· καὶ γὰρ καὶ ἐπὶ τοῦ Χριστοῦ στρεβλούμενοι καὶ ἄκοντες ἐκβοῶσιν οἱ δαίμονες αὐτολεξεί, *Τί ἡμῖν καὶ σοί, κεκραγότες, Υἱὲ τοῦ Θεοῦ; Ἦλθες πρὸ καιροῦ ἀπολέσαι ἡμᾶς;* Τὸ δὲ ψυχὰς ἐξ ᾅδου μεταπέμπεσθαι, καὶ χοροὺς ἀγγέλων οὐρανοπετεῖς ἐν αὐτῷ μετακαλεῖσθαι, μόνος ἐξουσίαν ἔχει

[67] *I Reg.* XXVIII, 17. [68] *Matth.* VIII, 29

(18) *Τοιαῦτα.* Forte ταῦτα.

Digitized by Google

διαπράττεσθαι Θεὸς καὶ ὁ θειότατος αὐτοῦ Παῖς, ἄλλος δὲ καὶ τὸ παράπαν οὐδείς. Εἰ οὖν τὴν ἀόρατον τοῦ Θεοῦ βασιλείαν ἔγνωσαν ἁγίῳ Πνεύματι χρισθεῖσαν, οὐ πολλῷ πλέον ἐπιγνῶναι τὴν τοῦ Δαυὶδ ἐδύναντο διὰ χρίσματος αἰσθητοῦ καὶ καταλύσεως ὁρατῆς; Ἀλλ' οὐκ ᾔδει τὰ πεπραγμένα καὶ Γραφαῖς ἀνακείμενα περὶ τοῦ Δαυὶδ ὁ ἀλιτήριος, ὅ γε καὶ τῷ Κυρίῳ περιβαλλομένῳ τὸ σῶμα προσελθὼν ἔφη τολμηρῶς· *Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ, φησὶν, ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.* Οὐκοῦν εἴπερ ἐκ τῶν ἁγίων ὑποτυποῦται Γραφῶν ὁμιλεῖν, οἶδεν ἄρα τὰ γεγραμμένα κακομαθῶς· εἰ δὲ τούτων ἐν γνώσει καθέστηκεν, οὐκ ἄρα τὴν τοῦ Δαυὶδ ἠγνόει βασιλείαν, ἢ τοῖς ἱεροῖς ἐγκεχάρακται γράμμασιν· ὥστε τὰ γεγραμμένα λέγων ὁ δαίμων, οὐδὲν προσφ*ε*τευσεν οὐδαμῶς.

A agnoverunt, nonne multo magis scire poterant regnum David per visibilem unctionem visibilemque commutationem? Verum res gestas et in Scripturis descriptas de Davide perditissimus non vidit, qui Dominum corpore circumdatum aggressus audacter dixit: *Si Filius Dei es, mitte te deorsum; scriptum est enim: Angelis suis mandavit de te; et in manibus attollent te, ne forte offendas ad lapidem pedem tuum* [69]. Igitur si ex divinis litteris colloquia nectere fingit, scit quæ scripta sunt, tametsi prave; quæ si cognovit, profecto regnum David non ignorabat, quod divinis litteris erat scriptum; ita ut ea quæ scripta sunt dæmon pronuntians nihil omnino vaticinatus sit.

XXIV. Ἀλλ' ὁ πολύφημος Ὠριγένης, οὐδ' ὁτιοῦν εὑρίσκων εἰπεῖν, εἰς τοῦτο κατέφυγε τετεχνασμένως, ἐτέρωθι πρὸς ἐπὶ τούτοις ἐπαγαγών· *Ἐγὼ δὲ, φησὶν, οὐ δύναμαι διδόναι δαιμονίῳ τηλικαύτην δύναμιν, ἵνα προφητεύῃ περὶ Σαοὺλ καὶ τοῦ λαοῦ τοῦ Θεοῦ, καὶ προφητεύῃ περὶ βασιλείας Δαυὶδ, ὅτι μέλλει βασιλεύειν.* Εἶτα φαίη τις ἂν· Ὦ ἀνοητότατε ἀνδρῶν, οὐ δίδως μὲν αὐτῷ προφητεύειν, ἐπιτρέπεις δὲ αὐτῷ προφήτας ἀνάγειν ἐξ ᾅδου, καὶ ἀγγελικοὺς ἄφνω μεταστέλλεσθαι χορούς, ὅπερ ἐστὶ μεῖζον καὶ προὔχον καὶ θειοτέρας ἐχόμενον ἐξουσίας; ἆρά γε τίς οὕτως ἐνόησεν ἀσθενῶς ἢ πτωχῶς; Ἀλλὰ μάλιστα μὲν ἔγωγε φαίην ἂν ἀνθυπενέγκας, ὅτι μηδὲν προσφήτευσεν ὁ δαίμων, ὥς γε καὶ πρόσθεν ἐδείξαμεν· εἰ δ' ἄρα καὶ προφητείας ἄξια διαλεχθεὶς ἐτύγχανεν, οὐδ' οὕτως ἐχρῆν ὑπολαμβάνειν, ὅτι πνεύματα καὶ ψυχὰς δικαίων ὁ δαίμων ἀνήγαγεν ἐξ ᾅδου· καὶ γὰρ ὁ Καϊάφας ἐπὶ τῇ κατὰ τοῦ Χριστοῦ συστάσει προσφήτευσεν, εἰρηκὼς, ὅτι *Συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. Ταῦτα μὲν οὐκ εἶπεν ἀφ' ἑαυτοῦ·* καθάπερ ὁ σοφώτατος ἐξέδωκεν Ἰωάννης· *ἀρχιερεὺς δὲ τυγχάνων ἐκείνου τοῦ ἔτους, προεφήτευσεν.* Εἰ δὲ οὗτος ὁ κατὰ τοῦ Κυρίου βουλὰς ἀδίκους ἀράμενος, ὅμως οὐκ ἀφ' ἑαυτοῦ προφητεύει, κινούμενος δὲ δήπουθεν ὑφ' ἑτέρου καθ' ἑαυτοῦ ποιεῖται τὸν ἔλεγχον· οὐδὲ εἴ τις ἄλλος ἄρα τοιοῦτό τι δρᾷ, προσεκτέον, ὅτι παρὰ τοῦτο θειοτέρας ἐξῆπται δυνάμεως. Οὐδὲ ἀνασχετέον, εἰ λέγοντες ὅτι μαντείᾳ δαιμονιώδει ψυχὰς ἀνάγειν ἔοικεν ἐξ ᾅδου καὶ στρατιὰς ἀγγέλων, οἷα Θεός· ἐπακουστέον γὰρ οἷα περὶ τῶν τοιούτων ἐξαγορεύει προφητῶν ἐν τῷ Δευτερονομίῳ θεσπίζων ὁ Μωϋσῆς· *Ἐὰν δὲ ἀναστῇ, φάσκων, ἐν σοὶ προφήτης, ἢ ἐνυπνιαζόμενος τὸ ἐνύπνιον, καὶ δῷ σοι σημεῖον ἢ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε πρὸς σὲ, λέγων· Πορευθῶμεν, καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ οἴδατε, οὐκ ἀκούσεσθε τῶν λόγων ἐκείνου τοῦ προφήτου, φησὶν, ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει Κύριος ὁ Θεὸς ὑμᾶς,*

B XXIV. Sed multi nominis Origenes, cum non haberet quid diceret, ad hoc artificiose confugit, aliunde argumentis excogitatis: *Ego sane*, inquit, *tales dæmoni vires concedere nequeo, ut de Saule et populo Domini vaticinia edat, item de regno David, illum scilicet regno potiturum.* Sed dicet quispiam: O omnium stolidissime! illi vaticinia negas, et prophetas ab inferis educere, cœtusque derepente angelorum, quod majus est divinioris potentiæ argumentum, concedis? Quis ita infirme aut exiliter rem intellexit? Næ ego potissimum responderem, dæmonem, ut et antea demonstravimus, nihil vaticinatum fuisse; qui licet prophetia non indigna collocutus fuisset, non ideo tamen existimandum erat, spiritus et justorum animas

C eum ab inferis evocasse. Etenim et Caiphas cum de Christo prophetasset, dixit: *Expedit nobis ut unus homo moriatur pro populo, et non tota gens pereat* [70]. *Hæc autem non dixit ex semetipso*, ut scitissimus tradidit Joannes; *sed cum esset pontifex anni illius prophetavit.* Si hic, qui contra Dominum sententiam injustam tulit, tamen non a semetipso vaticinatur, sed motus duntaxat ab alio coarguitur; neque ergo si quis alius idem effecerit, ideo propterea divinioris eum esse naturæ censendum. Neque sustinendum est si dicant præstigiis diabolicis animas ab inferis exercitusque angelorum, ut videtur, veluti Deum, eduxisse. Attendenda quippe sunt quæ de his prophetis præcipiens Moyses in

D Deuteronomio effatur: *Si surrexerit in medio tui propheta, seu somnium somnians, et dederit tibi signum vel prodigium, et evenerit signum sive prodigium quod locutus est ad te, dicens: Eamus et colamus deos alienos quos ignoratis; non audietis verba prophetæ illius*, ait, *aut somniantis somnium illud, quia tentat vos Dominus Deus, ut palam fiat utrum diligatis Dominum Deum vestrum* [71]. Verum hic dualitatem Patris et ejus unigeniti Filii repræsentans, alterum quidem Dominum tentantem appellat, alterum esse Dominum item et Deum dilectum,

[69] *Matth.* IV, 6. [70] *Joan.* XI, 50. [71] *Deut.* XIII, 1-3.

Digitized by Google

ut hoc numero binario unam Deitatem probaret, veramque Dei generationem. Si autem propheta ille qui signum aut portentum ostendere promiserat, omnibus modis abjiciendus est, ideo quod nefarium idolorum cultum introduceret, licet signi potentia præcesserit, quanto magis dæmoni, qui ab inferis spiritus justorum evocare pollicetur, nulla fides est adhibenda? Nemo præterea quamvis impius diceret, illis oracula consulentibus, Deum tentantem impium, suscitasse Samuelem; ut factum postea subsecutum dæmonis promissioni ascriberetur, eoque nomine per fraudem deleret aliquos. Nam omnino cavendum erat, ut legum lator mandaverat, a vaticinii scelere. An non auguria eorumque causas exsecrandas putas? nonne vaticinationes engastrimythi et sortium symbola? Audi quæ paulo post iterum præcepit: *Si introieris in terram quam Dominus Deus tuus dat tibi, non disces facere secundum abominationes illarum gentium. Non inveniatur in te qui lustret filium suum vel filiam suam in igne, et vaticinans vaticinia, et mittens sortes, et augurans incantationibus incantationem, ventriloquus, et portentorum inspector, et interrogans mortuos: est enim abominatio Domino omnis qui facit hæc* [18]. Post hæc innuens etiam alienigenis propterea mortem et internecionem minari, statim subdidit: *Propter enim tales abominationes Dominus exterminabit illos a te.* Manifestum itaque est, engastrimythi vaticinationem cum cæteris idololatriæ causis conjunctam esse. Ita enim in febribus internæ sordes morbum incendunt, vitiososque humores exacuunt, adeo ut ex tumore et corruptione pleruinque pestem inferant. Et dum portentorum inspectiones tristes visiones vocavit, quæ per Engastrimythos factæ historia traduntur, probavit in illis nihil veri contineri. Ideo, ut existimo, rursus in Levitico atrociorem contra eos sententiam dixit, his ipsis verbis peractam: *Et vir aut mulier, si facti fuerint ventriloqui vel incantatores apud vos, morte moriantur; lapidibus illos obruite: rei sunt* [19].

A τοῦ ἰδεῖν εἰ ἀγαπᾶτε Κύριον τὸν Θεὸν ὑμῶν. Ἀλλ' ἐνταῦθα μὲν τὴν δυάδα Πατρός τε καὶ τοῦ μονογενοῦς Υἱοῦ παριστῶν, ἄλλον μὲν τὸν πειράζοντα Κύριον ὀνομάζει, ἄλλον δὲ παρὰ τοῦτον εἶναι τὸν ἀγαπώμενον Κύριόν τε καὶ Θεὸν, ἵνα ἐκ δυάδος τὴν μίαν ἀποδείξῃ θεότητα καὶ τὴν ἀληθῆ θεογονίαν. Εἰ δὲ ὁ προφήτης ἐκεῖνος ὁ τὸ σημεῖον ὑποσχόμενος ἢ τὸ τέρας ὑποδεῖξαι παντάπασιν ἀποκριτέος ἐστὶ, τῷ τὴν ἀθέμιτον εἰδωλολατρείαν εἰσηγεῖσθαι, κἂν ἡ τοῦ σημείου δύναμις ἐνεργοῦσα προτρέχῃ· πόσῳ ὃῃ μᾶλλον οὐ χρὴ δαίμονι πιστεύειν ἐπαγγελλομένῳ ψυχὰς ἐξ ᾅδου μεταπέμπεσθαι καὶ πνεύματα δικαίων; Ἀλλ' οὐδὲ φαίη τις ἂν ἀσεβῶν, ὅτι μαντευομένων ἐκείνων ὁ Θεὸς ἀνέστησε τὸν Σαμουὴλ ἐκπειράσαι τὸν ἄδικον ἐθέλων, ἵνα ἐπιγράψῃ τῇ τοῦ δαίB μονος ἐπαγγελίᾳ τὸ δρᾶμα, καὶ διὰ τῆσδε τῆς προφάσεως ἀπάτῃ φθείρῃ τινάς· ἀνάγκη γὰρ ἐξ ἅπαντος φυλάττεσθαι τὸ τῆς μαντείας ἄγος, ὡς ὁ νομοθέτης ἐθέσπισεν· ἀλλ' οὐ μυσαρά τις ἠγεῖται τὰ τῆς οἰωνοσκοπίας αἴτια, καὶ τὰ τῆς ἐγγαστριμύθου μαντεῖα καὶ σύμβολα κληδόνων; Ἀκουέτω πῶς ὀλίγα πρόσθεν ὑπερβὰς ἐδογμάτισε πάλιν· *Ἐὰν δὲ*, φησὶν, *εἰσέλθῃς εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων· οὐχ εὑρεθήσεταί ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ καὶ τὴν θυγατέρα αὐτοῦ ἐν πυρὶ, καὶ μαντευόμενος μαντείαν, καὶ κληδονιζόμενος, καὶ οἰωνιζόμενος φαρμάκοις ἐπαοιδὴν, ἐγγαστρίμυθος, τερατοσκόπος, ἐπερωτῶν τοὺς νεκρούς· ἔστι γὰρ βδέλυγμα Κυρίῳ πᾶς* C *ὁ ποιῶν ταῦτα.* Μετὰ τοῦτο μηνύων, ὅτι καὶ τοῖς ἀλλογενέσι διὰ ταῦτα θανάτου γένεσιν ἀπειλεῖ καὶ φθορὰν, ἐπήγαγεν εὐθέως· *Ἕνεκα γὰρ τῶν βδελυγμάτων τούτων Κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ σοῦ.* Φαίνεται τοίνυν, ὡς ἡ μαντεία τῆς ἐγγαστριμύθου συνέζευκται μετὰ πάντων ὁμοῦ τῶν τῆς εἰδωλολατρείας αἰτιῶν· ὥσπερ ἐν πυρετῷ σκυβάλων ἔνδοθεν ὑποκειμένων ἐγερτικῶν μὲν ἀῤῥωστίας, ὑπεκκαυμάτων δὲ μοχθηρῶν, οἰδήσει καὶ φθορᾷ τὴν λυμώδη νόσον ἀποκύειν εἰωθότων. Εἰ δὲ δὴ καὶ τερατοσκοπίας ὠνόμασε τὰς ἀμειδεῖς ὀπτασίας, ὅσαι διὰ τῶν ἐγγαστριμύθων ἱστοροῦνται, συνέστησεν, ὅτι μηδέν ἐστιν ἀληθὲς ἐν αὐτοῖς· ἐντεῦθεν, οἶμαι, πάλιν ἐν τῷ Λευϊτικῷ σκυθρωποτέραν ἀπόφασιν ἐξήνεγκε κατ' αὐτῶν, ἐπαγαγὼν αὐτοῖς ῥήμασι· *Καὶ ἀνὴρ ἢ γυνὴ, φάμενος, ἂν γένηται ἐγγαστρίμυθος ἢ ἐπαοιδὸς ἐν ὑμῖν, θανάτῳ θανατούσθωσαν, λίθοις λιθοβολήσατε αὐτούς· ἔνοχοί εἰσιν.*

XXV. Quid hic igitur dicent qui novas Origenis sententias amplectendas esse contendunt? Utrum veluti pessimarum artium operatores Engastrimythos jubet occidi, vel e contrario bonorum operum præceptores? Nam si impiorum sunt auctores facinorum, jure legum lator detestandos, qui nihil veri pronuntiant, eliminat; sin optimarum actionum magistri sunt, frustra in eos lex animadvertit. Quippe si ab inferis animas educunt quæ cum huc advenerint futura prædicant, necessaria indigentibus utiliter suggerunt; injuste ergo lapidibus obrui benefactores legum lator præcepit:

D XXV. Τί τοίνυν φασὶν οἱ τὰς Ὠριγένους ἀσπαστέας εἶναι τιθέμενοι δοξοκοπίας; Πότερον ὡς ἐχθίστων ἐπιτηδευμάτων αἰτίους ἀναιρεῖσθαι προστάττει τοὺς ἐγγαστριμύθους, ἢ τοὐναντίον ὡς ἀγαθῶν ὑποθήμονας ἔργων; Εἰ μὲν οὖν ἀσεβῶν εἰσὶ δραμάτων αὐτουργοὶ, δικαίως ὁ νομοθέτης ἀπελαύνει τοὺς ἐναγεῖς, οὐδὲν εἰσαγγέλλοντας ἀληθές· εἰ δὲ καλλίστων εὑρεταὶ πράξεών εἰσι, περιττῶς ὁ νόμος ἐψηφίσατο κατ' αὐτῶν. Εἰ γὰρ ἀνάγουσι μὲν ἐξ ᾅδου ψυχὰς, αἱ δὲ ἀφικνούμεναι δεῦρο κηρύττουσι τὸ μέλλον, ἐφοδιάζουσι τοὺς δεομένους ἐπωφελῶς, οὐ δικαίως ἂρα λιθοβολεῖσθαι τοὺς εὐεργέτας ἐθέστισεν ὁ νομοθέτης·

[18] *Deut.* XVIII, 9-12. [19] *Levit.* XX, 27.

Digitized by Google

ὥστε δυοῖν ἀνάγκη θάτερον, ἢ ταύτας ἀχρειῶσαι τὰς φωνάς, ἢ τὰ τῆς ἐγγαστριμύθου ῥήματα διαβαλεῖν ὡς ἴωλα καὶ ψευδῆ. Ἀλλὰ τί φῶμεν; Ἀντιδοξοῦσιν ἑαυταῖς αἱ θεῖαι Γραφαί; ταῖς δὲ πολλαῖς ἡ μία μάχεται ψῆφος; Εἰ δ' ἄρα καὶ μάχη τίς ἐστιν, ἐπικρατοῦσι πολλαί. Καὶ μὴν ἐκ τῶν ἐναντίων οὕτως ὁμοφώνῳ συνοδίᾳ καταψηφίζονται τῶν ἐγγαστριμύθων ὡς ἀνόσια δρῶνται· οὐδὲν ἧττον ἔτι κἀν τῇ τετάρτῃ τῶν Βασιλειῶν ἀνειλημμένον ἐστὶν, ὅτι Μανασσῆς μὲν ἀσεβείας ὑπερβολῇ πρὸς οἷς ἐδικαιοκτόνει, καὶ παντοίας ἐθρήσκευεν εἰδωλομόρφους ὕλας· *Ἐποίησεν ἑαυτῷ*, φησὶν, *ἐγγαστριμύθους καὶ γνώστας*· ἀντιστρόφως δ' αὖ πάλιν ὁ δικαιοσύνης ἀρετῇ διαπρέψας Ἰωσίας ὁ βασιλεὺς ἅπαντα μὲν ὁμοῦ τὰ χειρότευκτα καθεῖλεν ἀφιδρύματα, πυρὶ δὲ τεφρώσας ἠφάνισεν· οὐ μὴν ἀλλά γε πρὸς τούτοις *ἀφεῖλεν*, ἔφη, *τοὺς ἐγγαστριμύθους, καὶ τοὺς γνώστας, καὶ τὰ θεραφὶμ, καὶ τὰ εἴδωλα, καὶ τὰ καρασαείμ*· εἶτα καὶ μετ' ὀλίγα φησὶν, ὅτι καὶ *ἐνεπύρισεν*, ὡς ἀθέμιτα δηλαδή. Τοιγαροῦν εἴπερ ὁ αὐτός ἐστι συγγραφεὺς ἑκατέρου τοῦ γράμματος, ἐνταῦθα δὲ δύο πρόσωπα βιολογεῖ βασιλέων, εἶτα τούτοιν τὸ μὲν ἄδικον εἰσάγει [ὅτι πρὸς] ἄλλοις εἶλετο καὶ τῶν ἐγγαστριμύθων, τὸ δὲ ζήλῳ διεγηγερμένον ἐπαινεῖ, τῷ καὶ τοὺς ἐγγαστριμύθους ἐξᾶραι πρὸς ἅπασι τοῖς ἐχθροῖς. Εἰ δὲ ταῦτα οὕτως ἔχει, συνέστηκεν, ὅτι οὐχ ἑαυτῷ μαχομένας ἐξεδίδου φωνάς. Οὐδ' αὖ τὸ Πνεῦμα τὸ ἅγιον ἔφασκεν ἀναβεβηκέναι τὸν Σαμουὴλ, ἀλλὰ τοὺς τῆς ἐγγαστριμύθου διηγεῖτο λόγους, ὡς ᾤετο καὶ τὸ δοκεῖν ἐκόμπαζεν ἐκείνη φαντασιοκοπίαις ἀναπτεροῦσα τὸν δυνάστην ἀδήλοις· οὐ γὰρ ἂν ἑαυτῷ καὶ ταῖς ἄλλαις ἁπάσαις ἐμάχετό πως Γραφαῖς. Ἀλλ' οὐχὶ μόνον αὗται ταῦτα διελέγχουσιν αἱ ῥήσεις, ἀλλ' ἔτι γε τούτοις ἐπιψηφίζεται καὶ μάρτυς ἄλλος ἀξιοφανὴς, ὁ προφήτης Ἡσαΐας, πῇ μὲν ἀπαγορεύων τὰ τοιάδε μύση, πῇ δὲ παραινῶν ὀρθότατα τοῖς ὑπηκόοις αὐτῷ κελαδεῖ· *Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς· Ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας, οἱ ἐκ τῆς κοιλίας φωνοῦσιν· οὐχὶ ἔθνος πρὸς Θεόν.* Εἶτά τι μετὰ ταῦτα προσθεὶς ἐπιφέρει· *Τί ἐκζητοῦσιν*, ἔφη, *περὶ τῶν ζώντων τοὺς νεκρούς; Νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι*· προδήλῳ μὲν ἱεροφωνίᾳ τὸ τῶν ἐγγαστριμύθων ἀπεκήρυξε γένος. Εἰ δὲ κενολόγων ἀπέφηνε τὸ τοιοῦτο συνέδριον, ἀναμφιλόγως ἀπέδειξεν, ὅτι τούτων οὐδὲν οὐδεὶς οὐδεπώποτε λέγει τὸ παράπαν ἀληθὲς, ἀλλὰ ψευδηγορίᾳ μὲν ὑποκένῳ πλάττουσι τὴν ἀπάτην, ἐώλῳ δὲ κενολογίᾳ φενακίζουσι τοὺς ἀμαθεῖς. Ὅθεν ἀκολούθως ἐπέσκωπτεν ἐκείνους ὅσοι περὶ τῶν ζώντων ἐρωτῶσι τοὺς νεκρούς· αὐτοὶ γὰρ, ὅλοι νεκροὶ καὶ πηροὶ τυγχάνοντες, οἱ κενολόγοι τὰς τῶν νεκρῶν ὑποτυποῦνται διακονεῖσθαι φωνάς· ὁδὲ προφήτης ἐπεμαρτύρετο βοῶν, ὅτι νόμος ἀρραγὴς ἔκκειται περὶ τούτων, ἵνα μὴ κατὰ τοὺς ἀποφθεγγομένους ὑπαχθῶσι κουφολογίαις ἐώλοις· ἄκρο-

ita ut unum ex duobus necesse factu sit, aut has voces tanquam inutiles abjicere, vel engastrimythi verba tanquam falsa atque vana criminari. Sed quid dicemus? Pugnantne inter se sacræ litteræ? an una sententia multis adversatur? Si quæ tamen inter eas controversia est, potiori eorum parti palma danda est. Et tamen contrariæ omnibus sententiis in engastrimythorum condemnatione, tanquam eorum qui impie agunt, concurrunt. Nec minus præterea in quarto Regum relatum est, Manassem impietatis excessu, præter justorum neces, omnibus rebus quæ idola præ se ferebant servivisse : *Fecit sibi ipsi*, ait [74], *engastrimythos et gnostas.* Ex altera vero parte, qui justitiæ laude illuxit, Josias rex omnes simul manufactas statuas dejectas, igne consumptas delevit. Inter cætera et id memoratu dignum egit : *Sustulit*, inquit [75], *ventriloquos, et gnostas, et theraphim, et idola, et carasaim :* et paucis interjectis, *ea combussit*, ait, veluti nefaria. Itaque si utriusque scriptionis unus est auctor, in quibus duorum regum vitas scripsit, horum alterum injustum fuisse ait, quod præter alia ventriloquos induxerit, alterum laudibus extollit quod divino zelo excitatus ventriloquos præ omnibus inimicis deleverit. Hæc si ita se habent, patet non sibi adversantes voces emisisse. Neque Spiritus sanctus dixisset Samuelem ascendisse, sed engastrimythi referebat sermones, illam, uti sibi videbatur atque opinabatur, magnifice se jactasse, spectris quæ tantum imaginatione obscure deprehendebantur, regem spe bona extollendi. Neque enim sibimet ipsi aliisque Scripturis omnibus adversaretur. Neque tantum hæ auctoritates ista damnant, sed præter has alius item testis fide dignus Isaias propheta, calculum addit. Hic quidem similes abominationes exsecratus hæc subdit, ut ita sentiant, rectissime adhortatus : *Et si dixerint vobis : Quærite ventriloquos, et eos qui a terra clamant, qui vane loquuntur, vel e ventre dicunt : non est gens ad Deum.* Deinde paucis additis : *Quid quærunt de vivis mortuos? Legem quippe in auxilium dedit, ut dicant, non sic ut verbum hoc, pro quo non est dare munera pro eo* [76], clara sanctaque voce genus omne ventriloquorum explosit. Et si vaniloquorum similem consessum declaravit, sine dubio demonstravit horum neminem ullam unquam omnino proferre veritatem, sed mendaciis, iisque inanibus, ingestis fraudes componere, levique ac frivolo sermone indoctis imponere. Quare non incongrue illis exprobrabat qui de vivis mortuos interrogant. Ipsi enim vaniloqui, cum mortui sint et cæci, mortuorum voces deferre se simulant. Contra quos testimonium dicebat propheta clamans, legem jam de his fuisse latam, ne inani sermonis dicacitate subducantur, quemadmodum et hi qui talium rerum sunt auctores. Est enim firmissima legis custodia, cœleste auxilium implorare, et non e re-

[74] *IV Reg.* xxi, 6. [75] *IV Reg.* xxiii, 24. [76] *Isa.* viii, 19, 20.

Digitized by Google

bus terrenis, in ipsis subterraneis animum figentes, opem emendicare.

XXVI. Sed qui omnes jam Scripturas interpretatum se esse existimat Origenes, hæc testimonia ignorare simulat, neque uti decet usurpat, sed quæ ad propositum minime faciunt infarcit, iis præteritis quæ natura sua congruebant. Quod si ignorantia, stolide quidem, ut videtur, effecit; si malignitate, negotium audacter obivit. Quin cum ambiguus et anceps dixisset : *Quid igitur hic facit ventriloqua? Quid igitur facit ventriloqua circa animæ justi eductionem?* sermonis dubietate sublimiter effugit, quod ipse fecerat aliis donans : totum vero Scripturæ attribuens, Samuelem eductum fuisse confidenter asseverat, at non secundo audet repetere : *Quis ipsum eduxit?* Ego porro existimo pro prima interpretatione a rectissime semper sentientibus reprehensum, secunda expositione cum responderet, dixisse observatum engastrimythi locum. Deinceps subdit scriptum : *Engastrimythum aliquem eduxisse;* itemque, *Saulem Samueli dixisse*, Litteris proditum esse. His similia complura inani verborum ambitu iterum atque iterum repetit, tum denuo infit : *Non autem enuntiavit, si volens ascendit. Non enim habes*, inquit, *textum, si eduxit illum engastrimythus. Si minus, Scripturam percurrens aliquis me reprehendat.* Igitur ex adverso reprehensus aperte negavit quæ prius sensit inconsiderate. Ubi enim determinavit Scripturam potius dixisse, non mulierem : *Quem evocabo tibi?* Hic vero manifeste convictus oblivione accusationem vitare studuit. Sic ubique sibi adversantes opiniones exponit, quemadmodum et hic perperam inter opinionum pugnas ac turbas criminis actionem coactus fuit effugere. Quando igitur vi quadam adductus mulierem prophetæ animam non evocasse fassus est, dicat quis eam eduxit. Ipse enim in eo firmiter stetit, evocatam tantum eam tradens. Ipsa itaque sola pythomantis erat, et Saul exorator illius, ut prophetam educeret. At hic nequaquam fuerit auctor fabulæ : neque enim noctu ad illam deveniens engastrimythum precaretur. Si vero factum subsecutum est, nulli alii quam engastrimytho opus ascribi debet. Ita ut ex his duobus unum affirmare necesse sit, vel hoc nunquam omnino opere præstitum fuisse, vel ab engastrimytho et dæmone hominem rectum eductum fuisse. Nonne qui religione voces proprias dum negare videtur, diversa methodo eamdem opinionem fraudulenter obtrudit? Sed per orationem qua se defendere videtur, mendacium, ac si veritas esset, inculcat. Neque illi pudorem incutiunt tot tantaque legum latorum decreta, consona prophetarum testimonia, reliquusque seriei historicæ unus ac idem consensus. Quin sanctissimis oraculis prava ratione perversis, libere engastrimythi verba confirmat, recentiora idolorum cultus instrumenta decernens, quæ pla-

τάτη γάρ, οἶμαι, φυλακὴ νόμου καθέστηκεν, οὐρανόθεν ἐπικαλεῖσθαι τὴν βοήθειαν, ἀλλὰ μὴ ἐκ τῶν γηΐνων ἐρανίζεσθαι τὴν ἐπικουρίαν, εἰς αὐτὰ τὰ καταχθόνια βλέποντας.

XXVI. Ἀλλ' ὁ πάσας ἑρμηνεῦσαι τὰς Γραφὰς οἰηθεὶς Ὠριγένης οὐ προσποιεῖται ταύτας εἰδέναι τὰς μαρτυρίας, οὐδὲ τίθησιν αὐτὰς, ὡς δέον, ἀλλ' ἐπεὶ συγκαλεῖ μὲν ἐκείνας ὅσαι μηδὲν ἐν μηδενὶ τῷ ζητήματι διαφέρουσιν, ὑπερβαίνει δὲ τὰς αὐτῇ φύσει προσηκούσας· ἤτοι γὰρ ἀμαθίᾳ τοῦτο πράττειν ἔοικεν ἀφρόνως, ἢ κακοθελίᾳ πραγματεύεσθαι τολμηρῶς· ἀλλὰ καὶ καθάπερ ἐπαμφοτερίζων εἰρηκὼς, ὅτι, *Τί οὖν ποιεῖ ἐγγαστρίμυθος ἐνθάδε; Τί οὖν ποιεῖ ἐγγαστρίμυθος περὶ τὴν ἀναγωγὴν τῆς ψυχῆς τοῦ δικαίου;* λόγου μὲν ἀπορίᾳ μετεώρως ἀπέφυγεν· ἀλλ' ὁ τοῦτο ἐπιγράφων ὅπερ ἔδρασεν αὐτός· αὐτῇ δὲ τῇ Γραφῇ τὸ πᾶν ἀναθεὶς, ἰσχυρίζεται μὲν ἀνῆχθαι τὸν Σαμουὴλ, οὐκ ἔτι δὲ τολμᾷ δευτερῶσαι τό· *Τίς ἀνήγαγεν αὐτόν;* Οἶμαι δὲ, ὅτι καὶ μετέπειτα διελεγχόμενος ὑπὸ τῶν ὀρθότατα φρονούντων ἀεὶ, δευτέρᾳ πάλιν ἀπολογούμενος ἐξηγήσει, τετηρῆσθαι μὲν ἔφη τὸν τῆς ἐγγαστριμύθου τόπον· εἶτα λέγει καὶ ὅτι μὲν *ἡ ἐγγαστρίμυθός τινα ἀνήγαγε* γέγραπται· καὶ ὅτι *Σαοὺλ εἶπε τῷ Σαμουὴλ* ἀναγέγραπται. Φλυαρίᾳ δὲ πολλῇ τοιαῦτα συχνά τινα ταυτολογήσας, ἐπιφέρει πάλιν· *Οὐχ εἴρηκε δὲ*, φησὶν, *εἰ ἑκουσίως ἀναβέβηκεν· οὐ γὰρ ἔχεις*, ἔφη, *κείμενον εἰ ἀνήγαγεν αὐτὸν ἡ ἐγγαστρίμυθος· ἐπεὶ ἐλεγξάτω μέ τις ἀναγνοὺς τὴν Γραφήν.* Οὐκοῦν ἀντιπροσώπως ἐλεγχόμενος ἠρνήσατο λευκῶς ἅπερ ἀβουλίᾳ πρόσθεν ἐδόξασεν· ἐκεῖ γὰρ αὐτὴν ὡρίσατο τὴν Γραφὴν εἰρηκέναι μᾶλλον, ἀλλ' οὐ τὴν γυναῖκα, τό· *Τίνα ἀναγάγω σοι;* Δεῦρο δὲ καταφανῶς ἀλισκόμενος ἐκφυγεῖν ἐσπούδασε λήθῃ τὴν αἰτίαν· οὕτως ἑκασταχοῦ μαχομένας ἑαυτῷ δόξας ἐκτιθέναι γυμνῶς, ὥσπερ οὖν ἀμέλει κἀνταῦθα γνωσιμαχήσας ἐάλω τὴν ἐγκληματικὴν ἀποδρᾶναι δίκην ἐπειχθείς· ἐπεὶ τοίνυν ἄκων ἑλκόμενος ὡμολόγησεν ὡς οὐκ ἀνήγαγεν ἡ γυνὴ τὴν τοῦ προφήτου ψυχὴν, εἰπάτω τίς ὁ ταύτην ἀναγαγών· ἐνέμεινε γὰρ ἀμεταστάτως ἀνῆφθαι μόνον αὐτὴν ὁρισάμενος· αὕτη γοῦν ἡ πυθόμαντις ἐτύγχανε μόνη, καὶ Σαοὺλ ὁ δεόμενος ἐκείνης ἀναξαι τὸν προφήτην. Ἀλλ' οὗτος μὲν οὐκ ἂν εἴη γε τοῦ δράματος αὐτουργός· οὐ γὰρ ἂν ἐδεῖτο τῆς ἐγγαστριμύθου νύκτωρ ἀφικνούμενος ὡς αὐτήν· εἰ δὲ γέγονεν ἡ πρᾶξις, οὐχ ἑτέρῳ τινὶ τὸ δραθὲν ἐπιγραπτέον· ὥστε δυοῖν ἀνάγκη θατέρον ἐστιν εἰπεῖν, ἢ τοῦτο μηδεπώποτε γεγονέναι μηδαμῶς, ἢ διὰ τῆς ἐγγαστριμύθου καὶ τοῦ δαίμονος ἀνῆχθαι τὸν ἄνδρα τὸν ὄρθιον. Ἆρ' οὖν ἀφοσιώσει τὰς ἑαυτοῦ φωνὰς ἀρνεῖσθαι δοκῶν ἄλλῃ μεθόδῳ τὴν αὐτὴν εἰσηγεῖται ὀξυκοπίαν ἀπατηλῶς; Ἀλλὰ δι' ὧν μὲν ἔοικεν ἀπολογεῖσθαι, διὰ τούτων ὡς ἀλήθειαν εἰσηγεῖται τὸ ψεῦδος. Οὐ καταιδοῦσι δὲ αὐτὸν αἱ τοσαῦται καὶ τοιαῦται νομοθετικαὶ ψηφοφορίαι, οὐ σύμφωνοι προφητικαὶ μαρτυρίαι, οὐχ αἱ λοιπαὶ τῆς ἱστοριογραφίας ὁμόδοξοι συνοδίαι· τὰ δὲ δὴ πανάγια παραλογισάμενος ἀποφθέγματα, προαιρέσει βεβαιοῖ τὰ τῆς ἐγγαστριμύθου ῥήματα, καινότερα μὲν εἰδωλολατρείας

Digitized by Google

ὄργανα θεσπίζων, ἀσεβεῖ δὲ μαντείᾳ δαιμόνων ἐπισκυλῶν. Οὐ πείθει δὲ αὐτὸν οὐδὲ τὸ σύνθετον ὄνομα ποταπὴν ἔχει διαγωγήν. Ἡ γὰρ Ἐγγαστρίμυθος ἑρμηνεύεται παρὰ τὸ μῦθον ἐν γαστρὶ πεπλασμένον ἐμφαίνειν· ἡ δὲ τοῦ μύθου σύνθεσις ἐσχημάτισται σκηνοπηγουμένου πιθανῶς εἴσω γαστρὸς, οὐκ ἀλήθειαν, ἀλλὰ τὸ ψεῦδος ἀντικρυς ἐκφωνεῖ. Μακρῷ γοῦν ἄμεινον ἴσασιν οἱ ποικίλαις ὁμιλήσαντες λόγων ἀναφοραῖς, ὁποῖόν ἐστι τὸ γένος αὐτοῦ· κἂν τὰ μάλιστα δὲ δεισιδαιμονίαν πυρέττων Ἑλληνικὴν μαντείαν εἰσηγεῖται λεληθότως.

A giaria dæmonum vaticinatione obtrudunt. Ipsum nomen compositum persuadet quanam in parte versatur. *Engastrimythus* enim interpretatur a *ventre* et *fabula*, quasi *fabulam in ventre confictam demonstrans*. Compositio autem fabulæ intra ventrem probabiliter quemadmodum et tentoria efformata, non veritatem, sed mendacium aperte pronuntiat. Multo melius itaque qui varia periti sunt lectione, noverunt quodnam illius genus : qui non modo ille superstitiosis præstigiis apprime deditus, gentium superstitiones clanculum introducit.

XXVII. Ἀλλ' ὅμως οὐ παραιτητέον ἡγοῦμαι κἀντεῦθεν ἐλέγξαι τὴν ἀξυνεσίαν αὐτοῦ δι' ὀλίγων, ὡς δέον. Αἱ γάρ τοι ῥητορικαὶ δηλοῦσι τεχνογραφίαι σαφῶς, ὅτι μῦθός ἐστι πλάσμα συγκείμενον μετὰ ψυχαγωγίας πρός τι τῶν ἐν τῷ βίῳ χρήσει διαφέρον· πλάσμα δὲ δήπουθεν εἴρηται παρὰ τὸ πεπλάσθαι, φασὶν, αὐτὸν συνομολογουμένως· οὐ γὰρ ἔτι νομίζοιτο μῦθος, εἰ γεγονὼς εἴη κατὰ ἀλήθειαν· εἰ δὲ πλάσματος αὐτοσχεδίου σύνθεσίς ἐστιν ἡ μυθοποιία, πόρρω μὲν ἔργῳ τῆς ἀληθείας ἐλήλεγκται, λόγῳ καὶ πραγμάτων ὕλας εἰκονίζει τῇ πράξει λειπομένη· τὰ γὰρ οὐκ ὄντα πιθανολογεῖν ἔοικεν ὡς ὄντα, καὶ διηγήσει μίμησιν εἰσάγει πεπλασμένην· ἀνυπόστατα τοίνυν εἰδοποιεῖ πράγματα, μηδεμιᾶς ὑποκειμένης ἕδρας, ὡς οἷόν τε βεβαίως. Οὐδὲν δέ μοι δοκεῖ διαφέρειν ἀψύχου σκιαγραφίας ἡ τοῦ μύθου πλαστουργία· καθ' ὁμοιότητα γάρ, οἶμαι, τοῦ πίνακος αὐτῇ διαχαράττεται τῇ γραμμῇ· παραπλησίῳ γέ τοι προσεμφερείᾳ προσωποποιεῖ μὲν ὑπόθεσιν, εἴς τι μέρος ἀποβλέπουσα, αὐτὰ δὲ σχηματίζει τῇ μιμήσει τὰ πράγματα γραμμαῖς ἐντεταμέναις, ἀνομολογίαν μὲν οὖν ἐφ' ἑκάστων ἐς τὰ μάλιστα τηρεῖ τῶν ῥυθμῶν. Ἄκρα τε πολέμου γράφει καὶ τέλος, ἐοικότα βάσει, καὶ χεῖλη φθεγγόμενα, καὶ φωνῶν ἰδιώματα, καὶ γέλωτας, καὶ κλαυθμοὺς, ἢ δημηγορίας ἀρχοντικὰς, ἢ συμπόσια καὶ κώμους, ἢ βακχίας, ἢ τελετὰς, ἢ μέθας ἀκολάστους, ἢ παροινίας ἐρωτικὰς, ἢ λῃστρικὰς ἁρπαγὰς, ἢ φθορὰς ἀνηκέστους, ἢ σφαγὰς ἀκρίτους, ἢ πενίας ὑποκρίσεις, ἢ πλούτων ἐπιῤῥοίας. Εἰκοτολογίᾳ μὲν οὖν ἅπαντα χαρακτηρίζει, προσωποποιία δὲ προσεμφερεῖς διαγορεύει πράξεις ἀνδρωεῖς· οἱ γάρ τοι μυθοποιοὶ τὰς ἀνθηρὰς ἀναλεγόμενοι λέξεις αὐτουργοῦσι ποικίλα χρωμάτων εἴδη, καὶ τῇ προσωποποιίᾳ συμπλέκουσιν· εἶτα λόγοις ἐπιχρώσαντες ἡδέσι, πᾶσαν μὲν ἐπισυνάγουσι τὴν τοῦ μύθου διήγησιν· ὥσπερ δὲ ζωδιογράφοι τὴν τῆς ὄψεως εἰκονίζουσιν ὥραν, ἐρυθροῖς ἠδ' ἀνθινοῖς χρώμασι κηρογραφοῦντες· ῥήμασι δὲ καὶ σχήμασι μελοποιεῖν ἐπειγόμενοι, χαρακτῆρας ὑλικοὺς ἔργῳ τῆς ἀληθείας αὐτῆς ἀποδέουσιν. Ἀλλ' οὕτοι μέν τοι τούτῳ ποικίλλουσι τρόπῳ τὰς τῶν μύθων εἰκόνας· ἐντεῦθεν δὲ μουσική τις ἁρμονία συνίσταται, καὶ ποιητικῆς οἰησικοπίας εὕρεσις.

XXVII. Nihilominus inde etiam paucis ejus stoliditatem, uti par est, reprehendere, omittendum non est. Etenim rhetoricæ artis traditiones satis commode exponunt, fabulam esse fictionem quamdam cum delectatione ad aliquem vitæ usum necessarium. *Fictio* vero dicta est quod, ut omnes æque fatentur, conficta sit. Neque enim *fabula* diceretur, si re ipsa gesta fuisset. Quare si fabula rei fictæ ex improviso compositio est, re quidem ipsa longe abest a veritate, at rerum ratione materias suppeditando repræsentat actione destituta. Quippe quæ non sunt, verisimilitudine, quasi essent, proponit, narrationeque imitationem confictam introducit. Res itaque quæ non subsistunt, formis atque figuris ornatas, nulla suffultas firmitate, quoad fieri potest, stabilit. Mihi vero videtur fabulæ confictio nihil ab inanimatæ umbræ delineatione differre. Ad similitudinem quippe tabulæ lineis ipsis designatæ, et pari æqualitate argumento, in unam partem respiciens, personam confingit, imitationeque res ipsas lineis inductis figurat, et in omnibus inæqualitate numerum observat potissimum; sicque ortus et fines bellorum non dissona basibus pingit, labia loquacia, vocum proprietates, risus, planctus, aut conciones principum, convivia, saltationes, furores bacchicos, mysteria, ebrietates turpissimas, petulantias amatorias, prædonum direptiones, deploratas cædes, clades enormes, paupertatis simulationes, divitiarum affluentias. Decenti igitur oratione notas apponit, et personarum fictione ad actiones similes quæ viros decent, designat. Fabulatores quippe floridis vocibus selectis varias colorum species adhibent, complicantque personarum fictioni; deinceps orationis suavitate adumbrantes omnem quidem fabulæ narrationem expediunt. Et veluti signorum pictores aspectus pulchritudinem rubeis floridisque coloribus, ac si cera pingerent, distinguunt; verbis item figurisque dum numerum accommodare coguntur, characteribus pinguibus, veritatis causa, quasi compedibus vinciunt. At hi quidem hac ratione fabularum imagines exornant. Hinc musica quædam harmonia constituitur, ac poeticæ imaginationis inventio.

XXVIII. Ἀμέλει γοῦν ἐρωτώμενος ὁ Πλάτων μουσικῆς μὲν εἶναι λόγους ὁρίζεται, λέγων· *Λόγων δὲ διττὸν εἶδος*, ἔφη, *τὸ μὲν ἀληθὲς, ψεῦδος δὲ θάτερον· παιδευτέον δὲ ἐν ἀμφοτέροις, ἀλλὰ γε*

XXVIII. Itaque Plato interrogatus musicæ quidem orationem esse determinat, dicens *orationis duas esse species, unam veram, alteram falsam; in utrisque vero instituendum* (civitatis custodem), *sed*

Digitized by Google

primum quidem in mendaciis. Prius quippe dixerat pueros fabularum cantu deliniri. Itaque *in unaquaque re maximum est atque præstantissimum principium; potissimum vero juveni et tenero cuilibet. Tunc enim maxime formatur et inducitur figura ejus rei, quam quis unicuique imprimere atque obsignare velit.* Quibus dictis illud conatur ostendere, minime esse necessarium immodicis purisque mendaciis juvenum animos occupare; cum quæ puerulis recentioribus pravæ opinionis notæ imprimuntur, vix divelli aut aboleri possint. Quapropter ratione non interrupta subdit: *Adeone facile permittemus quaslibet fabulas a quibuslibet pro arbitratu inventas audire pueros, easque animo suscipere opiniones quæ ut plurimum sunt iis contrariæ, quas ubi ad constantem ætatem pervenerint, habere illos debere arbitramur? Nullo id quidem modo,* dixit, *permittemus. Primum quidem constituendi sunt fabulatoribus illis censores, qui, si quam illi bonam fabulam fecerint, excernant atque seligant, malas autem repudient eodem illo judicio atque examine. Quas vero fabulas e cæterarum numero exemerimus, dabimus operam ut et nutrices et matres pueris eas commemorent: ut illis fabulis potius informentur atque instituantur eorum animi, quam corpora manibus curentur. At ex iis quas nunc commemorant, multæ erunt repudiandæ.* Deinde cum de earum pro ratione differentiis interrogaretur, *In majoribus,* dicebat, *fabulis et minores videbimus.* Cum rursus Adimantus, eas se non intelligere innuens, quæreret, subintulit: *Quas et Hesiodus et Homerus nobis commemorarunt. Hi enim falsas quasdam fabulas effinxerunt quas hominibus proponerent, et quæ jam olim invaluerunt, atque etiam nunc obtinent.*

A πρότερον ἐν τοῖς ψεύδεσι· προηγουμένως γὰρ εἶπε τὰ παιδία καταλέγεσθαι μύθων ἐπαοιδῇ. *Οὐκοῦν ἀρχὴ παντὸς ἔργου μέγιστον· ἄλλως τε καὶ νέῳ καὶ ἁπαλῷ ὀτῳοῦν· μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος, ὃν ἂν τις βούλεται ἐνσημήνασθαι ἑκάστῳ.* Διὰ δὲ τῶν τοιούτων πειρᾶται ῥήσεων ἐκφαίνειν, ὡς οὐ χρεὼν ἂν εἴη γε ψευδηγορίαις ἐπαντλεῖν ἀκράτοις τὰς τῶν νεηλύδων ἀκοάς· ἐπειδὴ τοῖς ἀρτίως ἐνσημαινόμενοι μείραξιν οἱ κτύποι τῆς κακοδοξίας ἀμετάστατοι φιλοῦσι γίνεσθαι καὶ δυσέκνιπτοι· διόπερ ἀκολούθως ἐπιφέρει πάλιν· *Ἆρ' οὖν ῥᾳδίως οὕτω παρήσομεν,* ἔφη, *τοὺς ἐπιτυχόντας ὑπὸ τῶν ἐπιτυχόντων μύθους πλασθέντας ἀκούειν τοὺς παῖδας, καὶ λαμβάνειν ἐν ταῖς ψυχαῖς, ὡς ἐπὶ τὸ πολὺ ἐναντίας δόξας* B *ἐκείναις ἃς, ἐπειδὰν τελειωθῶσιν, ἕξειν οἰησόμεθα δεῖν αὐτάς; Οὐδ' ὁπωστιοῦν,* εἴρηκε, *παρήσομεν. Πρῶτον μὲν ἡμῖν ὡς ἔοικεν ἐπιστατητέον τοῖς μυθοποιοῖς· καὶ ὃν μὲν, ἂν καλὸν μῦθον ποιήσωσιν, ἐγκριτέον· ὃν δὲ μὴ, ἀποκριτέον· τοὺς δὲ ἐγκριθέντας ποιήσομεν τὰς τροφούς τε καὶ μητέρας λέγειν τοῖς παισὶ, καὶ πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις, πολὺ μᾶλλον ἢ τὰ σώματα ταῖς χερσίν· ὧν δὲ νῦν λέγουσι τοὺς πολλοὺς ἐκβλητέον.* Εἶτα ἐπειδὴ περὶ τῆς ἑκάστων ἀναλόγου διαφορᾶς ἐρωτώμενος, *Ἐν τοῖς μείζοσιν,* ἔφασκε, *μύθοις ἀναγνωρίζεσθαι τοὺς ἐλάττους·* ὡς ἦρετο πάλιν ὁ Ἀδείμαντος, οὐδὲ τούτους εἰδέναι δηλῶν, αὖθις ἀνθυπενέγκας ἔφησεν· *Οὓς Ἡσίοδός τε, εἶπον, καὶ Ὅμηρος ἡμῖν ἐλεγέτην· οὗτοι γάρ* C *που μύθους ἀνθρώποις ψευδεῖς συντιθέντες ἐλεγόν τε καὶ λέγουσιν.*

XXIX. Itaque si Homeri carmina atque Hesiodi fabulas falsas fatetur, quæ potissimum eruditionis causa auditores delectant, quin et dictionis ornatu mentem ad perfectam eloquentiam excitant, quanto magis sermones illos quos fanatica mulier effutiit, malas fabulas esse, easque fallaces, fatebitur, quando et *Engastrimythi* nomen ipsum hoc prædicat. Græci enim, qui nominum cujusque rei impositionem accurata exquisitaque diligentia examinant, in ea lingua fictiones falsas μύθους, id est *fabulas,* appellant. Sequitur ergo rem ipsam ex nomine quo proprie nominatur, conspicere. Æsopi quidem ludicra similes præ se ferunt fabularum fictiones, quas pueri in ludis facere urbaneque jocando recitant, et anus Corybantum more insanientes garrulo sermone decantant; quandoque etiam dum hæc agunt, larga vina gutturi fundunt, calicique et potioni intentæ mirum quantum blaterant. Qui vero philosophiæ mores apprime profitentur, et veras Musarum cantiones, veluti falsorum fabulamentorum species, uti par est, accusabant.

XXIX. Εἰ δὲ τοίνυν Ὁμήρου τὰ ἔπη καὶ Ἡσιόδου μύθους ἀποφαίνει ψευδεῖς, ἃ δὲ καὶ μάλιστα καὶ παιδείας ἕνεκα ψυχαγωγεῖ τοὺς αὐτηκόους, οὐ μὴν ἀλλά γε καὶ καλλιλεξίᾳ διεγείρει τὸ φρόνημα πρὸς εὐγλωττίαν ἐντελῆ· πόσῳ δὴ μᾶλλον ὅσους ἡ δαιμονῶσα γραῦς ἀπεφθέγξατο λόγους οὐχὶ μυθοποιίας ὀρεῖταί τις εἶναι ψευδεῖς, ὁπηνίκα καὶ τοὔνομα τῆς *Ἐγγαστριμύθου* τοῦτον ὑπαγορεύει τὸν νοῦν; Οἱ γὰρ Ἑλλήνων παῖδες, οἱ καὶ τὰς ὀνοματοποιίας ἑκάστου πράγματος ἀκριβοῦντες ἐν τῇ Ἑλλάδι φωνῇ, πλά- D σματα ψευδῆ τοὺς μύθους ὀνομάζουσιν, ἀκόλουθον ἐκ τοῦ ὀνόματος ἐποπτεῦσαι τὸ πρᾶγμα καθ' οὗ τέτακται κυρίως· ἀλλ' αἱ μὲν Αἰσώπου λογοποιίαι τοιαῦτα μύθων ἴσασι πλάσματα, οἷα καὶ τὰ μειράκια πολλαχῶς ἐν ταῖς παιδιαῖς ἀστεϊζόμενα παίζει, καὶ Κορυβαντιῶσαι γραῖαι κωτίλοις ἐπᾴδουσι λόγοις· ἔσθ' ὅτε ταῦτα δρῶσιν οἶνῳ μὲν ἐπιβρέχουσαι τὸν φάρυγγα συχνῷ· κύλικι δὲ προσέχουσαι ποτῷ, φλυαροῦσιν ἀμέτρως· οἱ μέντοιγε φιλοσοφίας ἦθη πρεσβεύειν ἡγούμενοι, καὶ τὰς ἐμμούσους ποιήσεις οἷα ψευδῆ μύθων εἴδη διέβαλλαν, ὡς δέον.

XXX. Si nomen itaque ipsum recte de re ipsa positum est, *engastrimythum,* utique hæc engastrimythus efformare videtur. Neque enim a naturali

XXX. Εἰ οὖν αὐτὸ τοὔνομα κατὰ τοῦ πράγματός ἐστι τεταγμένον ὀρθῶς, *ἐγγαστρίμυθον* ἔοικεν ἀναπλάττειν ἡ ἐγγαστρίμυθος. Οὐ γὰρ ἐκ τοῦ φυσικοῦ

Digitized by Google

A *nes aquarum vocavit maria*, sinus maris significans, quosque ad sui figuram terra ambiens complectitur; tales sunt mare Aquilonare, mare Australe, Orientale, Occidentale, et horum propria nomina Pontus Ægæus, Ionius, Sardonius, Siculus, Tyrrhenus. Cæterum non quoscunque aquarum conventus in unum mare congessit, vel cœtum, sed maximos atque ingentiores; nam neque palustres, neque stagnantes hic intelligendi sunt. Veluti enim ignis et in minutas partes redigitur, et totus simul aerem circumdat, sic et in aquis, etsi parvæ quædam, ac inter se dissitæ collectiones exsistant, una tamen est congregatio, quæ totum elementum hoc a cæteris sejungit. Totius enim humiditatis quæ in terra latet fons est et origo maris aqua, quæ, cum universa B terra cuniculosa sit, per meatus minime oculis obvios effunditur, ut ex locis quibusdam terræ cavernosis manifestum apparet. Fluidum namque mare per angusta loca excurrens, ubi obliquis et rectis exitibus cursum inflexerit, vi flamineque ventorum, terræ superficiem disrumpit, egressumque usu est efficaci ad potum, percolatum enim cribratumque dulcescit. Rursus si locis fervidis relinquatur, eadem ratione a vento in exitum ductum fervescit. Fons item est aquarum, quæ aerem occupant; illius enim aquæ per nubes attractæ nec non a solis radiis calefactæ, mox nubis umbra frigefactæ, tandem ipsa altitudine cœlo expositæ dulcescunt, terramque guttis aspergunt. Hoc eodem die jussit Deus ut C *terra germinaret herbam virentem, et facientem semen suum lignumque fructiferum faciens fructum, cujus semen in semetipso*[a]; et ad hæc tempora eorum quæ gignuntur e terra series, quænam fuerit prima rerum distinctio descripta, declarat. Germinatio namque qualibet herba plantaque prior est. Semen enim, ubi terra illud gremio moderate humido calidoque sparsum ac subactum excepit, mollitur, fitque ad res abunde gignendas idoneum : hinc primum e terra quæ ambit, magis sibi natura cognatum atque affine attrahit, quo pinguefactum latius extenditur, ita ut ima sede radicibus defigatur, erumpat superiori edatque radicibus pares numero stipulas. Germine in dies calescente, humor per radices adductus, una secum medio D calore e terra defert alimentum, quod in stipulam, corticem frumenti, thecam, ipsum frumentum atque aristas partitur. Frumenti stipula nodis cingitur, ut veluti compages spicarum pondus sustineant. Præterea et ipsa stipula vacua est, ut granum receptaculum habeat, ne frugilegorum prædæ facile sit expositum, et contra minorum animalium morsus munitur pro spiculis vallo aristarum. Verum avena tota inanis cernitur, cum capite non gravescat. Et si cum esculentis simul venena nata comperimus, quale est veratrum, aconitum, mandragoras, et succus papaveris, nullum tamen horum supervacaneum est, sed suum usum

[a] *Gen.* I, 11.

Digitized by Google

habet. Cicuta namque pascuntur sturni propter corporis constitutionem ; etenim cum sint poris circa cor angustis, hac ratione rem absorptam excernunt. Veratro coturnices vescuntur, propriaque corporis temperatione, nullo afficiuntur incommodo. Medici mandragora somnum conciliant, opio summos dolores sopiunt, cicuta immanes sedant appetitus, et tamen veratro inveteratos affectus mitigant. *Et lignum fructiferum faciens fructum* [10], et uno temporis puncto, quæ prius minime erant, e terra nata sunt, suis quæque proprietatibus et formis, quibus quasi naturalibus notis a rebus reliquis secreta dignoscuntur. Oliva et palma, et cupressus, in altum provehuntur, et harum hæ quidem nec multis ramis nec nodis, ut abies, cupressus, et quandoque palma constipantur ; illæ semper virescunt : oliva, palma, laurus, myrtus, picea, cupressus, abies, juniperus, thya, et quam Arcades phillodrin appellant. His adde oleastrum, cedrum, pinum, buxum, ilicem, aracem, cicerculam. Rosa sine spinis tunc orta est, quæ tandem floris pulchritudini sunt adjectæ, ut jucundis prope situm mœrorem esse cernentes, peccati non obliviscaremur, cujus causa spinas et tribulos nobis terram efferre judicatum est. Floret prima omnium amygdala, postremaque pomum maturat, fitque dulcis ex amara, ima parte stipite circumforato cuneoque ex picea arbore idoneo in internas partes adacto usque ad medullam ; ita enim succos minime amabiles in dulces ciboque idoneos commutat. Hoc idem salutare est, et malo punico acris succi, ubi namque excepit cuneum, dulce evadit. Palma femina nutat in marem prona, quasi illius complexus desiderio teneretur, et agricolæ maris fructus ramis illius inserunt, sicque pristinam illi rectamque formam restituunt. Mori tarde germinant, tamen in fructu ferendo non sunt aliis posteriores. Oliva, tilia, populus, ulmus post æstivum solstitium folia supina deflectunt, suntque omnibus argumento solstitium æstivum præteriisse. Ficus domestici fructus, ne decidant, hoc præstant agricolæ : grossos ex caprifico decerptos et inter se colligatos fico injiciunt. Animal enim quod in grosso est minutissimum fundo fici domestici insidens, auram quæ circumfusa spirat impedit, ne fructui molestiæ sit, ficusque antequam maturescat, cadat, et cum hic fructus mollis sit, crassitudine foliorum operitur ; ubi nucis solidus levi foliorum tegmine velatur. Nec alia causa folium vitis scissum est, nisi ut ab aeris incommodis uva se defendat, solisque radios raritate excipiat. Sic nihil est in rebus inane, sed omnia Deus sapientia, quam effari non possumus, exornavit. Una quippe aqua, quæ per radices delata attrahitur, alio modo truncum alit, alio medullam, alio corticem, alio lignum, alio radices ipsas ; et ex eodem humore in vite quidem vinum conficitur, in oliva oleum, et in alio aliud ;

A συνεβλάστησε τοῖς τροφίμοις τὰ δηλητήρια, οἷον ἑλλέβορος, καὶ ἀκόνιτον, καὶ μανδραγόρας, καὶ τῆς μήκωνος ὁ ὀπὸς, οὐδὲν τούτων εἰς χρῆσιν ἀργὸν παρείληπται. Τὸ μὲν κώνιον οἱ ψᾶρες βόσκονται διὰ τὴν κατασκευὴν τοῦ σώματος· λεπτοὺς γὰρ ἔχοντες τοὺς ἐπὶ τὴν καρδίαν πόρους, ἀποπέμψαι τὸ καταποθὲν φθάνουσι· τὸν δὲ ἑλλέβορον ἐσθίουσιν ὄρτυγες, καὶ οὐχ ὑφίστανται βλάβην, ἰδιότητα κράσεως ἔχοντες. Διὰ δὲ τοῦ μανδραγόρου ὕπνον ἰατροὶ κατεπάγουσι, καὶ τῷ ὀπίῳ τὰς σφοδρὰς ὀδύνας κατακοιμίζουσι. Τῷ δὲ κωνίῳ τὰς λυσσώδεις ὀρέξεις καταμαραίνουσι, καὶ τῷ ἐλλεβόρῳ τὰ χρόνια πάθη καταπραΰνουσι. *Καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν.* Καὶ πάντα ἐν μιᾷ καιροῦ ῥοπῇ ἀνεφύη ἐκ τῆς γῆς, οὐκ ὄντα πρότερον, μετὰ τῆς οἰκείας ἕκαστον ἰδιότητος, καὶ ἰδίῳ B χαρακτῆρι ἕκαστον γνωριζόμενον. Ἡ μὲν ἐλαία, καὶ φοῖνιξ, καὶ κυπάριττος εἰς ὕψος αὔξονται. Καὶ τούτων τὰ μέν ἐστιν οὐ πολύοζα, οὐδὲ πολύκλαδα, οἷον ἐλάτη, καὶ ἡ κυπάριττος, ἔσθ' ὅτε δὲ καὶ φοῖνιξ. Ἀείφυλλα δέ ἐστιν ἐλαία, φοῖνιξ, καὶ δάφνη, μυρίνη, πεύκη, κυπάριττος, ἐλάτη, ἄρκευθος, θυία, καὶ ἣν Ἀρκάδες φιλόδρυν λέγουσιν· ἔτι φύλεος, κέδρος, πίτυς, πύξος, πρῖνος, ἀράκη, λάθυρος. Τὸ δὲ ῥόδον ἄνευ τῆς ἀκάνθης τότε ἐβλάστησεν· ὕστερον δὲ τῷ κάλλει τοῦ ἄνθους παρεζεύχθη ἡ ἄκανθα· ὅπως τῷ τερπνῷ παρακειμένην τὴν λύπην ἔχοντες μνημονεύωμεν τῆς ἁμαρτίας, δι' ἣν ἀκάνθας καὶ τριβόλους ἡμῖν ἡ γῆ ἀνατέλλειν κατεδικάσθη. Ἡ δὲ ἀμυγδαλῆ πρώτη μὲν βλαστάνει, ὑστέρα δὲ ἐκφέρει τὸν καρπόν. C Ἡ δὲ πικρὰ ἀμυγδαλῆ τυγχάνουσα τὸ πρὸς τὴν ῥίζαν στέλεχος διατρηθεῖσα, σφῆνα δὲ πεύκης λιπαρὸν τῆς ἐντεριώνης μέσης ἐλαθέντα δεξαμένη, τοὺς ἀηδεῖς χυμοὺς εἰς γλυκύτητα μεταβάλλει ἐδώδιμον. Τὴν αὐτὴν δὲ θεραπείαν καὶ ἡ ὀξύνη ῥοιὰ δεξαμένη, τρέπεται εἰς γλυκύτητα. Ἡ δὲ θήλεια φοῖνιξ καθίησι τοὺς κλάδους οἱονεὶ τῆς συμπλοκῆς ἐφιεμένη τοῦ ἄῤῥενος· καὶ οἱ γεωργοὶ, τοὺς ψῆνας τοῦ ἄῤῥενος τοῖς κλάδοις ἐμβάλλοντες αὐτῆς, πρὸς τὸ οἰκεῖον τῆς ὀρθότητος σχῆμα καθιστῶσιν αὐτήν. Ἡ δὲ συκάμινος ὀψὲ μὲν βλαστάνει, οὐκ ὑστερεῖ δὲ τῶν ἄλλων εἰς καρπογονίαν. Ἡ δὲ ἐλαία, καὶ ἡ φιλύρα, καὶ ἡ λεύκη, καὶ πτελέα στρέφουσι μετὰ τροπὰς θερινὰς τὰ φύλλα ὕπτια· καὶ ἐν τούτῳ πάντες γνωρίζουσιν, ὅτι τροπαὶ θεριναὶ γεγένηνται. Τῆς δὲ ἡμέρου συκῆς τὸν καρπὸν ἄῤῥευστον οἱ γηπόνοι οὕτω φυλάττουσιν· τοὺς D ὀλύνθους τῆς ἀγρίας συκῆς ἐκδύσαντες, ἄπτωτον διαμένειν παρασκευάζουσι. Τὸ γὰρ ἔνδον τοῦ ὀλύνθου ὑπάρχον ζῶον μικρότατον τῷ πυθμένι τοῦ ἡμέρου προσίζον σύκου τὴν ἔξωθεν αὖραν περιπνέουσαν ἀπείργει, πρὸς τὸ μὴ ἀηδῆ γενόμενον τὸ σῦκον ἀποπεσεῖν. Ἐπειδὴ δὲ ἀπαλός ἐστι τῆς συκῆς ὁ καρπὸς, πάχει φύλλων κεκάλυπται· τῆς δὲ καρύας, ἐπειδὴ τυγχάνει στερρά, ἐλαφρᾷ φύλλων προσβολῇ σκέπεται. Διὰ δὴ τοῦτο καὶ τὸ φύλλον τῆς ἀμπέλου ἔσχισται, ἵνα καὶ τὰς ἐκ τοῦ ἀέρος ἐκκλίνῃ βλάβας ὁ βότρυς, καὶ τὴν ἡλιακὴν ἀκτῖνα εἰσδέχηται τῇ ἀραιότητι. Οὕτως οὐδὲν ἀργὸν, ἀλλὰ πάντα ἀπορρήτῳ

[10] Gen. I, 11.

Digitized by Google

σοφία ὁ Θεὸς διεκόσμησεν. Ἐν γὰρ ὕδωρ, διὰ τῆς A et in ipsis dulcibus fructibus, mira est pinguedinis
ῥίζης φερόμενον ἡ ἑλκόμενον, ἄλλως μὲν τρέφει τὸ varietas, aliud namque dulce est quod in vite gu-
στέλεχος, ἄλλως τὴν ἐντεριώνην, ἄλλως τὸν φλοιὸν, statur, aliud in pomo, aliud in ficu, aliud in palma.
ἄλλως τὸ ξύλον, ἄλλως τὴν ῥίζαν αὐτήν· καὶ ἐκ τῆς Item variæ sunt et arborum lacrymæ, etenim aliud
αὐτῆς νοτίδος ἐν μὲν τῇ ἀμπέλῳ οἶνος συνίσταται, ἐν est lentisci lacryma, aliud balsami succus, qui
δὲ τῇ ἐλαίᾳ ἔλαιον, καὶ ἐν ἄλλῳ ἄλλο. Καὶ ἐν αὐτοῖς omnium unguentorum præstantissimus est, ejusque
τοῖς γλυκέσι καρποῖς ἀμύθητος ἡ παραλλαγὴ τῆς apud Hiericho largissima copia. Indigenis illud
πιότητος· ἄλλο γὰρ τὸ ἐν ἀμπέλῳ γλυκὺ, καὶ ἄλλο ἐν acuto lapide ex surculis secantibus, succus effluit.
μηλέᾳ, καὶ ἐν συκῇ καὶ τῷ φοίνικι ἕτερον. Καὶ αὐτὰ Tradunt quidam et succinum plantarum esse suc-
δὲ τῶν δένδρων διάφορά ἐστι τὰ δάκρυα· ἄλλο γὰρ cum, quæ in naturam lapidis concrescat.
τῆς σχίνου τὸ δάκρυον, καὶ ἄλλος ὁ τῆς βαλσάμου ὀπὸς, ὅπερ πάντων τῶν μύρων ὑπάρχει κάλλιστον,
καὶ πλεονάζει ἐπὶ τῆς Ἱεριχὼ γενόμενον. Τεμνόντων δὲ αὐτὸ ἐκ τῶν θάμνων λίθῳ ὀξεῖ τῶν ἐπιχωρίων,
ὀπὸς ἀναποδοίη. Ἱστοροῦσι δέ τινες καὶ τὸ ἤλεκτρον ὀπὸν εἶναι φυτῶν, εἰς φύσιν λίθου μεταπηγνύμε-
νον.

4. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ ὁ Θεὸς *τοὺς μεγάλους* B 4. Quarto die Deus *duo luminaria magna creavit*
δύο φωστῆρας ἐδημιούργησεν, ἥλιόν τε καὶ σε- *solem et lunam in firmamento cœli, ut lucerent su-*
λήνην ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, εἰς φαῦσιν *per terram ad dividendum diem et nociem* [11]. Hoc
ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέ- solis lumen ut primo illi nato lumini quasi vehicu-
ρας καὶ ἀναμέσον τῆς νυκτός. Τοῦτο τὸ ἡλιακὸν lum deserviret, ordinatum est. Etenim veluti aliud
φῶς, ὄχημα ἐκείνῳ τῷ φωτὶ τῷ πρωτογόνῳ παρ- est ignis, et lucerna aliud, hic enim vim habet illu-
εσκεύασται. Ὡς γὰρ ἄλλο τὸ πῦρ, καὶ ὁ λύχνος ἄλλο· minandi, illa egentibus lumen præferendi; et quem-
τὸ μὲν γὰρ τὴν τοῦ φωτίζειν δύναμιν ἔχει, τὸ δὲ τὴν admodum aliud est candor et aliud corpus candi-
τοῦ παραφαίνειν τοῖς χρῄζουσιν· καὶ ὡς ἕτερόν τι dum, sic et hæc, quamvis diversæ naturæ Creatoris
ἡ λευκότης, ἕτερον δὲ τὸ λελευκασμένον σῶμα, οὕτω facultas in unum copulata conjunxit. Et cave ne putes
καὶ ταῦτα διάφορα ὄντα τῇ φύσει ἥνωνται τῇ δυνάμει idem esse diem et solem. Primum enim Opifex
τοῦ κτίσαντος. Καὶ μηδεὶς νομίσῃ ταυτὸν ἡμέραν εἶναι simplex lumen condidit, quod et diem vocavit,
καὶ ἥλιον. Πρῶτον μὲν γὰρ ὁ δημιουργὸς ἁπλοῦν φῶς deinceps solem ex lumine ignem quæ conflavit.
κατεσκεύασεν, ὃ δὴ καὶ ἡμέραν ἐκάλεσεν, ἔπειτα τὸν Quemadmodum enim terram ipsam in suo gremio
ἥλιον ἐκ τοῦ πυρὸς καὶ φωτὸς συγκείμενον. Ὡς γὰρ ignem factum foventem cernimus, ita et solem lu-
τὴν γῆν ὁρῶμεν πῦρ ἐν τοῖς στέρνοις αὐτοῖς δεδη- C men gestantem. Cum enim lumen et ignis simul
μιουργημένον ἔχουσαν, οὕτω καὶ τὸν ἥλιον φῶς ἔχοντα· in unum convenissent, splendidissimus sol pro-
φῶς γὰρ συνελθὸν μετὰ πυρὸς τὸν φανότατον ἐποίη- ductus est. Sed fortasse aliquis contradicet: Unde-
σεν ἥλιον. Ἀλλ' ἴσως ἀντερεῖ τις· Καὶ πόθεν τοῦτο nam hoc manifestum est, cum nulla videatur di-
δῆλον, οὐ βλεπομένης τῆς διαιρέσεως; οὐχ ὁρᾶται visio; neque enim lumen ab igne separatim
γὰρ ἰδίως μὲν τὸ φῶς, ἰδίως δὲ τὸ πῦρ. Ἀλλὰ γι- perscriptum neque ignem a lumine sejunctum
νωσκέτω ὁ τοιοῦτος, πόσα τὸ πῦρ ἐν ἑαυτῷ προβάλ- conspicimus. Verum is sciat quænam ignis in
λεται, αὐγὴν, θερμότητα, ξανθότητα, ἅτινα πανσό- semetipso contineat, splendidum scilicet, cali-
φως ὁ τεχνίτης διαμερίζων, ὑπεμφαίνει τούτων τὴν dum, flavum, quæ sapientissime artifex secernendo,
σύνθεσιν. Ὅτε γὰρ θέλει θερμαίνειν τὸ ζῶον, λαμβάνει eorum compositionem manifestat. Cum enim ani-
τοῦ πυρὸς τὸ θερμὸν, καὶ τὸ μὲν θερμὸν ἔχει τούτου, mali calorem indere cupit, ignis calorem sumit, et
τὸ δὲ φῶς οὐκ ἔχει. Ἀλλ' ἐμερίσθη ἐν τῷ ζώῳ ἡ calorem illius, non tamen lumen possidet. Sed in
θέρμη ἀπὸ τοῦ φέγγους, πάλιν λαμβάνει τὸ ξανθόν. animali calor a lumine sejungitur, rursus flavum
Καὶ ὁρῶμέν τοι τὸ ξανθὸν, οὐκέτι δὲ τὸ θερμὸν καὶ suscipit, et flavum quidem, non autem calidum
φαῖνον. Καὶ πάλιν ἀπομερίζει τὴν θέρμην, καὶ δί- splendidumque videmus. Rerum calore segregato,
δωσι μόνην τὴν αὐγὴν, οἷον ὡς ἔστιν ἰδεῖν ἐπὶ τῆς D splendorem tantum exhibet, ut videre est in ful-
ἀστραπῆς, ὅτι ἐκλάμπουσα μόνον φωτίζει, οὐ μὴν mine, quod ubi scintillando eruperit, tantum lumen,
δὲ καὶ θερμαίνει. Τὸ δ' αὐτὸ παράδειγμα καὶ ἐπὶ τῆς non autem calorem progignit. Eodem exemplo et
σελήνης καθέστηκε. Καὶ γὰρ αὕτη ὑπὸ τοῦ ἡλίου in luna demonstratur id quod dicimus ejusmodi
φωτιζομένη φανερωτέρα γίνεται, ὥσπερ ὑπὸ τῆς esse. Hæc quippe solis lumine collustrata clarior
ἡμέρας ὁ ἥλιος. Τὸ γὰρ τῆς σελήνης εἶδος ἀνθρα- fit, quemadmodum et lumine diei sol. Aspectus
κοειδὲς τυγχάνει, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῆς ἐκλείψεως· enim lunæ similis est carboni, ut in ejus defectu
ἀπάρας γὰρ ἀπ' αὐτῆς τὸ οἰκεῖον φέγγος ὁ ἥλιος videre est: nam sol ubi ab ea proprium lumen sub-
ἀμαυρὰν αὐτὴν καθίστησι· φωτίζων δὲ αὐτὴν, πλη- traxerit, eam obscurat; ubi illustrarit totum or-
σιφαῆ ἀπεργάζεται. Ἐνδυομένη γάρ πως τὸ ἡ- bem implendo, accendit. Induens namque quo-
λιακὸν φῶς φαιδροτέρα καθίσταται· τὸν αὐτὸν δὴ dammodo solis lumen, splendidior fit; non alia ra-
τρόπον καὶ ὁ ἥλιος, τῆς ἡμέρας τὸ φῶς ἐνδυόμενος, tione, et sol lumen diei circumseptus clarior est
λαμπρότερος τυγχάνει, τῆς ἡμέρας ἐκείνης μήτε et illustrior, die illa neque urente, neque calefa-

[11] *Gen.* I, 16.

Digitized by Google

ciente, sed tantum illuminante. Solem autem ex igne constitui, illud argumento est quod incendat et torreat.

Ad dividendum diem et noctem, quasi diceret, solem diei terminis, lunam noctis inclusit; neque aliud est nox quam terræ umbra, solis radios terra interpositu suo auferente. Ut enim in die, si quis lumen intercludat, umbra effunditur lumenque evanescit, sic et nox aere circa terram tenebris obvoluto, constituitur, et sol quod a primo suæ creationis exordio lumen a Creatore accepit, in semetipso continuo conservat abditum, quod lunæ denegatum est, quæ illud sæpe crescendo et decrescendo amittit.

Et sint in signa et in tempora, et in dies, et in annos [12]. Temporis sol et luna origo sunt. Etenim dum cursus ordinate feruntur, certos temporum exitus efficiunt, vocaturque tempus quando veluti quodam in circulo alternis heneque constitutis successionibus volvitur primum ad secundum, et tertium ad id quod sequitur.

Illud, *sint in signa*, quoniam ineuntem tempestatem semper significant; caligo namque aeri offusa solis radios circumcludens minus luminis relinquit, veluti qui carbonibus similis cruore perfusus rubescit, cum aerem vaporibus terræ condensatum discutere dissolvereque nequeat. Inde tempestas ostenditur futura; et cum quas dicunt *areas* (sunt vero circumscriptiones quædam rotundo ambitu, areis similes, et ex hoc nomen adeptæ sunt) solem cinxerint, ventos nobis innuunt sævos ac vehementes; nec non et anthelii vocati, si cursu solis una ferantur, aerem nobis futurum maleficum pronuntiant; et rursus si virgæ colore Iridis circa auroram inter nubes conspicuæ cernantur, vel imbres, vel tempestates, vel ut plurimum aeris mutationem præsignant.

Luna si tertio die tenuis cornibus puroque nitore fulserit, stabilem ac firmam tranquillitatem promittit; sin vero cornua crassiora subrufaque visa fuerint, aquarum repentinum impetum horridamque tempestatem portendit. Suntque instrumenta temporum sol et luna; tempus, dierum, mensium, annorum; sidera, mensium, seminum, messium.

Vergiliarum exortum, messis vindemiæque tempus occasu seminis denuntiari scimus. Navigantibus Plaustrum sidus viam aperit. Locos enim sidera significant et ostendunt. Ursa enim septentrionem plagam insinuat. Vergiliarum pars acuminata ad Orientem spectans, hoc idem enuntiat. Ipsius item Ursæ flexæ cornu, et lunæ pars quæ illustratur, Orientem præmonet. Antequam vero hæc fierent, tempus non erat, sed spatium ætasque nimium ea longa extraque omne tempus. Et hoc de signis dictum sit.

Tempora porro horarum, sive temporis ipsius

[12] *Gen.* I, 14.

A οὔσης, μήτε πάλιν θερμαινούσης, ἀλλὰ μόνον φωτιζούσης. Ὅτι δὲ ἐκ πυρὸς συνέστηκεν ὁ ἥλιος, δῆλον ἐκ τοῦ πυροῦν, καὶ φλέγειν.

Τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας καὶ ἀναμέσον τῆς νυκτός. Οἷον τὸν ἥλιον τῆς ἡμέρας τοῖς μέτροις ἔταξε, καὶ τὴν σελήνην τῆς νυκτός. Ἔστι δὲ ἡ νὺξ σκίασμα τῆς γῆς, ἀποκρυπτομένου τοῦ ἡλίου. Ὡς γὰρ ἐν τῇ ἡμέρᾳ, ἀντιφράσσοντός τινος, σκιὰ γίνεται, καὶ τὸ φῶς παρυφίσταται· οὕτως ἡ νὺξ, σκιαζομένου τοῦ ἀέρος τοῦ περὶ γῆν, συνίσταται. Καὶ ὁ μὲν ἥλιος, ὅσπερ ἐξ ἀρχῆς φῶς παρὰ τοῦ ποιητοῦ εἴληφε, τοῦτο ἔχει διὰ παντὸς ἐγκεκρυμμένον ἐν ἑαυτῷ· ἡ δὲ σελήνη οὐχ οὕτως, ἀλλὰ συνεχῶς ἀποδύεται, αὔξουσα, καὶ μειουμένη.

B *Ἔστωσαν δὲ εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς.* Χρόνον δὲ ἥλιος καὶ σελήνη γεννᾷ τοῦτον. Ἑλκόμεναι συμμέτρως γὰρ αἱ φοραὶ τεταγμένας τῶν καιρῶν τὰς ἐξόδους γεννῶσι. Χρόνος δὲ καλεῖται, ἐπειδὴ ὥσπερ ἐπί τινα κύκλον ἐπαλλήλοις εἰλεῖται εὐτάκτοις διαδοχαῖς, πρῶτος πρὸς δεύτερον, καὶ τρίτος πρὸς τὸν ἑξῆς.

Τὸ δὲ, *ἔστωσαν εἰς σημεῖα*, ἐπειδὴ τὴν παρουσίαν τοῦ χειμῶνος ἀεὶ προσημαίνουσιν· ἀχλὺς γὰρ, τῷ ἀέρι ἐγγενομένη, τοῦ ἡλίου τὰς ἀκτῖνας ἀμαυροῖ, καὶ φαίνεται ἀνθρακώδης καὶ ὕφαιμος, μὴ δυνάμενος τὸν ἀέρα ἐκ τῶν ἀτμῶν τῆς γῆς πεπυκνωμένον διαχέαι· κἀκ τούτου σημεῖον χειμῶνος δείκνυται. Ὅταν δὲ αἱ λεγόμεναι ἅλῳ (στρογγύλαι δὲ εἰσί τινες περιγραφαὶ ὅμοιαι ἅλῳ, ἐκ τούτου γὰρ οὕτως ἐπονομάζονται) τὸν ἥλιον περιστοιχίσωσι, σφοδρότης C τῶν ἀνέμων σημαίνεται· ἐπὰν δὲ καὶ οἱ καλούμενοι ἀνθήλιοι τῇ τοῦ ἡλίου φορᾷ συντρέχωσι, συμπτωμάτων ἀερίων σημεῖον γίνεται· καὶ πάλιν ἡνίκα ῥάβδοις ἐοικυῖα· κατὰ τὴν χρόαν τῆς Ἴριδος εἰς ὄρθρον τοῖς νέφεσιν ἐμφαινόμεναι δειχθῶσιν, ὄμβροι, ἢ χειμῶνες, ἢ μεταβολὴ ἐπιπλεῖον τοῦ ἀέρος σημαίνεται.

Ἡ δὲ σελήνη, ἐπειδὰν ἐν τῇ τρίτῃ ἡμέρᾳ λεπτὴ καὶ καθαρὰ ταῖς κεραίαις ἀποδειχθῇ, σταθερὰν εὐδίαν κατεπαγγέλλεται· παχεῖα δὲ ταῖς κεραίαις, καὶ ὑπέρυθρος φανεῖσα, ὕδωρ λάβρον ἢ νότον βίαιον εὐαγγελίζεται. Ὄργανα οὖν χρόνων ἥλιος καὶ σελήνη καθίσταται· χρόνος δὲ ἡμερῶν, μηνῶν, καὶ ἐνιαυτῶν· τὰ δὲ ἄστρα, καὶ μηνῶν, καὶ σπόρων, καὶ ἀμητῶν. D

Καὶ αἱ Πλειάδες, ἀνατέλλουσαι μὲν ἀμητοῦ καιρὸν, δύνουσαι δὲ σπόρου, δεικνύουσι. Καὶ τοῖς ναυτιλλομένοις μετὰ τῆς Ἁμάξης σημεῖον γίνεται· τόπων γὰρ σημεῖα καὶ δεικτήρια τὰ ἄστρα γίνεται. Ἄρκτος μὲν γὰρ ἄρκτον δείκνυσι· τῆς δὲ Πλειάδος πρὸς ἀνατολὴν βλέπων τὸ ὀξὺ τὴν ἄρκτον δείκνυσιν· αὐτῆς δὲ τῆς ἄρκτου στρεφομένης τὸ κέρας τὴν ἀνατολὴν δείκνυσι, καὶ τῆς σελήνης τὸ λαμπόμενον μέρος τὴν ἀνατολὴν σημαίνει. Πρὸ δὲ τούτων χρόνος οὐκ ἦν, ἀλλὰ διάστημα, καὶ αἰὼν μακρός τις καὶ ἄχρονος. Εἴρηται οὖν περὶ τῶν σημείων.

Καιροὺς δὲ λέγειν ἡγούμεθα τὰς ἐναλλαγὰς τῶν

Digitized by Google

ὡρῶν, χειμῶνος, ἔαρος, θέρους, μετοπώρου. Καὶ χειμὼν μὲν γίνεται τοῖς νοτίοις μέρεσι τοῦ ἡλίου προσδιατρίβοντος, καὶ πολὺ τὸ νυκτερινὸν σκίασμα περὶ τὸν καθ' ἡμᾶς τόπον ἀποτελοῦντος, ὡς καταψύχεσθαι μὲν τὸν περὶ τὴν γῆν ἀέρα, καὶ τὰς ὑγρὰς ἀναθυμιάσεις συνισταμένας ὄμβρων, καὶ κρυμῶν, καὶ νιφάδων αἰτίας γίνεσθαι· ἐπειδὰν δὲ ἐπανιὼν πάλιν ἀπὸ τῶν μεσημβρινῶν χωρίων ἐπὶ τοῦ μέσου γένηται, ἰσημερία γίνεται, καὶ ὅσῳ τοῖς ἐπὶ γῆς ἐνδιατρίβει τόποις, τοσούτῳ κατὰ μέρος ἐπανάγει τὴν εὐκρασίαν, καὶ γίνεται ἔαρ, τοῖς μὲν φυτοῖς παρέχων βλάστησιν, τοῖς δὲ δένδροις τὴν ἀναβίωσιν. Ἐκεῖθεν δὲ ἤδη πρὸς τὰς θερινὰς τροπὰς ἐπ' αὐτὴν τὴν Ἄρκτον τρέχων ὁ ἥλιος τὰς μεγάλας ἡμέρας ἡμῖν παρίστησι, καὶ διὰ τὸ πλεῖον αὐτὸν προσομιλεῖν τῷ ἀέρι, αὐτὸν καταφρίσσει τὸν ἀέρα, καὶ τὴν γῆν πᾶσαν καταξηραίνει, καὶ πάντα καρπὸν ὡραῖον ἀπεργάζεται φλογωδέστατος ὤν, καὶ βραχείας ποιεῖ τὰς σκιὰς ἀφ' ὑψηλοῦ καταλάμπων. Ἐν γὰρ ταῖς βραχυτάταις ἡμέραις αἱ σκιαὶ μακρόταται γίνονται. Καὶ πάλιν ἀπὸ τῶν προσαρκτίων ἐπὶ τὰ νότια παραγενομένου, μετόπωρον γίνεται, τῆς θέρμης κατ' ὀλίγον τῆς πολλῆς ἀμαυρουμένης, καὶ τοῦ χειμῶνος ἀβλαβῶς ἐπιόντος.

A mutationes, ac vices, hiemis scilicet, veris, æstatis, autumni, intelligendas esse censemus. Hiems tunc irruit, cum sol in partibus australibus commoratur, noctisque umbram apud nos satis diu productam longiorem omnino facit, ita ut aer circa terram frigescat, vaporesque humidi excitati, pluvias, glacies nivesque producant. Sed ubi rursum a meridiana plaga remigrando medium cœli permeat, æquinoctium fit, frigorisque et caloris modum temperant modici illius accessus vel recessus; hinc ver esse incipit, quo herbæ germinant arboresque reviviscunt. Inde jam æstivis temporibus ineuntibus ad ipsam Ursam sol cursans magnos nobis efficit dies, et cum diutius in aere versetur, ipsum torret, et terra universa exsiccata, fructus maturos reddit B summo calore; umbræque curtæ jaciuntur, cum sol illi loco supra verticem sit lumenque demittat. In brevissimis enim diebus umbræ longissimæ cadunt. Iterum a meridianis in australes partes illo remeante, autumnus gignitur, multo calore sensim evanescente, hiemeque sine ullo incommodo accedente.

Οὐ ποιεῖ δὲ τὴν ἡμέραν ὁ ἥλιος· μηδεὶς οὕτως ὑπολάβῃ· πρεσβυτερεῖ γὰρ τούτου ἡ ἡμέρα καὶ νύξ· ἀλλὰ κατάρχει μόνον τῆς ἡμέρας, καθὼς καὶ ὁ ψαλμῳδὸς διαγορεύει ἡμῖν· *Ἔθετο*, λέγων, *τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελήνην, καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός.* Ἔχει δὲ οὗτος C τὴν ἐξουσίαν τὸ φῶς περιφέρων ἐν ἑαυτῷ· ἐπειδάν ποτε τὸν καθ' ἡμᾶς ὁρίζοντα ὑπεράρῃ, ἡμέραν παρέχει διασκεδάσας τὸ σκότος.

Sol diei causa nusquam est, nemo id ita se habere opinetur; hunc etenim dies præcedit, et nox; sed est dux et princeps et moderator illius, quemadmodum et Psalmodus nobis insinuat. *Posuit* dicens *solem in dominium diei, lunam et stellas in dominium noctis.* Illius autem obtinet principatum, lumen in semet deportans, qui cum in nostrum finitorem pervenerit, tenebris fugatis, diem affert.

Ἡ δὲ σελήνη, ἐπειδὰν δωδεκάκις τὸν ἑαυτῆς ἐκτελέσῃ δρόμον, ἐνιαυτοῦ τυγχάνει ποιητική, πλὴν ὅτι μηνὸς ἐμβολίμου δεῖται πρὸς τὴν ἀκριβῆ τῶν ὡρῶν συνδρομήν. Ὁ γὰρ ἡλιακὸς ἐνιαυτὸς ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον κατὰ τὴν οἰκείαν κίνησιν τοῦ ἡλίου ἐστὶν ἀποκατάστασις. Τῆς δὲ σελήνης ληγούσης, ἀραιοῦνται τῶν ζώων τὰ σώματα, καὶ ὑπόκενα γίνεται· αὐξομένης δὲ, ἀναπληροῦται. Διότι ὑγρότητα μετὰ θερμότητος κεκραμμένην λεληθότως ἐνίησιν· οἱ γὰρ καθεύδοντες ὑπὸ σελήνην ὑγρότητος περισσῆς πληροῦνται τὰς κεφαλάς, καὶ τὰ νεοσφαγῆ δὲ τῶν κρεῶν, καὶ πᾶν εἴ τι τοιοῦτον, τῇ προσβολῇ τῆς D σελήνης ταχέως τρέπεται. Ὁμοίως δὲ καὶ τὰ περὶ τὸν ἀέρα πάθη τοιαύτης αἰτίας συνίσταται. Νουμηνίας γὰρ ἐνστάσης, γαλήνης οὔσης σταθερᾶς, αἰφνιδίων ἀνέμων ταραχαὶ γίνονται τῶν νεφῶν κλονουμένων καὶ συμπιπτόντων ἀλλήλοις· καὶ γίνονται περὶ τοὺς εὐρίπους παλίρροιαι, καὶ περὶ τὸν ὠκεανὸν ἀναδρομὴ τῆς θαλάσσης. Εἰ δὲ καὶ τοῦ ἡλίου ἔκλειψις νουμηνίας οὔσης γίνεται, σφοδροτέρα συμβαίνει· κάτωθεν γὰρ ἡ σελήνη ὑπελθοῦσα ἐμφράττει ἡλίου τὰς ἀκτῖνας.

Luna, ubi duodecies totum suum confecit et peragravit iter, anni spatium terminat; mense tamen opus est intercalari, ad horarum concursus exactam rationem perspiciendam. Annus enim solaris ab eodem signo, ad idem secundum proprium solis motum reversio est. Luna decrescente animalium corpora rarescunt extenuata et exinaniuntur; crescente, augentur expleta. Clam enim humiditatem calori commistam indit; hinc fit sub luna dormientium multa humiditate capita oppleri, et recenter jugulatorum carnes, et quidquid aliud his non absimile, lunæ aspectu subito immutari, et ipsas aeris affectiones illius causa contingere. Nam luna nascente, si tranquillitas plenissima fuerit ventorum, repentini turbines, nubibus pulsis et inter se conflictantibus, erunt; fientque in euripis reciprocationes aquarum regressusque maris in Oceano; quod si luna novissima primave solis defectus fiet, hæc omnia vehementiora contingunt; interventu quippe lunæ solis radii occultati hebetantur.

Μέγα δέ τι καὶ αὕτη ἡ σελήνη καθέστηκε. Μῦθοι δὲ ληρώδεις ὑπὸ μεθυόντων γραϊδίων πανταχοῦ διεσώθησαν· ὅτι μαγγανείαις τισὶ τῆς οἰκείας ἕδρας ἀποκινεῖται, καὶ πρὸς τὴν γῆν καταφέρεται. Καὶ ποῖος ἂν τόπος καταχθεῖσαν αὐτὴν ὑπεδέξατο; Μὴ

Immensum quid est et ipsa luna; nugæ meræ illæ sunt planeque liræ, nobis a temulentis aniculis traditi, lunam veneficiis quibusdam propria sede moveri et in terram delabi; et quisnam illam locus delapsam exceperit? neque per errorem in fraudem

Digitized by Google

incurrit, neque quod visioni parvum externæ videtur, parvum id esse indicato. Nostra enim visio, cum ipsa parva sit, parva etiam et ea quæ cernentur, ut opinemur esse, efficit, proprium morbum rebus visis communicans; namque etiam si quis e summitate montium campos patentes, et in illis simul boves pascentes despexerit, formicas sibi videre videbitur. Visio enim per aerem extenuata, et quasi evanescens, res sibi objectas percipere non valet. Verum lunæ corpus maximum esse illa argumento sunt. Civitates enim in terrarum orbe multum inter se distantes longeque sejunctæ, strigis quæ Orientem respiciunt, æque omnes lunæ lumen excipiunt; et similiter occasus et meridianarum et australium partium incolæ spectant.

Quinto autem die, *Deus aquis ut animarum viventium reptilia secundum genus producerent jussit* [12]; statimque mare varia animantium genera peperit. Horum quædam non minus humo quam stagno consuescunt, veluti vituli marini, quos vocant phocas; crocodili, equi fluviatiles, nec non et ranæ, et cancri, quibus natandi non inest facultas; cum enim natura id habeant ut repant, ductu aquarum trahuntur. Quædam animalia pariunt, veluti vituli marini, delphini, torpedines, et his similia. Tantum Deus jussit, et pisces omnes, sive illi in alto mari, sive in littore, sive in imis partibus, sive in saxis gregatim vel sparsim vivunt, sive immensæ magnitudinis cete, sive minutissimi prodibant; naturali quadam cum aquis affinitate conjuncti. Paulisper enim si ab aquis separentur, spirandi facultate destituti, intereunt; nam branchiarum dilatatione et contractione recipiunt aquam et emittunt, vitalemque hunc habitum reddunt; nullus inter eos dimidiatos habet dentes, sed omnes illis acuminatis muniuntur, ne diu in mandendo impediti, cibum diffluentem amittant; sane enim tunc cibus male perderetur. Solus piscium scarus dicitur ruminare, alimentisque aliis, alii sibi consentaneis utuntur. Quidam enim luto vescuntur, alii alga, alii herbis quæ in aqua crescunt, quidam etiam sese mutuo devorant.

Habent item et suas proprietates. Serra piscis alas habet oblongas, si navem secundis ventis cursum tenentem suum viderit, alis in altum extensis, navis varios ingrediendo motus atque figuras imitatur, et cum ipsis navigantibus de cursu certat; qui ubi quadraginta stadiorum spatium expleverit, labore fatigatus, alis dimissis, summa aqua natans, in proprium locum retro actus appellit.

Balæna quam Aspidochelonam quidam dicunt, in immensam magnitudinem adolescit, ita ut navigantibus speciem ingentis insulæ repræsentet. Ex profundo namque emergens eminet dorso multum supra aquas, quod duris asperisque saxis vestitum videtur; et in eo fixis palis naves alligant, quæ statim in aquam emergunt, cum balæna apricatione incalnerit seque in profundum immerserit; habet

[12] *Gen.* I, 13.

A γὰρ ἐξηπάτησε τὸ φαινόμενον ὡς μικρόν τι εἶναι νομιζόμενον. Μικρὰ γὰρ ἡ ὄψις ἡμῶν γινομένη, μικρὰ ἐποίησε νομίζεσθαι καὶ τὰ ὁρώμενα, τὸ οἰκεῖον πάθος τοῖς ὁρατοῖς ἐπιφέρουσα. Ὥσπερ γὰρ εἴ τις ἐπ' ἀκρωρείας θεάσοιτο πεδία καὶ βόας ἐπὶ τὸ αὐτὸ νεμομένας, οὐχὶ ὡς μυρμήκων φαντασίαν ὁρᾷν δοκεῖ· ἐνδαπανηθεῖσα γὰρ τῷ ἀέρι ἡ ὄψις, καὶ ἐξίτηλος γενομένη, πρὸς τὴν ἀκριβῆ κατανόησιν τῶν ὁρωμένων οὐκ ἐξαρκεῖ. Καὶ ὅτι παμμέγεθες τῆς σελήνης τὸ σῶμά ἐστι, μαθεῖν ἐκ τεκμηρίων ἔστιν. Αἱ γὰρ κατὰ τὴν οἰκουμένην πόλεις πλεῖστον ἀλλήλων ἀπῳκισμέναι, ταῖς κατὰ τὴν ἀνατολὴν τετραμμέναι ῥυμοτομίαις, ἐξ ἴσου πᾶσαι τὸ σεληναῖον φῶς ὑποδέχονται, καὶ ὁμοίως αὐτὴν οἱ τὴν δύσιν οἰκοῦντες καὶ τὰ μεσημβρινὰ καὶ ἀρκτῷα μέρη θεωροῦσιν.

B Τῇ δ' ἡμέρᾳ τῇ πέμπτῃ *προσέταξεν ὁ Θεὸς ἐξαγαγεῖν τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος*· καὶ εὐθέως ἡ μὲν θάλασσα παντοῖα ζώων γένη διάφορα ἀπεκύησε. Τῶν γὰρ ἐναλίων τὰ μέν ἐστιν ἀμφίβια, οἷον φῶκαι, καὶ κροκόδειλοι, καὶ οἱ ποταμιαῖοι ἵπποι, ἔτι δὲ οἱ βάτραχοι, καὶ οἱ καρκῖνοι, οὐ μέντοι τὸ νηκτικὸν ἔχουσι· ἑρπυστικὰ γάρ ἐστι τῇ φύσει, τῷ ἡγήματι τοῦ ὕδατος ἐπισυρόμενα· τὰ δὲ ζωοτόκα, οἷον φῶκαι, καὶ δελφῖνες, καὶ νάρκαι, καὶ τὰ ὅμοια αὐτοῖς. Μόνον δὲ προσέταξεν ὁ Θεὸς, καὶ τὰ πελάγια, καὶ τὰ αἰγιαλώδη, τὰ βύθια, τὰ πετρώδη, τὰ ἀγελαῖα, τὰ σποραδικὰ, τὰ κήτη, τὰ ὑπέρογκα, τὰ λεπτότατα τῶν ἰχθύων προῆει, συγγένειαν πρὸς τὸ ὕδωρ φυσικὴν ἔχοντα. Μικρὸν γὰρ εἰ τοῦ ὕδατος χωρισθῇ, μὴ ἔχοντα ἀναπνοὴν, διαφθείρεται· ἡ γὰρ τῶν C βραγχίων αὐτοῖς διαστολὴ, καὶ ἐπίπτυξις, δεχομένη τὸ ὕδωρ, καὶ ἐκθεῖσα, ταύτην τὴν ἀναπνοὴν κέκτηται. Οὐδὲν παρ' αὐτοῖς ἐξ ἡμισείας ἔχει τοὺς ὀδόντας, ἀλλὰ πάντα ὀδοῦσιν ὀξέσι καταπεπύκνωται, πρὸς τὸ μὴ διαῤῥέειν τῇ χρονίᾳ μασήσει τὴν τροφήν. Ἔμελλε γὰρ ἐν τῇ λεπτῇ μασήσει διαφθείρεσθαι ὑπὸ τοῦ ὕδατος. Μηρυκίζει δὲ οὐδὲν ἄλλο παρ' αὐτοῖς εἰ μὴ ὁ σκάρος. Ἔστι δὲ καὶ ἡ τροφὴ ἄλλη ἄλλοις κατάλληλος. Οἱ μὲν γὰρ ἰλὺϊ τρέφονται, οἱ δὲ τοῖς φυκίοις, ἄλλοι ταῖς βοτάναις ταῖς τρεφομέναις τῷ ὕδατι· ἕτεροι δέ εἰσιν ἀλληλοφάγοι.

Ἔστι δὲ αὐτῶν καὶ διάφορα ἰδιώματα. Ὁ πρὼν πτέρυγας ἔχει μακράς· καὶ θεασάμενος πλοῖον οὐριοD δρομοῦν, καὶ αὐτὸς ὑψώσας ἑαυτοῦ τὰς πτέρυγας, μιμεῖται τῆς νηὸς τὰ σχήματα τῆς κινήσεως, καὶ ἐρίζει τοῖς πλέουσι. Ποιήσας οὖν σταδίους τεσσαράκοντα, καὶ κοπιάσας, καθίησιν αὐτοῦ τὰς πτέρυγας, καὶ φέρεται ὑπὸ τῶν κυμάτων εἰς τὸν τόπον τὸν ἴδιον.

Τὸ δὲ κῆτος καλεῖται μὲν Ἀσπιδοχελώνη παρά τισιν· ἔστι δὲ τῇ φύσει παμμεγεθέστατον, ὡς πολλάκις τοῖς ναυτιλλομένοις νήσου μεγάλης φαντασίαν ἐμποιῆσαι. Ἀναδύσαντος γὰρ αὐτοῦ ἐκ τοῦ βυθοῦ, ὡς λίθοι τραχεῖς τὸ σῶμα αὐτοῦ ἐκφαίνεται, καὶ περὶ αὐτὸ πάλους καταπηγνύντες ἐκδεσμοῦσι τὰ σκάφη, ἅτινα παραχρῆμα βυθίζεται, τοῦ κήτους ὑπὸ τοῦ ἡλίου διαθερμανθέντος, καὶ εἰς τὸν βυθὸν καταδύσαν-

Digitized by Google

τος· ἔχει δὲ αὐτὸ, καὶ φύσει βαρεῖαν φωνὴν, καὶ πεινῆσαν ἀνοίγειν τὸ στόμα, καὶ ἀποφορὰν ἐκπέμπειν εὐωδεστάτην, ὥστε τοὺς μικροὺς ἰχθύας ἀφέλκεσθαι, καὶ εἰς τὸ στόμα αὐτοὺς ὅλους αὐτοῦ ἐπιστιβάζεσθαι. Κατοικεῖ δὲ τοῦτο τὰ Ἀτλάντια πελάγη διὰ τὸ μέγεθος. A

et vocem gravem, et fame os aperit, suavissimumque odorem emittit; ita ut pisciculi, illius odore ducti, omnes simul in ejus ore constipentur; et propter immensam molem Atlanticum mare incolit.

Τῷ δὲ καρκίνῳ ἡ σὰρξ τοῦ ὀστρέου ἐστὶν ἐδώδιμος, καὶ μὴ ἰσχύων ἀνοῖξαι τῶν κόγχων αὐτοῦ τὴν σύμπτυξιν, ἐπιτηρεῖ τὰς πτυχὰς αὐτοῦ ἀνοίξαντα ἐν τοῖς ἀπηνέμοις τόποις, καὶ τῇ αὐγῇ τοῦ ἡλίου τερπόμενον, καὶ λαβὼν ψηφῖδα ἐντίθησι λαθραίως, καὶ κωλύει τὴν σύμπτυξιν, καὶ οὕτω ῥᾳδίως αὐτὸ κατέδεται.

Cancri ostrearum aluntur carnibus, qui, cum earum testas firme contractas aperire non valeant, in earum plicas in locis placidis et solis radiis patentes, calculum arreptum clam imponunt, easque frustra se contrahere tentantes comedunt.

Ὁ δὲ ἐχῖνος προγινώσκει τοῦ χειμῶνος τὴν ἔφοδον, καὶ ψηφῖδα ὑπέρχεται πρὸς τὸ μὴ ὑπὸ τῆς φορᾶς τῶν κυμάτων αὐτὸν περιάγεσθαι. B

Echini sævitiam maris præsagiunt, lapillosque subeunt affixi, ne aquarum volutatione mobiles hinc inde trahantur.

Ὁ δὲ πολύπους, προσπελάσας πέτρᾳ τινὶ, ὁμόχροος αὐτῇ καθέστηκε, καὶ τοὺς ἐγγίζοντας ἰχθύας τῇ πέτρᾳ κατέδεται.

Polypus ad similitudinem loci quem attingit colorem mutat, adnatantesque pisciculos ad petram venatur.

Μικρότατον δὲ τῇ φύσει ἡ ἐχενηΐς τυγχάνει, καὶ τὰ μέγιστα τῶν πλοίων ἐξ οὐρίας φερόμενα ἵστησιν, ὥστε δοκεῖν τὸ πλοῖον ἐρηρεῖσθαι εἰς τὸ πέλαγος.

Est parvus admodum piscis echeneis appellatus, ingentes naves plenas ventis adhærens moratur, ita ut immobiles stare videantur.

Ὕδρις δὲ ἔστιν ἐν τῷ ποταμῷ, μορφὴν ἔχουσα κυνὸς, ἥτις τοῦ κροκοδείλου ἐχθρὰ τυγχάνει, καὶ ἀναιρεῖ τοῦτον καθεύδοντα. Τὸ γὰρ στόμα ἑαυτοῦ διανοίξας ὁ κροκόδειλος καθεύδει· καὶ ἡ ὕδρις, εἰς πηλὸν ἑαυτὴν ἐγκωλύσασα [*f.* ἐγκυλίσασα], εἰς τὸ στόμα αὐτοῦ εἰσπηδᾷ, καὶ πάντα τὰ ἐντὸς αὐτοῦ κατεσθίουσα ἀναιρεῖ αὐτόν.

Hydris in fluminibus vivit, canino capite, crocodilo infensa quem et somno sopitum interimit. Crocodilus enim dormit hianti ore, et hydrus luto cœnoque obvoluta, in os insilit, et interioribus omnibus exesis occidit.

Ἔστι δὲ ὁ κροκόδειλος θηρίον ὁμοῦ καὶ ἰχθὺς, καὶ μέγα ἀπὸ κεφαλῆς ἄχρι οὐρᾶς· οὐ μὴν ἔχει τὸ πλάτος τοῦ μεγέθους ἀνάλογον. Ἡ δὲ δορὰ αὐτοῦ λεπὶς τυγχάνει ῥυτὴ, καὶ ἡ χροιὰ τοῦ νώτου αὐτοῦ πέτρᾳ μελαίνῃ ἔοικεν, ἡ δὲ γαστὴρ λευκῇ. Πόδες δὲ αὐτοῦ εἰσὶ τέσσαρες, εἰς τὸ πλάγιον ἠρέμα κυρτούμενοι· καθὼς τῆς χερσαίας χελώνης, οὐρὰ μακρὰ καὶ παχεῖα· τῆς ῥάχεως γάρ ἐστιν ἑνὸς ὀστέου τελευτή. Ἐντέτμηται δὲ ἄνωθεν εἰς ἀκάνθας, καὶ εἰσὶν ὡσεὶ τῶν πριόνων ἀκμαὶ, καὶ τύπτει ἐν αὐτῇ πρὸς οὓς ἂν παλαίῃ. Μία δὲ αὐτοῦ ἐστὶ κεφαλὴ τοῖς νώτοις συνυφαινομένη, καὶ εἰς μίαν ἰθυνομένη στάθμην· καὶ ἐφ' ὅσον οὐ κέχηνε, θηρίου ἐστὶ κεφαλή· ἐὰν δὲ χάνῃ, ὅλον στόμα γίνεται, μέχρι τῶν ὤμων τὸ χάσμα ποιοῦσα. C

Cæterum crocodilus est bellua simul et piscis; longum inter caput et caudam spatium intercedit; sed longitudini latitudo proportione haudquaquam respondet; cutis squamis asperis obducitur; color dorsi petræ nigræ similis est, alvus alba; pedes quatuor, in obliquum sensim curvati, qualis terrestris testudinis; cauda oblonga et crassa, spinæ enim unius ossis est terminus, cujus superior pars serratas habet cristas, illisque veluti serrarum acuminibus, quo cum certat, percutit. Caput illius humeris adjungitur, et ad amussim directum est, nullo apparente discrimine; et quandiu non hiat, belluæ caput est; ubi hiarit, totum os fit, ut pote qui ad humeros usque hiatum protendit.

Ὁ δὲ λεγόμενος ἱπποπόταμος ἵππου μὲν τοὺς πόδας ἔχει καὶ τὴν γαστέρα, τὴν δὲ ὁπλὴν σχιστὴν ὡς χηλὴν, οὐρὰν παχεῖαν καὶ ψιλὴν τριχῶν, ὅτι καὶ τὸ πᾶν τοῦ σώματος οὕτως ἔχει, κεφαλὴν περιφερῆ μικρὸν τῆς ἵππου παρειᾶς διάφορον, καὶ ἔχει κεχηνότα τὸν μυκτῆρα, πυρώδη καπνὸν, ὡς ἐκ καμίνου, πνέοντα, γένυν πλατεῖαν· μέχρι γὰρ τῶν κροτάφων ἀνοίγει τὸ στόμα. Ὀδοῦσι δὲ ἔνδον τριχῶς πεπύκνωται, ἔχων πρὸς τούτοις δύο ὀδόντας ἐπικαμπεῖς ὡς συός. Καὶ ἔστιν ἀδδηφαγώτατον ὅλον, λῃῶν ποιοῦν τροφήν. Ἀπάτῃ δὲ θηρᾶται τοιαύτῃ. Ἐπιτηροῦσιν αὐτοῦ τὰς διατριβὰς, καὶ ὄρυγμα ποιοῦσι, καὶ καλάμῃ αὐτὸ στεγάζουσι, καὶ ἐπιχωνύουσι ψάμμῳ, καὶ ξύλινον ἱστῶσι κάτωθεν οἴκημα ἔχον ἀνεῳγμένας τὰς θύρας εἰς τὸν βροφον τοῦ βό- D

Hippopotamus equinis pedibus et ventre, nisi quod ungulis bifidis, quales bobus; cauda ei brevis est, et pilorum asperitate, quemadmodum etiam corpus reliquum, carens; caput rotundum, parvum, ab equinis maxillis diversum; nares perquam patulæ, ac ignitum fumum, tanquam ignis scaturigines quædam, spirantes, mentum latum, etenim ad tempora usque hiatum protendit, et trina dentium serie constipatur: præter hos et gemini prodeunt curvi aprugni, quos caninos vocant; nullis bestiarum voracitate inferior, ita ut segete plenum campum absumat, capiturque hoc dolo. Observatis enim locis in quibus degit, venatores fossam excavant, arundinibusque quasi tectum contignant, arenaque cooperiunt; in eaque arcam ligneam sub-

Digitized by Google

jiciunt, cujus fores in superiore parte ad fossæ altitudinem adapertæ sunt; et bellua eam superascendendo inconsiderate decidit, et in arcam delata, includitur. Venatoresque celeriter accurrentes concludunt; secundum enim ab elephante Indo roboris locum obtinet, magnitudineque corporis maximum quemque bovem æquiparat.

Pisces continent in se magnam vim caloris et acutam; quare et citissime quæ devorant, puncto temporis esculentis in ventre putrescentibus digerunt.

Vulpes marinæ, ubi piscatoris insidias declinare non valent, hamo devorato, exsilientes et excurrentes, funem prærodunt et abeunt.

Crocodilus bellua est hominum vorax. Tempore coitus, emergens e flumine, feminam prope ripas adversam projicit; hic namque solus supinus complexu venereo jungitur; deinceps manibus eam sustentatam rursus convertit; si cum alio eam concubuisse compererit, avidum se esse Veneris simulans, quemadmodum prius, adversam odore deprehendit (est enim circa hoc acerrimi sensus) incesto flagitio et stupro pollutam; hinc unguibus alvo disjecta viscera illius devorat. In ventre etenim mollis est, tenuisque cutis crocodilo: dorsum ejus maxima squamarum firmitate armatum est, ita ut et acutissimum ferrum adactum hebescens, cute injecta repercutiat.

Producant aquæ volatilia animarum viventium [14], et sine ulla mora volucrum omnis generis aer plenissimus. Illæ ex aquis ortum habent, sunt enim cum piscibus cognatione quadam et affinitate conjunctæ. Pisces quippe alarum meatu aquas dividendo transnant; sic et volucres pennis per aerem transvehuntur; harum quædam, carnivoræ, suo aptam ingenio moribusque accommodatam corporis constitutionem nactæ sunt, unguium tenacitatem, rostrorum aduncitatem, alarum pernicitatem, ut facillimo negotio tenaciter arripere atque discerpere possint et lacerare; quædam frugilegæ, aliæ his omnibus aluntur et sustentantur, et constructione inter se differunt omnes. Præterea harum quædam principatu non tenentur, sed sui juris sunt; quædam dominationem alterius ferunt, et hæ quidem invectitiæ et peregrinantes, aliæ indigenæ.

Superbum quid est gallus; at accipiter singulari benevolentia homines prosequitur; tradunt enim, accipitres qui in Thracia sunt, æque homines societate quadam aucupari; in silvis namque densissimis immorantur, quas volatilium omne genus colit, et habitat frequentissime, et una cum aucupantibus exercentur, ad similitudinem bellicæ disciplinæ, ut venatus æquam partem accipiant; homines quatiunt arbores, hinc volucres excitatæ

[14] *Gen.* I, 20.

A θρου· καὶ ἐπιβὰς ὁ θὴρ ἀφελῶς ἐμπίπτει, καὶ εἰς τὸ οἴκημα κατακλείεται φερόμενος κάτω. Καὶ οἱ θηρευταὶ εὐθὺς ἀποκλείουσι. Δεύτερον. . . . . βοὸς δὲ ἔχει τὸ θηρίον τὸ μέγεθος.

Ἐν δὲ τοῖς ἰχθύσι πολλή τις ἐνυπάρχει θέρμη ἔνδοθεν, καὶ ὀξεῖα· διὸ καὶ θᾶττον καταπέπτουσιν, ἃ ἐσθίουσιν, εὐθέως διασηπομένων τῶν ἐδωδίμων ἐν τῇ γαστρὶ αὐτῶν.

Ἡ δὲ θαλαττιαῖος ἀλώπηξ, ἐπὰν μὴ δύνηται διαδρᾶσαι τὴν ἄγραν, καταπιοῦσα τὸ ἄγχιστρον, ἐξαλλομένη καὶ ἀνατρέχουσα, ἀποτρώγει τὴν μήρινθον, καὶ διαφεύγει.

B Ὁ δὲ κροκόδειλος ἀνθρωποβόρον μέν ἐστι θηρίον, ὅταν δὲ μέλλῃ ποιεῖσθαι τὰς ὀχείας, ἀνανηξάμενον ἀναστρέφει τὴν θήλειαν ἐπὶ ταῖς ὄχθαις· μόνος γὰρ οὗτος ὕπτιος πλησιάζειν πέφυκε, καὶ μετὰ τὴν ὁμιλίαν πάλιν ταῖς χερσὶν αὐτὴν ἐπικουφίζων συνεπιστρέφει· ἐπειδὰν δὲ αὐτὴν ἄλλῳ συγγενομένην αἰσθῆται, καθυποκρίνεται συμμιγῆναι αὐτῇ, καὶ τῷ αὐτῷ τρόπῳ ἀναστρέψας αὐτὴν γινώσκει διὰ τῆς ὁδμῆς (ἔχει γὰρ ὀξυτάτην περὶ τοῦτο τὴν αἴσθησιν) ὑφ' ἑτέρου μιανθεῖσαν αὐτὴν, καὶ τοῖς ὄνυξι διαῤῥήξας τὴν γαστέρα αὐτῆς, πάντα τὰ ἐντὸς αὐτῆς κατεσθίει. Περὶ γὰρ τὴν γαστέρα ἐστὶ τρυφερὸν τὸ ζῶον· ὁ γὰρ νῶτος αὐτοῦ στιβαραῖς λεπίσιν ἐνδέδυται, ὥστε καὶ τὸν ὀξύτατον σίδηρον ἐπενεχθέντα ἀμβλύνεσθαι.

C *Ἐξαγαγέτω τὰ ὕδατα πετεινὰ ψυχῶν ζωῶν*, καὶ ἀθρόως ὁ ἀὴρ παντοίου γένους τῶν ὀρνίθων πεπλήρωται. Ἔδωκε δὲ αὐτοῖς ἐκ τῶν ὑδάτων τὴν γένεσιν, ἐπειδὴ συγγένειάν τινα πρὸς τοὺς ἰχθύας κεκλήρωνται. Ὡς γὰρ οἱ ἰχθύες ἐν τῇ κινήσει τῶν πτερύγων τὸ ὕδωρ τέμνουσι, καὶ διανήχονται, οὕτω τὰ πετεινὰ τοῖς πτεροῖς τὸν ἀέρα διανήχονται. Ἔστι δὲ αὐτῶν τὰ μὲν σαρκοφάγα πρέπουσαν κατασκευὴν τοῦ τρόπου τῆς σφῶν διαίτης ἐπέχοντα, ὀνύχων ἀκμαῖς *, καὶ χεῖλος ἀγγύλον, καὶ πτερὸν ὀξὺ πρὸς τὸ ῥᾳδίως ἁναρπάσαι, καὶ διασπάσαι δύνασθαι· τὰ δὲ σπερμολόγα, τὰ δὲ ἐκ παντὸς τρεφόμενα. Καὶ τούτων ἑκατέρων ἡ κατασκευὴ διενήνοχε· καὶ τὰ μέν ἐστιν ἄναρχα καὶ αὐτόνομα, τὰ δὲ ὑφ' ἡγεμόνα τέD ταχται, καὶ τὰ μέν ἐστιν ἐπιδημητικὰ, τὰ δὲ ἐγχώρια.

Γαῦρον ὁ ἀλεκτρυών, ὁ δὲ ἱέραξ εὐνούστατος τυγχάνει περὶ τὸν ἄνθρωπον. Ἱστοροῦσι γὰρ τοὺς ἐν τῇ Θρᾴκῃ ἱέρακας τοῖς ὀρνιθοθήραις περὶ τὴν ἄγραν συναίρεσθαι· ποιοῦνται μὲν γὰρ τὰς διατριβὰς ἐν ὕλαις δασυτάταις, ἔνθα γένη τῶν ὀρνίθων ἐνδιαιτᾶται, καὶ τοῖς ἐπὶ τὴν ἄγραν ἰοῦσι συντάττονται, ἰσομοιρίαν τοῦ ἀγρευθέντος δέξασθαι· καὶ τῶν θηρευτῶν τὰ δένδρα διασειόντων, οἱ ὄρνεις τινασσόμενοι σοβοῦνται, καὶ ἀνίπτανται, καὶ οἱ ἱέρακες κατὰ κεφαλῆς τούτων

Digitized by Google

ὑπεριπτάμενοι, τὰς κεφαλὰς αὐτῶν κολάπτουσι, καὶ εἰς γῆν καταῤῥίπτουσι, καὶ εὔθηρον τὴν ἄγραν τοῖς ἀνθρώποις παρασκευάζουσιν· οἱ δὲ ἅσμενοι τῆς ἄγρας αὐτῆς παραχρῆμα μεταδιδόασιν.

A abiguntur et evolant, accipitres supervolantes deprimunt, quas rostro perforato capite in terram projiciunt, sicque illis hominibus felix et faustum aucupium comparant; illi captas aucupes divisasque statim æqualiter cum accipitribus partiuntur.

Φιλότεκνον ὁ πελεκάν· τρέφων γὰρ τοὺς νεοσσοὺς, τύπτεται ὑπ' αὐτῶν ταῖς πτέρυξιν εἰς τὸ πρόσωπον· ὁ δὲ κολάπτων αὐτοὺς ἀναιρεῖ, καὶ σπλαγχνισθεὶς πενθεῖ ἐπὶ τρεῖς ἡμέρας αὐτούς. Ἡ δὲ μήτηρ ἐλθοῦσα ἐπάνω αὐτῶν ῥήγνυσι τὴν πλευρὰν αὐτῆς, καὶ ἐπιστάζει τὸ αἷμα αὐτῆς ἐπὶ τοὺς νεοσσοὺς, καὶ ζωογονοῦνται. Οὗτοι δὲ οἱ πελεκᾶνες τὰς κόγχας τούτῳ τῷ τρόπῳ ἐσθίουσι· μὴ δυνάμενοι διὰ τὸ ἐσφίγχθαι αὐτὰς ἀνελεῖν· καταπίνουσιν αὐτὰς πρότερον, ὅπως τῇ περὶ τὸν φάρυγγα θερμότητι διατακῇ μὲν ἡ συνέχουσα κόλλη, ἀνεθεῖσαι δὲ αἱ κόγχαι χαλασθῶσιν· ἐξεμέσαντες οὖν αὐτὰς, εὐμαρῶς τὸ ἐδώδιμον αὐτῶν κατεσθίουσιν.

Pelicanus filiorum amantissimus est; hic enim dum pullos alit, ab illis alis in faciem percutitur, qui rostro eos repercussos interimit, et misericordia permotus, eosdem a se occisos luget per triduum. Postremo mater adveniens, latus graviter vulneratum effodit, et sanguinem suum super parvulos fundit, quo illi perfusi, reviviscunt. Hi conchis hac ratione vescuntur: cum illas valide constrictas perimere non possint, prius eas deglutiunt, B ut faucium calore, quasi glutino ferruminatas aperiant; quæ laxatæ, claustra resolvunt; deinde eas evomunt, et ex his quæ sunt esculenta, sine ulla difficultate eligunt, et edunt.

Αἱ δὲ φάσσαι οὐκ ἔνθα τίκτουσιν ἐπωάζονται, ἀλλὰ μεταστᾶσαι, διὰ τὸ πλῆθος τῶν θηρευτῶν, εἰς ἕτερον τόπον, ἐκτρέφουσι τοὺς νεοττούς. Καὶ ἐπειδὰν αἴσθωνται εἰς θήραν ἀφιγμένους τινὰς τῶν νεοττῶν, ἀνίπτανται, καὶ τὴν τῶν θηρευτῶν σπουδὴν εἰς ἑαυτὰς περισπῶσι, καιρὸν φυγῆς τοῖς νεοττοῖς παρέχουσαι, καὶ ἐκφυγόντων τῶν νεοττῶν, μάλα θαρσαλέως σὺν τοῖς νεοττοῖς, ἁπάρασαι, αἰθεροβατοῦσιν.

Palumbes non ubi pariunt pullationem faciunt, sed propter multitudinem venatorum, locis mutatis, alibi parvulos nutriunt; ubi venatores fuerint edoratæ, ante pullos excurrentes evolant, et in semet venatorum impetum et studium convertunt, interim filios, fuga parata tutantur, quibus in fugam datis, audacter volatus eorum matres prosecutæ, sublimi aeri se committunt.

Φιλόκαλον ὁ ταὼς ἐξ Ἰνδῶν ὁρμώμενος. Οὗτος, ἀναπτερώσας τὸ κάλλος καὶ τῶν πτερῶν ἐπιδείξας τὸ θέατρον, ἐπάγεται πρὸς συνουσίαν τὴν θήλειαν, C ὥσπερ λειμῶνα τὸν καλλωπισμὸν τοῦτον ἐπιδεικνὺς αὐτῇ· ἔστι γὰρ σχεδὸν λειμῶνος ὁ ταὼς εὐανθέστερος. Περιπεφύτευται γὰρ αὐτῷ χρυσὸς τοῖς πτεροῖς, καὶ κύκλῳ τὸ ἀλουργὲς περιθέει πορφυροῦν τὸν χρυσόν· καὶ ὑπὸ τοῦ χρυσοῦ περίκειται τὸ ἴσον κύκλον, καὶ ἔστιν ὀφθαλμὸς ἐν πτερῷ.

Sua forma gloriosum pavonem Indi ferunt; hic ornatum pandens, et pennarum speciosum theatrum ostentans, dilectam a se femellam allicit; pulchritudinem hanc veluti pennarum pratum spectandam proponens; saneque pavonis pratum quovis alio prato longe floridius est; in ejus enim pennis aurum seminatur, et omni ex parte purpura æqualiter convestitur et vestit, inestque illis quasi oculorum species.

Ὁ δὲ φοῖνιξ μέγεθος μὲν ἔχει ταῶνος, διαφέρει δὲ τῷ κάλλει τοῦ ταῶνος τῇ χροιᾷ· κεκέρασται γὰρ αὐτῷ χρυσῷ καὶ πορφύρᾳ τὰ πτερὰ, εὐφυεῖ δὲ κύκλῳ στεφάνου ἡ κεφαλὴ αὐτοῦ κεκόσμηται φυσικῶς. Ἔστι δὲ ὁ κύκλος κυάνεος, καὶ ῥόδοις ἐμφερής. Εὐειδὴς δὲ ὢν τῇ θέᾳ, καὶ ἀκτῖσι κομῶν, ὥσπερ ἥλιος ἐφ' ὕψους ἵσταται· ὡς ἱστορῆσαι καὶ ἄλλους τὴν μορφὴν αὐτοῦ τοῦ σώματος, ὡς καὶ αὐτοὶ διαγράφοντες φάσκουσιν οὕτως·

Phœnix pavonis narratur magnitudine, sed a pavone pulchritudine et colore secundus. Pennas enim auro et purpura interpictas habet, caput concinno apice undequaque et corona cohonestatur; circulus colore cæruleo est et rosis similis; sic aspectu jucundo, et radios projiciens veluti sol in summo se collocat; ita ut et alii formam corporis illius tradiderint, quam hisce verbis describere: D

Διπλοῦν γάρ ἐστι τὸ μῆκος ἀετοῦ σχεδόν.
Πτεροῖς δὲ ποικίλοισιν, ἠδὲ χρώμασιν,
Σῶμα αὐτοῦ κέκαυται.
Στῆθος μὲν οὖν αὐτοῦ πορφυροῦν φαίνεται,
Σκέλη δὲ μιλτόχρωτα, καὶ κατ' αὐχένα,
Κροκοπίνοις μαλλοῖσιν εὐτρεπίζεται.
Κάρα δὲ κοίτης ἡμέρας παρεμφερὴς,
Καὶ μηλίνῃ μὲν τῇ κόρῃ προσέβλεπε.
Κύκλῳ δὲ κόρῃσι κύκνος ὡς ἐφαίνετο.
Φωνὴν δὲ πάντων εἶχεν εὐπρεπεδεστάτην.
Βασιλεὺς δὲ πάντων ὀρνέων ἐφαίνετο,
Ὡς ἦν νοῆσαι· πάντα γὰρ τὰ πτηνὰ ὁμοῦ

Dupla quippe est fere aquilæ magnitudine.
Alis autem variis, atque coloribus,
Corpus illius interscribitur.
Pectus vero illius purpureum nitet.
Crura signata ex millo, et circa collum,
Croceo pinnæ vellere decoratur.
Caput ejus diei cubili non dissimile,
Et melineis papillis contuebatur.
Et circa eas undequaque quasi coccus diffundebatur.
Nullisque animalium erat pulchra voce inferior.
Rex igitur omnium avium esse videbatur,
Ut conjectura judicari potest; omnia enim volatilia [simul

Ὄπισθεν αὐτοῦ δολιχεύοντες ἐπέσσυντο.
Αὐτὸς δὲ πρόσθε, ταῦρος ὡς γαυρούμενος,
Ἔβαινε κραιπνὸν βῆμα βαστάζων ποδύς.

Post eum contento cursu irruebant.
At ipse ante omnes tanquam taurus superbiens
Pergebat, celerem gressum volvens pedis.

Τοῦτο φασὶ μονογενὲς ὑπάρχειν ζῶον, μὴ συνιστά-

Hunc dicunt unigenum nulla successione gene-

Digitized by Google

rari, sed esse unicum et solum, et quingentis eum durare annis. Morti proximus, obitum enim suum ipse præsentit, in sublime delatus, solem orientem intuens, surculis odoriferis construit nidum, deinde a solis radiis totus crematur, et in pulverem omnino resolvitur; ex pulvere deinde vermiculus nascitur, inde pullus primusque phœnix.

μενον διαδοχῇ, ἀλλ' ὑπάρχειν αὐτὸ μονώτατον, καὶ ἔτη ζῆν πεντακόσια. Καὶ ἐν καιρῷ τοῦ μέλλειν αὐτὸ τελευτᾷν (προαισθάνεται γὰρ τὴν ἀποδίωσιν), ἐφ' ὑψηλοῦ τινὸς τόπου ἐστοχασμένος, κατὰ τὴν ἀνατολὴν τοῦ ἡλίου, ἐξ ἀρωματικῶν φρυγάνων συμπηγνύναι τὴν καλιὰν, κἄπειτα ὑπὸ τῆς ἀκτῖνος ὁλοκαυτίζεσθαι τοῦ ἡλίου, καὶ εἰς κόνιν παντελῶς ἀναλύεσθαι· εἶτα ἐκ τῆς κόνεως σκώληκα γίγνεσθαι, καὶ ἐκ τοῦ σκώληκος εἰς τὸν πρῶτον φοίνικα μεταβάλλεσθαι.

Aquila in educandis liberis injustissima est; binos pullos excludit, quorum alterum sibi conciliat, alterum alarum ictibus fugat et expellit, labore et tædio, ut aiunt, nutriendi; sed quam vocant ossifraga, ut ferunt ejectum abdicatumque excipit et educat cum suis. Verum ubi pullum aquila enutrivit apprehensum volatu in sublimem aerem defert, et si eum adversus solis radios firma acie intuentem conspexerit, et aera pennis audacter secantem, uti genuinum alit fovendo; si conniventem humectantemque animadverterit, uti adulterinum atque degenerem expellit.

Ὁ δὲ ἀετὸς περὶ τὴν ἀνατροφὴν τῶν νεοττῶν ἐστιν ἀδικώτατος· δύο γὰρ ποιήσας, τὸν μὲν ἕτερον οἰκειοῦται, τὸν δὲ ἕτερον μαστίζων τοῖς πτεροῖς ἀποπέμπεται, διὰ τῆς τροφῆς, ὡς φασι, τὸ ἐπίπονον. Ἡ δὲ φήνη, τὸν ἀποποιηθέντα δεξαμένη, τοῖς οἰκείοις ἅμα ἐκτρέφει νεοσσοῖς. Θρέψας δὲ τὸν νεοττὸν ὁ ἀετὸς, συνίπταται, αὐτὸν πρὸς τὸν αἰθέρα λαμβάνων· καὶ εἰ θεάσοιτο πρὸς τὴν λαμπρότητα τοῦ ἡλίου αὐτὸν ὀξυοπήσαντα, καὶ εὐτόλμως τὸν ἀέρα διανηχόμενον, ὡς οἰκεῖον περιποιεῖται· εἰ δὲ ἄτονον πρὸς ταῦτα, ὡς νόθον ἀποβάλλει.

Ferunt aquilam senio confectam oculorum acie obtundi, alasque ejus ingravescere; hinc eam fontes investigare, delatasque in aerem alas a sole incensas exuri, et visum recuperare; deinde subito petito fonte, tertium mergi, et renovari; quare et psalmum dixisse tradunt: *Renovabitur sicut aquilæ juventus tua* [13].

Φασὶ γὰρ γηράσαντα τὸν ἀετὸν ἀμαυροῦσθαι τὰς ὄψεις, καὶ βαρεῖσθαι αὐτοῦ τὰς πτέρυγας, καὶ εἰς πηγὴν ἀφικνεῖσθαι, καὶ εἰς τὸν αἰθέρα ἀνιπτάμενον, ὑπὸ τοῦ ἡλίου τὰς πτέρυγας καταφλέγεσθαι, καὶ ἀναβλέπειν, εἶτ' εὐθὺς ἐπὶ τὴν πηγὴν καταβάντα τρίτον βαπτίζεσθαι, καὶ ἀνανεοῦσθαι· διὸ καὶ τὸν ψαλμὸν φάσκειν φασίν· *Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.*

Vultur vento concipit, neque cum mari corpus commiscet, vivitque annis centum; in excelsis atque altis rupibus pernoctat, et nemo ubinam habitet, comperit. Ubi conceperit, in Indiam proficiscitur, et lapidem quem vocant eutocium suscipit, super quem, dum doloribus partus cruciatur, sedet et parit. Est autem lapis hic rotundus veluti nux, et cum quatitur, veluti tintinnabulum sonum edit, alio in utero lapide sonante. Aiunt vulturem rosea unguenta odoratum interimi, neque semini, neque viventi esse perniciosum, sed et mortuum omne volatile propter affinitatem abhorrere. Cum vero homines in aciem instruuntur, sequitur, nec ab illis, carnium edax cum sit, disjungitur.

Ὁ δὲ γὺψ ὑπηνέμιον τὴν γονὴν κέκτηται, καὶ οὐ γινώσκει συνουσίαν ἄρρενος, καὶ ἑκατὸν τὰ ἔτη βιοῖ. Αὐλίζεται δὲ ἐπὶ τῶν ὑψηλῶν, καὶ μετεώρων, καὶ οὐδεὶς οἶδε ποῦ ποιεῖ τὴν κατοίκησιν. Καὶ ἔγγυος γενόμενος πορεύεται εἰς τὴν Ἰνδικὴν, καὶ λαβὼν τὸν εὐτόκιον λίθον οὕτω καλούμενον, ἐπάνω αὐτοῦ καθέζεται συνεχόμενος ὠδῖσι, καὶ ἀποτίκτει. Ἔστι δὲ ὁ λίθος περιφερὴς ὡς κάρυον, καὶ κινούμενος ἦχον ἐκπέμπει ὡς κώδων, ἔνδοθεν ἑτέρου λίθου κινουμένου. Φασὶ δὲ τὸν γῦπα τὰ ῥόδινα μύρα χρισθέντα ἀποθνήσκειν· σπέρματα δὲ μὴ βλάπτειν αὐτὸν, μηδέ τι ἔμψυχον διαλυμαίνεσθαι, καὶ μηδὲ νεκρῷ προσέρχεσθαι πετεινῷ διὰ τὴν συγγένειαν. Ἡνίκα δὲ, φασὶν, ἄνδρες εἰς πόλεμον παρατάσσονται, ἐπακολουθεῖ αὐτοῖς, καὶ οὐκ ἀφίσταται, ταρκοβόρος ὤν.

Ciconiæ consensu uno et veniunt et discedunt; has concomitantur coturnices, et, ut par est, cum illis avibus infensis simul bella gerunt; sauciæ etenim revertuntur. Ciconiæ in senecta pennæ excidunt, et filii suismet alis circumdatam fovent, et cibum abunde lauteque subministrant; in ipso item volatu sensim utrinque eam sublevantes alis, subsidium illi præstant.

Tandem longinquo temporis usu, omnibus se vitiis inquinarunt, a quibus eos cum Noe, ut abstinerent, non posset inducere, eorum societatem stomachatus, in alios se terrarum situs contulit. Huic Deus mandavit, ut arcam ædificaret [33-34], tectorum quatuor, longitudine trecentorum cubitorum, latitudine quinquaginta, altitudine triginta, ut in ea simul cum omni cognatione occlusus, periculum quod ex inundatione imminebat, subterfugeret; hoc enim supplicio Deus homines qui id temporis vivebant, punire delereque cupiebat. Verum cum terram inundassent aquæ summitates montium, earum fluxu abditæ occultæque sunt [35]. Nam et nostris hisce temporibus in vertice Libani lapides quidam ad ædificandum excidentes, marinorum piscium varia genera inveniunt, quos tunc in cavis illis montium luto defixos concrescere contigit.

A ἐν κόσμῳ φύσιν ἀπαλείφειν πυρὶ καὶ ὕδατι· καὶ ἀκούσαντες οἱ περὶ τὸν Σὴθ δύο στήλας ἐποίησαν, τὴν μὲν ἐκ λίθου, τὴν δὲ ἐξ ὀπτῆς πλίνθου κατασκευάσαντες· καὶ ἐν ταύταις πᾶσαν τὴν οὐράνιον φορὰν ἐνεχάραξαν, πρὸς τὸ μὴ ἄληστον τὴν τῆς ἀστρονομίας αὐτῶν γενέσθαι εὕρεσιν· ἵνα, εἰ μὲν ὕδατι τὰ πάντα φθείρεται, ἡ λίθινος στήλη φυλάττηται, εἰ δὲ πυρί, ἡ ὀστρακώδης. Γενομένης οὖν τῆς κατομβρίας, ἡ λίθινος στήλη διέμεινεν, ἥτις ἄχρι τῆς δεῦρο μένει ἐν γῇ τῇ Σηϊρειὰδ ἑστηλωμένη.

Ἐγέννησε δὲ ὁ Κάϊν τὸν Ἐνὼχ, καὶ ὁ Ἐνὼχ τὸν Γαϊδάδ, καὶ ὁ Γαϊδὰδ τὸν Μαλελεὴλ, καὶ ὁ Μαλελεὴλ τὸν Μαθουσάλα, καὶ οὗτος τὸν Λάμεχ. Καὶ ὁ Λάμεχ δύο γυναῖκας ἠγάγετο, Ἀδὰν καὶ Σελὰν, καὶ ἐξ αὐ- B τῶν τρεῖς παῖδας ἐποίησεν, ἐκ μὲν τῆς Ἀδὰν τὸν Ἰωβὴλ, ὅστις κτηνοτρόφος ἐγένετο, καὶ τὸν Ἰουβάλ, ὃς ψαλτήριον καὶ κιθάραν ἐξεῦρεν. Ἐκ δὲ τῆς Σελὰν τὸν Θόβελ, ὅστις σφυροκόπος χαλκοῦ καὶ σιδήρου ἐγένετο. Ὁ δὲ Ἀδὰμ, ζήσας ἔτη ἐννακόσια δέκα δύο, ἀπέθανεν.

Ἐνὼς δὲ υἱὸς τοῦ Σὴθ ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου· ζήσας δὲ ἔτη ἐννακόσια πέντε ἀπέθανε. Καὶ ὁ υἱὸς αὐτοῦ Καϊνὰν, ζήσας ἔτη ἐννακόσια δέκα, ἐτελεύτησε. Καὶ ὁ υἱὸς Μαλελεὴλ, ζήσας ἔτη ἑπτακόσια ἐννενήκοντα πέντε, ἀπέθανεν. Ὁ δὲ τούτου υἱὸς Ἰάρεδ, ἔτη βιώσας ἐννακόσια ἑξήκοντα, ἐτελεύτησεν. Τοῦ δὲ Ἰάρεδ υἱὸς Ἐνὼχ, εὐαρεστήσας τῷ Θεῷ, μετετέθη. Ὁ δὲ υἱὸς αὐτοῦ Μαθουσάλα, ζήσας ἔτη ἑπτακόσια καὶ ἑξήκοντα ἐννέα, ἐτελεύ- C τησε. Λάμεχ δὲ ὁ υἱὸς Μαθουσάλα, ζήσας ἔτη ἑπτακόσια πεντήκοντα τρία, ἀπέθανεν.

Τούτῳ τῷ Λάμεχ υἱὸς Νῶε ἐγένετο ἀρεταῖς ἀγαθῶν πράξεων ἡδόμενος, ὃς ἔπειθε τὸ ἀνθρώπινον γένος μεταβληθῆναι ἀπὸ τῆς κακίας εἰς ἀρετήν· ἄχρι γὰρ ἑβδόμης γενεᾶς οἱ ἄνθρωποι δεσπότην τῶν ἁπάντων τὸν Θεὸν ἐπεγράφοντο, καὶ δικαιοσύνης ἐφρόντιζον.

Ὕστερον δὲ τοῦ χρόνου προϊόντος εἰς πᾶσαν παρανομίαν ἐξώκειλαν. Ὡς οὖν ὁ Νῶε οὐκ ἔπειθε τῆς κακίας ἀποστῆναι αὐτοὺς, τὴν συνουσίαν αὐτῶν βδελυξάμενος εἰς ἄλλην γῆν ἀνεχώρησε. Καὶ προστάττει αὐτῷ ὁ Θεὸς κατασκευάσαι κιβωτὸν τετράστεγον, D ἔχουσαν τὸ μὲν μῆκος τριακοσίων πηχῶν, τὸ δὲ πλάτος πεντήκοντα, καὶ τὸ βάθος τριάκοντα, ὅπως, ἐπ' αὐτῆς ἅμα τῇ συγγενείᾳ αὐτοῦ καθειρξας ἑαυτὸν, ἐκφύγῃ τὸν ἐκ τοῦ κατακλυσμοῦ κίνδυνον. Ἐβούλετο γὰρ ὁ Θεὸς τοιαύτῃ τιμωρίᾳ τὴν πονηρίαν τῶν τότε ἐξαφανίσαι. Ἐπενεχθέντος δὲ τοῦ κατακλυσμοῦ ἐκαλύφθη τὰ ὑψηλὰ τῶν ὀρέων ὑπὸ τοῦ ὕδατος. Ἔτι γὰρ καὶ νῦν ἐπὶ τῆς ἀκρωρείας τοῦ Λιβάνου λίθους εἰς οἰκοδομὴν τινες ἐκτέμνοντες, θαλαττίων ἰχθύων γένη εὑρίσκουσιν, οὓς συνέβη εἰς τὰ κοιλώματα τῶν ὀρέων συναποπαγῆναι τῇ ἰλύϊ.

[29] *Gen.* IV, 7, 19, 22. [30] *Gen.* V, 5. [31] *Gen.* IV, 26. [32] *Gen.* V, 11, 14, 17, 20, 24, 27, 31. [33-34] *Gen.* VI, 14. [35] *Gen.* VII, 19.

Digitized by Google

Ἡ δὲ κιβωτὸς, ἀνυψωθεῖσα ὑπὸ τοῦ ὕδατος, εἰς ἄκραν τινὰ ὄρους τοῦ κατὰ τὴν Ἀρμενίαν ἔστη, καὶ λωφήσαντος τοῦ ὕδατος, οἱ ἐν τῇ κιβωτῷ πάντες ἐξεπορεύθησαν. Καὶ τὸν τόπον ἔτι καὶ νῦν ἐκεῖνον Ἀποβατήριον οἱ ἐπιχώριοι προσαγορεύουσι, καὶ τὰ λείψανα τῆς κιβωτοῦ ἐπιδεικνύουσι, καὶ τῇ ἀσφάλτῳ αὐτῆς εἰς ἀποτροπιασμοὺς κέχρηνται.

Ὁ δὲ Νῶε ἐτελεύτησεν ἔτη ζήσας ἐννακόσια καὶ πεντήκοντα, καὶ οἱ υἱοὶ αὐτοῦ, δεδοικότας τοὺς ἄλλους πάντας ἀπὸ τοῦ ὄρους μεταναστῆναι, (ὑπώπτευον γὰρ ἑτέρας αὖθις πειρασθῆναι ἐπομβρίας·) πείθουσι κατελθεῖν, καὶ τὴν ἠπλωμένην κατοικίσαι πεδιάδα. Ἵνα δὲ μὴ πληθυνθέντες στάσιν μετ' ἀλλήλων κινήσωσι, προσέταττεν αὐτοῖς ὁ Θεὸς ἀποικίας ποιήσασθαι. Οἱ δὲ οὐκ ὑπήκουσαν, γῆν καλὴν γεωργοῦντες, καὶ καρπῶν ἀφθονίαν μεγίστην ἔχοντες. Πάλιν οὖν συμφορᾷ χαλεπῇ ὑποβάλλει αὐτοὺς πρὸς τὸ τὴν ἀποικίαν στείλασθαι. Οἱ δὲ οὐδ' οὕτως εἶξαν τοῦ Θεοῦ τῷ βουλήματι, τὴν εὐφορίαν τῆς γῆς οὐ κατ' εὐμένειαν τοῦ Θεοῦ, ἀλλὰ κατ' ἰδίαν ἰσχὺν περιεῖναι αὐτοῖς ὑπελάμβανον. Ταύτην δὲ τὴν οἴησιν ἔχειν αὐτοὺς Νεβρὼθ ἔπειθεν ὁ γίγας, τολμηρός τις ὢν, καὶ κατὰ χεῖρα γενναῖος, ὃς καὶ, τοῦ Θεοῦ ἀποστήσας αὐτοὺς, αὐτῷ τῷ σέβας περιποιεῖσθαι αὐτοὺς ἠνάγκασε, καὶ δὴ πύργον αὐτοὺς ἐπιτρέπει τεκτήνασθαι τῷ ὕψει τοῦ οὐρανοῦ ἐπιψαύοντα, ἀπειλῶν τὸν Θεὸν ἀνταμύνασθαι, εἰ πάλιν τῷ κόσμῳ ἐπενέγκῃ κατακλυσμόν.

Τοῦ γοῦν πλήθους πολλῇ σπουδῇ τῇ μανίᾳ συνεργοῦντος αὐτῷ, καὶ λόγου θᾶττον τὸν πύργον κατασκευάζοντος, ὁ Θεὸς τὴν διάλεκτον αὐτῶν παραχρῆμα συνέχεε, καὶ ὑπὸ τῆς ἀνομοιογλωσσίας διεσκεδάσθησαν, κἀκ τούτου ὁ τόπος Βαβυλῶνα τὴν κλῆσιν εἴληχεν, τῶν Ἑβραίων τὴν *σύγχυσιν* Βαβυλὼν ὀνομαζόντων.

Ἕκαστος γοῦν τὴν προστυγχάνουσαν γῆν κατελάμβανε, καὶ ἐπλήρουν πᾶσαν παράλιόν τε καὶ ἤπειρον, ἔτι δὲ καὶ τὰς νήσους· τὸ γὰρ πέλαγος πλοίοις διαπορθμεύοντες ταύταις ἐγκαθωρμίζοντο.

Ἔνια γοῦν τῶν ἐθνῶν σώζει τὰς προσηγορίας τῶν κτισάντων, ἔνια δὲ καὶ μετέβαλε, τῶν Ἑλλήνων μετὰ ταῦτα κρατησάντων, καὶ ἰδίοις ὀνόμασι καλλωπισάντων τὰ ἔθνη, καὶ νόμους δὲ αὐτοῖς οἰκείους ἔθεσαν πρὸς τὴν δόξαν τῆς κτίσεως σφετερίσασθαι αὐτοὺς, ὡς μηδεμίαν ὑπόνοιαν προγενεστέρων καταλιπεῖν τοῖς μετέπειτα.

Ἐγένοντο οὖν τῷ Νῶε τρεῖς υἱοὶ, Σὴμ, Χὰμ, Ἰάφεθ· ἀπὸ Ταύρου καὶ Ἀμμανοῦ τῶν ὀρῶν ἀρξάμενοι ᾤκησαν, καὶ προῆλθον ἐπὶ μὲν τῆς Ἀσίας ἄχρι ποταμοῦ Τανάϊδος, ἐπὶ δὲ τῆς Εὐρώπης ἄχρι Γαδείρων.

Εἰσὶ δὲ οὗτοι· Γαμὲρ, ὅστις Γαμαρεῖς, τοὺς νῦν Γαλάτας, συνέστησεν· Ἀγὼδ Μαγώδεις, τοὺς νῦν Σκύθας· Ἀδαὶ Μαδαίους, τοὺς νῦν Μήδους· Ὀὰν Ἰωνίαν, καὶ τοὺς Ἕλληνας· Ὀβὲλ Θεοβέλους, τοὺς νῦν Ἴβηρας· Ὀσὸχ Μεσχηναίους, τοὺς νῦν

Sed arca, aquis altius sustentata, in summitate montis cujusdam qui in Armenia est, stetit [36], et aqua cum cessasset, qui in ea erant, omnes egressi sunt [37], et locum illum in præsenti Apobaterium incolæ nuncupant, arcæque reliquias monstrant, et ejus bitumine ad averruncanda mala utuntur.

Noe vero e vita migravit nongentis et quinquaginta annis exactis [38], et filii ejus alios omnes timidos atque ignavos, aliam enim futuram terrarum inundationem suspicabantur, ut e monte discederent, planissimaque colerent loca, persuadent. Deus ad sedandas seditiones, quæ propter eorum multitudinem conflari possent, in alias regiones colonias deducere jubebat; at hi non audierunt præcepta, cum optimam terram colerent, et uberes maximosque perciperent fructus; novis itaque eos calamitatibus vexat, ut coloniam mittèrent; qui nec sic divinæ voluntati obediunt, et eam terræ ubertatem fertilitatemque non divinis placitis, sed suismet viribus industriaque parari opinabantur; in eamque eos sententiam perducebat Nebroth, gigas temerarius et audax, maximisque viribus valens, qui eos ut cultum sibi offerrent a Deo aversos coegit [39]. Quin et turrim illis exædificandam committit, quæ summitate cœlum attingeret, jactans Deum ulturum, si iterum mundo inundationem tentasset [40].

Multitudine igitur summo studio ac contentione illius insaniæ opem ferente, et dicto citius turrim exstruente, Deus linguæ eorum proprietatem repente confudit; quare ob linguarum varietatem dispersi sunt [41], indeque locus nomen Babylonis adeptus est [42]. Babylonem enim *confusionem* Hebræi nominant.

Unusquisque itaque terram sibi obviam occupabat, sicque continentia loca, atque maritima, nec non et insulas implebant; navibus enim per mare trajecti in eas advehebantur.

Gentium autem quædam conditorum nomina servant, quædam illa commutarunt, Græcorum imperio subsecuto, qui suis nominibus gentibus ornamentum addiderunt, legesque illis proprias communicarunt, ut gloriam conditorum sibi tribuendo captarent, nec ullam posteris de majoribus suspicionis ansam relinquerent.

Noe liberos procreavit tres, Sem, Cham, Japheth [43], qui a Tauro et Ammano montibus initio ducto habitarunt, et in Asiam progressi sunt usque ad Tanain flumen, et in Europa usque ad Gadira.

Fuerunt autem hi [44]: Gamer, qui Gamerenses, quos nunc Galatas vocamus, constituit; Agod Magodenses, quos nunc Scythas; Adai Madæos, quos nunc Medos; Javan Ioniam, et Græcos; Obel Theobelos, quos nunc Iberos; Osoch Meschenæos, quos

[36] *Gen.* VIII, 4. [37] *Ibid.* 17. [38] *Gen.* IX, 29. [39] *Gen.* X, 8. [40] *Gen.* XI, 3. [41] *Ibid.* 7. [42] *Ibid.* 9. [43] *Gen.* V, 1. [44] *Ibid.* 2.

Digitized by Google

nunc Cappadocas; Theiras Theirenses, quos nunc Thraces.

Gamer autem filii fuerunt tres [45] : Schanax, ex quo Aschanaxæi, qui nunc Rhegini; Riphath, ex quo Riphathæi, qui nunc Paphlagones; Thygrammais, ex quo Thygrammenses, qui nunc Phryges.

Filii Javan tres [46] : Elisasa, ex quo Alisæi, qui nunc Æolenses; Tharses, ex quo Tharsenses, qui nunc Cylices, ita enim antiquitas Ciliciam appellavit, quando et adhuc metropolis eorum Tharsus nomen conservat; Cethim, ex quo Cethima insula, quam nunc Cyprum nominant, et illius causa omnes insulas terrasque maritimas Hebræi Eththo appellant.

Filii Cham, quæ a Syria, Anmano Libanoque montibus incipit, terram occuparunt [47], omnesque illius partes, quæ mare respiciunt, invadunt regionibus usque ad Oceanum vindicatis; et horum quorumdam appellationes omnino mutatæ sunt, aliorum in alias difficiliores; paucorum vero nomina integra usque ad hanc diem servantur. Fuerunt autem hi filii Cham : Chus, ex quo Chusæi, qui nunc Æthiopes; Mestrem, ex quo Mestræi, qui nunc Ægyptii; Phut, ex quo Phuti, qui nunc Libyes, et adhuc fluvius apud Mauros, totaque illa vicina regio Phuti appellantur; natio vero illa Libyæ nomen traxit, ex Liby, filio Mestron, qui provinciæ præfuit.

Chus fuerunt filii septem : Sabat, ex quo Sabacii, qui etiam hoc tempore nomen simul cum regione obtinent; Evilat, ex quo Evilæi, qui nunc Tuli; Sabath, ex quo Sabatheni, qui nunc Astabari; Regmara, ex quo Allæi, qui adhuc eodem nomine compellantur; Judadan, ex quo Judadæi, Æthiopum natio quædam, adhuc ejusdem cum conditore nominis; Sebecatha, ex quo Sabactheni, qui adhuc nomen retinent. Nebrod, qui primus dominatu Babylonem pressit [48].

Mestrem filii octo, qui a Gaza usque ad Ægyptum terram possederunt. At terra Philistiim per aliquod tempus nomen retinuit, tandem Palæstina vocata est.

Chanan liberi undecim [48a] : Sidon primus genitus, qui sui nominis urbem in Phœnicia exstruxit. Amathius Amathinem, quæ nunc Epiphania dicitur, ædificavit, idque illi nomen dedit Macedo quidam clarus ac celebris, qui in ea regnaverat; Arucæus terram quæ in Libano est ædificavit; Arodius Aradum insulam habitavit; Asenassus, ex quo Asennæi; Samarius Samariam, Chettæus Chettæos, Jebusæus Jebusæos constituit. Amorrhæus Amorrhæos, qui Bethel incolebant; Gersæus, Gergesæos, qui terram trans Jordanem tenebant, usque ad Philadelphiam; Evæus, Evæos; et Cinæi circa Libanum habitabant, et Amarum; Eniacim vero gigantes Chebron, et circa eam Chettæi et Pherezæi, permiste cum Chananæis Palæstinam tene-

Καππαδόκας· Θέρας τοὺς Θείρας, τοὺς νῦν Θρᾷκας.

Ἐγένοντο δὲ καὶ τῷ Γαμὲρ υἱοὶ τρεῖς· Σχανὲξ, ἐξ οὗ Ἀσχαναξαῖοι, οἱ νῦν Ῥηγῖνες· Ῥιφὰθ, ἐξ οὗ Ῥιφαθέοι, οἱ νῦν Παφλαγόνες· Θυγραμμάϊς, ὃς συνέστησεν Θυγραμμεῖς, τοὺς νῦν Φρύγας.

Υἱοὶ δὲ τῷ Ἰωούα τρεῖς, Ἐλισασὰ, ἀφ' οὗ Ἀλισαῖοι, οἱ νῦν Αἰολεῖς· Θαρσῆς, ἀφ' οὗ Θαρσεῖς, οἱ νῦν Κύλικες· οὕτω γὰρ τὸ παλαιὸν ἡ Κιλικία ἐκαλεῖτο· ἔτι γὰρ καὶ νῦν Θαρσῆς ἡ μητρόπολις αὐτῆς καλεῖται· Χεθεὶμ Χεθειμὰ τὴν νῆσον, ἣν ἄρτι Κύπρον προσονομάζουσιν· ἀπ' αὐτῆς γὰρ πᾶσαν νῆσον καὶ τὴν παράλιον Ἑβραῖοι Ἡθθὼ καλοῦσιν.

Οἱ δὲ υἱοὶ τοῦ Χὰμ, τὴν ἀπὸ Συρίας, καὶ Ἀμμανοῦ, καὶ Λιβάνου τῶν ὀρέων γῆν κατέσχον, ὅσα πρὸς θάλασσαν αὐτὴν τέτραπτο καταλαβόντες, καὶ τὰ μέχρι τοῦ Ὠκεανοῦ ἐξιδιωσάμενοι. Καὶ ἐνίων μὲν παντελῶς αἱ προσηγορίαι ἠμείφθησαν, ἐνίων δὲ εἰς ἑτέρας ἐνημείφθη δυσεπιγνώστους· ὀλίγων δὲ ἔτι αἱ ὀνομασίαι ἀκέραιοι σώζονται. Εἰσὶ δὲ υἱοὶ τοῦ Χὰμ οἵδε· Χοῦς, ἐξ οὗ Χουσαῖοι, οἱ νῦν Αἰθίοπες· Μεστρὲμ, ἐξ οὗ Μεστραῖοι, οἱ νῦν Αἰγύπτιοι· Φοὺτ, Φουτοὶ, οἱ νῦν Λίβυες, καὶ ἔτι τοῦ δεῦρο ὁ παρὰ Μαύροις ποταμὸς καὶ ἡ σύνεγγυς χώρα αὐτοῦ Φουτοὶ καλοῦνται. Ἐκλήθησαν δὲ Λίβυες τὸ ἔθνος, καὶ ἡ χώρα ἐνὸς τῶν ἀπὸ Μεστρὼν υἱῶν ὀνόματι Λίβυος βασιλεύσαντος αὐτῶν.

Τῷ δὲ Χοῦς ἐγένοντο υἱοὶ ἑπτά· Σαβὰτ, ἀφ' οὗ Σαβάκιοι, οἵτινες ἄχρι τοῦ δεῦρο τὴν ὁνομασίαν ἅμα τῇ χώρᾳ σώζουσιν· Εὐιλὰτ, ἐξ οὗ Εὐιλαῖοι, οἱ νῦν γε Τοῦλοι· Σαβὰθ, ἐξ οὗ Σαβαθηνοὶ, οἱ νῦν Ἀστάβαροι· Ῥεγμαρὰ, ἐξ οὗ Ἀλλαῖοι, οἱ ἔτι καὶ νῦν ταύτην τὴν κλῆσιν ἔχουσιν· Ἰουδαδὰν, ἐξ οὗ Ἰουδαδαῖοι, Αἰθιοπικὸν ἔθνος ὁμώνυμον μέχρι νῦν τῷ προπάτορι· Σεβεκαθὰ, ἐξ οὗ Σαβακτηνοὶ, οἳ καὶ αὐτοὶ ὁμώνυμοι· Νεβρὼδ οὗτος, μείνας ἐν τῇ Βαβυλῶνι, πρῶτος αὐτοῖς ἐτυράννησεν.

Μεστρὲμ υἱοὶ ὀκτὼ, οἵτινες τὴν ἀπὸ Γάζης καὶ ἕως Αἰγυπτον κατέσχον γῆν. Τοῦ δὲ Φιλιστιεὶμ ἡ χώρα τότε κατεῖχεν ἕως τινὸς τὴν ὁμωνυμίαν, ὕστερον δὲ ἐκλήθη Παλαιστίνη.

Ἐγένοντο δὲ καὶ τῷ Χανὰν παῖδες ἕνδεκα· Σιδὼν πρωτότοκος, ὅστις ὁμώνυμον ἑαυτοῦ πόλιν τῇ Φοινίκῃ Σιδῶνα ἔκτισεν· Ἀμάθιος τὴν Ἀμαθινὴν, τὴν νῦν Ἐπιφάνειαν, ᾠκοδόμησε, τῶν Μακεδόνων τινὸς κρατήσαντος αὐτῆς ἐπιδόξου, καὶ τὸ οἰκεῖον ὄνομα ἐπιθέντος αὐτῇ· Ἀρουκαῖος δὲ γῆν τὴν ἐν τῷ Λιβάνῳ ἔκτισεν· Ἀράδιος οὗτος Ἄραδον τὴν νῆσον ᾤκησεν· Ἀσένασσος, ἀφ' οὗ Ἀσενναῖοι. Σαμάρειος δὲ Σαμάρειαν, Χετταῖος Χετταίους, Ἰεβουσαῖος Ἰεβουσαίους συνεστήσατο· Ἀμορραῖος Ἀμορραίους, οἵτινες ᾤκουν τὴν Βεθήλ· Γεργεσαῖος Γεργεσαίους, οἵτινες τὰ ἐπέκεινα κατῴκουν τοῦ Ἰορδάνου ἄχρι Φιλαδελφίας· Εὐαῖος Εὐαίους. Καὶ οἱ μὲν Κιναῖοι περὶ τὸν Λίβανον ᾤκουν καὶ Ἄμαρον· οἱ δὲ Ἐνιακεὶμ γίγαντες τὴν Χεβρών· καὶ περὶ αὐτὴν οἱ Χετταῖοι καὶ οἱ

[45] *Gen.* x. 3. [46] *Ibid.* 4. [47] *Ibid.* 6. [48] *Ibid.* 15. [48a] *Ibid.* 15.

Digitized by Google

Φερεζαῖοι ἀναμὶξ τοῖς Χαναναίοις τὴν Παλαιστίνην κατεῖχον· οἱ δὲ Ῥαφίαν τὴν Φιλαδελφίαν· πάλιν δὲ οἱ Γεργεσαῖοι τὰ Γάδαρα, καὶ Γέργισαν πόλιν, καὶ τὴν Τιβεριάδα εἶχον λίμνην, καὶ οἱ Ἰεβουσαῖοι τὴν νῦν Ἱερουσαλήμ.

A bant, et alii Raphiam, quæ Philadelphia est; sic et Gergesæi Gadaram Gergisamque urbem, lacumque Tiberiadis obtinebant, et Jebusæi, quæ nunc Hierusalem est.

Πέντε καὶ Σὴμ παῖδες ἐγένοντο, οἵτινες τὴν μέχρι τοῦ κατ' ἰδίαν Ὠκεανοῦ Ἀσίαν κατῴκησαν, ἤτοι ἀπὸ τοῦ Εὐφράτου τὴν ἀρχὴν ποιησάμενοι. Εἰσὶ δὲ οὗτοι· Αἰλὰμ, ἀφ' οὗ Αἰλαμαῖοι, οἱ νῦν Πέρσαι· Ἀσοὺρ, ἀφ' οὗ Ἀσσύριοι· Ἀρφαξὰδ, ἀφ' οὗ Ἀρφαξαῖοι, οἱ νῦν Χαλδαῖοι· Ἀρὰμ, ἀφ' οὗ Ἀραμαῖοι, οἱ νῦν Σύροι. Κατέσχον δὲ οὗτοι ἀπὸ Μεσοποταμίας ἕως τῶν ὀρέων Ἀραρὰτ, ἃ ἐστι πρὸς τὴν Ἀρμενίαν· Λοὺδ, ἀφ' οὗ Λυδαῖοι, οἱ νῦν Λυδοί· Καϊνὰν, ἀφ' οὗ Καναῖται.

Sem quinque filii fuerunt, qui Asiam usque ad Oceanum habitarunt, vel ab Euphrate principium sumentes. Sunt autem hi, Ælam, ex quo Ælamæi, qui nunc Persæ; Asur, ex quo Assyrii; Arphaxad, ex quo Arphaxæi, qui nunc Chaldæi; Aram, ex quo Aramæi, qui nunc Syri. Hi vero occuparunt a Mesopotamia usque ad montes Ararat, qui sunt in Armenia; Lud, ex quo Lydæi, qui nunc Lydi; Cainan, ex quo Canatæ.

Υἱοὶ δὲ τοῦ Ἀρὰμ τέσσαρες ἐγεννήθησαν· Οὖζ, ὅστις ἔκτισε Δαμασκὸν καὶ τὴν Τραχωνῖτιν, ἥτις μέση τῆς Παλαιστίνης καὶ Κοίλης Συρίας ἐστίν· Οὖλ, ἀφ' οὗ Λαζονεῖς· Γαθὲρ, ἀφ' οὗ Σταφηνοί· Μεσὸχ, ἀφ' οὗ Μασσήνιοι. B

Aram filii quatuor nati sunt: Uz, qui condidit Damascum, et Trachonitidem, quæ inter Palæstinam et Cœlosyriam media est; Ul, ex quo Lazonenses; Gather, ex quo Stapheni; Mesoch, ex quo Massenii.

Υἱοὶ Ἀρφαξὰδ· Καϊνὰν, ἀφ' οὗ Σογγοδιανοί· ἀπὸ τούτου δὲ καὶ ἡ ἀστρονομία καὶ οἰωνισμοὶ ἐπενοήθησαν.

Filii Arphaxad: Cainan [49], ex quo Soggodiani; hic sidera observavit, et auguria excogitavit.

Υἱὸς δὲ ἐγένετο τῷ Καϊνὰν Σαλὰ, ἀφ' οὗ Σουσιανοί.

Cainan filius fuit Salæ, ex quo Susiani.

Υἱὸς τοῦ Σαλὰ Ἔβερ, ἀφ' οὗ Ἑβραῖοι, οἵτινες τὴν ἀρχαίαν κατέσχον τὴν Ἑβραΐδα διάλεκτον, τοῦ Ἔβερ μὴ συμπαραγενομένου εἰς τὴν τοῦ πύργου οἰκοδομὴν, καὶ ἀλλοιωθέντος τὴν γλῶτταν.

Filius Salæ Heber [50], ex quo Hebræi, qui veterem retinuerunt linguæ proprietatem, cum Heber in structuram turris minime cum aliis convenerit, ideoque nec linguam mutaverit.

Υἱοὶ δὲ τοῦ Ἔβερ Φαλὲκ, ἀφ' οὗ Ἀδιαβηνοί· Ἰεκτὰν, ἀφ' οὗ Ἑδραμαῖοι. Ὁ δὲ Φαλὲκ διὰ τοῦτο ἐκλήθη Φαλὲκ, ἐπειδὴ κατὰ τὸν ἀπόστολον τῶν ἀποικιῶν ἐτέχθη. Φαλὲκ γὰρ οἱ Ἑβραῖοι *μερισμὸν* λέγουσιν, ἐπ' αὐτοῦ ἐμερίσθησαν. Καὶ ὁ ὑπονοούμενος τῶν ἐτῶν τῆς τοῦ κόσμου διαμονῆς ἀριθμὸς εἰς δύο διῃρέθη ἰσαίτατα· τρισχίλια γὰρ ἐπὶ τῇ γενέσει τῆς αὐτοῦ τοῦ κόσμου ὑπάρξεως ἔτη ἐπερατώθη. Λογιζόμεθα γὰρ διαμεῖναι τὴν κτίσιν ἄχρις ἕκτης χιλιάδος, ἐπεὶ καὶ ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὴν συντέλειαν τοὐδε τοῦ παντὸς συνεστήσατο. Χιλιετεῖς δὲ τὰς ἡμέρας λογίζεσθαι τὸ Θεῖον οἶμαι· *Κυρίου* γὰρ, φησὶν, *ἡμέρα ὡς χίλια ἔτη*. C

Filii Heber, Phalec [51], ex quo Adiabeni; Jectan, ex quo Hedramæi. Ideoque Phalec dictus est, cum natus sit quando coloniæ mittebantur. Phalec enim Hebræorum lingua *divisio* significatur, et tempore illius divisi sunt. Et qui jam hujus mundi durationis numerus esse existimatur, in duas partes pares æqualesque divisus est; anni quippe ex quo mundus hic conditus est, elapsi sunt ter mille. Etenim mundum hunc ad sextam chiliadem duraturum opinamur, quando et sex diebus Deus universum hoc perfectum, omnibusque suis partibus edidit absolutum; et apud Deum unam diem pro mille annis computari opinor; ait quippe, *Domini dies quasi mille anni* [52].

Γίνεται οὖν ἀπὸ Ἀδὰμ ἐπὶ τὴν τελευτὴν Φαλὲκ ἔτη τρισχίλια. Ἐπὶ δὲ τὴν τοῦ Κυρίου παρουσίαν καὶ ἀνάστασιν ἔτη πενταχισχίλια καὶ πεντακόσια τριάκοντα ἕν, ὡς λείπειν τετρακόσια πεντήκοντα ἐννέα ἔτη τῆς ἕκτης χιλιάδος. Ἔστι δὲ τῆς τοῦ κόσμου συντελείας σημεῖον τὸ σάββατον· καὶ εἰκότως ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὁ Κύριος ἐπιδημήσας τῷ κόσμῳ ἐν παρασκευῇ πέπονθεν, ἥτις ἐστὶν ἡμέρα ἕκτη, καὶ ταύτης τῆς ἡμέρας *ὥρα ἦν ὡσεὶ ἕκτη*, ἡνίκα ἐσταυρώθη, τοῦ λόγου σημαίνοντος διὰ τοῦ τῆς ἕκτης χιλιάδος τὸ ἥμισυ· καὶ διὰ τοῦτο ὡρισμένως οὐκ εἶπεν ὥρα ἕκτη, ὑπεμφαίνοντος τοῦ λόγου ὀλίγῳ πλείω τοῦ ἀριθμοῦ ὑπερπαίειν. Ἀπὸ δὲ τοῦ Χριστοῦ ἐπὶ τὴν τριακονταετηρίδα Κωνσταντίνου D

Ab Adam itaque usque ad obitum Phalec anni ter mille annumerantur, et ad Domini adventum et resurrectionem, anni quinque mille quingenti triginta et unus, ita ut ad sextam chiliadem absolvendam tantum quadringenti quinquaginta novem desiderentur. Signum vero hujus mundi consumptionis sabbatum est; ideoque non abs re diebus novissimis Dominus in mundum adveniens, die Veneris dolores sustinuit, quæ est dies sexta, ejusque diei *hora erat quasi sexta* [53], dum cruci affixus est, quo nobis sextæ chiliados dimidium significatur, ideoque definite non dixit hora sexta, parum a numero aberrare, sermone hoc nobis innuens. A Christo ad tricesimum annum Constan-

[49] *Gen* x, 24. [50] *Ibid.* [51] *Ibid.* 25. [52] *Psal.* LXXXIX, 4. [53] *Joan.* XIX, 14.

Digitized by Google

tini numerantur anni CCLXIX, et quemadmodum Jonas tribus diebus et tribus noctibus in ventre ceti commoratus, salvus restitutus est, sic et nos omnes tribus temporis intervallis in terra consumptis, resurgemus, quorum symbola Salvator noster expressit tribus diebus, et tribus noctibus peractis sub terra, satis dilucide erudiens prædictis intervallis temporis completis, resurrectionem nostram adfuturam, sæculi consequentis principium.

A ἔτη ἐστὶ σξθ'. Ὥσπερ δὲ ὁ Ἰωνᾶς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐν τῇ κοιλίᾳ τοῦ κήτους διατρίψας ὑγιὴς ἀπεδόθη, οὕτω καὶ ἡμεῖς πάντες, τὰς τρεῖς τοῦ αἰῶνος διαστάσεις ποιήσαντες ἐν τῇ γῇ, ἀναστησόμεθα. Τρία γὰρ τοῦ χρόνου ἐστὶ καθολικὰ διαστήματα, ἐνεστὼς, παρῳχηκὼς, μέλλων, ὧν τὰ σύμβολα ὁ Σωτὴρ ἡμῶν ᾠκονόμησε, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ποιήσας ἐν τῇ γῇ, διδάσκων σαφῶς, ὅτι, τῶν προειρημένων περαιωθέντων διαστημάτων τοῦ χρόνου, ἔσται ἡμῶν ἡ ἀνάστασις, τοῦ μέλλοντος αἰῶνος ἀρχὴ ὑπάρχουσα.

Jectan[84] liberos habuit Salmodad, ex quo Indi; Saleph, ex quo Bactri; Asarmoth, ex quo Arabes; Iarach, ex quo Carmani; Odorra, ex quo Mardi; Iezil, ex quo Arriani; Decla, ex quo Cedrusii; Gebal, ex quo Scythæ; Abimeel, ex quo Hyrcani; Sabeu ex quo Arabes Felices; Uphir, ex quo Armenii; Evilat, ex quo Gymnosophistæ; hi omnes filii Sem.

Υἱοὶ δὲ ἐγένοντο τῷ Ἰεκτὰν, Σαλμωδὰδ, ἀφ' οὗ Ἰνδοί· Σάλεφ, ἀφ' οὗ Βάκτροι· Ἀσαρμὼθ, ἀφ' οὗ Ἄραβες· Ἰαράχ, ἀφ' οὗ Καρμανοί· Ὀδορρὰ, ἀφ' οὗ Μάρδοι· Ἰεζεὶλ, ἀφ' οὗ Ἀρριανοί· Δεκλὰ, ἀφ' B οὗ Κεδρούσιοι· Γεβὰλ, ἀφ' οὗ Σκύθαι· Ἀβιμεὴλ, ἀφ' οὗ Ὑρκανοί· Σαβεῦ, ἀφ' οὗ Ἄραβες Εὐδαίμονες· Οὐφὶρ, ἀφ' οὗ Ἀρμένιοι· Εὐΐλὰτ, ἀφ' οὗ γυμνοσοφισταί. Οὗτοι πάντες υἱοὶ Σήμ.

Sala genuit Ragau, Ragau Seruch, Seruch Nachor[85], cui Chaldæorum vaticinandi artem et siderum vias tradidit. Hujus temporibus filii Noe idolorum cultibus se dedere, vitiaque omnia exercere, urbes exstruere, reges creare, obsidione cingere, prædari, captivare.

Ζαλὰ δὲ ἐγέννησε τὸν Ῥαγαῦ· Ῥαγαῦ δὲ τὸν Σερούχ· Σεροὺχ δὲ τὸν Ναχὼρ, καὶ ἐδίδαξεν αὐτὸν τὴν τῶν Χαλδαίων μαντείαν καὶ ἀστρονομίαν. Ἐν δὲ τοῖς χρόνοις Σεροὺχ οἱ υἱοὶ Νῶε εἰδωλολατρεῖν ἤρξαντο καὶ κακίαν πᾶσαν μετέρχεσθαι, καὶ οἰκοδομεῖν πόλεις, καὶ βασιλεῖς καθιστᾷν, καὶ πολιορκεῖν, καὶ ἁρπάζειν, καὶ αἰχμαλωτίζειν.

Nachor genuit Tharra[86], Tharra Abraham, et Nachor, et Aram. Aram, Lot, et Sarram, et Melchan[87]. Aram in urbe Chaldæorum, quæ Urel dicebatur, vita privatus est[88], cujus et in hæc tempora sepulcrum ab omnibus visitur, decessitque in incendio, C quo Abram idola patris sui conflagravit, dum illis ut subveniret domum esset ingressus; uxoresque ducunt sorores, Melchan Nachor; Sarram Abraham[89]. Neque id præter jus agunt, cum nulla antea lata esset lex quæ hoc vetaret. Etenim si ab omnium communi parente Adam ejusque uxore editos tum mares, tum feminas, quamvis essent et fratres et sorores ad procreandos liberos natura ipsa fratres sororibus, ut conjungerentur, collocarentque in matrimonio, necessitate quadam compulit, sic et qui eos secuti sunt, dum adhuc in prima illa successione legis viverent majorum mores apte congruenterque amplectebantur.

Ναχὼρ δὲ ἐγέννησε τὸν Θάῤῥα, Θάῤῥα δὲ τὸν Ἀβραὰμ, καὶ τὸν Ναχὼρ, καὶ τὸν Ἀρὰν. Ἀρὰν δὲ τὸν Λὼτ, καὶ τὴν Σάῤῥαν, καὶ Μελχάν. Ὁ δὲ Ἀρὰν ἀπέθανεν ἐν πόλει Οὐρὴλ λεγομένῃ τῶν Χαλδαίων, ἐν ᾗ ἔτι καὶ νῦν τάφος αὐτοῦ δείκνυται. Ἀπέθανε δὲ ἐν τῷ ἐμπυρισμῷ, ᾧ ἐνεπύρισεν Ἀβρὰμ τὰ εἴδωλα τοῦ πατρὸς αὐτοῦ ἐν τῷ εἰσελθεῖν ἐξελέσθαι αὐτά. Γαμοῦσι δὲ τὰς ἀδελφὰς Μελχὰν μὲν Ναχὼρ, Σάῤῥαν δὲ ὁ Ἀβραάμ. Καὶ οὐ παρανόμως τοῦτο ποιοῦσιν, ἐπειδὴ μηδὲ νόμος ἦν πώποτε ὁ κωλύων. Εἰ γὰρ τοὺς ἀπὸ τοῦ κοινοῦ πάντων πατρὸς Ἀδὰμ καὶ τῆς τούτου γυναικὸς γεννηθέντας ἄῤῥενας καὶ θηλείας, ἀδελφοὺς ὄντας καὶ ἀδελφὰς, ἡ φύσις ἐπὶ παιδοποιίαν προκαλουμένη, ἀδελφοὺς ἀδελφαῖς ἀνάγκῃ ἐπὶ γάμου κοινωνίαν ἐνῆγεν· οὐκ ἀπεικὸς οὖν καὶ τοὺς μετὰ ταῦτα τῆς πρώτης τυγχάνοντας διαδοχῆς τοῦ νόμου τῶν προγόνων κατακολουθεῖν.

Porro Tharra Chaldæam odio habens propter acerbum filii luctum, in Mesopotamiam se contulit, ibique cum annis ducentis et quinque vixisset, diem suum obiit[90].

D Ὁ δὲ Θάῤῥα, μισήσας τὴν Χαλδαίαν διὰ τὸ πένθος τοῦ υἱοῦ, εἰς τὴν Μεσοποταμίαν μετῆλθε, κἀκεῖ ἐτελεύτησε, βιώσας ἔτη πέντε καὶ διακόσια.

Ex eo enim tempore vita hominum contrahebatur, angustioribusque concludebatur finibus, usque ad Moysis ortum. Etenim post Moysem vitæ humanæ terminus constitutus est annorum centum et viginti, quos cum et ipse Moyses peregisset, vitam cum morte commutavit.

Ἔκτοτε γὰρ τῶν ἀνθρώπων τὸ ζῆν συνετέμνετο, καὶ βραχύτερον ἐγένετο, ἄχρι τῆς Μωϋσέως γενέσεως. Μετὰ γὰρ Μωϋσέα ὅρος τοῦ ζῆν ἐγένετο ἔτη ρχ', ἅτινα καὶ αὐτὸς οὗτος ζήσας, τὸν θνητὸν βίον μετήλλαξεν.

Verum Abraham terque quaterque beatus, in astrorum scientia erat excellens et singularis, majoribusque quam alii cogitationibus virtuti operam

Ἀβραὰμ δὲ ὁ τρισμακάριος ἄριστος ἀστρονόμος ἐτύγχανε, καὶ μείζω τῶν ἄλλων φρονῶν ἐν ἀρετῇ· πάντων τῶν υἱῶν Νῶε εἰς δεισιδαιμονίαν καταπεπω-

[84] *Gen.* x, 26. [85] *Gen.* xi, 22. [86] *Ibid.* 24. [87] *Gen.* xi, 22. [88] *Ibid.* 28. [89] *Ibid.* 29. [90] *Ibid.* 32.

Digitized by Google

κότων, μόνος οὗτος Δημιουργὸν τῶν πάντων Θεὸν ἀπεφήνατο εἶναι, ἐκ τῶν περὶ ἥλιον καὶ σελήνην ἀλλοιώσεων καὶ ἐκ τῶν περὶ γῆν, καὶ ἀέρα, καὶ θάλατταν παθημάτων εἰκάσας. Διὰ τί γάρ, φησὶν, ἰσχύος οὔσης ἐν αὐτοῖς τῆς ἑαυτῶν εὐταξίας οὐ προνοοῦνται, ἀλλ' ὑστεροῦνται ταύτης; Ἐκ τούτων γινώσκειν ἔξεστιν, ὅτι οὐ κατ' ἰδίαν ἰσχὺν συντελεῖ, εἰ καὶ δοκεῖ εὐεργετεῖν τοὺς ἀνθρώπους οὐ μικρῶς, ἀλλὰ κατὰ τὴν βούλησιν τοῦ ποιήσαντος. A

Πρὸς γοῦν τὴν δόξαν αὐτοῦ ταύτην οἱ Χαλδαῖοι καὶ οἱ τὴν Μεσοποταμίαν οἰκοῦντες διεφέροντο, καὶ ἀντεῖχον αὐτῷ. Καὶ ἀναστὰς ἐκεῖθεν κατὰ πρόσταγμα Θεοῦ τὴν γῆν τῶν Χαναναίων κατῴκησε. Λιμοῦ δὲ καταλαβόντος δεινοῦ, εἰς Αἴγυπτον παρεγένετο, καὶ τοὺς Αἰγυπτίους ἀλλήλοις ἀντιδοξοῦντας, καὶ τὰ νόμιμα ἑαυτῶν διαπτύοντας καὶ ἀνατρέποντας ἀπέδειξεν ἅπαντας αὐτοὺς μηδὲν ἀξιόλογον μηδὲ φρονοῦντας, μηδὲ θεσπίζοντας. Καὶ θαυμασθεὶς ἐπὶ συνέσει καὶ σοφίᾳ πολλῇ, τὴν ἀριθμητικὴν αὐτοῖς καὶ τὴν ἀστρονομίαν παραδίδωσι· πρὸ γὰρ τῆς παρουσίας αὐτοῦ ἄπειροι τούτων ἐτύγχανον οἱ Αἰγύπτιοι· μαθόντες δὲ ὕστερον τοῖς Ἕλλησι μεταδεδώκασιν· ὑποστρέψαντι δὲ ἐκ τῆς Αἰγύπτου τῷ Ἀβραὰμ υἱὸς Ἰσμαὴλ ἐγένετο ἐκ τῆς παιδίσκης Ἄγαρ, ἐξ ἧς τὸ ἔθνος Ἀγαρηνῶν τε καὶ Σαρακηνῶν συνέστη· τὸ δὲ τῶν Ἰσμαηλιτῶν ἐκ τοῦ Ἰσμαήλ. B

Ὁ δὲ Λὼτ χωρίζεται τοῦ Ἀβραὰμ, καὶ τὴν χώραν τὴν Σοδομηνὴν ᾤκησεν, ἥτις οὐρανίῳ πυρπολήσει δι' ἄθεσμον παρανομίαν κατεδικάσθη, καὶ ἔτι καὶ νῦν κεκαυμένα αὐτῆς τὰ ἴχνη φαίνεται· ἔστι γὰρ ἰδεῖν πέντε πόλεων σκιάς, ἐν αἷς βλαστάνει καρπὸς, ὃς φαίνεται μὲν ἔξωθεν παραπλήσιος τοῖς ἐδωδίμοις, ληφθεὶς δὲ ταῖς χερσὶν, εἰς τέφραν καὶ καπνὸν ἀναλύεται. Γειτνιᾷ δὲ ταύτῃ ἡ Ἀσφαλτῖτις λίμνη, ἡ πρότερον μὲν ἦν κοιλὰς φρέατα ἔχουσα ἀσφάλτου, ἀφανισθείσης δὲ τῆς χώρας, λίμνη γεγένηται, ἥτις καὶ Νεκρὰ θάλασσα προσαγορεύεται. Καὶ ἔστι μὲν πικροτάτη φύσει καὶ ἄγονος· κοῦφον δὲ τὸ ὕδωρ κέκτηται, ὡς τῶν ἐν αὐτῇ ῥιπτομένων βαρέων, λίθου ἢ σιδήρου, τυχὸν μὴ καταδύνειν εἰς τὸν βυθὸν, ἀλλ' αὖθις ὥσπερ ὑπὸ πνεύματος ἀναφυσᾶσθαι, καὶ ἐπιπολᾶσθαι. Ῥιφέντες γὰρ ἐπ' αὐτῇ ζῶντες ἄνθρωποι ἀναβλυστάνουσι· νεκροὶ δὲ καταδύνουσι· καὶ λύχνοι δὲ καιόμενοι ἐπιφέρονται, σβεσθέντες δὲ καταποντοῦνται. Ἀναφέρει δὲ ἅλας πικρὸν, καὶ στυπτηρίαν, καὶ τῆς ἀσφάλτου μελαίνας βώλους, ὡς ἐοικέναι τούτους ταύροις ἀκεφάλοις τὸ μέγεθος. Καὶ οἱ ναῦται, τὰς βώλους ταύτας δρασσόμενοι, πληροῦσι τὰ σκάφη, καὶ ἕλκουσιν ἐπὶ τὴν χέρσον. Προσπήγνυται δὲ τῷ ξύλῳ τοῦ πλοίου ἡ ἄσφαλτος, καὶ ἀποξυλοῦται, ὡς μὴ δύνασθαι ἄλλως ἀποκολληθῆναι, εἰ μὴ βρεχθείη οὔροις καὶ γυναικείοις ἐμμήνοις· τούτοις γὰρ εἴκειν μόνοις πέφυκεν. Ἀλλάττειν δέ φασι τῆς ἡμέρας χροιὰς τρεῖς τὸ ὕδωρ, καὶ ποικιλίαν ὄψεως ἐκπέμπειν πρὸς τὴν ἀκτῖνα τοῦ ἡλίου ἀναυγοῦσαν. C D

Ὁ δὲ Ἀβραὰμ, ἑκατοντούτης γενόμενος, γνήσιον

dabat. Cum omnes filii Noe in superstitiosum dæmonum cultum corruissent, solus hic, Deum rerum omnium esse Creatorem definiit a solis lunæque commutationibus reliquisque quæ in terra, aere, marique contingunt, conjectans. Quidnam, ait, si facultas, roburque in illis est, nullam sui ordinis conservandi curam gerunt, sed illa frustrantur? Ex his itaque fatendum est, ea non innata vi, etsi de genere humano quam maxime bene mereri videntur, sed Creatoris voluntate perficere.

Contra hanc sententiam ejus Chaldæi et Mesopotamiæ incolæ plura disputabant, et ab eo discrepabant, qui mandato Dei inde egressus [61], terram Chananæorum habitavit; deinde cum fames ingens eam regionem vexaret, Ægyptum advenit [62], atque Ægyptios qui varia sentientes, legesque proprias pessumdantes, evertebant, instruxit nihil eos vel momenti, vel ponderis cogitare, neque decernere; quare propter prudentiam sapientiamque, summa cum admiratione laudatus, arithmeticæ illis astrorumque artem tradit; ante enim illius accessum, harum scientiarum Ægyptii rudes erant, quibus imbuti eas postea cum Græcis communicarunt; reversoque Abraham ex Ægypto [63], filius Ismael nascitur ex ancilla Agar, quæ Agarenis Saracenisque, quemadmodum Ismaelitis Ismael, origo fuit.

Lot, sejunctus ab Abraham [64], regionem Sodomenam domicilium habuit, quæ propter nefarium scelus cœlesti incendio conflagravit [65], et nostris temporibus ejus incendii reliquiæ cernuntur. Videntur namque civitatum quinque vestigia, in quibus fructus assurgit, qui exterius esculentis similis appareat, tactu pressus fumum exhalat, et fatiscit in vagum pulverem. Huic regioni proximus est Asphaltites lacus, qui prius erat vallis, puteis bitumine plenis; mersa regione, lacus crevit, qui et mare Mortuum vocatur: dirus natura, sterilisque, et undis levibus, ita ut sive lapides, sive ferrum, sive aliquid aliud grave in illum projiciantur, non ima petere, sed rursus tanquam a vento efflatur in summoque fluitat, in eamque vivi homines injecti egeruntur, mortui merguntur; lucernæque accensæ supernatant, exstinctæ obruuntur. Sal amarum et alumen bituminisque globos nigricantes tauris sine capite similes magnitudine gignit, et nautæ globos hosce abreptos, navibus onustis in littus trahentes deferunt. Naviculæ vero lignis bitumen compactum adhæret, et veluti lignum obdurescit, ita ut evelli discindique nequeat, præterquam lotiis menstruisque mulierum aspersum. Sola enim hac vi superari potest. Tradunt aquam quotidie tribus vicibus mutare colores, crebraque illorum mutatione ad solis radios illustratam mire videntium oculos afficere.

Verum Abraham ætatis suæ anno centesimo le-

[61] *Gen.* xii, 1. [62] *Ibid.* 10. [63] *Gen.* xvi, 3. [64] *Gen.* xiii, 10. [65] *Gen.* xix, 24.

Digitized by Google

gitimum filium Isaac ex Sarra suscepit [66], et post octavum diem circumcidit [67], indeque mos hic circumcidendi pueros apud Hebræos invaluit. Nam Arabes, qui et Ismaelitæ, decimo tertio circumciduntur anno, cum eorum primus parens Ismael eo tempore fuerit circumcisus [68].

Abraham ita suadente Sarra, Ismaelem alio transtulit [69], ne eo vita functo ipse quasi primus genitus de primogeniis juribus contendens, Isaac detrimentum importaret. Ismaelis itaque successores, terram quæ ab Euphrate in mare Rubrum diffunditur, occuparunt.

Nec multo post [70] Deus ut sibi ad mortem Isaac offerretur, præcepit, et Abraham summam hoc esse notam pietatis existimans, maximis conatibus, ad summitatem quamdam pergit, rebusque omnibus ad sacrificium apte accommodatis, ita filium alloquitur :

« Longis infinitisque precibus, ut mihi nascereris, o fili, a Deo impetravi; in lucem edito omnia quæ ad tuam educationem disciplinamque conducere videbantur, ambitiosus insumpsi; in eoque solo summam mihi rebar felicitatem positam, si te adultum in extremo vitæ meæ die, rerum mearum statusque hæredem successoremque relinquerem. Sed cum Dei beneficio atque munere pater tuus sim, rursum illi postulanti te offero. Sustine igitur generose viriliterque hanc consecrationem : cedo enim te Deo, qui honore hoc a nobis vult decorari, propter ea quæ mihi benignus custosque præstitit. Abi igitur non communi omnium more mortem obiens, sed a patre proprio, rerum omnium parenti Deo, vice sacrificii præmissus, qui tuum, ea est illius majestas, neque morbo, neque bello, neque ullo alio, quibus genus humanum confici natum est, sed precibus et sacrificio animum excipit. Tum Deum mihi tutorem, senectæque meæ moderatorem, vice tua præstabis. »

Quibus auditis, ita effatus est Isaac : « Sane quidem neque initio dignus judicarer, qui nascerer, si Dei patrisque judicium probaturus non essem, meque promptissime utriusque voluntati commissurus. Sed si vel pater solus hoc tentasset, impium esset non obedire. »

Dum hoc loquitur, ad aram cædemque paratus progressus est. Sed Deus, utriusque prompto alacrique animo perspecto, patri filium donavit [71], ariete loco sacrificii filii commonstrato, quem statim pro Isaac filio suo obtulit.

Primo omnium Abrahæ Dei Verbum, in figura humana apparens [72], gentium vocationem vaticinatum est, quam nostris temporibus in mundum adveniens, opere complevit, per evangelicam illius in omnes gentes doctrinam.

Isaac quadragesimo ætatis anno [73] Rebeccam sibi

παῖδα ἐκ τῆς Σάῤῥας τὸν Ἰσαὰκ ἐγέννησε· καὶ μετὰ τὴν ὀγδόην ἡμέραν αὐτὸν περιέτεμεν, ἐξ οὗ καὶ νῦν τὸ ἔθος τοῦτο οἱ Ἑβραῖοι φυλάττουσι, τῇ ἡμέρᾳ ταύτῃ περιτεμνόμενοι. Ἄραβες γὰρ καὶ οἱ Ἰσμαηλῖται τρισκαιδεκάτῳ περιτέμνονται ἔτει, τοῦ πρωτοτόκου αὐτῶν Ἰσμαὴλ οὕτω περιτμηθέντος.

Πεισθεὶς δὲ ὑπὸ τῆς Σάῤῥας, ὁ Ἀβραὰμ τὸν Ἰσμαὴλ ἀλλαχόσε μετῴκησε, μήποτε μετὰ τὴν αὐτοῦ ἀποβίωσιν, ὡς πρωτότοκος περὶ τῶν πρεσβείων κακουργήσῃ τὸν Ἰσαάκ. Κατέσχον γοῦν τοῦ Ἰσμαὴλ οἱ ἀπόγονοι τὴν ἀπὸ Εὐφράτου καθήκουσαν γῆν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν.

Μετὰ δὲ χρόνον εἰς θυσίαν ὁ Θεὸς τὸν Ἰσαὰκ ἀνενεχθῆναι αὐτῷ προσέταξεν· καὶ ὁ Ἀβραὰμ, μέγιστον καὶ τοῦτο εὐσεβείας σύμβολον ἡγησάμενος, ἀφικνεῖται σὺν πολλῇ προθυμίᾳ ἐπ' ἀκρωρείας τινὸς, καὶ πάντα τὰ πρὸς τὴν θυσίαν εὐτρεπίσας, φάσκει πρὸς τὸν παῖδα αὐτοῦ·

« Ὦ παῖ, μυρίαις εὐχαῖς αἰτησάμενός σε γενέσθαι μοι παρὰ Θεοῦ, ἐπεὶ παρῆλθες εἰς τὸν βίον, οὐκ ἔστιν ὅ τι μὴ περὶ τὴν σὴν ἀνατροφὴν ἐφιλοτιμησάμην, οὐδ' ἐφ' ᾧ μᾶλλον εὐδαιμονήσειν ᾤμην, ὡς ἐπειδή μέ σε ἡνδρωμένον καὶ τελευτῶν διάδοχον ἀρχῆς τῆς ἐμαυτοῦ καταλείποιμι. Ἀλλ' ἐπεὶ Θεοῦ βουλομένου σὸς πατὴρ ἐγενόμην, πάλιν τούτῳ αἰτοῦντι ἀνατίθημί σε. Φέρε οὖν γενναίως τὴν καθιέρωσιν· τῷ Θεῷ γάρ σε παραχωρῶ, ταύτης ἀξώσαντι παρ' ἡμῶν τῆς τιμῆς, ἀνθ' ὧν εὐμενὴς καὶ προστάτης μοι γέγονεν. Ἄπιθι οὖν οὐκ ἀποθανὼν τὸν κοινὸν ἐκ τοῦ ζῆν τρόπον, ἀλλ' ὑπὸ πατρὸς ἰδίου Θεῷ τῷ πάντων πατρὶ νόμῳ θυσίας προπεμπόμενος. Ἄξιον οἶμαί σε κρίναντος αὐτοῦ, μήτε νόσῳ, μήτε πολέμῳ, μήτε ἄλλῳ τινὶ τῶν παθῶν, ἃ συμπίπτειν ἀνθρώποις πέφυκε, μετ' εὐχῶν δὲ καὶ ἱερουργίας ἐκείνου τὴν σὴν ψυχὴν προσδεξαμένου. Ἔσῃ δέ μοι εἰς κηδεμόνα καὶ γηροκόμον τὸν Θεόν μοι ἀντὶ σαυτοῦ παρασχόμενος. »

Τούτων ἀκούσας ὁ Ἰσαὰκ ἔφη πρὸς αὐτόν· « Οὐδὲ τὴν ἀρχὴν γεγονέναι δίκαιος εἶην ἄν, εἰ Θεοῦ καὶ πατρὸς μέλλοιμι κρίσιν ἀπωθεῖσθαι, καὶ μὴ παρέχειν ἐμαυτὸν τοῖς ἀμφοτέρων βουλήμασιν ἑτοίμως. Ἀλλ' εἰ καὶ μόνος ταῦτα ὁ πατὴρ προῃρεῖτο, μὴ ὑπακούειν ἄδικον ἦν. »

Καὶ ταῦτα λέγων ὥρμησεν ἐπὶ τὸν βωμὸν, καὶ τὴν σφαγήν. Ὁ δὲ Θεὸς, τὴν ἑκατέρου προθυμίαν ἀποδεξάμενος, ἐχαρίσατο τῷ πατρὶ τὸν παῖδα, κριὸν ἀντὶ τῆς τοῦ παιδὸς δείξας ὁλοκαυτώσεως· καὶ παραχρῆμα τοῦτον ἀνήνεγκε ἀντὶ Ἰσαὰκ τοῦ παιδὸς αὐτοῦ.

Πρώτῳ δὲ τῷ Ἀβραὰμ ὁ τοῦ Θεοῦ Λόγος ἐπιφανεὶς ἐν σχήματι ἀνθρώπου τὴν τῶν ἐθνῶν κλῆσιν ἐθέσπισεν, ἣν καθ' ἡμᾶς ἐπιδημήσας τῷ κόσμῳ, ἐπὶ πέρας ἤγαγεν διὰ τῆς εἰς πάντα τὰ ἔθνη εὐαγγελικῆς διδασκαλίας αὐτοῦ.

Ἄγων δὲ τεσσαρακοστὸν ἔτος τῆς ἡλικίας ὁ Ἰσαὰκ

[66] *Gen.* xvii, 17. [67] *Gen.* xxi, 2. 4. [68] *Gen.* xvii, 25. [69] *Gen.* xxi, 10. [70] *Gen.* xxii, 1. [71] *Ibid.* 13. [72] *Ibid.* 16. [73] *Gen.* xxv, 20.

Digitized by Google

τὴν Ῥεβέκκαν πρὸς γάμον ἄγεται, ἐξ ἧς δύο παῖδας ἐγέννησεν, Ἡσαῦ καὶ Ἰακώβ.

Καὶ ὁ Ἀβραὰμ, τελευτησάσης Σάῤῥας, τὴν Χεττοῦραν γαμεῖ, καὶ ποιεῖ ἐξ παῖδας ἐξ αὐτῆς, Ζεμβρὰν, Ἰαζὰν, Μαδὴν, Μαδιανὴν, Λουσουβάκον, Σοῦον.

Φύονται δὲ καὶ ἐκ τούτων παῖδες, Σούου μὲν Σαβακάνης, καὶ Δαδάνης, ἐκ δὲ τούτου Λατούσιμος, καὶ Ἄσουρος, καὶ Λούοβος· Μαδάμου δὲ Ἠθὰ, Θωφρῆς, Ἀμωχος, Ἔβιδος, Ἔλδος. Καὶ τούτοις ἅπασιν Ἀβραὰμ ἀπὸ κοιλίας ἐπενόησεν, οἵτινες τὴν Τρογλωδύτην, καὶ τὰ μέρη τῆς Εὐδαίμονος Ἀραβίας, καὶ ὅσον ἐπὶ τὴν Ἐρυθρὰν καθήκει θάλασσαν, κατέλαβον. Καὶ ἀπὸ μὲν Ἀσοὺρ Ἀσσυρία ἐκλήθη· Σωφρὴν δὲ, ἐπὶ Λιβύην στρατεύσας, κατέσχεν αὐτὴν, καὶ οἱ ἀπόγονοι αὐτοῦ, τουτέστιν οἱ υἱωνοὶ κατοικοῦντες αὐτὴν, ἀπὸ τοῦ ὀνόματος αὐτοῦ τὴν χώραν Ἀφρικὴν προσηγόρευσαν, οἵτινες Ἡρακλεῖ συνεμάχησαν ἐπὶ Ἀνταῖον τὸν γηγενῆ στρατεύσαντι. Τοῦ δὲ Οὐαφρῆ θυγατέρα ἄγεται Ἡρακλῆς, ἐξ ἧς Βόδωρσον παῖδα ἐποίησε, ὅστις ἐγέννησεν υἱὸν Σωφονὰ, ἐξ οὗ τοὺς βαρβάρους Σωφονὰς λέγουσιν.

Ὁ δὲ Ἀβραὰμ, βιώσας ἔτη ροε', ἀπέθανεν. Ἰακὼβ, παραρπάσας τὴν εὐλογίαν τοῦ Ἡσαῦ, εἰς τὴν Μεσοποταμίαν παρεγένετο πρὸς Λάβαν ἀδελφὸν τῆς μητρὸς αὐτοῦ, καὶ δουλεύσας αὐτῷ ἔτη ιδ' τὰς δύο θυγατέρας αὐτοῦ ἄγεται, τὴν Λείαν καὶ τὴν Ῥαχὴλ, ἧς μᾶλλον εἰς ἐπιθυμίαν ἦλθεν. Ἐπεθύμησε δὲ αὐτὴν οὐ τῷ κάλλει ἡττώμενος, (ἐπειδὴ καθὼς γέγραπται, Ῥαχὴλ ἦν καλὴ τῷ εἴδει, καὶ ὡραία τῇ ὄψει σφόδρα·) ἀλλ' ὅτι, πρώτην αὐτὴν ἰδὼν, ὡς ἂν ἐκ θείας οἰκονομίας συναντήσασαν, ἠσπάσατό τε, καὶ ἠγάπησεν, εἰδὼς ὅτι τὸ θαῦμα τοῦτο, καὶ ἐπὶ τῆς μητρὸς αὐτοῦ Ῥεβέκκας γεγένηται, ὅτε, τοῦ παιδὸς Ἀβραὰμ εὐξαμένου, συνήντησεν αὐτῷ τὰ κατ' εὐχὰς, καὶ τὰ προηργμένα αὐτῷ δι' ἔργων ἐπληρώθη.

Τίκτονται δὲ παῖδες ἐκ τῆς Λείας ἐξ αὐτῷ· Ῥουβὴν, Συμεὼν, Λευὶ, Ἰούδας, Ἰσσάχαρ, Ζαβουλών· ἐκ τῆς Ῥαχὴλ δὲ Ἰωσὴφ καὶ Βενιαμίν· ἐκ δὲ τῆς παιδίσκης Ῥαχὴλ τῆς Βάλλης, Δὰν καὶ Νεφθαλείμ· ἐκ δὲ τῆς παιδίσκης Λείας ὀνόματι Σελφὰς, Γὰδ καὶ Ἀσήρ. Τὸ δὲ Σύρων γένος ἐκ τοῦ Ἡσαῦ συνέστηκεν, οἳ καὶ Ἰδουμαῖοι ἐκαλοῦντο, τοῦ πρὶν Ἰδουμαίου τοῦ Ἡσαῦ ἐπικληθέντος, διὰ τὸ ξανθῆς ἐπιθυμῆσαι αὐτὸν φακῆς· Ἰδουμὰ γὰρ οἱ Ἑβραῖοι τὸ ξανθὸν λέγουσι. Ὕστερον δὲ Σύροι μετωνομάσθησαν, Σύρου τινὸς ὀνόματι τοῦ ἔθνους αὐτῶν κρατήσαντος. Ὁ δὲ Ἡσαῦ γυναῖκας τρεῖς ἀπὸ τῶν Χαναναίων πρὸς γάμον ἄγεται, τὴν Ἀδὰ θυγατέρα Ἐλὼμ τοῦ Χετταίου, καὶ τὴν Ἐλιβεμὰν θυγατέρα Ἐνὰν τοῦ Ἑβραίου, καὶ τὴν Βασεμμὰθ θυγατέρα Ἰσμαὴλ, ἀδελφὴν δὲ Ναβεώθ. Καὶ ἐκ μὲν τῆς (1) Ἀδὰς τὴν Ἐλιφὰζ, ἐκ δὲ τῆς Βασεμμὰθ τὸν Ῥαγουὴλ, καὶ ἐκ τῆς Ἐλιβεμὰν τὸν Ἰεοὺλ, καὶ τὸν Ἰεγλὸμ, καὶ τὸν Κορὲ ἐγέννησε. Τούτους ἐν τῇ τῶν Χαναναίων ποιήσας γῇ, εἰς Σηεὶρ ὄρος μετῴκησε, διὰ τὸ μὴ δύνασθαι τοῦ ἀδελφοῦ αὐτοῦ Ἰακὼβ ἐκ

matrimonio conjunxit[74], ex qua duos suscepit filios, Esau et Jacob[75].

Et Abraham, mortua Sarra, Chetturam duxit uxorem[76], et ex ea sex habuit liberos : Zembran, Azan, Maden, Madianen, Lusubacum, Suum.

Et ex his filii, Suo Sabacanes, et Dadanes ; et ex hoc Latusimus et Asurus, et Luobus. Madamo, Hetha, Tophres, Amochus, Ebidus, Eldus, quibus omnibus, Abraham, antequam nascerentur, providit, quique Troglodytem, partesque Felicis Arabiæ, omneque quod usque ad mare Rubrum protenditur, tenuerunt, et ex Asur Assyriæ nomen est. Sophren in Libyam, copiis ductis, eam occupavit, et posteri illius nepotes scilicet illius habitatores, ex ejus nomine provinciam Africam vocavere. Hi Herculi terrigeno Antæo bellum inferenti auxilio succurrere. Vaphræ filiam sibi matrimonio copulat Hercules, ex qua Bodorum filium suscepit, qui filium genuit Sophonam, ex quo barbaros Sophonas vocant.

Abraham, CLXXV annis peractis, e vita decessit[77]. Jacob, Esau benedictione prærepta[78], in Mesopotamiam migravit ad Laban matris suæ fratrem[79], cui cum quatuordecim annis ministrasset, duas illius filias duxit, Liam et Rachel[80], quam et ardentiori amore prosecutus est. Illius autem desiderio exarsit, non pulchritudini succumbens, etsi Litteris proditum sit Rachelem pulchram specie et decoram facie fuisse, sed quod simul atque illam inspexit, veluti divina dispositione sibi obviam prodeuntem benigne salutaverit[81] impensiusque dilexerit ; mirum hoc, et Rebeccæ matri usu venisse comperiens, cum servus Abrahæ, precibus effusis[82], in votis illi occurrit Deus, propositaque opere complevit.

Nascuntur porro Jacob ex Lia filii sex : Ruben, Simeon, Levi, Judas, Issachar, Zabulon ; ex Rachele, Joseph et Benjamin ; ex famula Rachelis Balla, Dan et Nephthalim ; ex famula Liæ, Zelpha, Gad et Asser[83]. Syrorum nationis Esau fuit auctor, qui et Idumæi dicebantur cum primum Esau nomen Idumæus fuisset, propterea quod flavam lentem concupierit. Iduma namque *flavum* Judæi nominant. Tandemque Syrorum nomen obtinuere, postquam illi nationi Syrus quidam nomine præfuit. Esau ex Chananæis tres duxit uxores[84], Adda Elom Chettæi, Elibeman Enan Hebræi, et Basemmath, Ismaelis filiam, sororemque Nabeoth, et ex Adda Eliphat filiam, ex Basemmath Rangel ; ex Elibeman Jeul, Jeglom atque Core habuit. His apud Chananæos habitis, in Seir montem habitandi causa migravit[85] ; neque enim poterat Jacobo fratre, ex Mesopotamia reverso, una habitare propter rerum quarum potiebantur multitudinem, ubi cum alium filium procreasset, sua appellatione, Edom

[74] *Gen.* XXIV, 67. [75] *Gen.* XXV, 25. [76] *Ibid.* 1. [77] *Gen* XXV, 7, 8. [78] *Gen.* XXVII, 27. [79] *Gen.* XXVIII, 5. [80] *Gen.*, XXIX, 23, 28. [81] *Ibid.* 9. [82] *Gen.* XXIV, 15. [83] *Gen.* XXIX, XXX. [84] *Gen.* XXXVI. [85] *Ibid.*

(1) LXX scribunt τόν.

Digitized by Google

insignivit. Nati sunt et filiis illius filii legitimi [86], Eliphas quinque, Theman, Hymar, Sophar, Gomoth, Cenex, inter quos et spurius annumeratur Amalec, quem e pellice Thamna susceperat; Ragueli: et ipsi quatuor filii nati sunt Namin, Zares, Some, Rhoze; Edom undecim: Thamma, Gola, Iothom, Ælibæman, Jolas, Phinon, Cenyx, Theman, Mazari, Maediel, Zephonem. Seir Chorræo [87], qui regionem Lotam habitavit, filii quinque nati sunt: Sobal, Sebegon, Anadeson, Aser, Resom; et Lotan duo, Chorri, Emam; Thamna vero soror erat Lotan, quæ Eliphazo Amalec genuit. Sobal filius Seir quinque filios habuit, Odomnam, Nachath, Gebeel, Soph, Omnan; et Osebegon duos, Ædi et Ænan, qui in Jamin jumenta patris sui Sebegon pascentem incidit. Ænam vero Deson, et Elibama filiam habuit. Deson Amadan, Asbam, Gethran et Charran; Aser quartus Seir filius quatuor, Balan, Zuccan, Joycan, Ucam; quintus autem filius Seir Oresom, Ossaran.

Verum antequam reges crearentur in Israel, hi regnarunt in Edom [88]: Balac filius Beor, et nomen illius civitatis Denaba; huic successit Jobab filius Sarra ex Bossyra, postquam Asom ex Themanon, post quem Adad filius Barad, qui in campo Moab excidit Madiam, et nomen civitatis illius Getthem, post hunc Samalac ex Masecca; post quem Saul ex Roboth, quæ est prope flumen; post quem Balaennon filius Abochor, cui erat uxor nomine Metebeel filia Matrad, filii Mezooph, horum omnium anni computantur numero D. Filii vero Jacob fratris Joseph laudi gloriæque invidentes [89], eum vendunt Ismaelitis, et ipsi in Ægypto Petephrin, coquorum principi [90].

Eadem tempestate Judas ad Iram quemdam Odollamitem accedit, ibique mulierem Chananæam, cui nomen erat Saba, inspectam duxit uxorem, et ex ea quatuor suscepit liberos: Her, Aunan, Selom, Phares; et Judas Her suo primogenito matrimonio copulat Thamar, qui propter morum eximiam improbitatem, sine filiis occidit, Deo illum ad mortem trudente; et Judas Onan secundo filio, ut una cum Thamar concumberet, imponit ad fratris sui semen excitandum. Sed Onan cum liberorum procreationem ad se non pertinere cognovisset, ubi cum muliere res erat habenda, semen super terram effundebat; quare Deus alienatus et offensus eum morti tradidit. Et Judas Thamar in paternis domibus, ut vidua sederet, donec Selom cresceret præcipit, quem auctum, et adultum, timore ductus, atque suspicione, ne et is interiret, nullum cum Thamar conjunxit; quæ ægre hoc molesteque ferens, hac ratione Judæ vicem rependit. Etenim cum illum ad oves tondendas profectum esse fama ac-

A τῆς Μεσοποταμίας ἐπανελθόντος ὁμοσκηνεῖν διὰ τὸ πλῆθος τῶν ὑπαρχόντων αὐτοῖς. Ποιήσας οὖν κἀκεῖθεν παῖδα, ἐκ τῆς ἑαυτοῦ ἐπωνυμίας Ἐδὼμ αὐτὸν ἐπωνόμασε. Ἐγένοντο δὲ καὶ τοῖς υἱοῖς αὐτοῦ παῖδες γνήσιοι, τῷ μὲν Ἐλιφὰς πέντε, Θεμὰν, Ὑμὰρ, Σωφὰρ, Γομὸθ, Κενὲξ, ἐν οἷς ἦν καὶ νόθος, τεχθεὶς αὐτῷ Ἀμαλὴκ ἐκ παλλακίδος Θαμνᾶς ὀνόματι· τῷ δὲ Ῥαγουὴλ καὶ αὐτῷ τέσσαρες παῖδες ἐτέχθησαν, Ναμὶν, Ζαρὲς, Σομὲ, Ῥοζέ· καὶ Ἐδὼμ ἑνδεκα, Θαμμὰ, Γωλὰ, Ἰοθὸμ, Αἰλιεβαιμὰν, Ἰήλας, Φίνων, Κενὺξ, Θεμὰν, Μαζαριὲλ, Μαεδιὴλ, Ζεφονήν. Τῷ δὲ Σηειρ τῷ Χωρραίῳ τῷ τὴν γῆν τοῦ Λωτὰν κατοικήσαντι υἱοὶ πέντε ἐγένοντο, Σώβαλ, Σεβεγὼν, Ἀναδησὼν, Ἀσὴρ, Ῥησών· καὶ τῷ Λωτὰν δύο, Χωρρὲι, Ἐμάν. Ἡ δὲ Θαμνὰ ἀδελφὴ τοῦ Λωτὰν ἐτύγχανεν, ἥτις τὸν Ἀμαλὴκ τῷ Ἐλιφὰζ ἐγέννησεν. Ὁ δὲ Σωβὰλ ὁ υἱὸς τοῦ Σηειρ πέντε παῖδας ἐποίησεν, Ὑδομνὰν, Ναχὰθ, Γεβεὴλ, Σὼφ, Ὠμνᾶν· καὶ Ὑσεβεγὼν δύο, Αἰδεὶ καὶ Αἰνὰν, ὅστις εὗρεν ἐν τῇ ἐρήμῳ τὸν Ἀμὶν τὰ ὑποζύγια νέμοντα τοῦ πατρὸς αὐτοῦ Σεβεγών. Αἰνὰν δὲ τὸν Δησὼν καὶ Ἐλιβαμὰ θυγατέρα ἐγέννησεν· ὁ δὲ Δησὼν τὸν Ἀμαδὰν, καὶ Ἀσβὰν, καὶ Γεθρὰν, καὶ Χαρράν. Ὁ δὲ Ἀσὴρ ὁ τέταρτος υἱὸς τοῦ Σηειρ, τέσσαρας παῖδας ἐγέννησεν, Βαλὰμ, Ζουκὰμ, Ἰουκὰμ, Οὐκάμ· ὁ δὲ πέμπτος υἱὸς τοῦ Σηειρ Ὀρήσων τὸν Ὠσσαράν.

B

Πρὸ δὲ τοῦ βασιλεῦσαι βασιλέας ἐν Ἰσραὴλ, τῆς Ἐδὼμ οὗτοι οἱ βασιλεῖς ἐβασίλευσαν· Βαλὰκ υἱὸς Βεὼρ καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενάβα, μεθ' ὃν Ἰωβὰβ υἱὸς Ζαρρὰ ὁ ἐκ Βοσσύρας, μεθ' ὃν Ἀζὸμ ὁ ἐκ γῆς Θεμανὼν, μεθ' ὃν Ἀδὰδ, υἱὸς Βαρὰδ, ὅστις ἐν τῷ πεδίῳ Μωὰβ ἐξέκοψε τὴν Μαδιὰμ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γετθέμ· μετὰ δὲ τοῦτον Σαμαλὰκ ὁ ἐκ Μασέκκας, μεθ' ὃν Σαοὺλ ὁ ἐκ Ῥοβὼθ τῆς παρὰ τὸν ποταμὸν, μεθ' ὃν Βαλαεννὼν υἱὸς Ἀβοχὼρ ἔχων γυναῖκα ὀνόματι Μετεβεὴλ, θυγατέρα Ματρὰδ, υἱοῦ Μεζοὼφ, οἳ πάντες ἦσαν ἔτη ἀριθμὸν φ'. Οἱ δὲ υἱοὶ Ἰακὼβ, τὸν ἀδελφὸν αὐτῶν Ἰωσὴφ φθόνῳ μισήσαντες, τοῖς Ἰσμαηλίταις ἀπέδοντο. καὶ αὐτοὶ εἰς Αἴγυπτον τῷ Πετεφρῇ τῷ ἀρχιμαγείρῳ Φαραώ.

C

Καὶ ἐν τῷ χρόνῳ τούτῳ Ἰούδας ἀφικνεῖται πρὸς Ἰράν τινα Ὀδολλαμίτην· καὶ θεασάμενος ἐκεῖ Χαναναίαν γυναῖκα Σάβαν ὀνόματι, ταύτην πρὸς γάμον ἄγεται, καὶ ποιεῖ παῖδας ἐξ αὐτῆς τέσσαρας, Ἦρ, Αὐνὰν, Σηλὼμ, Φαρές. Καὶ Ἰούδας λαμβάνει τῷ πρωτοτόκῳ αὐτοῦ υἱῷ τῷ Ἦρ γυναῖκα ὀνόματι Θάμαρ, καὶ διὰ πονηρίαν πολλὴν τῶν τρόπων αὐτοῦ ἅπαις ἀποθνήσκει, τοῦ Θεοῦ αὐτὸν θανατώσαντος.

D

Καὶ ἐπιτρέπει ὁ Ἰούδας τῷ δευτέρῳ αὐτοῦ παιδὶ Αὐνὰν συνευνασθῆναι τῇ Θάμαρ, ὥστε ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. Καὶ ὁ Αὐνὰν γνοὺς, ὅτι οὐκ αὐτῷ καθῆκεν ἡ τῶν τέκνων σπορὰ, ἐν τῷ μέλλειν συνεῖναι τῇ γυναικὶ ἐξέχεεν ἐπὶ τῆς γῆς αὐτοῦ τὴν γονήν· καὶ νεμεσηθεὶς ἐπὶ τοῦτο ὑπὸ Θεοῦ, παραχρῆμα ἀπέθανεν. Καὶ ὁ Ἰούδας κελεύει τὴν Θάμαρ ἐν τοῖς πατρῴοις οἴκοις χήραν καθέζεσθαι, ἕως οὗ ὁ Σηλὼμ αὔξεται. Ἀνδρωθέντος οὖν αὐτοῦ ἐφοβήθη συνάψαι αὐτὸν τῇ Θάμαρ, ὑποτοπήσας μὴ καὶ οὗτος ἀπολεῖται. Ἡ δὲ ἐπὶ τούτῳ ἀχθεῖσα ὀδυνηρῶς, τοιῷδε τρόπῳ τὸν Ἰούδαν ἀμείβεται. Ἀφιχθέντος οὖν αὐτοῦ

[86] *Gen.* XXXVI. [87] *Ibid.* [88] *Gen.* XXXVI. [89] *Gen.* XXXVII. [90] *Gen.* XXXIX.

Digitized by Google

ἐπὶ τὴν κουρὰν τῶν προβάτων, ἀκούσασα αὐτὴ ἀπαμφίσκεται μὲν τὴν ἐσθῆτα τὴν πενθικὴν, ἀμφιέννυται δὲ πολυτελῆ, καὶ πρὸς ταῖς πύλαις τῆς πόλεως Αἰνὰν ἐκαθέζετο, ἣν ὁ Ἰούδας ἐκεῖθεν παριὼν θεασάμενος, ὡς ἑταίρας ἠράσθη αὐτῆς· τὸ γὰρ πρόσωπον αὐτῆς πρὸς τὸ μὴ ἐπιγνωσθῆναι ἐπεκάλυψε, καὶ ὑποσχόμενος αὐτῇ ἔριφον ἀποστεῖλαι, ἠξίου συμμιγῆναι αὐτῇ. Ἡ δὲ οὐ πρότερον εἶχεν, εἰ μὴ ἐνέχυρον τὸν δακτύλιον, καὶ τὸν ὁρμίσκον, καὶ τὴν βακτηρίαν εἴληφεν. Ὡς δὲ συνεμίγη αὐτῇ, αὐτὸς μὲν εἰς τὰ ποίμνια αὐτοῦ ἀφίκετο· ἡ δὲ μεταμφιεσαμένη πάλιν τὰ τῆς χήρας ἐνδύματα, ἐκρύπτετο λανθάνουσα. Ὡς δ' ἀποστείλας ὁ Ἰούδας τὸν ἔριφον ἐπεζήτει τὸν ὁρμίσκον καὶ τὰ ἐξῆς, καὶ οὐχ εὗρεν, ἐπὶ τῷ παραλογισμῷ διεπρίετο μέντοι, ἐκαρτέρει δὲ φωρᾶσαι παντοίως τὴν ἀπάτην βουλόμενος. Χρόνου οὖν παρελθόντος ἔγγυος ἡ Θάμαρ γίνεται, καὶ ἀκούσας ὁ Ἰούδας, ὅτι ἐκ πορνείας συνείληφε, προστάττει ζῶσαν αὐτὴν καταφλεχθῆναι. Ἡ δὲ ἀγομένη ἀποστέλλει τῷ Ἰούδᾳ τὸν ὁρμίσκον, καὶ τὸν δακτύλιον, καὶ τὴν ῥάβδον, φάσκουσα· Ἐκ τοῦ ἀνθρώπου, οὗτινος ταῦτά ἐστι, ἐγὼ συνείληφα. Ἐπίγνωθι οὖν τίνος ὁ δακτύλιος, καὶ ὁ ὁρμίσκος, καὶ ἡ ῥάβδος. Ὁ δὲ Ἰούδας, σχετλιάσας ἐπὶ τῷ πράγματι, καὶ ἕνθους γενόμενος, αὐτὸς ἑαυτὸν ἐπὶ τῇ ἀδικίᾳ κατεμέμφετο, λέγων· Δεδικαίωται αὕτη, ἢ ἐγὼ, οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου.

A cepisset, vestem lugubrem exuit amicitúrque magnifice, et splendide, seditque ad fores civitatis Ænan [91], quam Judas inde præteriens conspectam, uti meretricem deperiit, vultum enim, ne cognosceretur, obduxerat, seque hædum missurum pollicitus, eam ut sibi conjungeretur percunctabatur; illa abnuere, nisi annulus, catella baculusque pignus ab eo sibi daretur; ut rem habuit, ipse quidem ad greges abiit; illa iterum viduæ vestimentis amicta, in occulto latebat abdita. At Judas ut misso hædo, catellam reliquaque pignora reposcens, non invenit, variis cogitationibus afflictabatur, sustinebat tamen omnino, fraudationem deprehendere studens. Itaque non post multum tempus Thamar gravida comperitur, Judasque eam fornicatam con- B cepisse cum audisset, jubet, ut vivens conflagrata, incendio concidat; quæ cum duceretur, Judæ, catellam, baculum annulumque remittit, dicens: Ex homine cujus hæc sunt, ego concepi, cujusnam igitur annulus, catella baculusque sunt, nosce. His Judas animo indoluit, Numineque afflatus, semet de injustitia accusando, hæc aiebat: Justior est me: propterea quod non dedi eam Selom filio meo.

Αὕτη δὲ, γενομένη ἐπίτεξ, διδύμους ἐν τῷ τίκτειν προσήνεγκεν. Καὶ ὁ μὲν μείζων, τουτέστιν ὁ πρῶτος τὴν χεῖρα αὐτοῦ προεξέβαλε, καὶ ἡ μαῖα λῶμα κόκκινον τῇ χειρὶ αὐτοῦ προσέδησε, φάσκουσα· Οὗτος ἐξελεύσεται πρῶτος· καὶ εὐθέως τὸ παιδίον τὴν χεῖρα ἔνδον συνήγαγε, καὶ ἐξῆλθε πρῶτος ὁ ἀδελφὸς αὐτοῦ καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Φαρές· καὶ μετὰ τοῦτον ἐξῆλθεν ὁ ἀδελφὸς, ἐφ' ᾧ ἦν τὸ κόκκινον ἐν τῇ χειρὶ, καὶ ἐπωνομάσθη Ζαρά. Τούτων ἐτύγχανεν ὁ Ἰωσὴφ ἀπόγονος ὁ μνήστωρ τῆς ἀχράντου Μαρίας, ἐξ ἧς ὁ Χριστὸς τὸ σαρκίον ἀνείληφεν.

Sed Thamar jam parturiens, duos in partu protulit [92], quorum major, primus scilicet manum emisit, obstetrixque eam fimbria purpurea illigavit, dicens: Hic primus egreditur, subitoque puer manus C intus contraxit, primusque frater ejus exivit, et vocatus est Phares; post quem alius egressus est, cui manus purpura erat illigata, et cognominatus est Zara. Ab his habet ortum Joseph sponsus immaculatæ Virginis, ex qua Christus carnem suscepit.

Φαρὲς γὰρ, ὡς ὁ εὐαγγελιστὴς Ματθαῖος ἱστορεῖ, *ἐγέννησε τὸν Ἐσρὼμ, Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀρὰμ, Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδὰβ, Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσὼν, Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμὼν, Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ, Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ, Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαὶ, Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαυὶδ τὸν βασιλέα· Δαυὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου, Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοὰμ, Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιὰ, Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσὰ, Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωρὰμ, Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν, Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ, Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἐζεκίαν, Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμμὼν, Ἀμμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν, Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος· μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιὴλ, Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ, Ζοροβάβελ δὲ ἐγέννησε*

Phares enim, ut evangelista refert Matthæus [93], *genuit Esrom, Esrom autem genuit Aram, Aram autem genuit Aminadab, Aminadab autem genuit Naasson, Naasson autem genuit Salmon, Salmon autem genuit Booz, Booz autem genuit Obed ex Ruth, Obed autem genuit Jesse, Jesse autem genuit David regem, David autem rex genuit Salomonem, ex ea quæ* D *fuit Uriæ, Salomon autem genuit Roboam, Roboam autem genuit Abiam, Abias autem genuit Asam, Asa autem genuit Josaphat, Josaphat autem genuit Joram, Joram autem genuit Oziam, Ozias autem genuit Joatham, Joatham autem genuit Ezechiam, Ezechias autem genuit Manassem, Manasses autem genuit Ammon, Ammon autem genuit Josiam, Josias autem genuit Jechoniam, et fratres ejus in transmigratione Babylonis, et post transmigrationem Babylonis, Jechonias genuit Salathiel, Salathiel autem genuit Zorobabel, Zorobabel autem genuit Abiud, Abiud autem genuit Eliachim, Eliachim autem genuit Azor, Azor autem genuit Sadoc, Sadoc autem genuit Achim, Achim autem genuit Eliud, Eliud autem genuit Eleazar, Elea-*

[91] *Gen.* XXXVI. [92] *Gen.* XXXVIII. [93] *Matth.* I.

Digitized by Google

zar autem genuit Matthan, Matthan autem genuit Jacob, Jacob autem genuit Joseph virum Mariæ, ex qua natus est Jesus, qui dicitur Christus. Omnes itaque generationes ab Abraham usque ad David generationes quatuordecim, et a David usque ad transmigrationem Babylonis generationes quatuordecim, et a transmigratione Babylonis usque ad Christum, generationes quatuordecim.

τὸν Ἀβιοὺδ, Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ, Ἐλιακείμ δὲ ἐγέννησε τὸν Ἀζὼρ, Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδὼκ, Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ, Ἀχείμ δὲ ἐγέννησε τὸν Ἐλιοὺδ, Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθὰν, Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακὼβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες.

Inquirendum autem nobis est, quanam ratione Matthæus et Lucas in genealogia Joseph tradenda discrepant; hic quidem filium illum Jacob, filii Matthan perhibens, Lucas vero filium Heli, filii Melchi, et quomodo Melchi, et Matthan, cum sint diversi generis, avi Josephi comperiuntur.

Ita dubitatio hæc tollenda. Primus enim Matthan a Salomone oriundus, Æthan habuit in matrimonio, ex hac gignitur Jacob, et moritur, eamque ducit Melchi ex genere Matthan, suscipitque ex ea Heli. Itaque Matthan et Melchi, eadem uxore ducta, duos ex eadem matre, fratres filios habuerunt, quare duplici genere Jacob, et Heli oriundos comperimus. Heli porro uxore ducta, sine filiis obiit, et frater ejus Jacob eam sibi conjunxit, ut secundum legem filios fratri excitaret, nasciturque ex ea Josephus. Ita ut natura quidem Josephus filius sit Jacobi, lege Heli.

Digna certe est quæ percurratur historia, quam Jacobus quidam recenset de beata Virgine, hisce verbis enarrans; ait namque in tribubus Israel, virum fuisse opulentum nomine Joachim, qui diebus festis munera Deo duplo majora aliis offerebat, ut sic populo omni, sibique divinum Numen placando propitium redderet. Jam celeberrimo die festo appropinquante, omnibusque, ut moris erat, munerum magnificentia donantibus, primus hic ut primus deferret, accurrit. Sed Rubin quidam eum remoratus est, non licere ipsi primum offerre affirmans, qui in Israel adhuc sine prole degebat. Hinc mœrore obrutus, deserta petit, ibique tabernaculo exstructo supplicibus votis Deum orabat, ut et sibi, quemadmodum Abrahæ, legitimæ prolis concederet fecunditatem; solum enim hoc se dono in Israel carere cognoscebat, et sic in quadraginta dierum jejunio Deum deprecabatur. Similiter et ejus uxor, vestitu inculto, et horrido tecta, prolem a Deo precibus poscebat. Sed cum magna dies Domini venisset, veste se pretiosa ornavit; nefas enim erat illo die luctuoso habitu vestiri.

Circa igitur horam diei nonam sub arbore in viridario suo sedens, his verbis Deum obsecrabat: « Deus patrum nostrorum, benedic mihi et exaudi orationem meam, sicut benedixisti vulvæ Sarræ, et dedisti filium illi Isaac. » Hæc cum diceret, in propinquam arborem aspectum referendo, aspexit passerem pullis suis incubantem; hinc

Ζητητέον δὲ ἡμῖν κατὰ ποῖον λόγον ὁ Ματθαῖος καὶ ὁ Λουκᾶς ἐν τῇ γενεαλογίᾳ διαφωνοῦσι τοῦ Ἰωσήφ· ὁ μὲν υἱὸν Ἰακὼβ γράφων αὐτὸν υἱοῦ Ματθὰν, ὁ δὲ Λουκᾶς υἱὸν Ἡλεὶ τοῦ Μελχεί· καὶ πῶς οὗτοι, διαφόρων γενῶν ὑπάρχοντες, ὅ τε Μελχεὶ καὶ ὁ Ματθὰν, πάπποι τοῦ Ἰωσὴφ ἀναφαίνονται.

Ἔστιν οὖν τοῦτο σαφηνιζόμενον. Πρῶτος γὰρ Ματθὰν, ὁ ἐκ γένους Σολομῶντος, ἄγεται γυναῖκα Ἀἰθὰν ὀνόματι, καὶ ἐκ ταύτης γεννᾷ τὸν Ἰακὼβ, καὶ ἀποθνήσκει. Καὶ ἄγεται αὐτὴν ὁ Μελχεὶ ὁ ἐκ γένους Ματθὰν, ἐκποιεῖ ἐξ αὐτῆς τὸν Ἡλεί. Καὶ δὴ οὖν ὅ τε Ματθὰν καὶ ὁ Μελχεὶ, τὴν αὐτὴν ἀγαγόμενοι γυναῖκα, δύο ὁμομητρίους ἐπαιδοποιήσαντο ἀδελφοὺς, διὸ καὶ ἐκ διαφόρων δύο γενῶν εὑρίσκομεν τὸν Ἰακὼβ καὶ τὸν Ἡλεί. Ἡλεὶ δὲ, λαβὼν γυναῖκα, ἄπαις ἐτελεύτησε, καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰακὼβ ἔλαβε τὴν γυναῖκα αὐτοῦ, ὅπως κατὰ τὸν νόμον ἐγείρῃ τέκνα τῷ ἀδελφῷ, καὶ γεννᾷ ἐξ αὐτῆς τὸν Ἰωσήφ. Ὥστε οὖν κατὰ φύσιν μὲν ἦν υἱὸς τοῦ Ἰακὼβ ὁ Ἰωσὴφ, κατὰ νόμον δὲ τοῦ Ἡλεί.

Ἄξιον δὲ καὶ τὴν ἱστορίαν, ἣν διέξεισι περὶ τῆς ἁγίας Μαρίας Ἰάκωβός τις, ἐπελθεῖν. Φάσκει γὰρ, ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἄνδρα πλούσιον γεγενῆσθαι ὀνόματι Ἰωακεὶμ, ὃς καθ' ἑορτὴν διπλάσιον τῶν ἄλλων δῶρα τῷ Θεῷ προσεκόμιζεν, οὕτω λέγων· Τὸ τῆς περιουσίας ἐν παντὶ τῷ λαῷ, καὶ τὸ τῆς ἀφέσεως εἰς ἱλασμὸν ἐμοὶ Κυρίῳ τῷ Θεῷ. Ἐνστάσης οὖν τῆς μεγίστης τοῦ Κυρίου ἑορτῆς, καὶ πάντων κατὰ τὸ εἰωθὸς τὰ δῶρα τῷ Θεῷ προσκομιζόντων, προσενεγκεῖν πρῶτος αὐτὸς ὥρμησεν. Καὶ Ῥουβίν τις διεκώλυσεν αὐτὸν προσοῖσαι πρῶτον, λέγων, μὴ ἐξεῖναι αὐτῷ, καθότι ἄτεκνος ἐν τῷ Ἰσραὴλ καθέστηκε. Καὶ λυπηθεὶς ἐπὶ τοῦτο, εἰς τὴν ἔρημον ἀφίκετο, κἀκεῖ πήξας σκηνὴν ἱκέτευε τὸν Θεὸν παρασχεῖν καὶ αὐτῷ, ὥσπερ τῷ Ἀβραὰμ γνησίου παιδὸς σποράν· μόνον γὰρ ἐγνώκει ἑαυτὸν ὑπάρχειν ἐν τῷ Ἰσραήλ· ἄχρις ἡμερῶν νηστεύων τεσσαράκοντα ἱκέτευε τὸν Θεόν. Ὁμοίως δὲ καὶ ἡ ὁμόζυγος αὐτοῦ, περιθεμένη ἐσθῆτα εὐτελῆ, ἐδεῖτο τοῦ Θεοῦ τυχεῖν γονῆς. Ἐπιστάσης δὲ τῆς μεγίστης ἡμέρας τοῦ Θεοῦ, λαμπρὰν στολὴν ἀμφιέννυται· οὐ γὰρ ἦν θεμιτὸν ἐν ταύτῃ τῇ ἑορτῇ πένθιμον ἡμφιέσθαι στολήν.

Περὶ γοῦν τὴν ἐννάτην ὥραν τῆς ἡμέρας ὑπό τι δένδρον ἐν τῷ παραδείσῳ αὐτῆς καθεσθεῖσα, ἱκέτευε λέγουσα τῷ Θεῷ· « Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, εὐλόγησόν με, καὶ ἐπάκουσον τῆς δεήσεώς μου, καθὼς εὐλόγησας τὴν μήτραν Σάρρας, καὶ ἔδωκας αὐτῇ υἱὸν τὸν Ἰσαάκ. » Καὶ ταῦτα λέγουσα ἀφορᾷ εἰς τὸ δένδρον, καὶ θεασαμένη στρουθὸν τὰ νεοσσία ἑαυτοῦ πε-

Digitized by Google

ριέποντα, πικρῶς στενάξασα, καὶ κωκύσασα εἶπε· A amare repetito suspirio, ejulansque dixit : « Heu, « Ὢ δή, Κύριε, ὅτι οὐδὲ τοῖς πετεινοῖς τούτοις ὡμοίωμαι γονίμοις ὑπάρχουσι! » Καὶ ταῦτα βοώσης αὐτῆς πρὸς τὸν Θεὸν, ἄγγελος Κυρίου ἐπιφανεὶς αὐτῇ εὐαγγελίζεται αὐτῇ παιδοποιΐαν. Ἡ δὲ ἀκούσασα εὐθὺς τὸ γεννηθὲν ἀναθεῖναι τῷ Θεῷ ἐπηγγείλατο.

Domine, quando nec hisce volucribus fecundis assimilor! » Et talia dicenti, angelus Domini apparens, liberorum prænuntiat susceptionem, quibus auditis gignendum illico Deo offerendum promisit.

Τοιαῦτα δὲ καὶ τῷ Ἰωακεὶμ ὁ ἄγγελος ἐν τῷ ὄρει διεσήμανε. Καὶ καταβὰς Ἰωακεὶμ ἀπὸ τοῦ ὄρους, δέκα ἀμνάδων θυσίαν τῷ Κυρίῳ προσήνεγκε, καὶ τοῖς ἱερεῦσι μόσχους δεκαδύο, καὶ τῇ γερουσίᾳ καὶ παντὶ τῷ λαῷ ἑκατὸν χιμάρους. Καὶ ἐπιτελέσας τὰς θυσίας ταύτας ἐν τῷ ναῷ τοῦ Θεοῦ, ἀφικνεῖται εἰς τὸν οἶκον αὐτοῦ· καὶ γνοὺς τὴν γυναῖκα σὺτοῦ, ποιεῖ ἐξ αὐτῆς θυγατέρα, καὶ ὀνομάζει αὐτὴν Μαριὰμ, ἥντινα τριετῆ γενομένην τῷ ναῷ τοῦ Θεοῦ ἀφιέρωσαν.

Hæc eadem in monte Joachim angelus manifestavit; quare rediens monte decem agnas Domino præbet ad sacrificium, et sacerdotibus duodecim vitulos, et senatoribus, et populo universo centum hircos. His sacrificiis in templo Domini factis, domum suam revertitur, et re cum uxore habita, suscipit ex ea filiam, vocatque Mariam, quam jam trimulam in templo Deo consecrarunt.

Γενομένης δὲ αὐτῆς δωδεκαετοῦς, οἱ ἱερεῖς συμ- B βούλιον ἐποιήσαντο, τῶν τίνι αὐτὴν πρὸς γάμον συνάψωσι. Καὶ ἐπιτρέπουσι τὸν ἀρχιερέα Ζαχαρίαν, εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσελθόντα, αἰτήσασθαι τὸν Θεὸν ἀποκαλύψαι αὐτῷ, τὸ τίνι προσήκει ζευχθῆναι αὐτήν. Καὶ τοῦ Ζαχαρίου εὐχομένου, ἄγγελος ἐπιφανεὶς σημαίνει πάντας συναγαγεῖν τοῦ λαοῦ τοὺς χηρεύοντας, καὶ κατέχειν ἕκαστον ῥάβδον· καὶ ᾧ ἂν ὁ Θεὸς ἐπιδείξῃ σημεῖον, τούτῳ συνάψαι τὴν παρθένον.

Verum illa duodecim annos nata, sacerdotes consilium capiunt, cuinam eam conjungerent in matrimonium. Zachariæque primario sacerdoti demandant, ut in Sancta sanctorum ingressus, Deum precaretur, ut sibi revelaret cuinam esset collocanda, et Zachariæ oranti, angelus apparens exponit, omnes populi viduos in unum congregandos, quorum quisque virgam manu teneret, illique virgo nuberet, quem Deus signo manifestasset.

Ἐξελθὼν δὲ ὁ Ζαχαρίας ἐποίησεν οὕτως, καθὼς ὁ ἄγγελος αὐτῷ προσέταξε. Καὶ λαβὼν πάντων τὰς ῥάβδους αὐτῶν, ἀπῆλθεν ἐν τῷ ἱερῷ, καὶ προσηύξατο, καὶ ἐξελθὼν ἑκάστῳ τὴν ἰδίαν ῥάβδον ἀπένειμε. Τελευταῖον δὲ ἐπιδιδοὺς τὴν ῥάβδον τῷ Ἰωσὴφ, σημεῖον μέγα ἐγένετο. Ἀθρόως γὰρ τὴν ῥάβδον αὐτοῦ C παρὰ τοῦ ἱερέως λαμβάνοντος, περιστερὰ ἐξέπτη ἀπὸ τῆς ῥάβδου, καὶ ἐπὶ τὴν κεφαλὴν ἐκαθέσθη τοῦ Ἰωσήφ· καὶ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ συνόντες ἱερεῖς, θαυμάσαντες τὸ γεγονὸς, αὐτὸν γενέσθαι μνηστῆρα τῆς κόρης ἔκριναν, ἣν λαβὼν ὁ Ἰωσὴφ ἐφύλασσε, καὶ καταλιπὼν ἐν τῷ οἴκῳ αὐτοῦ ἀφικνεῖται τὰς οἰκοδομὰς ἐκτελέσων· ἦν γὰρ τέκτων τῇ ἐπιστήμῃ.

Egressus Zacharias angeli mandata exsecutus est, omniumque virgis acceptis, templum ingressus, oravit, rediensque unicuique virgam propriam reddidit; tandemque ubi virgam Josepho consignasset mirum quid accidit. Simul enim atque a sacerdote virgam accepit, ex ea columba volans capiti Joseph insedit; quare princeps sacerdotum, sacerdotesque omnes qui convenerant rem admirati, pari voto illi puellam desponderunt, quam Joseph acceptam custodiebat, et ea domi relicta, ad exstruenda ædificia abit; erat quippe exercitio faber.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἔδοξε τοῖς ἱερεῦσι κατασκευασθῆναι ὑπὸ ἁγνῶν παρθένων τῷ ναῷ τοῦ Θεοῦ καταπέτασμα, καὶ εὑρέθησαν ἐν τῇ φυλῇ Ἰούδα παρθένοι ἑπτά. Καὶ τῆς Μαρίας δὲ μνησθεὶς Ζαχαρίας, ἐκέλευσε καὶ αὐτὴν παρεῖναι εἰς τὸν κατάλογον· καὶ εἰσαγαγὼν αὐτὰς εἰς τὸν οἶκον τοῦ Θεοῦ, κλῆρον βαλεῖν προσέταξε, ποίαν οἴσαι τὸν χρυσὸν καὶ τὸ ἀμίαντον, καὶ τὴν βύσσον, καὶ τὸ σηρικὸν, καὶ τὴν ἁληθῆ D πορφύραν, καὶ τὸν ὑάκινθον, καὶ τὸν κόκκον· καὶ ἐκληρώθη Μαρία τὴν πορφύραν καὶ τὸν κόκκον ἐργάζεσθαι. Καὶ δὴ ἐπὶ τοῦ οἴκου ἐργαζομένης αὐτῆς ἐπιφανὴς ἄγγελος τὸν παράδοξον τόκον εὐαγγελίζεται αὐτῇ, καθὼς ἱστορεῖ τὰ Εὐαγγέλια.

Per illos dies sacerdotibus immaculatarum virginum ministerio, velum templi Dei accommodandum esse visum est, et lectæ sunt in tribu Juda virgines septem. Sed cum Mariæ Zacharias meminisset, una cum illis annumerari ipsam jussit, quibus domum Dei introductis, sortes jacere mandat, quænam scilicet aurum, et amiantum, et byssum, et sericum, et veram purpuram, et hyacinthum, et coccum præparatura esset, et sorti Mariæ purpuræ, et cocci opus obvenit. Atque cum domi his rebus agendis operam daret, apparens angelus, admirabilem illi partum, ut in Evangeliis habetur[95], prænuntiat.

Τὸ γοῦν ὁρισθὲν αὐτῇ ἔργον ἐκτελέσασα, δίδωσι τῷ ἀρχιερεῖ, καὶ εὐλογηθεῖσα παρ' αὐτοῦ ἄπεισι· καὶ μετὰ χρόνον τίκτει τὸν Χριστὸν κατὰ σάρκα. Καὶ τῶν μάγων ἀπὸ Ἀνατολῆς ὡς βασιλεῖ προσκυνησάντων μετὰ δώρων αὐτῷ, ὁ Ἡρῴδης ἐταράχθη, καὶ διενοεῖτο ἀνελεῖν παραχρῆμα αὐτόν. Ὁ δὲ ὑπὸ Ἰωσὴφ καὶ τῆς Μαρίας εἰς Αἴγυπτον ἀπεκομίσθη, καὶ τὸν ἐξ

Itaque opus sibi impositum expletum, sacerdotum principi exhibet, et benedictione accepta abiit, et paulo post Christum secundum carnem enititur[96]. Eum cum magi ab Oriente uti regem cum muneribus adoravissent[96], Herodes turbatus est, secumque ipse cogitabat, illico illum perimere, qui a Josepho et Maria in Ægyptum delatus[97], mortem

[95] *Luc.* I, 26. [96] *Luc.* II, 7. [96] *Matth.* II, 1. [97] *Ibid.* 14.

Digitized by Google

sibi ab Herode imminentem depulit. Verum Herodes, ignorata fuga, pueros omnes qui erant in Bethlehem, morte affici jubet [28], inter quos, et Joannem adhuc infantem de medio tollere nitebatur. Sed Elisabeth, eo abrepto, in solitudinem aufugit, et precibus fusis, mons in duas partes divisus, eam una cum puero excepit, et eas angelus defendendo protegebat.

A Ἡρώδου διέφυγε θάνατον. Αὐτὸς δὲ, ἀγνοήσας τὴν φυγὴν, πάντα τὰ ἐν τῇ Βηθλεὲμ παιδία ἀναιρεθῆναι προσέταξεν· ἐν οἷς καὶ τὸν Ἰωάννην ἔτι νήπιον ὄντα ἀνελεῖν ἐσπούδαζεν. Ἡ δὲ Ἐλισάβετ, ἁρπάσασα αὐτὸν, εἰς τὴν ἔρημον ἔφυγε· καὶ εὐξαμένης αὐτῆς, διεσχίσθη τὸ ὄρος, καὶ μετὰ τοῦ παιδίου αὐτὴν ἐδέξατο, καὶ ἄγγελος τοῦ Θεοῦ διεφύλαττεν αὐτούς.

Mittit itaque ad Zachariam Herodes : Tradito mihi filium tuum, ubi occultus latet, nuntiato mihi. Zacharias sic percontanti respondet : Ego ad altare continuo assistens, quid actum sit de filio meo, non novi. His ingentem iram concepit Herodes, rursumque ad eum scribit : Exhibe mihi filium tuum; nonne compertum tibi est, apud me tui sanguinis effundendi esse potestatem? Zacharias rescripsit : Testis sum Dei. Tu meum sanguinem, at spiritum meum Deus possideat, fac ut lubet. Illudque te non fugiat, sanguinem innocentem in vestibulis templi Domini te effusurum. Herodes his magis ac magis exasperatus, ut inter altare necaretur antequam dies illucesceret, mandat, ne populus obstando impediret quominus occideretur.

Πέμπει γοῦν πρὸς Ζαχαρίαν ὁ Ἡρώδης· Δὸς τὸν υἱόν σου· ποῦ ἔκρυψας αὐτὸν, ἀπάγγειλόν μοι. Ὁ δὲ Ζαχαρίας ἀντεπιστέλλει φάσκων αὐτῷ· Ἐγὼ τῷ θυσιαστηρίῳ προσεδρεύων ἀεὶ, τί ἐγένετο ὁ υἱός μου οὐκ ἐπίσταμαι. Καὶ ὀργισθεὶς ὁ Ἡρώδης πάλιν ἐπέστελλεν αὐτῷ. Δὸς ἔξω, λέγων, τὸν υἱόν σου. Οὐκ οἶδας, ὅτι τὸ αἷμά σου ὑπὸ τὴν χεῖρά μού ἐστιν; Καὶ B ὁ Ζαχαρίας ἔφη· Μάρτυς εἰμὶ τοῦ Θεοῦ. Σὺ μὲν ἔχε μου τὸ αἷμα, τὸ δὲ πνεῦμά μου ὁ Θεός. Δέξαι δὲ καὶ γίνωσκε, ὅτι ἀθῶον αἷμα ἐκχέεις εἰς τὰ πρόθυρα τοῦ ναοῦ Κυρίου. Καὶ ὁ Ἡρώδης, ἐπὶ τούτοις ὀργισθείς, μεταξὺ τοῦ θυσιαστηρίου ἀναιρεθῆναι αὐτὸν πρὸ τοῦ διαφαῦσαι προσέταξεν, πρὸς τὸ μὴ ὑπὸ τοῦ λαοῦ κωλυθῆναι αὐτοῦ τὴν ἀναίρεσιν

Primo autem diluculo sacerdotes in templum venientes obstupescebant, quod illis, ut moris erat, non obviam prodiret primus sacerdos, et foris exspectabant. Itaque hora dilabente, unus ex his ingredi ausus est, qui ad altare concretum sanguinem conspicit, auditque vocem dicentem : Zacharias occisus est, nec ejus sanguis delebitur, donec veniat ultor; his vocibus animo fractus, egressusque sacerdotibus nuntiat, qui introeuntes corpus non vident, sed solum sanguinem, scissisque vestimentis, mortem illius lugebant, populoque nuntiarunt, et tribus diebus, et tribus noctibus in luctu fuerunt. Deinceps Simeonem sorte in ejus locum posuerunt, qui a Spiritu sancto admonitus acceperat, se non prius visurum mortem, quam Christum Domini fuisset intuitus [29].

Ὄρθρου δὲ οἱ ἱερεῖς παραγενόμενοι εἰς τὸν ναὸν, ἐξενίζοντο, κατὰ τὸ εἰωθὸς μὴ ὑπαντήσαντος αὐτοῖς τοῦ ἀρχιερέως, καὶ ἐπέμενον ἔξω. Ὥρας οὖν παρελκούσης, εἷς τις ἐξ αὐτῶν εἰσελθεῖν ἀπετόλμησεν. Ὁ δὲ θεωρεῖ αἷμα πεπηγὸς παρὰ τὸ θυσιαστήριον, καὶ ἀκούει φωνῆς λεγούσης· Ζαχαρίας πεφόνευται, καὶ C οὐκ ἐξαλειφθήσεται τὸ αἷμα αὐτοῦ, ἕως ἂν ἔλθῃ ὁ ἔκδικος. Ἀκούων γοῦν ταῦτα ἔμφοβος ἐγένετο, καὶ ἐξελθὼν τοῖς ἱερεῦσιν ἀπήγγειλεν. Οἱ δὲ, εἰσελθόντες, τὸ μὲν σῶμα οὐκ εἶδον, εἰ μὴ τὸ αἷμα, καὶ τὰς στολὰς ἑαυτῶν διαῤῥήξαντες, ἐκόψαντο, καὶ τῷ λαῷ ἀνήγγειλαν, καὶ τρία νυχθήμερα ἐπ' αὐτῷ θρῆνον ἐποίησαν. Καὶ μετὰ ταῦτα Συμεῶνα εἰς τὴν τάξιν αὐτοῦ κλήρῳ κατέστησαν, ὃς ὑπῆρχεν ὑπὸ τοῦ ἁγίου Πνεύματος χρηματισθεὶς μὴ ἰδεῖν θάνατον, ἕως ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου.

Narratur et alia quædam de Zacharia historia : fuisse in templo locum in quem tantum virginibus ingressis, Deum adorare, non autem nuptis, lege sancitum ac concessum erat. Maria igitur post Salvatorem genitum stetit, in loco hoc, quam cum D impedirent, qui eam jam peperisse noverant, Zacharias fatebatur, eam dignam esse, quæ una cum virginibus commoraretur. Itaque eum veluti jurium violatorem, et in locum virginum iniquum inter altare trucidavere. Et hæc per transennam obiterque dicta sunt.

Ἄλλη δέ τις ἱστορία περὶ τοῦ Ζαχαρίου ἐμφέρεται· ὡς ἄρα ἦν τις περὶ τὸν ναὸν τόπος, ἔνθα μόνας τὰς παρθένους ἐξῆν εἰσιούσας προσκυνεῖν τῷ Θεῷ· τὰς δὲ γαμηθείσας μὴ εἶναι νόμιμον. Ἡ οὖν Μαρία, γεννήσασα τὸν Σωτῆρα, ἐλθοῦσα, ἔστη ἐν τῷ τόπῳ τούτῳ. Κωλυόντων οὖν αὐτὴν τῶν εἰδότων γεγεννηκυῖαν αὐτὴν, ὁ Ζαχαρίας ἔλεγεν ἀξίαν αὐτὴν εἶναι τοῦ τόπου τῶν παρθένων. Ὡς οὖν παρανομοῦντα αὐτὸν εἰς τὸν τόπον τῶν παρθένων μεταξὺ τοῦ θυσιαστηρίου ἀπέκτειναν. Καὶ ταῦτα μὲν ὡς ἐν παρόδῳ ἐλέχθη.

Porro Joseph a fratribus in Ægypto traditus, divino afflatus Numine, Pharaonis somniis interpretatione explicatis [1], totius Ægypti princeps nominatus est, et fame totum terrarum orbem affligente, fratres in Ægyptum se conferunt, frumentum, et ipsi ut fami mederentur empturi [2], et a fratribus re-

Ἰωσὴφ δὲ, ἀποδοθεὶς ἐν Αἰγύπτῳ ὑπὸ τῶν ἀδελφῶν, θείᾳ ἐπινοίᾳ τῷ Φαραὼ διακρίνας ὀνείρατα, ἡγεμὼν πάσης τῆς Αἰγύπτου καθίσταται. Καὶ λιμοῦ πᾶσαν πιέζοντος τὴν γῆν, οἱ ἀδελφοὶ αὐτοῦ κατῆλθον εἰς Αἴγυπτον, σῖτον καὶ αὐτοὶ διὰ τὸν λιμὸν ὠνησόμενοι· καὶ ἀναγνωρισθεὶς αὐτοῖς Ἰωσὴφ, μεθιστᾷ

[28] *Ibid.* 16. [29] *Luc.* II, 14. [1] *Gen.* XLI. [2] *Ibid.*

Digitized by Google

αὐτοὺς ἅμα τῷ πατρὶ Ἰακὼβ εἰς τὴν Αἴγυπτον παγγενῆ. Τῷ μὲν γὰρ Ῥουβὶν τέσσαρες παῖδες ἐγένοντο, Ἐνὼχ, Φαλὲς, Ἀρρὼμ, Χαρμεί· τῷ δὲ Συμεὼν ἕξ, Ἰεδουὴλ, Ἰαβὴν, Ἀὼδ, Ἀχιὴ, Σαδὴ, Σαοὺλ· καὶ τῷ Λευῒ τρεῖς, Γεδσὼν, Βωὰδ, καὶ Μεναρεί· τῷ δὲ Ἰούδα πέντε, Ἦρ, Αὐνὼν, οἵτινες, καθὼς προεγράφη, ἀπέθανον, Σηλὼμ, Φαρὲς, Ζαρά· τῷ δὲ Φαρὲς δύο, Ἀρρὼμ, καὶ Ἰεμοήλ· τῷ δὲ Ἰσσάχαρ τέσσαρες, Θαλὰ, Φονὰ, Ἰασοὺφ, Ζαβράν· τῷ Ζαβουλὼν τρεῖς, Σερδὲρ, Ἀλδὼν, Αἰήλ· οἱ πάντες τριάκοντα τρεῖς, ἐκ τῆς Λείας τὸ γένος ἔχοντες, καὶ θυγατέρα Δίναν. Ἐγένοντο δὲ καὶ τῷ Γὰδ υἱοὶ ἑπτὰ, Σαφὼν, Ἄγγεις, Σαῦνις, Θασοβὰθ, Ἀηδὶς, Ἀνοηδὴς, Ἀρίλης· τῷ δὲ Ἀσὴρ τέσσαρες, Ἰεμνὰ, Ἰοὺλ, Μερία, καὶ Σερὰ θυγάτηρ· ἐκ δὲ τοῦ Βερία ἐγεννήθησαν Χοβὼρ, καὶ Μελχιήλ· οὗτοι πάντες ἓξ καὶ δέκα υἱοὶ Ζελφᾶς τῆς παιδίσκης Λείας, ἥτις εἰς ὄνομα τῆς Λείας τῷ Ἰακὼβ αὐτοὺς ἐγέννησεν. Ἐτέχθησαν δὲ καὶ τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ παῖδες δύο, Μανασσῆς καὶ Ἐφραΐμ, οὓς ἔτεκεν αὐτῷ Ἀσινὲθ θυγάτηρ Πετεφρῆ Ἡλιοῦ. Καὶ ἐκ μὲν τοῦ Μανασσῆ ἐγεννήθη Μαχεὶρ ἐκ παλακῆς Συρίας τῷ γένει· ὁ δὲ Μαχεὶρ ἐγέννησε τὸν Γαλαάδ· ἐκ δὲ τοῦ Ἐφραΐμ ἐγεννήθησαν υἱοὶ Σουταλάμ, Βὰδ, Λάμ. Ἐκ δὲ τοῦ Σουταλὰμ ἐγεννήθη Ἐδέν. Τῷ δὲ Βενιαμὶν καὶ αὐτῷ δύο παῖδες ἐγένοντο, Βαλλαχοβὼρ καὶ Ἀσσαήρ· ἐκ δὲ τοῦ Βαλλαχοβὼρ Γηρὰν, καὶ Νοεμὶν, καὶ Λάχης, καὶ Ἐσρὼμ, καὶ Μαμφί. Μαμφὶ δὲ ἐγέννησε τὸν Ἀράδ· οὗτοι υἱοὶ Ῥαχὴλ οἱ πάντες ὀκτωκαίδεκα. Υἱὸς δὲ ἐγένετο τῷ Δὰδ· τοῦ δὲ Νεφθαλεὶμ Ἀσιὴλ, καὶ Γοῦμιν, καὶ Ἰσαὰρ, καὶ Συλήμ· οὗτοι υἱοὶ Βάλλας παιδίσκης Ῥαχὴλ οἱ πάντες ἑπτά. Ὁ δὲ μακάριος Ἰακὼβ ἔτη τὰ πάντα βιώσας ρμζ', ἐν Αἰγύπτῳ ἀπέθανε, πρότερον ἕκαστον τῶν υἱῶν αὐτοῦ διαφόροις εὐλογίαις εὐλογήσας. Καὶ τὴν μὲν εὐλογίαν τῶν πρωτοτόκων Ἰωσὴφ παρέσχετο, καὶ οὐχὶ Ῥουβίν· διότι ὁ μὲν Ἰωσὴφ μὴ ἐξὸς ἡδονῇ τῆς Αἰγυπτίας ἐδικαιώθη, ὁ δὲ Ῥουβὶν ἡττηθεὶς ἥμαρτεν· ἄλλως τε ὅτι καὶ ἐκ τῆς Ῥαχὴλ πρωτότοκος ὑπῆρχε, καὶ τῇ Ἰούδα φυλῇ ἀπεκλήρωσε τὴν βασιλείαν, καὶ οὐ τῇ τοῦ Ῥουβίν· διότι ὁ μὲν Ἰούδας ἐν γυναικὶ ὠνειδίσθη, ὁ δὲ ἐδικαιώθη, ὁμολογήσας εὐγνωμόνως ἑαυτὸν τυγχάνειν τῇ ἁμαρτίᾳ ὑπεύθυνον, καὶ οὐ τὴν γυναῖκα. Ἀλλὰ καὶ κατὰ τοῦτο βασιλεύειν ἐτάχθη, ἐπειδὴ μόνη τῶν ἄλλων φυλῶν ἰταμωτέρα πρὸς ζῆλον καὶ ἐκδίκησιν Θεοῦ ἐτύγχανεν· διὸ καὶ ἐξ αὐτοῦ φῦναι προφητεύει τὸν Χριστὸν κατὰ σάρκα, καὶ τὴν κλῆσιν δι' αὐτοῦ τῶν ἐθνῶν. Καὶ τῷ Λευῒ δὲ τὴν ἀρχιερωσύνην μόνῳ ἀπένειμε, καθότι ὁ Ἀμρὰμ ἐξ αὐτοῦ φὺς, τὸ δόγμα τοῦ Φαραὼ παρεκρούσατο, καὶ τὸν υἱὸν ἑαυτοῦ τὸν Μωϋσῆν ἐζωοποίησε. Μόνον δὲ τὸν Ῥουβὶν πολὺν τῷ ἀριθμῷ ἐποίησε, διὰ τὸ μὴ συναινέσαι ἐπὶ τῇ Ἰωσὴφ ἐπιβουλῇ. Τελευτήσαντος γοῦν τοῦ Ἰακὼβ ἐν Αἰγύπτῳ, εἰς τὴν Χαναναίαν γῆν κηδεύουσιν ἀποκομίσαντες· ὁμοίως δὲ καὶ τοὺς υἱοὺς αὐτοῦ πάντας. Ἐπὶ τέλει δὲ καὶ τὸν Ἰωσὴφ, τῆς Αἰγύπτου ἀποχωρήσαντες, κηδεύουσιν ἔνθα ὁ προπάτωρ αὐτῶν Ἀβραὰμ προκε-

A cognitus, simul cum patre, eos et universis eorum familiis in Ægyptum commutat [a]. Rubin etenim quatuor filii erant nati: Enoch, Phales, Arrom, Charmi; Symeoni sex, Jebuel, Jaben, Aod, Achie, Sade, Saul; Levi tres, Gedson, Boach et Menari; Judæ quinque: Her, Aunon, qui, ut superius scriptum est, decesserunt; Sebon, Phares, Zara; Phares duo, Arron, et Jemuel; Issachar quatuor, Thala, Phona, Jasuph, Zabran; Zabulon tres, Serder, Aldon, Ael, qui omnes triginta tres ex Lia originem trahunt, et filia Dina. Nati sunt et Gad septem, Saphon, Angis, Saunis, Thasobath, Aedis, Anoedis, Ariles; Asser quatuor, Jenna, Jeul, Meria, et Syra filia; Beriæ, Chebor et Melchiel. Hi omnes sexdecim filii, Zelphas, ancillæ Liæ, quæ B nomine Liæ eos Jacobo generaverat. Sic et in Ægypto Josepho nati sunt filii duo, Manasses et Ephraim, quos peperit illi Asineth, filia Petephræ, filii Heliæ, et ex Manasse ortus est Machir e pellice Syra genere. Machir genuit Galad. Ex Ephraim nati sunt filii, Sutalam, Bad, Lam; ex Sutulam, Edem. Benjamin item duo filii, Ballachobor et Asser. Ex Ballachobor, Geram, et Noemin, et Laches, et Esrom, et Mamphi. Mamphi genuit Arad; hi omnes Rachel filii numero decem et octo. Dad filius fuit Nephthalim, Nephthalim Asiel, et Goymin, et Isaar, et Sylem; hi filii Ballas ancillæ Rachel numero septem. Sed beatus Jacob, annis centum quadraginta septem peractis, e vita migravit. Primumque unoquoque filio prospera ominando, varia di- C versaque benedictione benedixit, et primogeniti benedictionem elargitus est Josepho et non Rubin; quod Joseph Ægyptia voluptate minime delinitus, justus habitus est. Rubin [b] ab ea superatus peccavit, præsertim cum ex Rachel primogenitus esset. Tribui Judæ et non Rubin principatum attribuit, quod Judæ pro muliere probrum objectum est; hic autem justus habitus, cum candide fassus esset se, non mulierem, peccato obnoxium. Quin et propterea illi regnandi provincia delata est, quia reliquis tribubus sola hæc constanter magis magisque severe ut Deo injurias illatas ulcisceretur, laborabat; quapropter et Christum secundum carnem, ex ea oriundum vaticinatur, et per eum D vocationem gentium futuram. Levi summum sacerdotium dedit, quod Amram ex eo ortus, Pharaonis dogma refellendo coarguit, filiumque suum Moysem vitæ servavit. Tantum Rubin frequentem uberemque numero declaravit, quod ad Josephum perdendum non consensit. Itaque mortuo Jacob in Ægypto, in Chananæorum regionem translati funeris exsequias prosecuti sunt [c], similiter et filiorum ejus omnium. Tandem et Joseph ex Ægypto secedentes, sepeliunt [d], ubi eorum generis auctor Abraham prius humatus fuerat; eo in loco terebinthus inerat sub qua Jacob Laban idola abscondit [e], quam ad hæc tempora in majorem honorem, vicin-

[a] *Gen.* XLVI. [b] *Gen.* XLIX *passim.* [c] *Gen.* L. [d] *Exod.* XIII; *Jos.* XXIV. [e] *Gen.* XXXV.

Digitized by Google

ojus incolæ summa religione venerantur; ara quippe etiam nunc ex ejus stipite constructa cernitur, super quam holocausta hecatombasque offerunt; traduntque eam baculum fuisse unius angeli, qui ab Abraham hospitio excepti fuerunt, quem illo loco præteriens plantavit; ex hac multæ admirationis terebinthus manat, igne enim admoto, tota in ignem accenditur, omnibusque ex flamma in pulverem dissolvi videtur; verum ubi exstincta fuerit, incolumis tota, omnibusque suis partibus constans deprehenditur.

Post obitum Joseph, Ægyptii beneficiorum immemores, et invidia æmulationeque accensi, variis calamitatum generibus Israelitas affligebant [8]. Etenim Israelitæ ad labores suscipiendos integri robustique virtutibus, et divitiis Ægyptios superarunt, vino obrutos et otio, et ignavia continua effeminatos. Verum unus ex sacris Ægyptiorum scribis, Pharaoni quemdam apud Israelitas futurum prædicit, qui universa Ægypto mirum in modum depressa, nationi propriæ maximis progressibus potentiam addet, gloria sibi, quam nulla delebit oblivio, comparata. Quapropter Pharao Hebræos modis omnibus perdere appetens, animoque versans laboriosas operas delegat, ut omnes Ægypti civitates mœnibus ejectis cingerent, ut fluminis impetum variis alveis effossis arcerent, aggeresque exstruerent, ut ejusdem, ubi evagari incœperit, aditus incommodaque prohiberent; ad hæc ad pyramidas erigendas, puerosque, qui apud eos nascerentur, in flumen præcipitandos decreto interposito compulerit, existimans eum quem vates ad Ægyptum abolendam futurum dixerat, simul cum aliis in flumine mergendum.

Erat itaque quidam ex tribu Levi, nomine Amram [9], qui Jochabeth ducta, ex ea divinum Moysem susceperat, et ad tempus eum studiosius abscondebat. Sed ubi regiam legem nimis acerbe dureque impleri vidit, metu ne deprehenderetur, cista pueruluni accommodatum ad ripas fluminis exposuit, et filia Pharaonis lavandi se causa veniens, conspectam cistam aperit, puerique pulchritudine delectata, cum careret filiis, eum sibi adoptavit, et plurimis Ægyptiorum nutricibus convocatis ad alendum puerum, perdebat operam, earum quippe ubera abhorrebat; tandem mater clam admissa, reginæ jussu lactabat, tantum enim illius ubera sugebat: ab ipsis, ut opinor, incunabulis proprium genus admittebat, externumque aversabatur. Itaque hunc adultum Thermuthis (sic enim regina appellabatur) Moysem, quod ex aquis servatus erat, nominavit. Ægyptii namque aquam *moy*, et servari *ses* appellant, sed illum primum parentes *Melchis* nuncupabant. Erat autem aspectu festivus nimis, ita ut quicunque illi in via occurreret, obstupefactus discederet, maximeque eam pulchritudinem admiraretur. Igitur hunc ætate auctum Thermuthis de-

[8] *Exod.* I. [9] *Exod.* II.

κήδευτο· ἐν ᾧ τόπῳ ὑπῆρχε καὶ ἡ τερέβινθος, ὑφ' ᾗ ἔκρυψεν Ἰακὼβ τῆς Λάβαν τὰ εἰδωλα, ἥτις ἔτι καὶ νῦν εἰς τιμὴν τῶν προγόνων ὑπὸ τῶν πλησιοχόρων θρησκεύεται· ἔστι γὰρ ἄχρι τοῦ δεῦρο παρὰ τὸν πρέμνον αὐτῆς βωμὸς, ἐφ' ὃν τά τε ὁλοκαυτώματα, καὶ τὰς ἑκατόμβας ἀνέφερον· εἶναί τε φασὶ ῥάβδον αὐτὴν ἑνὸς τῶν ἐπιξενωθέντων ἀγγέλων τῷ Ἀβραὰμ, ἥνπερ τῷ τόπῳ τότε παρὼν ἐνεφύτευσε, καὶ ἐξ αὐτῆς ἡ ἀξιάγαστος ἐνεφύη [*f.* ἀν-] τερέβινθος. Ὑπαφθεῖσα γὰρ ὅλη πῦρ γίνεται, καὶ νομίζεται τοῖς πᾶσιν εἰς κόνιν ἐκ τῆς φλογὸς ἀναλύεσθαι, καίτοι σβεσθεῖσα μέντοι ἀσινὴς ὅλη, καὶ ἀκέραιος δείκνυται.

Μετὰ δὲ τὴν τελευτὴν τοῦ Ἰωσὴφ, τῆς εὐποιΐας ἀμνημονεύσαντες οἱ Αἰγύπτιοι, ποικίλαις συμφοραῖς τὸ γένος τῶν Ἰσραηλιτῶν ὑπέβαλον, φθόνῳ καὶ ζήλῳ πρὸς αὐτοὺς διακείμενοι. Οἱ γὰρ Ἰσραηλῖται πρὸς πόνους ὄντες καρτεροὶ, ἀρετῇ καὶ πλούτῳ τοὺς Αἰγυπτίους διήνεγκαν, ἐκείνων εἰς μέθην κεχαυνωμένων καὶ ἀργίαν, καὶ ῥᾳθυμίᾳ πεπεδημένων ἀεί. Εἴς δέ τις τῶν παρ' Αἰγυπτίοις ἱερογραμματέων προσημαίνει τῷ Φαραὼ τεχθήσεσθαι παρὰ τοῖς Ἰσραηλίταις τινὰ, ὃς πᾶσαν μὲν ταπεινώσει τὴν Αἴγυπτον, αὐξήσει δὲ ἐπὶ μέγα προκοπῆς τὸ οἰκεῖον ἔθνος, ἀειμνημόνευτον δόξαν κτησάμενος. Καὶ διὰ τοῦτο παντοίως τοὺς Ἑβραίους ὁ Φαραὼ ἀπολέσαι διενοεῖτο· ἔργα μὲν αὐτοῖς προστάττων ἐπιμοχθεύειν, τειχίζειν δὲ πάσας τῆς Αἰγύπτου τὰς πόλεις, καὶ τὸν ποταμὸν εἰς πολλὰς διατέμνειν διωρυγάς· καὶ χώματα ἐγείρειν, κελεύων, ὅπως κατὰ μηδὲν τὴν πόλιν ἐπιλιμνίζων λυμαίνηται· πρὸς δὲ τούτοις καὶ πυραμίδας ἐγείρειν, καὶ τὰ παρ' αὐτοῖς τικτόμενα βρέφη κατακρημνίζειν ἐπὶ τοῦ ποταμοῦ ἀπεφήνατο, οἰόμενος καὶ τὸν θεσπισθέντα καταλῦσαι τὴν Αἴγυπτον ἀραιρήσειν [*f.* καθαιρήσειν] ἐπὶ τοῦ ποταμοῦ.

Ὑπῆρχεν οὖν τις ἐκ τῆς φυλῆς τοῦ Λευὶ Ἀμράμ ὀνόματι, ὃς γυναῖκα τὴν Ἰωχαβὲθ κτησάμενος, ἐξ αὐτῆς τὸν θεσπέσιον Μωϋσῆν ἐγέννησε, καὶ ἔκρυπτεν αὐτὸν ἐπὶ χρόνον τινά. Ὡς δὲ εἶδε τὸν νόμον τοῦ βασιλέως ἐπικρατοῦντα σφοδρότερον, δεδοικὼς μὴ κατάφωρος γένηται, εἰς θήκην ἐμβαλὼν τὸ παιδίον, παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ἐκτίθεται. Καὶ ἡ θυγάτηρ τοῦ Φαραὼ, λουτροῦ χάριν ἀφικομένη, θεωρήσασα τὴν θήκην ἀνοίγει, καὶ πρὸς τὸ κάλλος τοῦ παιδίου ἡσθεῖσα εἰσεποιήσατο ἀποροῦσα παιδός· καὶ πολλὰς τροφοὺς συγκαλέσασα τῶν Αἰγυπτίων, οὐκ εἶχεν ὅπως τὸ παιδίον ἐκθρέψειεν· οὐδεμιᾶς γὰρ αὐτῶν μαζὸν προσίετο. Ἐπὶ τέλει γοῦν ἡ μήτηρ, ἀνεῖσα κρύβδην τῇ βασιλίσσῃ, γαλουχεῖν προσετάχθη· μόνης γὰρ αὐτῆς τὸν μαζὸν προσεδέξατο, ἐξ αὐτῶν, οἶμαι, σπαργάνων τὸ μὲν οἰκεῖον γένος προσιέμενον, τὸ δὲ ἀλλότριον μυσαττόμενον. Ἀνδρωθέντα γοῦν αὐτὸν, Μωϋσῆν προσεῖπεν ἡ Θέρμουθις (τοῦτο γὰρ τῇ βασιλίσσῃ ὄνομα), ἐπειδὴ διεσώθη ἐκ τοῦ ὕδατος· Αἰγύπτιοι γὰρ τὸ ὕδωρ *μῶϋ*, καὶ τὸ *σὴς* σωθῆναι προσαγορεύουσιν. Ἐκάλουν δὲ τὸ πρὶν αὐτὸν οἱ γονεῖς *Μελχείς*. Ἦν δὲ ἀστεῖος ἄγαν τῇ ὄψει, ὡς τὸν καθ' ὁδὸν ἅπαντῶντα αὐτῷ ἀφίστασθαι ἐκπληττόμε-

Digitized by Google

νον, καὶ ὑπερθαυμάζοντα τὸ κάλλος. Προσάγει αὐτὸν οὖν αὐξηθέντα ἡ Θέρμουθις τῷ πατρὶ αὐτῆς, ἀξιοῦσα ποιῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ διάδοχον, καὶ τίθησιν αὐτὸν ἐν ταῖς χερσὶν αὐτοῦ. Ὁ δὲ λαβὼν, καὶ προστερνισάμενος, κατεφίλει· χαριεντιζόμενός τε, περιελὼν τῆς ἑαυτοῦ κεφαλῆς τὸ διάδημα, ἐπιτίθησι τῇ ἐκείνου κεφαλῇ. Ὁ δὲ Μωϋσῆς, ἀπορρίψας ἐπὶ τῆς γῆς τὸ διάδημα, κατεπάτει. Καὶ ὁ γραμματεὺς, ὁ τὴν γένεσιν αὐτοῦ προειπὼν, θεασάμενος καὶ συνεὶς ἐκεῖνον εἶναι τὸν θεσπιζόμενον τῆς Αἰγυπτίων ἀρχῆς πολέμιον, ὥρμησε μὲν ἀποκτεῖναι, καὶ οὐκ ἴσχυσε· βοήσας δὲ ἔφη τῷ βασιλεῖ·

« Οὗτος ἐκεῖνός ἐστι, βασιλεῦ, ὅνπερ ἡμῖν ἀναφυῆναι ἐκ τῶν Ἑβραίων τὸ δαιμόνιον ἔχρησε τῆς βασιλείας Αἰγυπτίων ἐπίβουλον· ὅσγε καὶ νῦν σύμβολον τοῦ μέλλοντος οὐ μικρὸν ἐπεδείξατο, αὐτὸ δὴ τῆς βασιλείας τὸ σύνθημα ῥίψας, καὶ καταπατήσας εἰς τοῦδαφος. Τοῦτον γοῦν ἀνελὼν, Αἰγυπτίους μὲν τῶν προσδοκωμένων στερήσεις κακῶν, Ἑβραίους δὲ σφαλῆναι τῆς ἐλπίδος τῆς ἐπ' αὐτῷ καταστήσεις. »

Ταῦτα εἰπόντος αὐτοῦ, ὁ μὲν βασιλεὺς κατὰ πρόνοιαν Θεοῦ ὀκνηρὸς πρὸς τὸν φόνον ἐγένετο· ἡ δὲ Θέρμουθις, τῶν χειρῶν τοῦ βασιλέως τὸν Μωϋσῆν ἐξαρπάσασα, ἐφύλαττεν ἀσφαλῶς.

Αἰθίοπες δὲ, πρόσοικοι τοῖς Αἰγυπτίοις τυγχάνοντες, ἄφνω ἐπελθόντες, ἐπολιόρκουν τὴν Αἴγυπτον, καὶ ἀντιπαραταξαμένους τοὺς Αἰγυπτίους τροπωσάμενοι, προέβησαν ἄχρι Μέμφεως καὶ τῆς θαλάσσης, ὅπῳ Αἰγύπτιοι κατὰ χρησμὸν σύμμαχον τὸ τῶν Ἑβραίων γένος λαβόντες ἐπῆσαν. Καὶ ὁ Φαραὼ, καιρὸν ἐπιτήδειον εὑρηκέναι νομίζων πρὸς τὴν Μωϋσέως ἀναίρεσιν, τὴν Θερμούθιδα ἠξίωσε παρασχεῖν αὐτῷ τὸν Μωϋσῆν, ὅπως αὐτὸν στρατηγὸν τῶν Ἑβραίων ποιήσειεν, ἐπομνύμενος μηδὲν κακουργήσειν αὐτὸν, ἀλλὰ ταξίαρχον μόνον καταστῆσαι τῶν Ἑβραίων, ὑπολαμβάνων ῥᾳδίως αὐτὸν ὑπὸ τῶν πολεμίων φθαρήσεσθαι, ὡς μάχης ὑπάρχοντα ἄπειρον.

Ἡ δὲ πολλὰ πρότερον τὸν πατέρα καὶ τοὺς γραμματεῖς ὀνειδίσασα, ὅτι ὅνπερ ὡς πολέμιον ἀποκτεῖναι ἐβούλοντο, νῦν ὡς ἐπίκουρον παρακαλοῦσι, δίδωσιν αὐτοῖς τὸν Μωϋσῆν. Ὁ δὲ τοῦ οἰκείου ἔθνους στρατηγὸς προαχθεὶς, λάθρα τῶν Αἰθιόπων δι' ἑτέρας ὁδοῦ ἄγει τὴν στρατιὰν, τῆς ἀβάτου καὶ θηριοτόκου (πᾶσαν γὰρ θηρίων ἐκτρέφει φύσιν, ὡς εἶναί τινα ἐν αὐτῇ καὶ πτερόμενα), καὶ πρὸς τὸ μὴ πλήττεσθαι ὑπὸ τῶν θηρίων τινὰ, κιβωτοὺς πλεκτὰς προστάττει ἕκαστον ἐπιφέρεσθαι ἴβεων πεπληρωμένας· ἔστι γὰρ τοῦτο τὸ ζῶον ταῖς ἀσπίσι πολέμιον. Ὡς οὖν τὸν τόπον ἐκεῖνον διώδευον, τὰς ἴβεας τοῖς θηρίοις ἐπαφῆκαν, κἀκεῖνα τὴν ἐφοδον τούτων μὴ ὑπομείναντα, διεφθείροντο· καὶ τοῦτον τὸν τρόπον διοδεύσας ἄφνω προσπίπτει τοῖς Αἰθίοψι, καὶ πολὺ πλῆθος αὐτῶν κατασφάξας, τοὺς λοιποὺς εἰς φυγὴν ἔτρεψεν.

Οἱ δὲ Αἰθίοπες, μόλις φόνον τῇ φυγῇ διαδράσαντες, τὴν πόλιν Σαβὰ καταλαμβάνουσιν. Ἦν γὰρ αὐτῶν αὕτη βασίλειος, ὠχυρωμένη τείχει κρατερῷ καὶ χώμασιν, ἀπρόσβατος διὰ τὸν Νεῖλον (ἐπειδὴ πᾶσαν αὐτὴν περιτειχίζει τῷ ῥεύματι)· διόπερ καὶ δυσπολι-

A fert ad patrem, ut illum regni sui scriberet successorem exorans, infantemque in patris manus imposuit, qui ubi eum accepit ulnis, pectori astrictum osculabatur, et pueri suavitate hilaratus diadema capiti suo demptum, illius capiti imponit; sed Moyses illud, in terram projectum, pedibus calcabat, quo viso scriba, qui ejus ortum prædixerat, eum esse, qui, ut oraculis acceperat, Ægyptiorum regna tanquam hostis esset invasurus cognoscens, ad eum occidendum aggressus est, sed viribus fessis abstinuit, et clamore edito dixit regi:

« Hic ipse est, o rex, quem nobis ex Hebræis oriundum divinum numen prædixerat, regni Ægyptiorum insidiatorem, qui et nunc rerum futurarum non leve præbuit argumentum, quando ipsum regni insigne in terram dejectum conculcavit. Hunc si neci tradideris, Ægyptios ab imminentibus periculis liberabis, Hebræisque spem, et fiduciam, quam in eo posuerant, adimes. »

Hæc cum ille diceret, rex, ita providente Deo, remissior in eo occidendo fuit. Et Thermuthis, e regis manibus Moysem sublatum, secure custodiebat.

Porro Æthiopes Ægyptiis finitimi, improviso impetu facto, obsidebant Ægyptum, Ægyptiosque ex adverso instructos, in fugam vertentes usque ad Memphim et mare progressi sunt; ita ut Ægyptii oraculi monitu Hebræorum auxiliariis copiis in eos irruerent. Et Pharao tempus id opportunum esse, quo Moyses morte occumberet, opinatus, Thermuthin rogavit, ut sibi Moysem exhiberet, sic enim eum ducem Hebræorum eligeret, et jurejurando comprobavit, se illi malum nullum illaturum, sed tantum copiarum Hebraicarum ductorem constituturum: meditatus eum facillimo negotio, quasi militiæ rudem ab hostibus trucidatum iri.

Thermuthis patri, scribisque exprobrans, quod quem veluti hostem interficere satagebant, nunc veluti adjutorem desiderarent, tradit illis Moysem, qui propriæ nationis dux electus, Æthiopibus insciis, copias ducit per aliam viam, inaccessam scilicet, bestiisque infamem, alit enim bestiarum omne genus, ita ut quædam ex his etiam volent; ne quis autem a bestiis cæderetur, capsulas plicatas ibibus plenas, ut quisque secum afferat, jubet. Est enim hoc animal aspidi infensum. Quando igitur per loca illa proficiscebantur, ibes in bestias dimiserunt, quæ cum eorum impetum ferre non possent, comsummabantur; et hac ratione prætergressus inexspectatus Æthiopes adoritur, illisque magna clade illata reliquos aversos fugavit.

Æthiopes, fuga vix morte repulsa, in civitatem Saba confugiunt; hæc enim erat eorum regia mœnibus validissimis aggeribusque septa, et propter Nilum inaccessa, quando eam undequaque circumfluens, æque ac murus concludit, quare et Ægy-

Digitized by Google

ptiis obsessu difficilis erat. Moyses rerum consiliique inops, in hujus provinciæ difficultate, exercitum ad urbem conduxit, variaque Ægyptiis meditantibus cum nihil eis succederet, filia regis Tharmis nomine, ut per turres Moysem vidit, illius eximia forma delectata, nec non et in rebus magnis cogitationibus pervestigandis consilium admirata, ejus amore saucia, servo fidissimo misso, de nuptiis cum eo sermonem confert. Moyses id se facturum pollicetur, si illi civitatem tradidisset; illa repente fœdus ferit, et urbem dedit. Itaque bello sublato, et Ægyptiis in propria loca reversis, eam in matrimonium ducit, et civitatem ædificat, et Hermupolin nominat; ita enim ab Ægyptiis Moyses nuncupatur, propter sacrarum litterarum, quam habuit, interpretationem.

Erat et apud Æthiopas propter admirabilem sapientiam in summo honore. Usum enim navium, machinas ad lapides excidendos, armaturas Ægyptias, instrumenta ad hauriendas aquas, ac bellica, primus omnium illis excogitavit. Etiam universam Ægyptum in triginta præfecturas divisit, ad regnum Chenaphræ stabiliendum, cum absque ordine a regibus regerentur pro animi libidine regem appellantes, et item repudiantes quem magis vellent. Propter hæc a sacerdotibus ut deus observabatur, ab Æthiopibus ut rex: etenim et circumcisionem ab eo acceptam ad hunc diem conservant. Primus namque ut historiis tradidit Eupolemus, sapiens fuit, et primus litteras Hebræos erudiit, quæ beatus Abraham e Chaldæis detulerat. Harum enim primi inventores Chaldæi; ex Hebræis Phœnices habuere, Cadmusque has ad Græcos transtulit. Post adversus Æthiopas exercitum ductum in Ægyptum appellit, et Chenephras verbis eum laudibus plenis excipit, re tamen in eum mortem machinabatur; eum enim hominibus ejusdem generis spoliatum in Memphim secum ducit, interrogatque, quid humanis usibus esset accommodatum; et ille respondit: Bovium genus, ipsi enim terram arant et colunt. Igitur Chenephres tauri Apidis fanum ut exædificaret, multitudini cum mandasset, Moysis virtutis monumenta (erant autem hæc ære conflata ibum excogitationem, et historiam rerum fortiter adversus Æthiopas gestarum narrantia) sub pavimento templi abdidit, ut ejus res gestæ, oblivione obscurarentur; et Hebræorum multitudinem, quæ eum tuebatur, in duas provincias partitus est: partim enim in Æthiopiæ custodiam misit, partim in Jovis urbe ad structuram templi, quod, monte vicino in lapides exciso, erat exstruendum, olim enim ex coctis laterculis erat compactum; item eum Ægyptiis nudatum amicis, interficere jubebat jurejurando fidem astringens, ne illi insidias has Moysi revelarent. Omnibus itaque consilium hoc recusantibus Chanenothes quidam sententiæ regiæ operam daturum se promisit, doloque Moysi mortem illaturum; tunc temporis et Meroe (sic enim Thermuthis vocabatur) defuncta,

A ὁρκητος τοῖς Αἰγυπτίοις ἐτύγχανεν. Ὁ γοῦν Μωσῆς προσῆγε τῇ πόλει τὴν στρατιὰν, ἐν ἀμηχανίᾳ μεγίστῃ ὢν, διὰ τὸ εἶναι δυσάλωτον. Μηχανωμένων οὖν πολλὰ τῶν Αἰγυπτίων, καὶ μηδὲν ἰσχυόντων, ἡ θυγάτηρ τοῦ βασιλέως Θάρμεις ὀνόματι, τὸν Μωϋσέα διὰ τῶν πύργων θεασαμένη, καὶ ἡσθεῖσα ἐπὶ τῷ κάλλει αὐτοῦ, καὶ θαυμάσασα τῶν ἐπιχειρήσεων αὐτοῦ τὴν ἐπίνοιαν, εἰς πόθον ἔρχεται· καὶ ἀποστείλασα τῶν οἰκετῶν τὸν πιστότατον, περὶ γάμου πρὸς αὐτὸν διελέχθη. Ὁ δὲ Μωϋσῆς ποιήσειν τοῦτο ὑπέσχετο, εἰ τὴν πόλιν αὐτῷ παραδώσειεν. Ἡ δὲ παραχρῆμα τὴν εἰρήνην σπένδεται, καὶ τὴν πόλιν αὐτῷ παραδίδωσιν. Λυθείσης οὖν τῆς μάχης, καὶ τῶν Αἰγυπτίων εἰς τοὺς οἰκείους τόπους ἐπανελθόντων, ἄγεται πρὸς γάμον αὐτὴν, καὶ κτίζει πόλιν, καὶ Ἑρμούπολιν ἀναγορεύει· οὕτω γὰρ ὑπὸ
B τῶν Αἰγυπτίων ὁ Μωϋσῆς προσαγορεύεται, διὰ τὴν [*f.* τὸ] τῶν ἱερῶν γραμμάτων ἑρμηνείαν ποιήσασθαι.

Ἐτιμᾶτο δὲ καὶ παρὰ τοῖς Αἰθίοψιν οὐ μικρῶς διὰ τὴν σοφίαν τὴν ἀξιάγαστον. Πλοίων γὰρ τὴν χρῆσιν, καὶ μηχανὰς πρὸς λιθοθεσίαν, καὶ ὅπλα Αἰγύπτια, καὶ ὄργανα ὑδρευτικὰ καὶ πολέμια πρῶτος αὐτοῖς ἐπενόησεν. Ἔτι δὲ καὶ τὴν Αἴγυπτον πᾶσαν εἰς τριάκοντα διεῖλε νομοὺς, πρὸς τὸ τῷ Χενεφρῇ τὴν βασιλείαν βεβαιῶσαι· ἐπειδὴ ἀτάκτως ἐβασιλεύοντο Αἰγύπτιοι, γνώμῃ προσάγοντες καὶ καθαιροῦντες ὃν ἂν προῄρηντο. Δι' ἃ γοῦν ὑπὸ μὲν τῶν ἱερέων ὡς θεὸς ἐτιμᾶτο, ὑπὸ δὲ τῶν Αἰθιόπων ὡς βασιλεύς· καὶ γὰρ καὶ τὴν περιτομὴν παρ' αὐτοῦ μαθόντες ἄχρι τοῦ δεῦρο φυλάττουσιν. Πρῶτος γὰρ οὗτος σοφὸς γεγένηται, ὡς
C ἱστορεῖ ὁ Εὐπόλεμος, καὶ γράμματα πρῶτος Ἑβραίοις παραδέδωκεν, ἅπερ ὁ μακάριος Ἀβραὰμ ἀπὸ τῶν Χαλδαίων ἐκόμισε· πρῶτοι γὰρ εὑρεταὶ τούτων οἱ Χαλδαῖοι γεγένηνται· παρὰ δὲ τῶν Ἑβραίων ἔλαβον Φοίνικες· καὶ Κάδμος ταῦτα μετήγαγεν εἰς τοὺς Ἕλληνας. Μετὰ δὲ τὴν κατὰ τῶν Αἰθιόπων στρατηγίαν ἀφικνεῖται εἰς Αἴγυπτον· καὶ ὁ Χενεφρῆς λόγοις μὲν εὐφήμοις ἐδεξιοῦτο αὐτὸν, ἔργοις δὲ τὸν θάνατον κατὰ αὐτοῦ ἤρτυεν· ἔρημον γὰρ τῶν ὁμοφύλων καταστήσας αὐτὸν, εἰς Μέμφιν μετ' αὐτοῦ παραγίνεται· καὶ ἐρωτᾷ αὐτὸν, τί τοῖς ἀνθρώποις ὑπάρχει εὔχρηστον. Ὁ δὲ ἔφη· Τῶν βοῶν τὸ γένος, διὰ τὸ ἀρώσιμον τὴν γῆν ὑπ' αὐτῶν καθίστασθαι. Κελεύσας οὖν τοῖς ὄχλοις ὁ Χενεφρῆς ταύρου Ἄπιδος σηκὸν τεκτήνασθαι, τὰ τοῦ Μωϋσέως τῆς ἀρετῆς ὑπομνήματα (ἦν δὲ ταῦτα
D ἐκ χαλκοῦ πεποιημένα, τῶν ἴβεων τὴν ἐπίνοιαν, καὶ τὴν ἱστορίαν τῆς κατ' Αἰθιόπων ἀνδραγαθίας κηρύττοντα) ὑπὸ τὸ ἔδαφος ἐνέκρυψε τοῦ ναοῦ πρὸς τὸ λήθῃ παραδοῦναι τὰ τούτου δράματα. Τὸν δὲ ὄχλον τῶν Ἑβραίων τὸν περιέποντα αὐτὸν, εἰς δύο ἔργα διένειμε· τοὺς μὲν γὰρ εἰς φυλακὴν τῆς Αἰθιοπίας ἐξέπεμψε, τοὺς δὲ τὸν ἐν Διὸς πόλει ναὸν ἐκ λίθου κατασκευάσαι, λατομήσαντας τὸ πλησίον ὄρος, ἐπέτρεψε· πάλαι γὰρ ἐξ ὀπτῆς πλίνθου ὁ ναὸς κατεσκεύαστο· Ἀποξενώσας δὲ καὶ τῶν Αἰγυπτίων αὐτὸν, ἀνελεῖν αὐτὸν τοῖς φίλοις αὐτοῦ ἐνετέλλετο, πάντας ὁρκωμοτῶν, μὴ ποιῆσαι αὐτῷ τὴν κατ' αὐτοῦ τυρευομένην κατάδηλον. Πάντων οὖν τὴν βουλὴν ταύτην ἀπειπαμένων, Χανενώθης τις διακονῆσαι τῇ γνώμῃ τοῦ βασιλέως κατέθετο, δολοφονῆσαι τὸν Μωϋσέα ἐπαγγειλάμενος. Τότε δὴ καὶ τῆς

Digitized by Google

Μερρώης (οὕτω γὰρ ἡ Θέρμουθις ἐκαλεῖτο) τελευτησάσης, ἑρμαιον ὁ Φαραὼ τὸν καιρὸν ἡγησάμενος, προστάττει Μωϋσῇ καὶ Χανενώθῃ εἰς τοὺς ὑπὲρ Αἰγύπτου τόπους κηδεῦσαι αὐτήν. Ἀφικνουμένων δὲ αὐτῶν, εἷς τις τῶν συνειδότων τὴν γνώμην τοῦ Φαραὼ ἀνακοινοῦται τῷ Μωϋσῇ· καὶ φυλάξας ἑαυτὸν πάντοθεν ὁ Μωϋσῆς, τὴν Μερρόην ἔθαψε, καὶ τὸν τόπον καὶ τὸν ποταμὸν Μερρόην ἐξ αὐτῆς προσηγόρευσεν. Αὐτὸς δὲ ἐκ μὲν Μέμφεως τὸν Νεῖλον διαπορθμεύσας, καθ' ὑπόθεσιν Ἀαρὼν τοῦ ἀδελφοῦ αὐτοῦ, εἰς τὴν Ἀραβίαν ἀπέφευγεν· ὁ δὲ Χανενώθης πυθόμενος, γυμνώσας τὸ ξίφος ὑπαντιάζει αὐτῷ· ὁ δὲ Μωϋσῆς κατεῖχεν αὐτοῦ τὴν χεῖρα, καὶ ἐκσπάσας τὸ ξίφος αὐτοῦ τῆς χειρὸς, τῷ οἰκείῳ ξίφει αὐτὸν διεχειρίσατο, καὶ εἰς Ἀραβίαν πρὸς Ῥαγουήλον τὸν τῶν τόπων ἄρχοντα παρεγένετο, καὶ τὴν θυγατέρα αὐτοῦ Σεπφόραν ἀγόμενος, ἐξ αὐτῆς δύο παῖδας ἐγέννησεν.

A ingens oblatum se nactum Pharao existimans tempus, Moysi et Chanenothæ jubet extra fines Ægypti filiæ justa facere. Quo cum pervenissent, unus ex consciis mentem Pharaonis illi communicat. Moyses sibi undequaque cavens Meroem sepeliit, et locum, et fluvium Meroem ex ea nominavit. Ipseque ex Memphi, Nilo trajecto, nomine Aaronis fratris in Arabiam fugit; quod ubi præsensit Chanenothes, stricto gladio adversus impetit: verum Moyses deprehensa manu, enseque illius arrepto, ejusmet illius gladio jugulat, et in Arabiam ad Raguelem regionis principem migrat [10], et ex ejus filia Sepphora sibi in matrimonium collocata, duos suscepit filios.

Ὁ δὲ Φαραὼ, πᾶσαν τὴν δραματουργίαν τοῦ Μωϋσέως πυθόμενος, τὸν θυμὸν ἐπὶ τὸ πλῆθος τῶν Ἰουδαίων ἔχει, καὶ ἄρδην τούτους ἀναιρεῖσθαι προσέταξε· μόνους γὰρ αὐτοὺς λινῆν ἐσθῆτα φορεῖν κελεύσας διὰ τὸ εὔσημον, εἰς σφαγὴν αὐτοὺς τοῖς Αἰγυπτίοις ἐκδίδωσιν· ἐφ' ᾧ ὁ Θεὸς μεγίστῃ τιμωρίᾳ τοῦτον ἐκόλασε· πρῶτος γὰρ παντὸς ἀνθρώπου ἐλεφαντιάσας ὁ Φαραὼ, αἰσχρῷ τὸν βίον τέλει κατέλυσεν. Ὁ δὲ τούτου τὴν αὐτὴν ἀρχὴν τῆς βασιλείας διαδεξάμενος, ὁμοῦ καὶ τῆς πονηρίας αὐτοῦ ἦν διάδοχος· τοῖς γὰρ αὐτοῖς κακοῖς τοὺς Ἰουδαίους ὑπέβαλλε.

B Pharao ubi Moysis factum audiit, iram in Judæorum multitudinem effudit, eosque internecioni tradi prorsus mandavit; tantum enim eos lineo vestimento indui jussit, ut facilius cognoscerentur, sicque occidendos Ægyptiis tradit; pro quo Deus maximo supplicio eum punivit; omnium enim hominum primus Pharao, elephantiasi, fœdissimo fine, vitam amisit. Hujus in dominatu successor, simul et illius vitiorum hæres fuit. Iisdem quippe malis Judæos conficiebat.

Καὶ θρήνου πολλοῦ περιέχοντος αὐτοὺς, ὁ Θεὸς οἶκτον λαβὼν αὐτῶν, τὸν Μωϋσῆν ἐξέπεμψεν εἰς τὴν Αἴγυπτον, προστάττων τῷ Φαραὼ ἀπολῦσαι τῶν Ἰουδαίων τὸ ἔθνος εἰς τὴν ἔρημον, ὥστε λατρεῦσαι αὐτῷ.

Inde maximo planctu interpellante, Deus eorum misertus Moysem in Ægyptum misit [11], Pharaoni præcipiens Judæorum nationem liberam dimittere in desertum, ut illi deserviret.

C

Ἐπὶ γοῦν τῇ τοιαύτῃ ῥήσει τοῦ Μωϋσέως χαλεπήνας ὁ Φαραὼ, εἰς εἱρκτὴν παραχρῆμα ἐμβληθῆναι αὐτὸν προσέταξε· καὶ διὰ τῆς νυκτὸς σεισμῷ διεσείσθη πᾶσα ἡ γῆ, ὡς τινὰς τῶν φυλάκων ἐκ τοῦ δέους ψυχορραγῆσαι, τινὰς δὲ ὕπνῳ βαθεῖ παρεθεῖναι τὰ μέλη· αὐτὰς δὲ τὰς πύλας τῆς εἱρκτῆς ἀναπετασθῆναι, καὶ ἐξελθεῖν τὸν Μωϋσῆν, καὶ παραγενέσθαι νυκτὸς εἰς τὰ βασίλεια· καὶ γὰρ κἀκείνου αἱ θύραι κλονουμένης τῆς γῆς διέστησαν· καὶ πάντων τῶν σωματοφυλάκων καθευδόντων, διύπνησε τὸν Φαραὼ λέγων· « Ὁ Θεὸς ἐξαπέστειλέ με ἀπολῦσαι προστάττων σοι τὸν τῶν Ἰουδαίων λαόν. » Ὁ δὲ καταπλαγεὶς ἠρώτα καὶ ποῖος οὗτός ἐστι, καὶ τί τὸ ὄνομα τοῦ ἀποστείλαντος αὐτὸν Θεοῦ· ὁ δὲ Μωϋσῆς, προκύψας εἰς τὴν ἀκοὴν αὐτοῦ, τοῦ Θεοῦ τὸ ὄνομα αὐτῷ διεσάφησε· καὶ μὴ καρτερήσας τὴν ἀκοὴν ὁ Φαραὼ, ἐπὶ τῆς γῆς ἔπεσεν ἄφωνος. Καὶ προσελθὼν ἤγειρεν αὐτὸν ὁ Μωϋσῆς, καὶ εἰς δέλτον τὸ πανάγιον ὄνομα ἐγχαράξας, ἐσφράγισε· καί τις τῶν παρ' Αἰγυπτίοις ἱερέων, φαυλίσαι τοῦτο τολμήσας τὸ ὄνομα, σπασμονῇ εὐθέως τὸν βίον κατέλυσε.

Hoc Moysis dictum ægre ferens Pharao comprehensum illico in custodiam tradidit includendum, et per noctem terræ motibus universus terrarum orbis conquassatus est, ita ut multi ex custodibus timore perculsi, animam efflarint, multi etiam gravi somno correpti, membris fuerint dissoluti, ipsæ custodiæ fores pares patentes apertæ sint, Moysesque ereptus ad regiam pervenerit, cujus portæ dum terra contremisceret, divisæ sunt; et omnibus custodibus corporis somno correptis, Moyses excitavit Pharaonem, dicens: « Deus misit me, ut Judæorum populum dimittas, tibi mandans; » ille perterrefactus quærebat, quis hic esset, et quod nomen Dei, qui illum miserat. Moyses se ad aurem illius admovens, nomen Dei manifestavit; Pharao, tanti nominis audiendi impar, voce amissa in terram decidit, et accedens Moyses, eum erexit, nomenque sanctissimum chartæ inscriptum sigillo obsignavit, et unus ex sacerdotibus Ægyptiis, nomen hoc parvi facere ausus, statim spasmo vitam abjecit.

D

Ὁ δὲ Φαραὼ ποιῆσαί τι σημεῖον τὸν Μωϋσῆν ἐπέτρεπε· καὶ ὁ Μωϋσῆς, ἣν κατεῖχε ῥάβδον ἀφεὶς ἐπὶ τῆς γῆς, εἰς ὄφιν αὐτὴν μετέβαλε· καὶ πάλιν αὐτῆς ἁψάμενος, εἰς τὸ ἀρχαῖον ἀποκατέστησε.

Pharao signum a Moyse poscebat, et Moyses baculum, quem præ manibus habebat, in terram conjectum, in serpentem commutavit [12], quem iterum cum tetigisset, pristinam illi formam restituit.

[10] *Exod.* II. [11] *Exod.* III. [12] *Exod.* VII.

Digitized by Google

Porro cum neque hoc cederet ad populum dimittendum, orante Moyse Deum, magnus terræ motus una cum grandine factus est ut qui terræ motum evitando e domibus egressus sit, a grandine perderetur ; qui rursus grandinem declinando, in domos aufugeret, terræ motu corrueret.

Quando autem neque hoc flecti potuit, baculo Nili aqua cæsa, totam fere Ægyptum inundans fluvius parum abfuit quin immerserit, ita ut ab eo tempore ad hoc usque ipse suos descensus iteret. Itaque Pharao sacerdotibus omnibus, qui Memphim incolebant, convocatis, ni eadem quæ et Moyses miracula efficerent, mortem illis, deorumque fanis ruinam minatus est. Qui carminibus magicis, ut solebant, dracones ut serperent fecerunt, fluminisque colorem mutarunt, ita ut his inflatus Pharao, maximis suppliciis Judæos affecerit; et Moyses baculo pulsata terra, alatum animal produxit, quod Ægyptiorum insidens corporibus operosis, molestisque ulceribus defatigabat, ita ut medicamenta nullam possent afferre utilitatem.

Ut et in hac plaga Pharao induratus est [13], tandem primogenitos totius Ægypti morte delevit : quare ingenti luctu Ægypto occupata e terra omnes Pharao Judæos emisit, qui multam viam progressi, fluminibusque Arabiæ trajectis, tertia die in mare Rubrum conveniunt. Sed Deo cor Pharaonis indurante, rursus Ægyptii, præteritorum malorum obliti, cum Pharaone Israelitas persequebantur [14].

Cæterum nemo Pharaonem in rerum agendarum stuporem a Deo vi coactum impelli existimet ; etenim Deum is injustitiæ accusat, dum dicit : Si ipse est qui cor indurat, ut quid indurato succenset? Verum sciat, has plagarum inducias stuporis illi causam fuisse ; cum enim in eum plagas inferebat, populum dimittere promittebat ; verum ubi a suppliciis abstinebat, ille indurabatur ; hoc enim, et verbis ipsis Scriptura nobis insinuat, cum ait [15] : *Videns autem Pharao, quod facta esset respiratio, aggravavit cor suum, et non audivit eos, sicut locutus est Dominus;* et [16] : *In hoc ipsum excitavi te, ut ostendam in te totum robur meum.*

Quæ dum audis, cave id malo sensu percipias, dicens : Quas ob causas eos punit prius illos, ut sibi obstent, præparans? quare vapulant, si ab injustitia Deus abhorret? Sed scito primum, quæ apud Scripturam adversari sibi videntur, non discursibus, sed exemplis dissolvenda esse.

Quemadmodum enim medicorum optimi qui humano generi commodo utilitatique esse student, decreto ultimo morti subactos expostulantes, eos in membra incidunt, ut per morti obnoxios, homines fructum aliquem consequantur : sic Deus omnem

A Τούτου δὲ ἐπὶ τοῦτο μὴ εἴξαντος ἀπολῦσαι τὸν λαὸν, εὐξαμένου τοῦ Μωϋσῆ πρὸς τὸν Θεὸν, σεισμὸς μέγας μετὰ χαλάζης ἐνέσκηψεν, ὡς τὸν φεύγοντα ἐκ τῶν δωμάτων τὸν σεισμὸν ὑπὸ τῆς χαλάζης ἀπόλλυσθαι, τοὺς δ' αὖ πάλιν τὴν χάλαζαν ἐκκλίνειν σπεύδοντας ὑπὸ τοῦ σεισμοῦ καταφθείρεσθαι.

Ὡς δὲ καὶ ἐπὶ τοῦτο ἔμεινεν ἀδυσώπητος, τῇ ῥάβδῳ τὸ Νειλῶιον ὕδωρ ἐπάταξε, καὶ τὴν Αἴγυπτον πλημμυρήσας ὁ ποταμὸς, μικροῦ δεῖν πᾶσαν ἐπέκλυσεν, ὡς ἔκτοτε ἄχρι τοῦ νῦν ποιεῖσθαι αὐτὸν τὴν κατάβασιν. Ὁ γοῦν Φαραὼ, τοὺς ὑπὲρ Μέμφιν ἱερεῖς προσκαλεσάμενος, ἠπείλησεν αὐτούς τε καὶ πάντας τοὺς τῶν εἰδώλων ἐξαφανίσαι σηκοὺς, εἰ μὴ τῷ Μωϋσῆ παραπλησίως τερατουργήσειαν. Οἱ δὲ, ταῖς εἰωθυίαις γοητείαις χρησάμενοι, δράκοντας ἐξέρπειν ἐποίησαν, καὶ τὸν ποταμὸν δοκῆσει μετέχρωσαν, ὡς ἐκ τούτου B τυφωθέντα τὸν Φαραὼ τιμωρίᾳ μεγίστῃ τοὺς Ἰουδαίους ὑποβαλεῖν. Καὶ ὁ Μωϋσῆς, τῇ ῥάβδῳ παίσας τὴν γῆν, πτηνόν τι ζῶον ἐξερπύσαι αὐτὴν παρεσκεύασεν, ὅπερ τοῖς σώμασιν ἐφιζάνον τῶν Αἰγυπτίων ἑλκώσεις ἀνιαρὰς αὐτοῖς παρείχετο, ὡς μηδεμίαν τὴν ἰατρικὴν ποιῆσαι τούτοις ἐπικουρίαν δύνασθαι.

Ὡς δὲ καὶ ἐπὶ τῆς μάστιγος ταύτης ἐσκληρύνθη Φαραὼ, τελευταῖον θανάτῳ τὰ πρωτότοκα τῆς Αἰγύπτου πάσης ὑπέβαλε. Καὶ πένθους ἐπὶ τοῦτο ἀμέτρου καταλαβόντος τὴν Αἴγυπτον, ἀπὸ τῆς χώρας παγγενῆ πάντας ὁ Φαραὼ τοὺς Ἰουδαίους ἐξέπεμψε· καὶ πολλὴν οὗτοι ὁδὸν διανύσαντες, καὶ τοὺς Ἀραβίας διαβάντες ποταμοὺς, τριταῖοι ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν παρεγένοντο. Τοῦ δὲ Θεοῦ τὴν καρδίαν σκληρύναντος τοῦ Φαραὼ, πάλιν οἱ Αἰγύπτιοι ἐπιλησθέντες τῶν προλαβόντων κακῶν, τοὺς Ἰσραηλίτας ἅμα τῷ Φαραὼ ἐπεδίωκον.

C Μηδεὶς δὲ ὑπολάβῃ τὸν Φαραὼ ὑπὸ τοῦ Θεοῦ εἰς ἀναισθησίαν τῶν πραττομένων χωρεῖν ἐκβιάζεσθαι· ἀδικίας γὰρ ἴσως τοῦ Θεοῦ ὁ τοιοῦτος καταψηφίζεται φάσκων· Εἰ αὐτὸς σκληρύνει τὴν καρδίαν, τί μέμφεται τῷ σκληρυνομένῳ; Ἀλλὰ γινωσκέτω, ὅτι ἀνοχὴ τῶν μαστίγων αἰτία τῆς πωρώσεως αὐτῷ ἐγίνετο· ἡνίκα γὰρ ἐπῆγεν ἐπ' αὐτὸν τὰς πληγὰς, ἀπολύειν τὸν λαὸν ἐπηγγείλατο· ἡνίκα δὲ ἠφίει τῶν βασάνων αὐτὸν, ἐσκληρύνετο· τοῦτο γὰρ ἐπὶ λέξεως σημαίνει καὶ ἡ Γραφὴ λέγουσα· *Ἰδὼν δὲ Φαραὼ, ὅτι γέγονεν ἀνάψυξις, ἐβάρυνε τὴν καρδίαν αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν ὁ Κύριος·* καὶ, *Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ πᾶσαν τὴν δύναμίν μου.*

D Ἀλλ' ἀκούων μὴ δυσφήμως ὑπολάβῃς, λέγων· Διὰ τί τιμωρεῖται αὐτοὺς, ἀντιστῆναι αὐτῷ παρασκευάζων αὐτόν; διὰ τί τύπτει, εἰ οὐκ ἔστιν ἀδικία παρὰ τῷ Θεῷ; Ἀλλὰ γινωσκέτω πρῶτον, ὅτι τὰ δοκοῦντα εἶναι ἀντιλεγόμενα παρὰ τῇ Γραφῇ, οὐ λογισμοῖς, ἀλλὰ παραδείγμασι λύεται.

Ὥσπερ γὰρ οἱ ἄριστοι τῶν ἰατρῶν, ὠφέλιμόν τι ἐπινοῆσαι τῇ ἀνθρωπίνῃ φύσει σπουδάζοντες, τοὺς θανατικῇ ἀποφάσει ὑποβληθέντας αἰτησαμένοι ἀνατέμνουσιν, ἵνα διὰ τῶν ὑποδίκων τῷ θανάτῳ ὠφέλιμόν τι τοῖς ἀνθρώποις ἐφεύρωσιν· οὕτως ὁ πᾶσαν ἀνθρωπι-

[13] *Exod.* XII. [14] *Exod.* XIV. [15] *Exod.* VIII. [16] *Exod.* IX.

Digitized by Google

V. Viro docto monenti morem gessimus. Et primum quidem omnia exscripsimus quæ in *Parallelis* Rupefucaldinis occurrunt, ad textum Titi Bostrensis *adversus Manichæos* evulgatum sive castigandum sive supplendum; eaque ad calcem rejecimus : quo scilicet quisque locorum collatione instituta, de lectionum veritate judicium ferat. Deinde notulas textui subjecimus, quibus tum *Parallelorum* loca indicantur, tum etiam locis vexatis aut corruptis lux affunditur, aut integritas restituitur. In idem præterea consilium nonnulla sumus ex Photio mutuati. Ad hæc quatuor librorum integri operis Titi argumenta subdidimus. Denique trium superstitum librorum lemmata contexuimus, quibus conspectus totius operis exhibetur.

VI. His porro addita est *Oratio in Ramos palmarum*, quæ sub Titi Bostrensis nomine circumfertur. Qui ex codice regio eam edidit Combefisius (*n*), dubitat ejus ne sit de quo hic sermo, an vero alterius junioris, cujus *Commentarii in Lucam* esse feruntur. Nimirum duos ille Titos Bostrenorum episcopos commentus est ; cum tamen veteres unum tantum agnoscant. Alibi autem idem editor nihil vetare ait (*o*), uti nec aliquid cogere, quin hæc ipsa oratio seniori detur. Simulque subdit : « Cujuscunque vero sit, opus est eruditum, egregiis refertum sensis, ac dogmatis accuratum, ut quisque theologus ipsa statim lectione videbit. Locos Scripturæ scite admodum exponit ac applicat, ut nihil desiderari videatur. » Sed hæc satis de Tito Bostrensi. Cæterum de *Commentariis in Lucam* ejus nomine inscriptis, nos alias opportunius

(*a*) Hieron. *De vir. illustr.*, cap. 102.
(*b*) Epiph. hær. LXVI, cap. 21.
(*c*) Tillem. *Mem. eccl.* tom. VII, pag. 383.
(*d*) Phot. *Bibl.* cod. CCXXXII, pag. 894 seq. edit. Rothom.
(*e*) Id. ibid. cod. LXXXV, pag. 203.
(*f*) Basnag. ad *Thes.* Canis. tom. I, pag. 57, § III.
(*g*) Lequien. *Or. Christ.* tom. I, pag. 602.
(*h*) Maxim. Opp. tom. II, pag. 65.
(*i*) Petr. Sic. *Hist. Manich.*, pag. 30.
(*j*) Phot. lib. I *Contr. Manich.*, § XIV, apud Wolf. *Anecd. Gr.* tom. I, pag. 54.
(*k*) Canis. *Lect. antiq.* tom. V, pagg. 36 seqq.
(*l*) Basnag. *Thes.* Canis. tom. I, pagg. 39 seqq.
(*m*) Wessel. *Probab. lib. sing.* cap. 20, pagg. 166 seqq.
(*n*) Combef. *Auct. nov.* tom. I, pag. 635 - 651.
(*o*) Id. in recens. auct. ad tom. I *Bibl. conc.*, pag. 49.

Digitized by Google

TITI BOSTRENSIS EPISCOPI
LIBRI TRES ADVERSUS MANICHÆOS.

INTERPRETE FRANCISCO TURRIANO S. J.

LIBER PRIMUS.

CAP. I. *Origo Manichæismi.*

Πᾶσι μὲν οἷς γέγονε διὰ σπουδῆς τῶν ἐν ἀνθρώ- A
ποις ἁμαρτανομένων τὰς αἰτίας ἐξελεῖν Θεοῦ, ὅσιός τε καὶ ἀληθὴς γέγονε κατὰ τοῦτο τῶν τοιούτων ὁ σκοπός· εἴγε μὴ διαφυγόντες τὸ προνοεῖν τῶν καθ' ἡμᾶς τὸν Θεὸν, εὐλόγως καὶ φιλαλήθως ἀνθρώποις ἀνέθηκαν τὰ σφῶν αὐτῶν ἁμαρτήματα· ἐπεὶ τοιγε μικρὸν ἴασθαί τι βουληθέντες, μείζονι καὶ χαλεπῷ νοσήματι τῆς ἀσεβείας περιέπεσον, εἰς ἄρνησιν τῆς ἐν παντὶ φαινομένης τοῦ Θεοῦ προνοίας ἐμπεσόντες. Ὁ δὲ μανεὶς ἐκ βαρβάρων καὶ τῆς μανίας αὐτῆς ἐπώνυμος, ἔτι πρὸς ἀσέβειαν βλαβερωτέρῳ φαρμάκῳ κατεχρήσατο· κακίας γὰρ ἀναίτιον ἀποδεῖξαι τὸν Θεὸν βουληθεὶς, κακίαν προῖὼν ἀντέστησεν αὐτῷ· ἀγέννητον, ὥς φησιν, ἀγεννήτῳ, ζῶσαν ζῶντι, ἀεὶ μὲν ἐπανισταμένην καὶ μαχομένην, καὶ οὔποτε μὴ οὐχὶ πράγματα παρέχουσαν αὐτῷ· ἀναιρεθῆναι δὲ πρὸς B
αὐτοῦ παντελῶς μὴ δυναμένην, ὡς ἀΐδιόν τε καὶ συμπεπληρωμένην τὴν οὐσίαν καὶ ἀγένητον· καὶ *καπνὸν*, ὥς φασι, *φεύγων, ἐμπέπτωκεν εἰς τὸ πῦρ.* Ἵνα γὰρ μὴ τῶν παρ' ἡμῖν, ὡς οἴεται, κακῶν ὑπέχειν δοκῇ τὰς αἰτίας ὁ Θεὸς, αὐτός γε ὅλης τινὸς καὶ ὁλοκλήρου παρ' αὐτῷ κακίας παραπολαύειν. Τί γὰρ εἰ μακροθύμως καὶ σοφῶς, ὥς φησι, μεταχειρίζεται; ἀλλ' ὅμως οὐκ ἀπολέμητος ἂν εἴη κατά γε τὴν τοιαύτην ὑπόθεσιν· οὗ τί ἂν γένοιτο τῶν πρεπόντων περὶ Θεοῦ λογισμῶν ἀλλοτριώτερον;

Quibus studium est causas eorum quæ homines peccant, a Deo removere, aiunt sanctum et verum esse Deum : huc spectant tales, et hoc eis propositum est tueri. Cum enim non negant procurare Deum res nostras, recte ac vere hominibus peccata eorum assignant ; alioqui parum quid sanare qui voluerunt, in graviorem et difficiliorem impietatis ægritudinem inciderunt, Dei providentiam, quæ in universitate rerum cernitur, negantes. Manichæus vero, qui a barbarie et furore nomen ducit, nocentiore adhuc contra impietatem remedio abusus est : cum enim demonstrare voluisset non esse Deum auctorem mali, malum ei opposuit, ingenitum, ut ait, ingenito, vivum vivo, semper obsistens ac repugnans, et nunquam non negotium et molestias inferens ; quodque ab eo funditus exstingui et interire nequeat, utpote æterna et completa substantia, tanquam ingenita : sic *fugiens fumum*, ut est in Proverbio, *in ignem incidit*. Etenim ne videatur Deus, ut Manichæus existimat, nostrorum malorum esse in causa, ex toto quodam et integro malo apud se fructum fingit percipere. Quid enim, si res tractat Deus, ut Manichæus ait, toleranter et sapienter? at nunquam, opinione hujus, bello et pugna carebit : quo quid potest de Deo quod minus eum deceat, cogitari?

CAP. II. *Catholicorum sententia.*

Ὅτι μὲν γὰρ εὐσεβὲς τῶν παρὰ ἀνθρώποις ἀδι- C
κημάτων ἀναίτιον παντὶ σθένει τὸν Θεὸν ὁμολογεῖν, πρῶτος πρεσβεύειν ἐσπούδακε τῆς καθολικῆς Ἐκκλησίας ὁ λόγος· ζητουμένου δὲ, τίνα τρόπον πλημμελοῦμεν ἡμεῖς, τοῦ Θεοῦ μὴ βουλομένου, οὐ περὶ μειζόνων κατηγοροῦμεν Θεοῦ, περὶ μικροτέρων, ὥσπερ ἐκεῖνος, ἀπολογεῖσθαι βουλόμενοι (1).

Ἀλλ' αὐτὴν τῆς ἀληθείας τὴν ὁδὸν, ἔκ τε τῶν ἁγίων Γραφῶν καὶ τῶν κοινῶν ἐννοιῶν ἔχοντες, ἀσφαλῶς ὁδεύομεν (1*) πρὸς τὴν τοιαύτην ζήτησιν, τῷ γε αὐτοῖς φιλαλήθως προσεγκαλεῖν, εὐσεβῆ τὴν ἀπόδειξιν τὴν ὑπὲρ Θεοῦ ποιούμενοι· οὐ γὰρ ἵνα τῷ λόγῳ διαφεύγωμεν, ὧν εἰς ἀλλήλους πλημμελοῦμεν τὰ ἐγκλήματα, προσῆκεν εἰς Θεὸν ἀσεβεῖν, πραττομένους παρ' αὐτοῦ τὰ πάντων ὑβριστικώτερα καὶ μηδαμῶς D
ὄντα

Si qui viam veritatis ex sanctis Scripturis et ex communibus notionibus cognitam habemus, pergamus firme ad talem quæstionem, piam argumentationem pro Deo concludentes, nos ipsos studio veritatis accusando : non enim ut verbo accusationem eorum, quæ in nos inter nos peccamus, declinemus, decebat in Deum impios esse, poscentes ab eo quæ sunt contumeliosiora omnibus, et quæ nequaquam sunt.

(1) Vulg., Βουλόμενος. EDIT.

(1*) Forte, ὁδεύωμεν. EDIT.

Digitized by Google

Præterea qui existimamus peccata apud homines sanabilia esse, utpote quæ non a principio quodam contra eos effluant, sed alio modo a nobis fiant (quem disputatio suo tempore explanabit), non solum non sumus in Deum impii, non audentes conjecturam facere, non posse Deum propter difficultatem resistere vitio quod ei non inest, sed quæ a nobis vitiose aguntur, nitimur in eis cessare; cum iis qui advertunt, demonstramus, quæ a nobis principium ducunt, ut fiant, per nos etiam, ne fiant, finem assequi, tametsi non apud omnes; non enim hoc generale in singulis est, sed in singulis eorum qui studium adhibuerunt (judicium tamen universi est, posse esse in singulis). Verumtamen qui barbare cum impietatem excogitavit, fingens malum sine principio, contra Deum vere principio carentem, ac solum, et hoc secundum principium insane constituens, non solum malum collocat in ordine æquali Deo, tanquam hoc honorare velit, quod scilicet odit; sed mala, quæ ex malo quod principio caret, insanabilia penitus esse, cum necessario affirmat, facit insidiose, ut existiment qui ei credunt, injustitiam non posse apud homines corrigi. Ita ut anticipata voluptate peccatorum, pro conversione desperatio objiciatur; quasi fieri non possit, ut impetus vitii quod principio caret, coerceatur. Præterquam si quis cupiditate gloriæ, quod plus boni, ut isti fingunt, habere videatur, studium adhibeat, ut, quoad fieri potest, non peccet, ut manifestum faciat, non aliunde quam a se peccatum proficisci. Existimabitur tamen apud ipsos melior esse propter admistionem naturæ, qui non natura, sed labore et sudore usus est, qui quidem putabit se laudari, cum alioqui vera laude privetur. Veram enim gloriam ex labore ac studio virtutis proficiscentem relinquens, si quidem pietati erga Deum studebat, necessitatem naturæ rapinam esse falso ducit, qui utilitatem industriæ ad impietatem in Deum adhibet; ut nec animus ignaviæ et inertiæ deditus, cum male agit, pungatur, si quidem alteri cuidam principio actiones ascribit: neque qui studio utitur, laude dignus habeatur, quippe qui in id cogitatione incumbat, quod est omnium atrocissimum, institui scilicet ad impietatem adversus Deum.

Πρὸς δὲ τούτοις ἴάσιμα τὰ παρὰ ἀνθρώποις ἁμαρτήματα νομίζοντες, ἅτε δὴ μὴ ὡς ἀπό τινος ἀρχῆς καθ' ἡμῶν ῥέοντα, ἀλλ' ἕτερόν τινα τρόπον πρὸς ἡμῶν πραττόμενα (ὃν ὁ λόγος σαφῶς κατὰ καιρὸν ἑρμηνεύσει), οὐ μόνον εἰς Θεὸν οὐκ ἀσεβοῦμεν, μὴ τολμῶντες αὐτοῦ καταστοχάζεσθαι χαλεπὴν ἀδυναμίαν, τοῦ ἀνθεστάναι κακίᾳ τῇ μὴ οὔσῃ, ἀλλὰ καὶ τὰ πραττόμενα πρὸς ἡμῶν κακίας τρόπῳ παύειν ἐπιχειροῦμεν, τῷ γε σαφῶς τοῖς προσέχουσιν ἀποδεικνῦναι, ὡς τὰ πρὸς ἡμῶν ἀλήθειαν ἔχοντα τοῦ γίγνεσθαι τὴν ἀρχὴν, δι' ἡμῶν ἂν καὶ τέλος τοῦ μὴ γίγνεσθαι λάβοι, εἰ καὶ μὴ παρὰ πᾶσιν· οὐ γὰρ ἐφ' ἑκάστῳ τὸ καθόλου, ἀλλά γε παρ' ἑκάστῳ τῶν ἐσπουδακότων (δεῖγμα μέντοι τοῦ καθόλου, τὸ ἐφ' ἑκάστου ἐνδεχόμενον). Ὁ μέντοι βαρβαρικὴν ἀσέβειαν ἐπινοήσας, ἄναρχον κακίαν κατὰ τοῦ Θεοῦ ἀληθῶς ἀνάρχου καὶ μόνου πλασάμενος, καὶ δευτέραν ἀρχὴν ταύτην μανικῶς ὁρισάμενος, οὐ μόνον ἐν ἴσῃ τάξει τίθησι κακίαν Θεῷ, ὥσπερ τιμῆσαι ταύτην ὁ δῆθεν μισῶν προελόμενος, ἀλλὰ καὶ ἀνίατα πάντη τὰ ἐκ τῆς ἀνάρχου ῥέοντα κακὰ ἐπάναγκες φάσκων, ἀδιώρθωτον παρὰ ἀνθρώποις τὴν ἀδικίαν ἐπιβούλως οἴεσθαι ποιεῖ τοὺς πειθομένους αὐτῷ· ὥστε προλήψει τῆς τῶν ἁμαρτημάτων ἡδονῆς προβάλλεσθαι ἀντὶ τῆς ἐπιστροφῆς τὴν ἀπαγόρευσιν, ὡς ἀδύνατον ἀνάρχου κακίας ἐπισχεῖν τὴν φοράν· πλὴν εἰ μή τις ἐπιθυμίᾳ δόξης τοῦ δοκεῖν τὸ πλέον ἐκ τοῦ ἀγαθοῦ ἔχειν, ὡς δὴ μυθολογοῦσι, σπουδάσας μὲν, κατορθώσειεν ὡς οἷόν τε τὸ μὴ ἁμαρτάνειν, ὡς αὐτόθεν ποιῆσαι δῆλον, ὡς οὐκ ἑτέρωθεν, ἀλλὰ παρ' αὐτοῦ ἐπλημμέλει· ὅμως δ' ἀπενέγκηταί τινα δόξαν παρ' αὐτοῖς, ὡς τὴν κρᾶσιν εἴη βελτίων τῆς φύσεως, ὁ μὴ φύσει, πόνῳ δὲ καὶ ἱδρῶτι χρώμενος· ὃς δὴ καὶ ἐπαινεῖσθαι οἷοιτ' ἄν, τοῦ ἀληθοῦς ἐπαίνου στερούμενος. Τὴν γὰρ εὐδοξίαν τοῦ πόνου τῆς ἀρετῆς, εἴγε τῆς εὐσεβείας τῆς πρὸς Θεὸν ἠνύετο, καταλιμπάνων, ἅρπαγμα ψευδῶς τὸ ἀναγκαῖον τῆς φύσεως ἡγεῖται, τὸ χρήσιμον τῆς φιλοπονίας πρὸς ἀσέβειαν κατὰ Θεοῦ μετερχόμενος· ὡς μήτε τὸν ῥᾳστώνῃ προσκείμενον πλήττεσθαι τὸν νοῦν κακοπραγοῦντα, εἴγε ἄλλῃ τῇ ἀρχῇ λογίζοιτο τὰ πραττόμενα, μήτε τὸν σπουδῇ χρώμενον ἄξιον εἶναι θαυμάζεσθαι, καίτοι λογισμῷ πονοῦντα πρὸς τὸ τῶν πάντων χαλεπώτατον, πρὸς ἀσέβειαν κατὰ Θεοῦ παιδαγωγηθῆναι.

Cap. III. *Mali definitio secundum Manichæos.*

Cum vero Manichæi rationem creationis mundi a Deo facti non intelligerent, non solum actiones hominum a ratione aversas excutientes, eo modo quem diximus, lapsi sunt, sed etiam plurimas creaturas, imo fere omnia in crimen vocaverunt, quæ nullam tamen vituperationem vere admittunt; mala autem hæc appellaverunt, in aliis quidem mistionem contrariorum, boni scilicet et mali, ut loquuntur, mentientes; in aliis vero malum simplex et unius formæ reprehendentes: et quantum in ipsis fuit, omnia confuderunt, appellantes mala, quæ minime mala sunt. Si enim injustitiam in qua

Μὴ συνιέντες δὲ οἱ ἀπ' ἐκείνου τῆς τοῦ Θεοῦ δημιουργίας τὸν λόγον, οὐ μόνον τῶν ἀνθρώπων τὰς παραλόγους πράξεις ἐξετάσαντες, τὸν εἰρημένον τρόπον ἐσφάλησαν, ἀλλὰ καὶ πλεῖστα τῶν δημιουργημάτων· μᾶλλον καὶ σχεδὸν ἅπαντα, ψόγον οὐδένα κατὰ τὸ ἀληθὲς ἐπιδεχόμενα, διέβαλον· κακὰ δὲ ταῦτα προσεῖπον, τῶν μὲν κρᾶσιν τῶν ἐναντίων, ὥς φασι, κακοῦ τε καὶ ἀγαθοῦ καταψευσάμενοι, τῶν δὲ μονοειδῆ κακίαν κατειπόντες, καὶ συνέχεαν τόγε ἐπ' αὐτοῖς τὰ πάντα, κακὰ τὰ μηδαμῶς κακὰ προσειπόντες. Εἰ μὲν γὰρ τὴν παρὰ ἀνθρώποις ἀδικίαν μόνην οὖσαν ἀδικίαν διέβαλον εἰς κακίαν, ἐχρῆν μὲν καὶ

Digitized by Google

οὕτως ἀσφαλίζεσθαι τ' ὄνομα καὶ τὴν περὶ αὐτῆς δόξαν, ὡς ὑπαρχούσης καὶ μὴ ὑπαρχούσης, ἔν τε (2) τῷ πράττεσθαι, καὶ μὴ πράττεσθαι· ἥκιστα δὲ ἀρχὴν ἐπεισάγειν αὐτὴν κατὰ Θεοῦ· ὅμως δ' ἂν αὐτοῖς εὐπερίγραπτον ἦν τὸ σφάλμα. Νυνὶ δὲ σχεδὸν ἅπασαν τὴν δημιουργίαν κακίσαντες, ὑπέρογκον τὴν βλασφημίαν κατὰ Θεοῦ πεποίηνται, καὶ παράγουσιν ὡς ὁμολογούμενα τῷ λόγῳ καὶ πάντα τὰ θηρία καὶ τὰ κνώδαλα, οὐκ οἰόμενοι χρῆναι πρὸς ἀγαθοῦ ταῦτα γεγενῆσθαι, οὐκ ἄχρηστα μόνον, ὡς ὑπειλήφασιν ὄντα, ἀλλὰ καὶ λίαν ἀνθρώποις βλαβερώτατα· καίτοιγε δειχθῆναι δυνάμενα, ὡς μᾶλλον ὠφελιμώτερα καὶ χρησιμώτερα τυγχάνει, ἢπερ τὰ ὄντως ἀνθρώποις λυσιτελεῖν δοκοῦντα· καὶ πολλὰ μὲν καὶ ἕτερα συνείρουσιν εἰς διαβολὴν τῶν ὄντων, καὶ τῆς τῶν ὅλων διοικήσεως.

A homines sunt, quæ sola est injustitia, accusarent tanquam malum; sic etiam oportebat nomen et opinionem de ea munire, tanquam quæ esset, dum est actio; aut non esset, dum non est actio: non autem oportebat introducere principium ipsum contra Deum: fuisset tamen eorum error affatim circumscriptus et terminatus. Nunc autem cum fere omnia quæ fabricata sunt, mala esse dicant, blasphemiam in Deum in infinitum auxerunt, et producunt tanquam certa et ratione ac judicio probata, omnes bestias et feras, non putantes oportere facta esse hæc a bono, non solum eorum opinione inutilia, sed hominibus nocentissima. Quamvis demonstrari possint utiliora et commodiora esse quam ea quæ vere hominibus conducere videantur; ac multa quidem alia connectunt ad accusationem rerum et gubernationis universi.

B

Cap. IV. *Methodus disputandi.*

Ὁ δὲ λόγος οὐδὲν ἀναπόδεικτον τῶν τε εἰρημένων καὶ ῥηθησομένων καταλιπεῖν πειράσεται· δύο γὰρ ἐναντίων φύσεων κρᾶσιν ἐν τοῖς οὖσι φανταζόμενοι, διανέμουσι ταύταις τὰ ὄντα κατὰ τὸ δοκοῦν αὐτοῖς. Πόθεν, λέγοντες, τὰ κακά, εἰ μὴ ἔκ τινος ἀρχῆς καὶ ταῦτα τυγχάνει; Εἰ δέ τις ἐρωτήσειε· Ποῖα; συνείρουσι τὰ τῶν ἀνθρώπων ἁμαρτήματα καὶ τὰ τοῦ Θεοῦ δημιουργήματα, καὶ αὐτὴν ὅλην τὴν πάνσοφον οἰκονομίαν κακίζουσιν· ὡς εἴ τις δείξειε πάντα καλῶς καὶ ἀναγκαίως γεγονέναι καὶ γίγνεσθαι, οἴχεται αὐτοῖς ἐξ ἀνάγκης ὁ περὶ τῆς ἐναντίας ἀρχῆς λόγος. Μὴ γὰρ συνιέντες, ὅπως ἔχει τὰ κάτω, ἐπλάσαντο περὶ τὰ ἄνω· μηδὲ καταλαβόντες τίνα τρόπον διάκειται τὰ ὁρώμενα, ἐσυκοφάντησαν τὸ μὴ ὁρώμενον· καὶ γνῶναι σπουδάσαντες διὰ τὸ μὴ γνῶναι, ἀγνοίᾳ μείζονι περιέπεσον· ὡς γὰρ ἐν σκότει τὴν περὶ τῶν φαινομένων ἔννοιαν ζητοῦντες, οὐ μόνον οὐχ εὗρον, ὃ ζητεῖν ἐδόκουν, ἀλλὰ καὶ μεῖζον ἑαυτοῖς τὸ σκότος τῆς ἀγνοίας πεποιήκασιν. Ἡμεῖς δὲ, πρῶτον περὶ τῶν δύο ἐναντίων ἀρχῶν ἃς ὑποτίθενται διαλαβόντες, οὕτως ἥξομεν πρὸς τὴν ὑπὲρ τῶν ὅλων ἀπόδειξιν, ὡς καλῶν καὶ ἀναγκαίων ὄντων ἁπάντων, καὶ ἐκείνων, ὡς προλαβὼν ἔφην, μάλιστα καθ' ὧνπερ πλείστην καταδρομὴν ποιοῦνται, ὡς ὁμολογουμένων κακῶν· ἔτι δὲ καὶ τῆς τῶν ὅλων διοικήσεως, καὶ δι' ὧν πικρίαν αὐτῆς ἀγνωμόνως καταψηφίζονται, τὰ ἀναγκαιότερα οἰκονομούσης, οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν παρὰ ἀνθρώποις ἀδικημάτων, ὡς οὐδὲ διὰ ταῦτα προσῆκε κακίας ἀρχὴν κατὰ Θεοῦ φαντάζεσθαι· δειχθήσεται γὰρ ὡς καὶ ταῦτα τοῦ πεποιηκότος ἡμᾶς ἐμφαίνει τὴν ἀγαθότητα· καὶ οὔτε κατὰ βούλησιν αὐτοῦ πρὸς ἀνθρώπων γίγνεται, οὔτε ἔκ τινος αἰτίας ἢ ἀρχῆς καθ' ἡμῶν φέρεται.

Dabitur vero opera, ut nihil tam eorum quæ dicta, quam quæ dicenda sunt, disputatio non ratione conclusum relinquat: fingunt enim cogitatione duarum naturarum contrariarum admistionem, et his, ut eis videtur, res omnes distribuunt. Undenam, inquiunt, mala, si hæc non ex aliquo principio sunt? Si quis vero percontetur, qualia peccata in homines confertis? Quæcunque fabricatus est Deus, et totam ipsam rerum sapientissimam compositionem ac gubernationem vituperant: ut jam si quis demonstret omnia bene et necessario facta esse et fieri, necesse est excidat C eis et avolet ratio contrarii principii. Cum enim ea quæ infra sunt, non intellexissent, quomodo habeant de iis quæ sunt supra, sunt commenti, neque percepissent quomodo ea quæ videntur, disposita sint, id quod non videtur, calumniati sunt; et cum studere viderentur, ut cognoscerent, quia non cognoverant, in majorem ignorantiam inciderunt: etenim veluti in tenebris quærerent, quæ de iis quæ apparent, ignorabant, non solum non invenerunt, quod quærere videbantur; quin potius majores ignorantiæ tenebras sibi offuderunt. Nos vero primo de duobus principiis contrariis, quæ ponunt, disserentes, ad conclusionem argumentationis de universo veniemus: esse scilicet bona et necessaria omnia, et illa maxime, ut superius dixi, in quæ D maximum impetum et incursum faciunt, quasi omnium concessu mala sint; præterea etiam omnium rerum gubernationem, atque illa in quibus severitatem providentiæ, qua, quæ magis necessaria sunt, procurantur, improbant; et non solum hæc, sed de iis etiam quæ apud homines injuste fiunt, neque propter hæc principium mali contra Deum oportere cogitare: docebimus enim hæc etiam bonitatem Dei qui nos fecit, declarare; et neque ab hominibus fieri secundum voluntatem Dei, nec ex principio quopiam contrario in nos ferri.

Cap. V. *An duo principia opposita.*

Τοιγαροῦν λοιπὸν ἐπὶ τὴν ἀρχὴν τῆς μυθώδους ἀσεβείας αὐτῶν ἔλθωμεν, ἐξετάζοντες, εἰ παραδέ-

Igitur aggrediamur deinceps ad principium impietatis illorum commentitiæ, inquirentes, utrum

(2) Editi, εὖτε. Edit.

Digitized by Google

notiones naturales duo contraria principia rerum admittant: si enim ne consentientia quidem admittunt, multo minus pugnantia. Scribens igitur ille ipse furens Manichæus, ubique incipit: *Erat Deus et materia, lumen, et tenebræ, bonum et malum, in omnibus summe contraria*; ut in nulla re alterum cum altero communionem et societatem haberet, ambo ingenita et viventia: igitur aut disjungent se; aut si fuerint simul, amica et nequaquam contraria esse apparebit. At patet dicere eum, sejuncta esse hæc. Igitur utrumque cum altero finitum et terminatum erit secundum substantiam, et neutrum incircumscriptum et infinitum: circumscribere autem Deum secundum substantiam, et non nosse et confiteri infinitum esse, quomodo non est admodum impium? Quandoquidem non solum circumscribi et terminari substantia Dei videbitur, sed a malo, ut ille ait, hoc accipere. Quod quidem extra communes notiones est, quæ menti suggerunt, ut eum ubique esse noscat, et natura incomprehensum.

A χονται γοῦν αἱ κατὰ φύσιν ἔννοιαι δύο (2') ἐναντίας ἀρχὰς τῶν ὄντων· εἰ γὰρ μηδὲ συμφωνούσας δέξαιντ' (3) ἄν, ἤ πού γε μαχομένας. Γράφων τοίνυν ἐκεῖνος αὐτὸς, ὁ χαλεπώτατα μανεὶς, ἄρχεται πανταχοῦ· Ἦν Θεὸς, καὶ ὕλη· φῶς, καὶ σκότος· ἀγαθὸν, καὶ κακόν· ἐν τοῖς πᾶσιν ἄκρως ἐναντία, ὡς κατὰ μηδὲν ἐπικοινωνεῖν θάτερον θατέρῳ, ἀγέννητά τε καὶ ζῶντα ἄμφω· οὐκοῦν ἢ χωρίσει γε ταῦτα ἀπ' ἀλλήλων, ἢ σὺν ἀλλήλοις ὄντα φίλα καὶ οὐδαμῶς ἐναντία φανήσεται. Ἀλλὰ δῆλον, ὅτι χωρὶς ἀπ' ἀλλήλων καὶ αὐτὸς ταῦτα εἶναί φησιν· ἆρ' οὖν συμπερασμένον ἑκάτερον θατέρῳ τὴν οὐσίαν ἔσται, καὶ οὐδέτερον ἀπεριόριστον· περιορίζειν δὲ κατ' οὐσίαν τὸν Θεὸν, καὶ μὴ ἀπέραντον εἰδέναι τε καὶ ὁμολογεῖν, πῶς οὐ λίαν ἀσεβές; ὁπότε οὐ μόνον περιορίζεσθαι δόξει τὴν οὐσίαν καὶ περιγράφεσθαι, ἀλλὰ B καὶ πρὸς τῆς κακίας, ὡς ἐκεῖνός φησι, τοῦτο πάσχειν. Ὅπερ πρῶτον μὲν τῶν κοινῶν ἐννοιῶν ἐκτὸς, πᾶσιν ὑποβάλλουσιν αὐτὸν γινώσκειν εἶναί τε πανταχοῦ, καὶ ἀπερίληπτον ὑπάρχειν τὴν φύσιν.

Cap. VI. *Deus secundum placita Manichaica finitus.*

Præterea etiam, si hæc necessario a se dissident, non solum Deus, opinione illius insana, naturæ circumscriptæ esse videbitur, sed in privato loco esse, et residere prope contrarium. Quæ enim a se mutuo arcentur, propriis et privatis locis circumscribunt. Excutienda igitur sunt hæc, si ambo contraria tanquam ingenita antiquiora locis erant, aliquando rursus prius erant communiter a pugna C inter se libera. Sin vero disjunctio substantiæ utriusque simul ex æternitate fuit, antiquior erat locus substantiæ utriusque, vel simul cum illis ingenitus. Si autem antiquior, ut jam ambo videantur utriusque loci propagines, non sunt hæc ingenita, nec æterna: quod quidem locis ex quibus hæc exstiterunt, videbitur inesse. Si vero locus est simul cum illis ingenitus, erant plura ingenita, et non jam duo: necesse enim est, ut alia sint illa loca præter hæc quæ in illis sunt, sine quibus nec esse possunt.

Ἔτι μὲν εἰ ταῦτα διέστηκεν ἀναγκαίως ἀλλήλων, οὐ μόνον Θεοῦ κατὰ τὴν ἐκείνου μανίαν δόξει τὴν φύσιν περιορίζεσθαι, ἀλλὰ καὶ ἐν ἰδίῳ τόπῳ τυγχάνειν, καὶ καταμένειν παραπλησίως τῷ ἐναντίῳ. Τὰ γὰρ ὑπ' ἀλλήλων εἰργόμενα, τόποις ἰδίοις δηλαδὴ περιγράφεται. Ἔστιν οὖν ἐξεταστέον, εἰ μὲν πρεσβύτερα τῶν τόπων ἄμφω τὰ ἐναντία ὡς ἀγένητα, ἦν ὅτε πάλιν πρότερον ἐτύγχανε κοινῇ τῆς ἐναντιότητος ἀπηλλαγμένα. Εἰ δὲ συναΐδιος ἑκατέρου τῆς οὐσίας ὁ χωρισμὸς, προγενέστερος ἑκατέρου τῆς οὐσίας ὁ τόπος, ἢ συναγέννητος. Ἀλλ' εἰ μὲν προγενέστερος, ὡς ἑκατέρου τόπου βλάστημα δοκεῖν εἶναι ἑκάτερον, οὔτ' ἀγέννητα ταῦτα, οὔτε ἄϊδια· ὅπερ ὑπάρχειν δόξει τοῖς τόποις ἐξ ὧν ταῦτα· εἰ δὲ συναγένητος ἔσται, πλείω, καὶ οὐκέτι δύο τὰ ἀγένητα· ἀνάγκη γὰρ ἕτερα τυγχάνειν ἐκεῖνα παρὰ ταῦτα, ἐν οἷς ἐστι ταῦτα, ὧν ἄνευ οὐδὲ εἶναι δυνήσεται.

Cap. VII. *Spatium inter duo principia quodnam?*

Ad hæc poscendum est ab istis intermedium, et utrisque interjectum, quod alterius cum altero communitatem arceat et prohibeat, ne finibus inter se commista, rursus rationem ac naturam contrariorum tollant. Quid igitur erit istud, quod ambo illa disterminet, et intersepiat? opus enim habet apud istos cujusdam tertii commentum fabulæ. An dicturi sunt nobis, esse murum adamantinum, aut aliud quid delirum? Cujusnam vero providentia hoc quidquid sit, interseptum esse dicent? utricunque enim contrariorum hoc assignare velint tanquam postea immissum, non reperient exitum in hac causa, neque se hinc expedient. Revocata enim

D Πρὸς δὲ τούτοις καὶ μεθόριον ἀμφοτέρων ἀπαιτητέον, διεῖργον καὶ διακωλῦον ἑκατέρῳ τὴν πρὸς θάτερον κοινωνίαν, ἵνα μὴ, διὰ τῶν τερμάτων αὖθις ἀλλήλοις καταμιγνύμενα, τὸν τῆς ἐναντιότητος διαφθείρῃ λόγον. Τί τοίνυν ἔσται τὸ διαφράττον καὶ διεῖργον ἄμφω; τρίτου γάρ τινος κατ' οὐσίαν χρείαν ἔχει παρ' αὐτοῖς τῆς μυθολογίας τὸ πλάσμα. Ἆρ' οὖν τὸ ἀδαμάντινον τεῖχος ἐροῦσιν ἡμῖν, ἤ τι ἕτερον, παραπαίοντες; Τῇ τίνος δὲ προνοίᾳ τοῦθ' ὅ ποτε (3') φήσουσι παρεγκεῖσθαι; Ὁποτέρῳ γὰρ τῶν ἐναντίων βουληθεῖεν ἀναθεῖναι τοῦτο, ὡς ὕστερόν ποτε παρεμβληθὲν, ἄπορος αὐτοῖς ἡ ὑπόθεσις εὑρεθήσεται. Πρὸς γὰρ τὸ ἀρχαιότερον ἀναβὰς ὁ λόγος αὖθις φωράσει

(2') *Δύο*. In cod. ms. erat διό, nullo plane sensu; ideoque illud omiserat Turrianus: reposuimus δύο; duo quippe tuebatur principia Manes. Basn.

(3) Vulg., δόξαιντ'. Edit.

(3') Forte, τοῦτό ποτε, vel τοῦθ', ὅ τί ποτε. Edit.

Digitized by Google

τὰ ἐναντία ἀλλήλων ἀχώριστα, ὡς οὐδαμῶς ἐναντία. Εἰ δὲ μηδετέρου προνοίᾳ τὸ μεθόριον, ὃ δηλοῦσιν, ὑπάρξαι φήσουσιν, ἕτερον ἀγέννητον ἐπεισάγοντες ἐξ ἀνάγκης ὁμολογοῦσι, μηδετέρου τῶν ἐναντίων τῆς οὐσίας μετέχον, ἵνα τῷ πάντη διαλλάττειν χωρίζῃ ταῦτα· καὶ εὑρεθήσονται ὄχλον ἀγεννήτων τιθέμενοι, δύο φήσαντες εἶναι.

A ascendendo ad antiquius disputatio rursus deprehendet contraria inter se separata, tanquam nullo modo contraria. Sin vero neutrius providentia interseptum, quod declarant, esse dixerint, necessario fatentur introducere se aliquid ingenitum, quod neutrius substantiam participet, ut omnino dirimendo separet hæc; atque ita fiet, ut reperiantur turbam ingenitorum ponere, qui duo ingenita esse dixerunt.

Τὰ ἀγέννητα, τὸ μέντοι διεῖργον καὶ μεθόριον, εἴτε δὴ τεῖχος, εἴτε γῆ ἄοικος, εἴτε καὶ ὅπερ ἂν θέλοιεν· ποῦ μὲν ἄρ' ἔχει τὴν ἕδραν, ποῦ δὲ τὴν κορυφήν; Ἀλλὰ δῆλον, ὡς κάτω μὲν τὴν ἕδραν· ποῦ δὴ καὶ πόσον; Ἄνω δὲ τὴν κορυφήν· ποῦ καὶ ἐπὶ πόσον; Τὸ γὰρ ἄνω καὶ κάτω δημιουργίας ὀνόματα, πρὸ δημιουργίας· δεῖ μέντοι καὶ βαθύτερον καὶ ὑψηλότερον εἶναι τὸ μεθόριον τῆς τῶν χωριζομένων οὐσίας· ἵνα μὴ κάτωθεν ἢ ἄνωθεν ἐλλεῖψαν, πάροδον τοῖς ἐναντίοις παράσχῃ πρὸς ἄλληλα. Εἰ δὲ σκιᾷ καὶ ἡλίῳ παραβάλλοιεν ὃ καλοῦσι μεθόριον, οἰήσονται μὲν, ὡς οὐδὲν ἐπικοινωνεῖ τῷ ἡλίῳ ἡ σκιὰ, διελεγχθήσονται δὲ χαλεπῶς πρὸς τοῦ Μάνεντος ἠπατημένοι· σκιὰ γὰρ ἡλίου κοινωνίᾳ καὶ δι' ὅλου παρουσίᾳ γένοιτ' ἄν, ὄγκου τινὸς ἀνέχοντος ἐν μέσῳ καὶ πρὸς θάτερον μέρος αὐτὴν παραπέμποντος· καὶ σκιὰ εἴη ἂν οὐδὲν ἕτερον, ἢ τεκμήριον φωτὸς, διά τινος παρεγκειμένου σώματος ἐμποδιζομένου· ἐπεί τοι φωτὸς ἐν νυκτὶ μὴ παρόντος, οὐδ' ἂν σκιὰ μερικὴ γένοιτο. Ἆρ' οὖν, ὅπη σκιὰ, ἐκεῖ φῶς· τὰ γὰρ ἐπέκεινα τῆς σκιᾶς, φωτὶ καταλάμπεται· πλὴν εἰ μή γε τὸ σκιάζον ὕψει τὸ φωτίζον παμπληθεῖ ὑπερβαίνει· κἂν μὴ τὸ γελοιότατον τεῖχος τῷ παραλόγῳ τεθῇ, φῶς ἐν φωτὶ διαιτωμένη φανήσεται ἡ κακία. Πῶς γὰρ ἂν γένοιτο σκιὰ, τοῦ φωτὸς δι' ὅλου κατὰ τῆς ὕλης ὄντος, εἰ μή τι ἐν μέσῳ γε ἀνέχοι, καὶ ἀποκλεῖον δι' ὅλου ποιοῖ αὐτήν; οὗ μὴ (4) παρεγκειμένου, καὶ πλεῖστον ὅσον ἀνέχοντος, κοινὸν ἀΐδιος ἔσται καὶ τῇ κακίᾳ τὸ φῶς.

B Attamen hoc quod disterminat, et interseptum est, sive murus est, sive terra sine domibus, sive aliud quodlibet: nunquid alicubi quidem habet basim, alicubi vero culmen? Atqui perspicuum est, infra quidem habere basim: sed ubi, et quantam? Supra vero culmen, sed ubi, et quantum? Supra enim et infra nomina fabricationis mundi, ante fabricationem sunt apud istos: atqui oportet etiam interseptum profundius et altius esse quam ea quæ disterminantur; ne si quid ex parte inferiori aut superiore deficiat, aditum contrariis præbeat, ut simul sint. Si autem cum umbra et sole comparent illud, quod interseptum vocant, putabunt quidem nihil habere commune umbram cum sole; convincetur tamen, deceptos esse eos turpiter a Manichæo: umbra enim communione solis et præsentia fieri solet mole quadam interposita, quæ communionem et præsentiam solis ad alteram partem transmittit; nihilque aliud umbra est, quam indicium luminis corpore quopiam interjecto impediti: nocte C enim, cum non adest lumen, nec pars umbræ esse potest. Ubi igitur umbra est, ibi lumen; quæ enim ultra umbram sunt, lumine collucent, præterquam cum id quod umbram facit, multa altitudine superat id quod illuminat; et malum in lumine habitans lumen esse apparebit, nisi murum maxime ridiculum positum habent. Quomodo enim umbra esse poterit lumine materiam ex omni parte collustrante, nisi quid in medio prohibeat, et lumen omnino ab ea excludens umbram efficiat? In lumine non videbitur posuisse pro muro ridiculo; quod interpositum si non sit, et quam maxime disterminet, perpetua erit communitas malo cum lumine.

Αὖθις τὸ μεσημβρινὸν μέρος τῇ κακίᾳ διδόντες, ὡς ὄναρ τῆς δημιουργίας διαγράφουσι· ποῦ γὰρ ἦν μεσημβρία πρὸ μεσημβρίας; Ἀτιμότερος δὲ τόπος D ἄλλος ἄλλου τῆς δημιουργίας οὐκ ἂν γένοιτο· τὸ γὰρ εὐώνυμον ὁρῶντι πρὸς δύσιν, δεξιὸν αὖθις εὑρίσκεται πρὸς ἀνατολὰς ἰδόντι. Ἀλλὰ πλείστη μὲν ἡ τοῦδε τοῦ βαρβαρικοῦ δόγματος ἀτοπία· δύο γὰρ ὅλως ἀρχαὶ, πῶς ἂν εἶεν, ἢ κληθεῖεν ἀρχαί; ἀρχὴ γάρ ἐστιν ἥ τε τῶν ὅλων πρεσβυτέρα καὶ τῶν ἁπάντων κρατοῦσα· ὧν οὐδέτερον ὑπάρξειεν ἂν οὐδετέρῳ. Σύγχρονα γὰρ ἅμφω καὶ συναγέννητα, ὄντα τὸν τοῦ προτερεύειν ἀλλήλοις διαφθείρει λόγον. Ἀλλὰ καὶ τῆς ἀρχικῆς ἐξουσίας οὐ μόνον ἀλλήλων ὡς ἐναντία γε ταῦτα ἐξῃρημένα, ἀλλὰ καὶ φύσει μαχόμενα, πῶς ἂν ἔχειν διόλου τὸ ἄρχειν νομισθείη; Εἰ τοίνυν μηδ-

Rursus, meridianam partem malo tribuentes, somnium fabricæ describunt: ubi enim erat meridies ante meridiem? Locus autem in mundi fabrica alius alio inhonoratior non potest esse: quod enim ad lævam est in occasum aspicienti, ad dextram rursus est aspicienti in orientem. Verum absurdissimum est hoc barbaricum dogma; duo enim prorsus principia quomodo principia sint, aut appellentur? siquidem principium est, quod omnibus est antiquius, et omnium tenet principatum et imperium; quorum neutrum in neutro duorum esse potest. Esse enim ambo ejusdem temporis et cognata, rationem eorum inter se principatus et excellentiæ tollit. Imo quæ non solum a principatu potestatis inter se libera sunt, utpote contraria,

(4) *Οὗ μή*. Deesse hic aliquid videtur ex interprete.

Digitized by Google

sed natura pugnant; quomodo cogitari possunt habere omnino principatum? Quodsi ratio principatus neutrum horum incolume servat, quomodo principia vocabuntur?

A ετέρῳ τούτων διασώζεται τῆς ἀρχῆς ὁ λόγος, πῶς ἂν ἀρχαὶ κληθεῖεν

Cap. VIII. *Ratio duo principia non admittit.*

Quomodo rationes naturales admittent, ut sint duo secundum substantiam contraria, ubi primo quidem nomen substantiæ commune est utrisque? Primum igitur, quatenus utrumque substantia est, perspicuum est, convenire inter se, et non esse contraria. Deinde ambo sunt animalia, præterea æqualiter ingenita. Quorum autem eadem sunt nomina, et eadem descriptio, horum substantia quomodo contraria aut pugnans esse potest? Siquidem nomina res significant: dicitur enim de unoquoque quod unumquodque est, ut esse potest. Itaque cognoscimus vim nominum esse res. Utrumque igitur eorum quæ Manichæus contraria putat, substantia vivens et ingenita nominatur; manifestumque est, cum talis error principium ducat a barbaris, esse etiam apud eos sublatam communium notionum consecutionem: integra enim atque eadem est utriusque ex æquo descriptio, quæ non modo omnem contrariorum suspicionem ejicit, sed neque differentiam ullam in iis quæ nominant esse permittit.

Πῶς δ' ἂν οἱ φυσικοὶ λογισμοὶ παραδέξαιντ' ἂν ὑπάρχειν ἐναντία δύο κατ' οὐσίαν, ὅπου γε πρῶτον μὲν τὸ τῆς οὐσίας ἀμφοτέροις ὄνομα κοινόν; Καθὸ τοίνυν πρῶτον ἑκάτερον οὐσία, δῆλον, ὡς ὁμονοοῦντα καὶ οὐκ ἐναντία· ἔπειτα ζῶα ἄμφω· πρὸς δὲ τούτοις ἐπίσης ἀγέννητα. Ὧν δὲ τὰ αὐτὰ ὀνόματα, καὶ αὐτὴ ὑπογραφή, τούτων πῶς ἡ οὐσία μαχομένη καὶ ἐναντία; καίτοιγε τὰ ὀνόματα τῶν πραγμάτων ἐστὶ σημαντικά· κατηγορεῖ γὰρ ἑκάστου τὸ τί ἐστιν ἕκαστον,
B ὡς ἐνδέχεται· γνωρίζομεν τοίνυν, ὡς δύναμις τοῖς ὀνόμασι τὰ πράγματα. Ἆρ' οὖν ἑκάτερον τῶν παρὰ τῷ Μάνεντι νομιζομένων ἐναντίων οὐσία ζῶσά τε καὶ ἀγέννητος ὀνομάζεται· εὔδηλον, ὡς ἐκ βαρβάρων τὴν ἀρχὴν τῆς τοιαύτης λαβούσης πλάνης, διέφθαρται παρ' αὐτοῖς τῶν κοινῶν ἐννοιῶν ἡ ἀκολουθία· ὁλόκληρος γὰρ καὶ ἡ αὐτὴ ἐπίσης τυγχάνει ἑκατέρου ὑπογραφή, οὐ μόνον ἐναντιότητος πᾶσαν ὑποψίαν ἐξορίζουσα, ἀλλ' οὔτε διαφοράν τινα συγχωροῦσα ἐν τοῖς ὀνομαζομένοις ὑπάρχειν.

Cap. IX. *Principiorum qualitates contrariæ. In Deo nulla qualitas.*

Aiunt autem Manichæi asseclæ hoc quidem bonum, illud vero malum; qualitates videlicet ante
C substantiam intelligentes: nominata enim similiter in utroque substantia (sunt enim ambo substantia vivens et ingenita) supervacanea est; deinceps sunt veluti qualitates contrariæ: etsi enim non decet nominare in Deo qualitatem, esse tamen prius quodammodo est cogitatione, quam talem esse; substantia autem significatur, cum dicitur substantia vivens et ingenita. Præterquam si dicant propria accidere ambobus contraria, quod est omnium stultissimum, ingenito enim nihil accidit; cui enim non accidat esse, huic neque taliter esse acciderit. Quod non est, non accidit.

Qualitates igitur contrarias licet in rebus invenire, substantias vero nequaquam: album enim et
D nigrum contraria sunt, utrumque in corpore eadem substantia; sunt autem talia partim contraria inter se, partim non contraria. Primum namque subter unum genus sunt; utraque enim sunt color. Deinde etsi contraria esse videntur, tamen aspectum varie delectant, neutrum enim illorum immoderatione hunc offendit. Imo etiam virtus et vitium in anima; atque hæc quidem contraria, non solum in eadem substantia, sed in uno genere nominantur: utrumque enim est habitus, quæ tanquam accidentia insunt in anima a qua abesse possunt; anima in qua hæc sunt, alias aliter affecta et dis-

Φασὶ δὲ τὸ μὲν ἀγαθὸν, τὸ δὲ κακὸν, τὰς ποιότητας οἱονεὶ πρὸ τῆς οὐσίας ἐκλαμβάνοντες, οἱ τῷ Μάνεντι συντρέχοντες· τῆς γὰρ οὐσίας ὁμοίως ἐφ' ἑκατέρου ὀνομαζομένης (οὐσία γὰρ ζῶσά τε καὶ ἀγέννητος ἄμφω), περιττὴ λοιπὸν τῆς οἱονεὶ ποιότητος ἡ ἐναντιότης (4*)· εἰ γὰρ καὶ μὴ ἁρμόζει ἐπὶ Θεοῦ ποιότητα ὀνομάζειν, ἀλλά γε τῇ ἐννοίᾳ τρόπον τινὰ τὸ εἶναι τοῦ τοιόνδε εἶναι προτερεύει· τὸ δὲ εἶναι σημαίνεται τῷ, οὐσία ζῶσά τε καὶ ἀγέννητος. Πλὴν εἰ μὴ ἴδια φαῖεν ἐπισυμβῆναι τὰ ἐναντία ἑκατέροις, ὅπερ ἐστὶ πάντων ἀνοητότερον· ἀγεννήτῳ γὰρ οὐδὲν ἐπισυμβαίνει· ᾧ γὰρ τὸ εἶναι μὴ ἐπισυνέβη, τούτῳ οὐδὲ τὸ τοιῶσδε εἶναι. Ὃ μὴ εἴη, οὐκ ἐπισυμβαίνει.

Ποιοτήτων μὲν οὖν ἐναντιότητά ἐστιν ἐν τοῖς οὖσιν εὑρεῖν, οὐσίας δὲ οὐδαμοῦ· λευκὸν γὰρ πρὸς μέλαν ἐναντίως ἔχει· ἑκάτερον δὲ ἐν σώματι τῇ αὐτοῦ (5) οὐσίᾳ· ἔχει μέντοι αὐτὰ, τὴ μὲν ἐναντίως πρὸς ἄλληλα, τὴ δὲ οὐκ ἐναντίως. Πρῶτον μὲν γὰρ ὑφ' ἓν γένος ἐστὶ, χρῶμα γὰρ ἑκάτερα· ἔπειτα, εἰ καὶ ἐναντία εἶναι δοκεῖ, ἀλλά γε τῇ ὄψει ποικίλως προσάγει τὴν ἀπόλαυσιν· οὐδέτερον γὰρ αὐτοῖν τῇ ἀσυμμετρίᾳ λυπεῖ ταύτην· ἀλλὰ καὶ ἤδη ἀρετή τε καὶ κακία ἐν ψυχῇ, ὡς ἐναντία μὲν καὶ ταῦτα, οὐ μόνον δὲ ἐν τῇ αὐτῇ οὐσίᾳ, ἀλλὰ καὶ ἐν ἑνὶ γένει προσαγορεύεται· ἕξις γὰρ ἑκάτερα, ἄτινα καὶ ὡς ἐπισυμβαίνοντα ψυχῇ ἐνυπάρχει· ὅθεν καὶ ἀποσυμβαίνειν ἐνδέχεται τῆς, ἐν ᾗ ἐστι ταῦτα, ἄλλοτε ἄλλως διακει-

(4*) *Περιττὴ...ἡ ἐναντ.* Basnagius sic reddit: *Supervacanea est contrarietas, quæ ipsis inest ut qualitas.*
(5) Forte, τῇ αὐτῇ. Edit.

Digitized by Google

μένης· ὡς εἶναι δῆλον, ὡς ὁ μὲν περὶ τῆς οὐσίας λόγος ἀφώρισται, ὁ δὲ περὶ τῶν ταύτῃ ἐπισυμβαινόντων ἕτερος τυγχάνει.

posita : ut liqueat, aliud esse de substantia loqui, aliud de iis quæ substantiæ accidunt.

Καίτοι τὸ μὲν λευκόν τε καὶ μέλαν ἔστιν ὅτε καὶ ὡς ἀχώριστα ἐνυπάρχει τοῖς ἐν οἷς ἐστι· καὶ ὅμως οὐδεὶς πώποτε ἀπὸ τούτων ὠνόμαχεν ἐκεῖνα, ἐν οἷς ἐστι ταῦτα· οὐδεὶς γὰρ, θελήσας γάλα σημῆναι, οὐχὶ μᾶλλον πρὸ τοῦ κατὰ τοῦ εἴδους τῆς οὐσίας ὀνόματος κειμένου κατεχρήσατο τὸ τῆς λευκότητος, ἵνα μὴ ἀνθ' ἑνὸς πολλὰ σημαίνειν δόξῃ, οἷς πρόσεστιν· ἀλλὰ μὴν καὶ κόρακα οὐ τῷ μέλανι σημαίνομεν, ἀλλὰ τῷ τοῦ ζώου καὶ τοῦ εἴδους ὀνόματι. Αὗται μὲν οὖν καὶ τοιαῦται ἀχώριστοι ποιότητες· ἀρετὴ δὲ καὶ κακία ἐν ψυχῇ τῶν ἐπισυμβαινουσῶν ποιοτήτων εἰσίν· ὡς μᾶλλον προσήκειν μηδαμῶς ἀπὸ τούτων τὴν οὐσίαν δεῖν τοῦ ἀνθρώπου κατηγορεῖσθαι, δεῖν δὲ ταύτην ἰδίως σημαίνεσθαι. Οὐδεὶς γοῦν τὸ, τί ἐστιν ἄνθρωπος, ἐκ τῆς ἐνούσης τῷ τινι κακίας ἐσήμανεν, ἀλλὰ πρῶτον τῆς οὐσίας τὸ εἶδος εἰπὼν, εἶτα καὶ τὸ, τίς, προσεπὼν, ὕστερον κατηγορεῖ τὴν ποιότητα.

Atqui fit aliquando, ut album quidem et nigrum abesse non possint ab iis in quibus insunt; nemo tamen ab his unquam illa in quibus hæc sunt, nominavit : nullus enim cum voluit significare lac, potius nomine albi abusus est quam usus nomine substantiæ imposito speciei; ne pro uno multa significare videatur, quibus inest albus color : quin etiam corvum non declaramus nomine nigri, sed nomine avis et speciei. Hæ igitur et hujusmodi qualitates inseparabiles sunt : virtus autem et vitium in anima ex qualitatibus quæ accidunt, sunt; ut magis conveniat, ut minime videatur substantia hominis ab his nominari; sed oportere hanc proprie significare. Nemo igitur quid est homo, ex vitio quod alicui inest, significaverit; sed primo speciem substantiæ dixerit, deinde quis sit adjicit, postea qualitatem in eo dicit.

Ποιοτήτων μὲν οὖν, ὃ προλαβὼν εἶπον, εὕροι τις ἂν ἐν τοῖς ὑποβεβηκόσιν ἐναντιότητα τῶν μὲν χωριστῶν, τῶν δὲ καὶ ἀχωρίστων· ἐπὶ δὲ τοῦ Θεοῦ πᾶσα μὲν ποιότης ἐκβέβληται, ἐπειδή γε οὐδὲν ὧν καλεῖται, ἕτερον παρ' αὐτόν· ἁπλοῦς γὰρ καὶ ἀσύνθετός ἐστιν· ὅμως δὲ τῇ ἐννοίᾳ, ὃ προλαβόντες εἴπομεν, προτερεύει τὸ εἶναι τοῦ τοιόνδε εἶναι.

Qualitates igitur contrariæ, sicut ante dixi, in iis quæ accidunt, reperiri possunt partim quidem separabiles, partim vero non : in Deo autem omnis qualitas ejecta est; quandoquidem nihil eorum quæ de eo dicuntur, aliud est præter ipsum; simplex enim est et compositionis expers : cogitatione tamen, ut superius dictum est, prius est esse quam talem esse.

Cap. X. *Duo ingenita non possunt esse contraria*

Διό φαμεν, ἀναλαβόντες, ὡς, εἰ ἑκάτερα ἃ φησιν εἶναι ἐναντία, οὐσία ζῶσά τε καὶ ἀγέννητος (οὐ γὰρ ἀρνηθεῖεν)· ἢ ἄμφω ἀγαθὰ, ἵνα μᾶλλον πρὸς τὸ εὔφημον εὐσεβῶς διὰ τὸ ὄντως ὂν ἀγαθὸν καὶ τοὐναντίον, ἔφασιν (5*), ἕλκηται τὸ μηδαμῶς ὄν (οὐ γὰρ ἀντιστρέφομεν), ἢ ἄμφω κακά· τὸ γὰρ ἀγέννητον πάντως ἀγαθόν. Αὐτίκα ἀγέννητος ὁ Θεὸς ὑπάρχων, ἆρα αὐτὸ τὸ μὴ γεννηθῆναι ὡς κακὸν ἔχει; Οὐδαμῶς, ἀλλ' ὡς ἀγαθὸν δηλαδή. Τίς οὖν ἡ ἀποκλήρωσις, τοῦτ' αὐτὸ πρᾶγμά τε καὶ ὄνομα, παρὰ μὲν τῷ Θεῷ καλόν τε καὶ ἀγαθὸν εἶναι, παρὰ δὲ τῇ κακίᾳ, ὥς φασι, τοὐναντίον κακόν; Γενεᾷ μὲν γὰρ εὑρεθείη ἂν διαφορὰ, διαφορὰ μέντοι καὶ οὐκ ἐναντιότης· ἀγεννησίας δὲ ποίαν τις ἂν εὕροι διαφοράν, ἢ πού γε ἐναντιότητα; Διόπερ παντάπασιν ἀδύνατον, ἀγέννητον ἀγεννήτῳ ἐναντίον εἶναι· εἰ γάρ τι εἴη, οὐδὲν τῶν αὐτῶν ὀφείλει οὔτε εἶναι, οὔτε προσαγορεύεσθαι τῷ ἐναντίῳ, ἵνα ἀκοινώνητον ᾖ τοῖς πᾶσι πρὸς τὸ ἐναντίον.

Quamobrem rursus dicimus, si utraque eorum quæ Manichæus contraria esse dicit, substantia vivens et ingenita sunt; non enim negabunt, vel ambo bona ut magis ad id quod bene pieque sonat, propter vere bonum, ipsum contrarium, quod minime est, trahatur; non enim dicemus, vel contra, si ambo mala : quod enim ingenitum est, omnino bonum est. Continuo igitur Deus cum ingenitus sit, nequaquam habet hoc ipsum non ingenitum esse tanquam malum, sed tanquam bonum certe. Quæ igitur sortitio ista eamdem rem et nomen apud Deum quidem pulchram et bonam esse; contra vero malam apud malum, ut isti aiunt? in generatione quidem inveniri queat differentia, differentia tamen, et non contrarium. In eo vero quod est ingenitum esse, quid potest esse differens, nedum contrarium? Quamobrem omnino fieri non potest, ut ingenitum ingenito contrarium sit; si quid enim sit, nullum eorum debet nec esse nec appellari contrario communitas ac societas.

Εἰ γὰρ μὴ εἴη πάντη ἐναντίον, καθὸ ἐπικοινωνεῖ, οὐκ ἐναντίον· ἐναντίον μέντοι τὸ μὴ ὂν τῷ ὄντι· τάχα δὲ οὐδὲ τοῦτο (6)· οὐ γὰρ διαμάχεται. Τὸ δὲ ὂν τῷ ὄντι οὐκ ἐναντίον. Εἰ δὲ τὸ ὂν τῷ ὄντι πάντως ὁμόλογον, ἓν τὸ καὶ μόνον ἀληθῶς ὄν, τοῖς πᾶσι τοῦ εἶναι ἄρχον.

Si enim non sit omnino contrarium, quatenus ei communitas cum altero est, non est contrarium : contraria tamen sunt esse et non esse. Fortasse vero nec hæc contraria sunt, non enim pugnant. Quod vero est, non est contrarium ei quod est. Si autem quomodo est penitus cum eo quod est convenit, unum et solum, quod vere est, omnibus erit principium ut sint.

(5*) Forte, ὃ φασιν. Edit.

(6) *Τάχα δὲ*, κ. τ. λ. *Sunt enim in Deo simul, « qui vocat ea quæ non sunt, tanquam ea quæ sunt, »* sicut Apostolus ait (*Rom.* IV, 17). Canisius.

Digitized by Google

Cap. XI. *Nomina contraria duobus principiis danda. Perturbatio in rebus est ordo.*

Aiunt præterea etiam ipsi oportere omnia quæ sunt Deo contraria appellare materiam : verbi gratia, si Deum appellemus lumen, contrarium vocemus tenebras; si bonum, illud malum. Si tamen appellaremus Deum ipsam illam veritatem, patet vocandum esse contrarium mendacium. Quod autem vere est, ut opinati sunt, quomodo erit mendacium? quod enim est, si dicatur non esse, mendacium fuerit. Quod vero vere est, quod facit ut verum sit esse aliquid, nunquam erit mendacium. Si enim dicat esse, verum dicit; si vero non dicat esse, ut non dicat verum, neque dicet non esse, ut mentiatur. Quod si dicat non esse, notione mentitur; non est igitur ipsum mendacium, vere enim est.

A Φασὶ δὲ καὶ αὐτοὶ χρῆναι πάντα τὰ ἐναντία τῷ Θεῷ τὴν ὕλην προσαγορεύεσθαι· οἷον, ἐὰν καλῶμεν τὸν Θεὸν φῶς, τὸ ἐναντίον σκότος· ἐὰν δὲ ἀγαθὸν, ἐκεῖνο κακόν· ἐὰν μέντοι καλέσωμεν τὸν Θεὸν αὐτοαλήθειαν, δηλονότι τὸ ἐναντίον ψεῦδος κεκλήσεται· τὸ δὲ ἀληθῶς ὂν, ὡς ὑπειλήφασι, πῶς ἂν εἴη ψεῦδος; τὸ μὲν γὰρ μὴ ὄν, εἰ λέγοιτο εἶναι, ψεῦδος ἂν εἴη· τὸ δὲ ὄν, καὶ ἀληθῶς ὄν, αὐτῷ τῷ εἶναι ἀληθεῦον, οὐκ ἂν εἴη ψεῦδος· εἰ γὰρ εἶναι λέγει τις, ἀληθεύει· εἰ δὲ μὴ λέγει, ὅτι ἔστιν, ἵνα μὴ ἀληθεύσῃ, ἀλλ' οὐδὲ ὅτι οὐκ ἔστιν εἴποι ἄν, ἵνα ψεύσηται· κἂν εἴπω (6) δὲ, ὅτι οὐκ ἔστι, τῇ ἐπινοίᾳ ψεύδεται. Οὐκοῦν αὐτὸ ψεῦδος· ὂν γάρ ἐστιν ἀληθῶς

Deinde si vocant isti bonum immortalitatem, malum vocabunt interitum : at cujus erit interitus, ipse interitus? boni enim non poterit : sin erit sui ipsius interitus, multis sæculis a se interivit, et frustra ac vane eum esse cogitatione fingunt. Quomodo autem erit interitus? aliud namque tollit interitus, non seipsum; sin vero seipsum, neque principio subsistere potuit : videbitur enim magis se ipse interimere quam esse; interitus enim immortalis non potest secundum communes notiones cogitari. Quod autem est ingenitum, necessario est ab interitu liberum et æternum, unde et immortale : supra mortale enim est quod ingenitum est. Si autem hoc habet materia, ut nunquam facta fuerit, quod majus est; quomodo non hoc quod minus est, non ei inest, nunquam scilicet interitum cepisse? Si autem non capit interitum tanquam æterna, neque sui ipsius est interitus, et non erit substantia ipsius interitus.

B Ἔπειτα εἰ καλοῖεν τἀγαθὸν ἀφθαρσίαν, φθορὰν ὀνομάσουσι τὸ κακόν. Τίνος δ' ἂν εἴη φθορὰ ἡ φθορά; τοῦ μὲν γὰρ ἀγαθοῦ ἀδύνατον· εἰ δ' ἑαυτῆς εἴη φθορὰ, ἐν πολλοῖς τοῖς αἰῶσι διέφθαρκεν ἑαυτήν· καὶ μάτην αὐτὴν εἶναι φαντάζονται. Πῶς δ' ἂν εἴη φθορά; πάντως (7) γὰρ ἕτερόν τι φθείρει, οὐχ ἑαυτήν· εἰ δὲ ἑαυτὴν, οὐδ' ἂν τὴν ἀρχὴν ὑπέστη· ὀφθήσεται γὰρ ἑαυτὴν φθεῖρουσα μᾶλλον ἢ οὖσα· φθορὰ γὰρ ἄφθαρτος ἀδύνατον, κατά γε τὰς κοινὰς ἐπινοίας ἐπινοηθῆναι. Ἄφθαρτον δὲ πάντως τὸ ἀγέννητον καὶ ἀΐδιον, ὅθεν καὶ ἀθάνατον· ἐπάνω γὰρ τοῦ ἀφθάρτου τὸ ἀγένητον. Εἰ δὲ τὸ μὴ γενέσθαι πώποτε ὑπάρχει τῇ ὕλῃ μεῖζον ὄν, πῶς οὐχὶ καὶ τὸ ἔλαττον αὐτῇ προσυπάρξει, τὸ μὴ φθαρῆναι; Εἰ δὲ μὴ φθείρεται ὡς ἀΐδιος, οὐδ' ἂν ἑαυτῆς ὑπάρχει φθορὰ, καὶ C οὐκ ἂν εἴη οὐσία φθορᾶς.

Sed qui ex schola Manichæi profecti sunt, hujusmodi disputationes cum audiunt, unde, inquiunt, ea ordinis perturbatio quæ in rebus cernitur? At sæpe dictum est, propter ignorantiam divinæ gubernationis et quomodo res dispositæ sint, falsam et impiam cognitionem sibi comparasse, propter inscitiam eorum quæ scire sibi videbantur, quæ pejus, quam si ignorassent, sciverunt; et quod verius est, amisso, quod quærebant, prius quam quærerent : disputatio vero nostra cum tempus erit, quam putant perturbationem ordinis rerum, bonum ordinem esse a Deo altissimo proficiscentem, conficiet et concludet; et quæ ipsi dicunt mala, alia quidem in actione tantum posita, alia vero secundum substantiam, minime mala esse docebit.

Ὅταν μέντοι τοιούτων ἀκούωσι λόγων οἱ ἐκ τοῦ Μάνεντος ὁρμώμενοι, ἀποροῦντες, Πόθεν οὖν, φασὶ, τὰ κακά; πόθεν δὲ, λέγουσιν, ἡ ἐν τοῖς πράγμασιν ἐμφαινομένη ἀταξία; Ἀλλὰ πολλάκις μὲν εἴρηται, ὅτι δι' ἄγνοιαν τῆς τῶν πραγμάτων διαθέσεως καὶ τῆς θείας διοικήσεως, γνῶσιν ἐσφαλμένην καὶ βλάσφημον ἑαυτοῖς ἐπραγματεύσαντο δι' ἄγνοιαν ὧν γνῶναι ἔδοξαν· ἃ χεῖρον ἔγνωσαν, ἢ ἠγνόουν· καὶ ὃ ἐζήτουν, ἀληθέστερον ἀπολέσαντες ἢ πρὶν ζητῆσαι· ὁ δὲ λόγος κατὰ καιρὸν μὲν καὶ τὴν παρ' αὐτοῖς νομιζομένην τῶν πραγμάτων ἀταξίαν, εὐταξίαν τὴν D ἀνωτάτω Θεοῦ παρέχοντος, ἀποδείξει· καὶ τὰ λεγόμενα πρὸς αὐτῶν κακὰ τὰ μὲν ὡς πραττόμενα μόνον· τὰ δὲ κατ' οὐσίαν ἠκιστά γε ὄντα, κακὰ δείξει.

Cap. XII. *De materia quid sentiant Manichæi.*

Erat, inquit Manichæus, tempus, cum materia sine ordine ferebatur; et generabat, et crescebat

Ἦν γάρ ποτε, φησὶν, ὅτε ἡ ὕλη ἠτάκτει καὶ ἐγέννα, καὶ ηὐξάνετο, καὶ διετέλει πολλὰς προβαλλομένη

(6) Forte, εἴπῃ. Edit

(7) *Πῶς δ' ἂν εἴη φθορά; πάντ.* Locus mutilus, restituendus proinde ex iis quæ habet Stephanus Gobarus, qui hæc ipsa Titi Bostrensis verba recitat apud Photium *Biblioth.* cod. CCXXXII, pag. 894, ubi sic legimus : Πῶς δ' ἂν εἴη φθορὰ ἑαυτῆς ἡ φθορά; *Quo autem modo corruptio fuerit sui ipsius corruptio?* Mox ex eodem Stephano sic legendum apud Titum: Φθορὰν γὰρ ἄφθαρτον ἀδύνατον κατά γε τὰς κοινὰς ἐννοίας ἐπινοηθῆναί ποτε. *Fieri enim non potest, incorruptibilem corruptionem communi sensu percipi aliquando posse.* Hæc debemus Wesselingio v. c. *lib. sing. Probabil.* cap. 20, pag. 168.

Digitized by Google

δυνάμεις· αὐξηθεῖσα τοίνυν ἀνήγετο, οὐκ εἰδυῖα τοῦ ἀγαθοῦ τὴν ὕπαρξιν. Ὡς δὲ ἐπὶ πλέον ἀναχθεῖσα εἶδε τὴν γῆν τε καὶ τὸ φῶς τοῦ ἀγαθοῦ, ἐπιβῆναι τοῖς μὴ ἰδίοις ἐπιχειρεῖ· ὁ δὲ ἀγαθὸς δύναμιν ἀποστέλλει τινὰ, ᾗ καὶ ὄνομα τὸ δόξαν αὐτῷ ἐπιτίθησι, φυλάξουσαν μὲν δῆθεν τοὺς ὅρους, τὸ δ' ἀληθὲς δέλεαρ ἐσομένην εἰς ἀκούσιον τῇ ὕλῃ σωφρονισμόν· ὃ δὴ καὶ γέγονε. Θεασαμένη γὰρ ἡ ὕλη τὴν ἀποσταλεῖσαν δύναμιν προσεκίσσησε μὲν, ὡς δὲ (7) ἐρασθεῖσα· ὁρμὴ δὲ πλείονι λαβοῦσα ταύτην κατέπιε· καὶ ἐδέθη τρόπον τινὰ, ὥσπερ θηρίον. Κέχρηνται γὰρ καὶ τῷδε τῷ ὑποδείγματι, ὡς δι' ἐπῳδῆς τῆς ἀποσταλείσης δυνάμεως ἐκοιμίσθη. Γέγονε τοίνυν μίξις καὶ κρᾶσις τοῦτον, φησὶ, τὸν τρόπον τῆς τε καταποθείσης δυνάμεως τοῦ ἀγαθοῦ καὶ τῆς καταπιούσης ὕλης· καὶ οὕτως ἐξ ἀμφοῖν ἐδημιουργήθη τόδε πᾶν, ὑπὸ τοῦ ἀγαθοῦ δηλαδὴ· οὐ γὰρ ἂν προὐνόησεν ἡ κακία κόσμου γενέσεως. Ἐντεῦθεν δέ φασι τὰ μὲν ἀγαθὰ, τὰ δὲ κακὰ, τῆς κράσεως ἐκείνης καὶ τῆς συνόδου τοῖν δυοῖν διὰ τῆς ἐναντιότητος τῶν τῇδε πραγμάτων ἐμφαινομένης.

A ac multas potestates producebat; aucta igitur evehebatur nesciens substantiam boni. Postquam vero magis evecta novit terram et lumen boni, nitebatur ascendere ad ea quæ non erant propria: Bonus vero potestatem quamdam mittit, cui nomen quod ei visum est, imponit, custodituram scilicet præscripta, re autem vera futuram ipsi materiæ illecebram et invitamentum ad moderationem ejus a voluntate alienam. Quod quidem factum est: cum enim vidisset materia potestatem missam quasi adamans, concupivit quidem eam, sed ardentiore appetitu prehensam absorbuit, et quodam modo tanquam bellua ligata est. Usi autem sunt hoc exemplo, tanquam cantione potestatis missæ sopitam esse. Facta igitur est, aiunt, mistio B et temperatio ad hunc modum; absorptaque potestate boni, et materia absorbente sic ex utraque fabricatum esse universum, a bono scilicet; non enim malum providit ortum mundi. Hinc aiunt alia quidem bona esse, alia vero mala, facta mistione illa et duorum coitu per vim contrariam rerum, quæ hic sunt.

Cap. XIII. *Anima a bono principio, a malo autem corpus, secundum Manichæos.*

Ὁρίζεται δὲ ψυχὴν μὲν ἅπασαν εἶναι τῆς μερίδος τοῦ ἀγαθοῦ, σῶμα δὲ καὶ τὴν σάρκα, τῆς ὕλης, πῇ μὲν κατέχουσαν ὡς ἐν εἱρκτῇ τὴν ψυχὴν, πῇ δὲ κατεχομένην ὡς θηρίον πρὸς τῆς ἐπῳδῆς. Οὕτω μὲν δὴ σοφισάμενος τὴν ὕλην ὁ ἀγαθὸς κόσμου, φησὶ, γέγονε δημιουργός· οὐκ ἀντιποιηθεὶς γε τοῦ δημιουργῆσαι αὐτὸν (ἀνθίσταται γὰρ αὐτῷ), ἀλλὰ διὰ τὴν ἐπανάστασιν τῆς κακίας, ἣν σωφρονῆσαι διενοήθη· οὐ μέντοι γέγονε δυνατὸν ἐξελεῖν τῆς κακίας τῶν φαινομένων πραγμάτων τὸν ἰὸν, ἔπεσθαι δὲ τοῦτον δεικνύμενον ἐκ τῆς ἀταξίας καὶ τῆς, ὡς ὑπείληφεν, ἀνισότητος τῶν καθ' ἡμᾶς, τοῦτον μὲν πλουτεῖν, τοῦτον δὲ πένεσθαι· καὶ τὸν μὲν εὐδοξεῖν, τὸν δὲ ἀδοξεῖν· καὶ ὅσα τοιαῦτα. Τό τε δὴ σπουδαζόμενόν ἐστι τῷ ἀγαθῷ τὴν ψυχὴν ἐλευθερῶσαι τῆς κακίας· καὶ ταύτην ἀντλῆσαι τρόπον τινὰ ἐκ τῆς ὕλης· τοῦτο δὲ γίγνεσθαι διὰ τῆς σελήνης αὐξανομένης τε καὶ μειουμένης, ὡς ὁρᾷν δοκοῦμεν ἡμεῖς· τὸ γὰρ ἀληθὲς, φησὶν, ὑδρίας τρόπον αὐτὴ πληρουμένη, ἐκ τῆς κατεχομένης οὐσίας εἰς τὸ ὁμογενὲς ἀγαθὸν κενοῦται· εἰ γὰρ καὶ μὴ τούτοις γε τοῖς ῥήμασιν, ἀλλά γε ταῦτα βούλεται λέγειν, ἅπερ εὐσχημονέστερον πάνυ γε πρὸς ἡμῶν εἴρηται· πλεῖστον γὰρ ὅσον παρ' αὐτῷ τὸ ἀλλόκοτον ἐν τῇ διηγήσει καὶ τὸ ἀπίθανον.

Decernit autem omnem quidem animam esse ex parte boni; corpus vero et carnem ex parte materiæ: et jam quidem corpus animam tanquam in carcere detinere; jam vero animam detineri tanquam belluam a cantione. Sic bonus cum materiam decepisset, mundi, inquit, factus est fabricator: C non quidem quod ipsum fabricari desiderasset, resistit enim ei, sed propter seditionem a malo excitatam, quam corrigere et moderari cogitaverat; non tamen fieri potuisse, ut venenum mali quod est in rebus quas videmus, extraheretur; sequi vero hoc, ut opinati sunt, ex perturbatione ordinis et ex inæqualitate rerum nostrarum atque hunc quidem divitem esse, illum vero pauperem; hunc gloriosum, illum inhonoratum et inglorium, et quæcunque talia sunt. Studium vero boni esse liberare animam a malo, et hanc quodam modo ex materia exhaurire: hoc autem fieri per lunam crescentem et decrescentem, ut nos videre videmur: re vera enim, inquit, ipsa in modum hydriæ D impleta, ex substantia infusa in bonum cognatum exinanitur: etsi enim non his verbis, hæc tamen vult dicere, quæ multo honestius a nobis dicta sunt; plurimum enim absurdi et incredibile est in ejus narratione.

Cap. XIV. *De terra et imbribus Manetis opinio.*

Ὅσα μὲν οὖν ἕτερα γραὸς δίκην μυθολογεῖ καὶ γράφει, τῇ Σύρων φωνῇ χρώμενος, ὅπως μὲν ἡ γῆ βαστάζεται, τὸν ποιητικὸν μὴ διαφυγὼν μῦθον· ὅπως δὲ συνίστανται οἱ ὄμβροι, ὡς ἱδρῶτές εἰσι τῶν ἀρχόντων τῆς ὕλης· ταῦτα καὶ τὰ τοιαῦτα, τῶν αὐτοῦ παλαισμάτων παρεμπορεύματα, περιττὸν ἂν εἴη προφέρειν εἰς ἔλεγχον. Χρὴ δὲ ἃ περὶ ἑκάστου παραπαίων γράφει, γνώρισμα τοῖς πᾶσιν, ἥκιστά γε ἀνέχεσθαι πρὸς ἀπέραντον ψλυαρίαν τὸν λόγον ἐκτείνειν·

Quæcunque igitur alia aniliter et commentitie loquitur et scribit, sermone Syriaco utens, quomodo terra sustinetur, non devitans poeticam fabulam; quomodo imbres fiunt, et sudores esse principium materiæ: hæc et alia ejusmodi quæ præter negotium sui certaminis tractat, supervacuum esset ad confutandum proferre. Oportet quæ de singulis delire scribit, quæ omnibus nota sunt, non pati ut librum infinitis nugis dilatent; quippo

(7) Lege δή. Edit.

Digitized by Google

cum satis sit confutato capite insaniæ ejus reliqua contemnere : et si non contingeret, ut necessario hæc causa sermonem de Providentia complecteretur, quo demonstrare oportet omnia esse bene ac divine ordinata, et ineffabilem Dei sapientiam prædicare; ridiculum esset vel aliqua saltem confutatione, quæ proposita sunt, digna esse putare ; quæ quidem extra communes notiones congesta sponte sua apud eos qui mentem habent coarguuntur.

A ὡς ἀρχοῦν αὐτὸ τὸ κεφάλαιον αὐτοῦ τῆς ἀλόγου μανίας διελέγξαντας τῶν ἄλλων καταφρονεῖν· καὶ εἰ μή γε τὸν περὶ Προνοίας λόγον συνέβαινε τήνδε τὴν ὑπόθεσιν ἀναγκαίως περιλαμβάνειν, δι' οὗ προσῆκει δεῖξαι, ὡς ἅπαντα εὖ τε καὶ θείως τεταγμένα τὴν ἄῤῥητον τοῦ Θεοῦ σοφίαν κηρύττει· γέλως ἂν ἦν ἀντιῤῥήσεως γοῦν τινος ἀξιοῦν τὰ προτεθέντα, ἅπερ, ἐκτὸς τῶν κοινῶν ἐννοιῶν συμπεφορημένα, αὐτόματον ἔχει παρά γε τοῖς ἐχέφροσι τὸν ἔλεγχον

CAP. XV. *Sententia de materia refutatur. An Satan sit deterior quam fuit.*

Satis autem erat, postquam non minus demonstratum est nequaquam duo principia esse, præsertim contraria, de homine jam et de reliqua fabrica disserere : nihil tamen prohibet, quin B consideremus, quomodo proposita incredibilia sunt. Ferebatur, inquit, aliquando materia perturbato ordine. Qua ordinis perturbatione? an secum sola? an contra aliquem? omnis enim injustitia non est sui injustitia ; sed altero indiget, in quem fiat. Cui igitur non erat communitas cum alio ; in quem perturbato ordine ferebatur? aut quæ ratio ipsius perturbationis?

Ἦρκει δὲ, οὐκ ἔλαττον δείξαντας, ὡς οὐδαμῶς ἂν ὑπάρξαιεν ἀρχαὶ δύο, καὶ μάλιστα ἐναντίαι, ἤδη περί τε ἀνθρώπου καὶ τῆς ἄλλης δημιουργίας διαλαβεῖν· ὅμως δὲ τὸ κωλῦον οὐδὲν καὶ τῶν προτεθέντων ἰδεῖν τὸ ἀπίθανον. Ἠτάκτει γάρ, φησὶν, ἡ ὕλη ποτέ. Ποίαν ἀταξίαν; ἆρά γε καθ' ἑαυτὴν οὖσα, ἢ κατά τινος; ἀδικία γὰρ ἅπασα, ἑαυτῆς οὐκ ἂν γένοιτο ἀδικία, δεῖται δὲ ἑτέρου τινὸς, καθ' οὗ γένοιτ' ἄν. Ἡ τοίνυν ἑτέρῳ τινὶ μὴ ἐπικοινωνοῦσα. κατὰ τίνος ἠτάκτει; ἢ τίς ὁ λόγος τῆς ἀταξίας αὐτῆς;

Generabat quidem primum nequitia progrediens, et crescebat : igitur ingenita generabat, et non erit locus dicendi, æternam aliquid novi moliri : aut enim natura molietur, atque ita nunquam intermisit rerum novarum molitionem : si modo appellare oportet novarum rerum molitionem, contra quam negotium a Deo susceptum minime C principium temporis habeat ; aut si hoc cogitatione utens facit, rationem habet et cognitionem : et eversa est causa nequitiæ ratione carentis. Sive igitur ratiocinatione utens, sive motu rationis experte seditionem movit, quæ ratio patitur, ut infinitis sæculis dimissa sit hujusmodi seditionem movere? ex quo enim dicit cohibitam et retentam esse, punctum temporis fluxisse reperietur, si cum infinitis sæculis præteritis comparetur. Quod enim incipit et terminat, finitum est ; qui autem sunt ex toto infiniti æterni sunt et ingeniti.

Ἐγέννα μὲν πρῶτον προϊοῦσα καὶ ηὐξάνετο, φησίν· οὐκοῦν ἀΐδιος ἢ ἀΐδιος ἐγέννα, ἢ ἀγέννητος ἐγέννα, καὶ χώραν οὐχ ἕξει τὸ καινοτομεῖν τι τὴν ἀΐδιον· ἢ γὰρ φύσει καινοτομήσει, καὶ οὐδέποτε τῆς καινοτομίας ἐπέπαυτο· εἰ δὴ τοῦτο καινοτομίαν δεῖ καλεῖν, ὡς μηδαμῶς χρονικὴν ἀρχὴν ἔχειν τὴν κατ' αὐτῆς τοῦ ἀγαθοῦ μεταχείρησιν, ἢ λογισμῷ τοῦτα πράττουσα λόγον ἔχει καὶ γνῶσιν· καὶ ἀνατέτραπται τῆς ἀλόγου κακίας ἡ ὑπόθεσις. Εἴτε οὖν λογισμῷ, εἴτε καὶ ἀλογίστῳ φορᾷ ἐπανίστατο, τίς ὁ λόγος τοὺς ἀπεράντους αἰῶνας ταύτην παρεῖναι πρὸς τὴν τοιαύτην ἐπανάστασιν; ἀφ' οὗ γὰρ κατεσχῆσθαί φησιν αὐτὴν ἕως νῦν, στιγμῇ χρόνου γένοιτ' ἄν, εἰ παραβάλοιτο τοῖς προλαβοῦσιν ἀπείροις αἰῶσι· τὸ μὲν γὰρ ἄρχον καὶ τελειοῦν πεπέρασται· οἱ δὲ παντελῶς ἀπέραντοι ἀΐδιοί τε καὶ ἀγέννητοι.

Præterea, si ratiocinatione utens ad seditionem depravabatur ; quomodo non potius aggressio rei quæ fieri non poterat, interrupta et rescissa est? tanquam non posset contra sapientiam invictam incursionem facere? unde factum est, ut caverent, ne ei rationem et cognitionem tribuerent, ut locum haberet commentum seditionis contra Deum : et necessario ab ignorantia et natura non ratiocinante tracta, non exspectabit infinita sæcula, dum se armat et se exercitu sepit, ut fiat ad audaciam promptior. Si enim copiosior fiebat iis quos generabat, nequaquam tamen appetitum naturæ augebat, neque motus naturalis quidquam appetitus assumebat, neque accidisset ei primum quidem augescere, atque ita seditionem movere ; hoc enim naturæ ratione utentis est, quæ ex proposito nequiter agit.

Ἔπειτα εἰ λογισμῷ ἐκακύνετο πρὸς τὴν ἐπανάστασιν, πῶς οὐχὶ καὶ λογισμῷ διεκόπη τὸ ἀδύνατον τῆς ἐπιχειρήσεως; ὡς οὐχ οἷόν τε ὂν ἐπιδραμεῖν ἀηττήτῳ σοφίᾳ; ὅθεν πεφεύγασι προσομολογεῖν αὐτῇ λογισμόν τε καὶ γνῶσιν, ὡς ἂν χώραν ἔχοι τῆς ἐπαναστάσεως τῆς κατὰ Θεοῦ τὸ πλάσμα· καὶ ἐπάναγκες ὑπὸ ἀγνοίας καὶ ἀλογίστου φύσεως ἑλκομένη οὐκ ἐκδέξεται ἀπείρους καὶ ἀπεράντους αἰῶνας ἑαυτὴν ὁπλίζουσα καὶ δυνάμει περιβάλλουσα, ὡς γενέσθαι πρὸς τὴν τόλμαν προχειροτέραν. Εἰ γὰρ δὴ καὶ πλείων ἐγίγνετο οἷς ἐγέννα, ἀλλ' οὔτε γε τὴν ὁρμὴν τῆς φύσεως ηὐξάνετο, οὐδὲ προσελάμβανέ τι ταύτης τὸ φυσικὸν κίνημα· οὐδ' ἂν ἐδείξατο(8) πρῶτόν γε αὐξηθῆναι, καὶ οὕτως ἐπαναστῆναι· τοῦτο γὰρ λογικῆς φύσεως προθέσει πονηρευομένης.

(8) Forte, ἐδέξατο. EDIT.

Digitized by Google

Πῶς δὲ καὶ αὔξησις τῆς κακίας γένοιτ' ἂν ἡ προσθήκη τῶν προβολῶν; Εἰ γὰρ οἷς γεννᾷ τελειοῦται εἰς κακίαν, ἀτελὴς ἦν ἡ κακία, καὶ οὐκ ἦν ἐν ἀκρότητι κακίας· εἰ δὲ τελεία καὶ ἄκρα, κατὰ τὸν ἴδιον λόγον, ἑκάτερα τάναντία, οὐδαμῶς αὐξάνεσθαι δόξει ἡ κακία διὰ τῶν προβολῶν, οὐδὲ θαρσαλεωτέρα γενήσεται, λογικὴ μὴ οὖσα, οὐδὲ πρὸς ἐπικουρίαν ἑαυτῆς παραλήψεται· δόξει γὰρ πρὸ τῆς τεκνώσεως ἀτελὴς γεγονέναι οὐ μόνον πρὸς κακίαν ἡ κακία, ἀλλὰ καὶ πρὸς ἰσχὺν καὶ ῥώμην ὅπερ ἀλλότριον ἀγεννήτου.

A Quomodo autem augeri poterat nequitia (id est, Satanas) accessione sobolis? si enim iis quos gignebat, ad nequitiam perficitur, imperfecta erat nequitia, et non erat in summo et fastigio nequitiæ: sin vero erat perfecta et summa secundum rationem propriam, rursus minime videbitur augeri nequitia per propagationem generatorum, neque fiet audacior et præfidentior, cum non sit particeps rationis; nec ad auxilium suum adhibebit quos genuit; alioqui videbitur antequam procrearet, imperfecta fuisse non solum nequitia ad nequitiam, sed ad vires et robur; quod alienum est ab ingenito.

Cap. XVI. *Seditio inter natos mali principii. Quomodo sedata.*

Τὸν δὲ τρόπον τῆς ἐπαναστάσεως εἰσηγούμενος ταύτης, φησίν· Ἤλαυνον καὶ κατήσθιον οἱ ἐξ αὐτῆς B ἀλλήλους, δεινὰ καὶ χαλεπὰ διατιθέντες· καὶ οὐ πρότερον ἐπαύσαντο ἀλλήλοις ἐπανιστάμενοι, αὐτῇ λέξει φησὶ, μέχρις οὗ τὸ φῶς ὀψέ ποτε ἐφώρασαν· διωκόμενοι γὰρ ἀπ' ἀλλήλων, ἀγνοοῦντες μὲν, ὅμως δὲ τετολμήκασι καὶ μέχρι τοῦ φωτὸς ἀναχθῆναι. Καὶ τί δὴ τούτων ἀπιθανώτερον ἢ μυθωδέστερον; τοὺς μίαν μὲν ἐπιγραφομένους μητέρα, συγγενείᾳ δὲ φύσεως ἡνωμένους, ἀλλήλοις ἐπιφύεσθαι μάτην, καὶ ἀλλήλων τὰ μέλη κατεσθίειν, καὶ μηδέποτε λήγειν τοῦτο δρῶντας; Ὅπερ εἰ καὶ ἀληθὲς ἦν, βέλτιον ἦν αὐτοὺς ὑφ' ἑαυτῶν ἀναλίσκεσθαι· καὶ μάτην ὁ ἀνόητος ἀταξίαν καλεῖ τὸ συμφέρον· ταύτης γὰρ μάλιστα τῆς κακίας ὁρίζεται τὴν πρὸ κόσμου ἀταξίαν· ἣν ὥσπερ λυπούμενος τῆς ὕλης οὕτως ὀνομάζει, ὅτι μὴ προσηκόντως ὑφ' ἑαυτῆς ἀνηλίσκετο· καὶ ὥσπερ τις φίλος ταύτης, C ἀδημονῶν ἐφ' οἷς ἑαυτὴν κατέβλαπτεν, ἀταξίαν καλεῖ· ἃ συμφερόντως καθ' ἑαυτῆς ἔδρα· δέον εὐταξίαν τὴν ἀνωτάτω καλέσαι, τὸ φθείρεσθαί γε ὑφ' ἑαυτοῦ τὸ κακόν. Ὁ δὲ Ἠτάκτουν, φησὶ, καὶ ἠδίκουν ἀλλήλους· τὸ φῶς δὲ ἰδόντες ἐπαύσαντο.

Explanans autem modum seditionis hujus factæ, B Qui, inquit, ex ea nati sunt, se mutuo insectati sunt et devoraverunt, dura et gravia passi; neque prius destiterunt in se ipsos moveri quam lumen sero tandem viderent; his enim verbis utitur; a se enim ipsi exagitati cum alioqui nescirent, ita tamen ausi sunt usque ad lumen accedere. Ecquid his incredibilius et magis commentitium eos qui unam matrem sibi ascribunt et vindicant, et cognatione naturæ juncti sunt, in se ipsos frustra invadere, et vicissim membra sua devorare, et nunquam in hac re cessare? Quod quidem si verum erat, præstabat ipsos a se ipsis consumi: et inaniter demens (Manichæus) ἀταξίαν, id est, perturbationem ordinis vocat in eo, quod utile est: huic enim nequitiæ ascribit et assignat perturbationem ordinis ante mundum; quam sic vocat, tanquam doleat, et se misereat materiæ, quod non prius a se ipsa utiliter et convenienter consumpta esset; et tanquam quidam amicus hujus mœrens ac graviter dolens, quod sibi nocuisset, quæ contra se utiliter fecit, in iis perturbationem ordinis vocat, cum deberet potius compositionem ordinis excellentissimam vocare, interire scilicet malum a seipso. Ille autem ait, In perturbato ordine erant, et sibi inter se nocebant; viso autem lumine desiverunt.

Οὐκοῦν ἐπεβούλευσε τῷ συμφέροντι τὸ φῶς, εἴγε τοὺς κακοὺς ἀλλήλων ἐῤῥύσατο, καὶ ὥσπερ φάρμακον ἰατροῦ εὐηργέτησε τοὺς νοσοῦντας. Οὐκ ἦν δὲ πρὸς ἀγαθοῦ φείσασθαι τοῦ κακοῦ, εἰς τὸ διαμένειν καὶ σώζεσθαι, καὶ μὴ ὑφ' ἑαυτοῦ ἀναλίσκεσθαι. Εἰ γὰρ ὑφ' ἑαυτοῦ δαπανᾶσθαι τοῦτο διεκώλυσεν, ἄντικρυς αὐτὸς διετήρησεν αὐτό· καὶ εἴη ἂν ἀληθέστερον D τοῦτο ἀταξία, ὃ φησι τὴν ἀταξίαν πεπαυκέναι. Ὅτε τοίνυν αὐτῇ λέξει φησὶν ἡ παρ' αὐτοῖς βίβλος· Πρὸς ἀλλήλους στασιάζοντες, ἐπεπόλασαν καὶ μέχρι τῶν μεθορίων, καὶ τὸ φῶς εἶδον, θεαμά τι κάλλιστον καὶ εὐπρεπέστατον· τότε. ὑπὸ τῆς ἐν αὐτοῖς κινήσεως ἐνθουσιῶντες, κατὰ τοῦ φωτὸς ἐβουλεύσαντο, τί δὴ ποιήσαντες δύναιντο ἂν αὐτοὺς τῷ κρείττονι συγκεράσαι; Τοῦτο δὲ λογίσασθαι οὐχ οἷοί τε ἦσαν, ἀλλ' ἐπιθυμίᾳ τοῦ κρείττονος ἴδιον θήραμα νομίσαντες αὐτοῖς ἔσεσθαι, πολλοὶ ὄντες ἐπεστρατεύσαντο.

Igitur insidiatum est lumen utilitati, si quidem malos a mutua cæde liberavit, et tanquam medicina medici profuit ægrotis. At non conveniebat bono, ut parceret malo, et sineret permanere incolume, et non sineret a se ipso consumi. Si enim, ne a se consumeretur, hoc prohibuit, ipse plane servavit ipsum, esseteque verior ἀταξία, id est, aberratio a bono ordine hoc quod ait, sublatam esse perturbationem ordinis. Sic igitur est in libro qui apud ipsos fertur: seditione inter ipsos orta, prodierunt usque ad confinium, et viderunt lumen, spectaculum quoddam pulcherrimum et maxime decorum: tunc commotione sua in insaniam acti consultaverunt de lumine quid faciendum esset, ut se cum eo quod præstantius erat miscerent. Hoc autem cogitare non poterant, sed præ cupiditate melioris arbitrati futuram esse propriam prædam, cum multi essent, exercitum instruunt.

Cap. XVII. *Desiderium hominis bonum.*

Λανθάνει δὲ τοῖς τῆς κακίας υἱοῖς τὰ πάντων κάλλιστα προμαρτυρῶν. Εἰ γὰρ τὸ κάλλιστον καὶ εὖ-

Manichæus, quæ sunt omnium pulcherrima et bellissima, filiis nequitiæ testimonio suo nescius

Digitized by Google

tribuit. Etenim si quod est pulcherrimum et maxime omnium decorum, amanter viderunt, et cupiditate incensi propriam prædam esse existimaverunt, liquet recte sensisse. Quare consilium capiunt, qui non sunt rationis participes, quomodo se ipsi cum lumine misceant; et relinquitur, ut invidia esset, non permittere istis frui bono: non enim erat sermo Manichæi constans. Si enim contra se insaniebant, oportebat quidem dimittere eos, ut a se ipsis interirent. Si desiderio luminis tanquam elegantes tenebantur, honestum etiam erat eis concedere, ut fruerentur. Decorum enim et laudabile omnino est secundum naturam desiderium boni, quo frui non potuerunt, sicut ait qui dogmata Manichæi scripsit; cum alioqui desiderarent, potuerunt tamen se conficere et destruere: tale enim penitus est bonum, ut neque consumi possit, neque possint insidias ei ponere, qui ejus participes sunt. Quomodo autem omnes simul in militiam profecti sunt, qui non cognoverant, quis resisteret et adversaretur? Sic enim est in libro, unde ista Manichæi apposuimus, quod neque Deum in lumine habitare sciebant, neque se unquam impune laturos, si in Dei domicilium invadere auderent.

A πρεπέστατον ἐρασμίως εἶδον, καὶ ἐπιθυμήσαντες θήραμα ἴδιον ἐνόμισαν αὐτὸ, δῆλον, ὡς ὀρθοί γε ἦσαν τὴν ὑπόληψιν. Ὥστε καὶ βουλεύονται οἱ λόγου μὴ μετέχοντες, ὅπως ἂν ἑαυτοὺς ἐγκεράσαιεν τῷ φωτί· καὶ φθόνου λοιπὸν ἦν τὸ μὴ ἀνεῖναι τούτοις τοῦ ἀγαθοῦ τὴν ἀπόλαυσιν· οὐχ ἕστηκε γὰρ τοῦ Μάνεντος ὁ λόγος. Εἰ γὰρ κατ' ἀλλήλων ἐμαίνοντο, καὶ ἔδει γε αὐτοὺς καταλιπεῖν ὑπ' ἀλλήλων φθείρεσθαι· εἰ δὲ ἐπεθύμησαν ὡς ἀστεῖοι τοῦ φωτὸς, καὶ προσῆκον ἦν αὐτοῖς ἐπιτρέψαι τούτου τὴν ἀπόλαυσιν· ἀστεία γὰρ καὶ ἐπαινετὴ κατὰ φύσιν πάντως ἡ τοῦ ἀγαθοῦ ἐπιθυμία, οὗπερ ἀπολαύειν μὲν μὴ ἠδύναντο, ὥς γε ὁ τὰ τοῦ Μάνεντος συγγράφων φησὶν, ἐπιθυμοῦντες, διαφθείρειν δὲ οὐχ οἷοί τε ἦσαν· τοιοῦτο γὰρ πάντως τὸ ἀγαθὸν, οἷον μήτε δαπανᾶσθαι, μήτε B ἄλλως ἐπιβουλεύεσθαι πρὸς τῶν μετεχόντων αὐτοῦ. Ἐπεστράτευσαν δὲ ὁμοῦ πάντες τίνα τρόπον, μὴ εἰδότες τὸν ἀνθιστάμενον; Φησὶ γὰρ αὐτὸ τὸ γράμμα, ἀφ' οὗ τὰ παρὰ τοῦ Μάνεντος παρεθήκαμεν, ὡς οὐδ' ὅτι Θεὸς ἐν φωτὶ διῃτᾶτο ἐγίνωσκον, οὐδ' ὅτι, τολμήσαντες κατὰ τοῦ οἰκητηρίου τοῦ Θεοῦ, οὐκ ἔμελλον ἀθῷοί ποτε ἀπαλλαγῆναι.

Cap. XVIII. *Ignorantia Manichaica exagitatur.*

Si igitur non cognoverunt contrarium quod obstabat eis, alienum est prorsus a ratione educere exercitum contra eos a quibus se repelli nesciebant: par enim erat armari eos, ut aiunt ipsi, igne et tenebris, si prævidissent se ab alienis arceri. Sed quia omnino ignorabant, non solum non est credibile, sed plane sibi repugnans, armaturam et exercitum describere, cum nullus penitus exspectaretur ad resistendum adfuturus. Non minus contrarium est dicere, tum cupiditatem luminis illos habuisse, tum apparatu bellico usos esse confiteri: armis enim bellicis omnis hostis contra adversarium se tegit et munit; non contra id, quod cupit esse præmium certaminis. Si ergo non erat adversarius, quatenus ipsi ignorabant, quomodo non sunt contraria, cupere et belligerare? Quomodo autem illud etiam non est magnopere repugnans, eos qui in iis quæ secundum naturam sunt nunquam concordes fuerunt, inter se ad bellandum conspirasse? Simul, inquit, contra lumen consilium ceperunt. Qui enim membris suis inter se vicissim pascebantur, et semper nulla unquam intermissione facta contra se insaniebant, quomodo in iis quæ præter naturam sunt, ad habendam cupiditatem et ad commotionem iræ contra Deum concordes fuerunt

Εἰ τοίνυν μὴ ᾔδεσαν τὸ κωλῦον ἐναντίον, ἄλογον πάντη τὸ ἐπιστρατεύειν, ἐφ' οἷς οὐκ ᾔδεσαν κωλυόμενοι· ὁπλίζεσθαι γὰρ εἰκὸς ἦν αὐτοὺς, ὥς φησι, πυρὶ καὶ σκότῳ, εἰ προῄδεσαν τῶν ἀλλοτρίων εἴργόμενοι. Ἐπεὶ δὲ παντελῶς ἠγνόουν, οὐκ ἀπιθάνου μόνον, ἀλλὰ καὶ σαφῶς μαχομένου λόγου, ὅπλισίν τε καὶ στρατιὰν διαγράφειν, κατὰ μηδενὸς παντελῶς ἐναντιοῦσθαι προσδοκωμένου. Οὐχ ἧττον δὲ ἐναντίον καὶ τὸ πῇ μὲν ἐπιθυμίαν πρὸς τὸ φῶς ἐκείνοις γενέσθαι λέγειν, πῇ δὲ παρασκευῇ πολεμικῇ κατ' αὐτοῦ κεχρῆσθαι τούτους ὁμολογεῖν· ὅπλον γὰρ πάντως πολεμικὸν κατὰ τοῦ ἀνθισταμένου προβάλλεται πολέμιος ἅπας, οὐ καθ' οὗ ἔχει τὴν ἐπιθυμίαν ἐπάθλου. Εἰ τοίνυν μὴ ἦν κατὰ τὴν αὐτῶν ἄγνοιαν ὁ ἀνθιστάμενος, πῶς οὐκ ἐναντίον τὸ ἐπιθυμεῖν τῷ πολεμεῖν; Πῶς δὲ οὐχὶ λίαν κἀκεῖνο μαχόμενον, εἴγε οἱ μηδέποτε συμφωνήσαντες ἐν τοῖς κατὰ φύσιν ἀλλήλοις συνέπνεον; Ὁμοῦ γὰρ, φησὶ, κατὰ τοῦ φωτὸς ἐβουλεύσαντο. Οἱ γὰρ τὰ ἀλλήλων μέλη τρεφόμενοι, καὶ μηδέποτε τῆς κατ' ἀλλήλων μανίας παυσάμενοι, πῶς ἐν τοῖς παρὰ φύσιν εἰς ἐπιθυμίαν ἅμα καὶ ὀργὴν κατὰ τοῦ κρείττονος συνεφώνησαν;

Si vero juvit spectasse lumen, nonne oportebat duci eos a Deo ad perfectam naturæ mutationem, adhibita illis curatione ad fruendum ipso bono, hoc est, Deo perfecte? Quomodo juvit spectaculum luminis visi profectos ad bellandum cum exercitu; quibus hoc ipsum lumen non permisit contra seipsos furorem amplius exercere, ut quidem exercere oportebat; contra se vero ipsum præter quam oportebat, permisit? Verum in his quidem

Εἰ δὲ ὤνησεν αὐτοὺς ἡ θέα τοῦ φωτὸς, πῶς οὐκ ἔδει γε πρὸς ἀγαθοῦ πρὸς τελείαν αὐτοὺς τῆς φύσεως μεταβολὴν ξεναγωγηθῆναι τῇ ἐπιτροπῇ τῆς ἐντελοῦς τοῦ κρείττονος ἀπολαύσεως; Πῶς δὲ ὤνησεν ἡ θέα τοῦ φανέντος φωτὸς στρατευσαμένους, οἷς τὴν μανίαν οὐκέτι κατ' ἀλλήλων δεόντως ἐνεργεῖν τοῦτο συνεχώρησε, καθ' ἑαυτοῦ δὲ παρὰ τὸ δέον ἔτρεψεν; Ἀλλὰ πολὺ μὲν ἐν τούτοις τοῖς πλάσμασι τὸ ληρῶδες· ταῦτα δὲ καὶ ἄλλως ἀσύγγνωστα δειχθείη. Γῆν

Digitized by Google

γὰρ ὀνομάζουσι τοῦ ἀγαθοῦ· ποίαν δὲ ταύτην πρὸ τῆς δημιουργίας; Προλαμβάνει δὴ παρ' αὐτοῖς τὰ ὀνόματα τῶν πραγμάτων τὴν γένεσιν· πρὶν γὰρ ὁμολογῆσαι τὸν Θεὸν πεποιηκέναι, λέγει εἶναι ὁ χαλεπώτατα μανεὶς τὸ μηδέπω γεγενημένον. Γῆ γάρ, εἰ μὲν ἐγένετο, ἦν· εἰ δὲ μὴ γενομένη ὑπῆρχε, συναγέννητος ἦν τῷ Θεῷ. Γῆς δὲ τίνα χρείαν ἔχει ὁ Θεὸς, γῆ μὴ κεχρημένος; Ἀναλογίστως γῆν Θεοῦ ὀνομάζει, πρὶν ταύτην εἰπεῖν γεγονέναι· οὐδὲ γὰρ οἷόν τε ἦν πρὸ δημιουργίας μαρτυρῆσαι ταύτῃ τὸ γενέσθαι. A commentis multum deliramenti est, quæ aliter etiam convincimus, non posse condonari : nominant enim terram boni (id est, Dei ;) qualem vero terram ante mundi creationem? Apud eos scilicet ortum rerum anticipant nomina : prius enim quam fateantur creasse Deum mundum, ait absurdissimus Manichæus, esse quod nondum factum erat. Terra namque, si quidem fuerat, erat : sin vero non erat facta, erat simul cum Deo ingenita. Quid vero opus erat Deo terra, qua non fuit usus? Sed hic insipienter terram Dei vocat, antequam dicat factam esse : nec enim ante creationem poterat testimonium dici de terra facta.

Cap. XIX. *Malum principium videre lumen non potuit.*

Ἔπειτα Θεοῦ μὲν ἔστι φῶς αἰσθητὸν δημιούργημα, αὐτὸς δὲ φῶς ἂν εἴη νοητὸν, οὐκ αἰσθητόν; Εἶδεν οὖν ἡ κακία, φησὶ, τὸ φῶς τοῦ ἀγαθοῦ. Εἰ μὲν τὸ αἰσθητὸν φῶς, οὔπω κόσμος, οὔτε γένεσις κόσμου· πῶς εἶδε τὸ μηδέπω γεγενημένον; τοῦ γὰρ κεχρημένου μήπω τυγχάνοντος ἀνθρώπου, τίνι χρήσιμον ἦν τὸ φῶς; συγγενῆ γὰρ τῷ κεχρημένῳ τὰ χρήσιμα· οὐ γὰρ δὴ Θεῷ χρήσιμον ἦν ἀπηλλαγμένῳ πάσης αἰσθητῆς μετουσίας. Εἰ δὲ αὐτὸν τὸν Θεὸν, ὅσπερ ἐστὶ νοερὸν φῶς, πάντως ὁμοιώματι φύσεως εἶδε τὸ ὅμοιον. Ἀνάγκη τοίνυν αἰσθητὸν φῶς αὐτὴν ἑωρακέναι· αἰσθητὸν δὲ πρὸ τῶν αἰσθητῶν, τοῦ τίνος χάριν ὑπῆρχε. Πῶς δὲ ὅμως σκότος ὁρᾷ φῶς; Εἰ γὰρ ἐθεάσατο φῶς, οὐκ ἂν εἴη σκότος· πολλὴν γὰρ ἔχει τὴν κοινωνίαν ἡ αἴσθησις πρὸς τὸ αἰσθητόν. Φυσικὴ γὰρ ἡ ἐπιβολὴ δι' ὁμοιότητα τῆς ὄψεως πρὸς τὸ φαινόμενον· αὐτίκα ἀναμάσσεται ἅμα τούτου τὸν χαρακτῆρα διὰ τὴν ἔννομον τῆς φύσεως κοινωνίαν· σῶμα μὲν γὰρ σῶμα ὁρᾷ· ὅμοιον δὲ τῷ ὁμοίῳ ἐπιβάλλει, καὶ οὐκ ἔνεστι τὸ κρεῖττον καὶ ἀναβεβηκὸς τῇ φύσει, καίτοιγε οὐκ ἐναντίως ἔχον (8*), πλὴν ὅτι γε ἀσώματον τῷ ὑποβεβηκότι, ἅτε δὴ σωματικῷ πάντως οὐχ ὁρατόν· ἆρα γε τὸ ἐναντίον τῷ ἐναντίῳ, εἴγε ἐστὶν, ἀόρατον· οὐκοῦν συγγενῆ καὶ φίλα, καὶ οὐδαμῶς ἐναντία. B Deinde a Deo quidem creatum est lumen in aspectum cadens; ipse autem Deus lumen est intelligibile non sensibile. Vidit igitur, inquit, nequitia lumen summi boni. Si lumen, quod in sensum cadit, nondum erat mundus, nec ortus mundi, quomodo igitur vidit quod nondum factum erat? cui enim fuisset usui, nondum homine qui uteretur, creato? utilia enim utenti cognata sunt : non enim Deo qui ab omni participatione sensili liber est, utile erat. Si autem ipsum Deum, quod est lumen intelligibile, omnino vidit similitudine naturæ sui milè; necesse igitur erat ut ipsa lumen sensibile vidisset; sensibile autem quorsum fuisset, et in quem usum ante sensibilia creata? Alioqui quomodo tenebræ vident lumen? Si enim viderunt lumen, diabolus non erat tenebræ; magnam enim societatem et conjunctionem habet sensus cum sensibili. Naturalis enim conjectus oculorum propter similitudinem aspectus cum re quæ videtur, statim exprimit figuram ejus propter legitimam naturæ communionem; corpus enim corpus videt. Simile in simile intendit aciem; neque possunt oculi naturæ inferioris quod natura præstantius et excellentius est videre, nedum quod naturæ contrariæ est. Si autem, quod est naturæ excellentioris, quippe C cum non sit contrarium, præterquam incorporeum, ab inferiore utpote corporeo omnino non potest videri; sane contrarium a contrario, si modo est, videri non potest. Sunt igitur ista quæ scilicet se vident, cognata et amica et nequaquam contraria.

Cap. XX. *Materia ex Manete ascendere conatur. Materiæ amor erga sobolem Dei.*

Ἀλλὰ πλῆρες ὀλέθρου βαρβάρου τὸ πλάσμα (9)· φησὶ γάρ· Θὺ μόνον εἶδεν ἡ ὕλη, ἀλλὰ καὶ ἐπιβῆναι ἐβουλεύετο, ὥσπερ τινὰ σπουδὴν τιθέμενος ταύτην εἰς ἀπόδειξιν τῆς πρὸς τὸ φῶς κοινωνίας· τάχα καὶ μετέγνωσαν οἱ ἐξ αὐτῆς, ὅτι ἐν ἀπλέτοις αἰῶσι τοῖς προλαβοῦσιν ἀπείρατοι ἐγεγόνεισαν τοῦ φωτός. Καὶ τίνα τρόπον σκότος μεταποιεῖται φωτός; ἢ τίνος χάριν ἐπελθεῖν τούτῳ γε βούλεται; Ἆρά γε ἵνα τὴν φύσιν μεταβάληται, καὶ γένηται φῶς; ἢ ἵνα γράφῃ (9*) φωτὶ ἐναντίαν τῆς φύσεως τροφήν; Ἀλλ' ἀγνοοῦσα, ἐπιβῆναι ἤθελε· καίτοι, εἰ μὲν ἔγνω, λόγον εἶχε τὸ μεταποιηθῆναι· οὖσαν δὲ φύσει κακίαν καὶ ἀγνο- D Sed plenum est commentum barbara pernicie : ait enim, non solum vidit materia, sed decrevit ascendere tanquam studium quoddam adhibens ad demonstrandum habere se communionem et societatem cum lumine : fortasse eos qui ex ipsa nati sunt, pœnituit, quod infinitis sæculis superioribus non fuissent experti lumen : et quomodo tenebræ adsciscunt et vindicant sibi lumen? aut quorsum, et in quem usum volunt tenebræ invadere lumen? an ut naturam mutent et efficiantur lumen? an ut nutriantur lumine, alimento naturæ contrario? At ignorans voluit ascendere. Etenim si cognovisset,

(8*) *Ἔχον.* Post hanc vocem deesse in textu nonnulla videntur.

(9) *Ἀλλὰ πλ.* κ. τ. λ. Hunc locum ita reddit Basnagius : *Barbari figmentum pernicie plenum est.* Barbarus enim ille, inquit, qui talia finxit, est Manes Persa.

(9*) *Ἵνα γρ.* An ut imprimat alimentum naturæ lucis contrarium? Basn.

Digitized by Google

ratio constaret cur mutari voluisset : nunc autem cum natura sit nequitia et ignorans, integra eversio totius rei et causæ est non fugere a contrario.

Quod autem magis a ratione aversum est, ait missam fuisse a bono potestatem, non jam lumen sensibile, sed velut diceret, sobolem Dei. Hanc cum vidisset materia, concupivit quidem tanquam amans eam ; impetum vero in eam fecit et absorbuit, et suis potestatibus distribuit ; qua via fieri non poterat, ut videret missum ex natura boni ; hoc, inquit, effectum est, ut absorbere posset missum. Utar enim adhuc amplius eodem verbo, quoniam si vel solum vidit, quod ex substantia Dei propagatum erat, non est opus alio quopiam verbo ad evertendum commentum. Vidit enim omnino tanquam similis simile. Quod enim est penitus secundum naturam contrarium, et summe contrarium, nunquam videre poterit contrarium, nec propinquabit ei, quia si vel solum videat, ratio contrarii prorsus tollitur.

οὖσαν, ἀνατροπὴ παντελὴς τῆς ὑποθέσεως τὸ μὴ καὶ φυγεῖν τὸ ἐναντίον.

Τὸ δὲ δὴ μεῖζον εἰς ἀλογίαν, ἀποσταλεῖσαν δύναμιν τοῦ ἀγαθοῦ, οὐκέτι φῶς αἰσθητόν· ἀλλ' ὡς ἂν φαίη, προβολὴν τοῦ Θεοῦ θεασαμένη, προσκισσᾷ μὲν ὡς ἐρῶσα, ὁρμᾷ δὲ καὶ καταπίνει, καὶ ταῖς ἰδίαις δυνάμεσι διανέμει· ἦ δὲ καὶ θεάσασθαι τὸ ἐκ τῆς φύσεως τοῦ ἀγαθοῦ πεμφθὲν ἀδύνατον ἦν, ταύτῃ δυνατόν φησι γεγονέναι, καὶ καταπιεῖν τοῦτο. Ἐπὶ πλέον γὰρ τῷ αὐτῷ χρήσομαι λόγῳ, ὡς, εἰ καὶ μόνον εἶδε τὸ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ προβεβλημένον, ἑτέρου τινὸς οὐκ ἂν δεόμεθα (10) λόγου πρὸς ἀνατροπὴν τοῦ πλάσματος· εἶδε γὰρ πάντως, ὡς ὁμοία τὸ ὅμοιον. Τὸ γὰρ πάντη κατὰ φύσιν ἐναντίον καὶ πρὸς ἄκραν ἐναντιότητα κεχωρηκὸς, οὔτ' ἂν ἴδοι τὸ ἐναντίον, οὔτ' ἂν προσεγγίσειεν αὐτῷ· ἐπειδὴ διαφθείρεται τῆς ἐναντιότητος ὁ λόγος παντελῶς, εἰ καὶ μόνον ἴδοι.

Cap. XXI. *Deus invisibilis.*

Hoc autem addit cæteris quæ dixit, absurdius, et secum vehementer pugnans ; ne opus sit, ut alius contra eum dicat. Amavit enim, inquit, potestatem illam visam tanquam oblita penitus naturæ propriæ : non illa quidem oblita est, quæ non erat : sed hi sunt suorum commentorum immemores ; aiunt enim, priusquam hæc seditionem moveret, non habuisse cognitionem boni ; ne cognitione boni naturam ab ipso accusatam ornent. Nonne amentia est, putare eam quæ in se non habet unde cognoscat esse bonum, potuisse videre, et postquam vidit, desiderasse ? longe enim majus est substantiam aspectu videre, quam cognoscere esse. Primum non solum nos, sed potestates angelicæ excellentiores, esse quidem bonum cognoscimus, ac cognitione sola ad pietatem in Deum alimur ; tanto vero excellentius angeli, quanto natura sunt excellentiores : videre autem substantiam Dei neque nobis, nec illis licet : siquidem nos quandiu corpus secundum naturam induti sumus, nec angelos ipsos videre possumus.

Manifestum enim est et p ane concessum, qui videt simile sibi videre. Si quis vero existimet futile esse quod dicimus ; videmus enim solem, lunam et stellas, præterea apud nos lapides, aurum, argentum, denique mare ipsum et omnia animalia, ac nullo pacto his similes sumus ; advertat iste, quod etsi eorum quæ enumeravimus, diversæ species sint ; at horum omnium genus supremum corpus est. Substantia namque partim inaspectabilis est, ut incorporea ; partim aspectabilis, ut corpus. Prima igitur partitio omnia hæc tanquam genus separat et distinguit. Quare corpus corpus videt ; et quatenus corpus, simile et cognatum est videns viso, quamvis sint diversæ horum species propter varietatem et ornatum universi.

Ridiculum enim esset, si quia flos pulcherrimum

Τοῦτο δὲ προστίθησι τῶν εἰρημένων ἀτοπώτερον ἰσχυρῶς ἑαυτῷ μαχόμενος· ἵνα μηδεὶς ἕτερος δεηθῇ πρὸς αὐτὸν εἰπεῖν. Φησὶ γάρ· Ἡράσθη τῆς φανείσης δυνάμεως, ὥσπερ ἐπιλησθεῖσα παντελῶς τῆς ἰδίας φύσεως· οὐ μὲν δὴ ἐκείνη γε ἡ μὴ οὖσα, ἀλλ' οὗτοί γε τῶν ἰδίων πλασμάτων· εἰ γὰρ πρὶν ἐπαναστῆναι ταύτην φασὶ γνῶσιν τοῦ ἀγαθοῦ μὴ ἐσχηκέναι, ἵνα μὴ σεμνώσωσιν ἀγαθοῦ γνώσει τὴν παρ' αὐτοῦ φύσιν διαβεβλημένην· πῶς οὐκ ἄλογον τὴν μὴ ἔχουσαν ἐν αὐτῇ τὸ εἰδέναι, ὅτι ἔστι τἀγαθὸν, ταύτην καὶ ἰδεῖν δυνηθῆναι, καὶ θεασαμένην ἐπιθυμῆσαι ; μεῖζον γὰρ ἀσυγκρίτως τοῦ γνῶναι, ὅτι ἔστι τὸ θεάσασθαι ὄψει τὴν οὐσίαν. Αὐτίκα οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ τῶν ἀγγέλων αἱ ἀναβεβηκυῖαι δυνάμεις, ὅτι μὲν ἔστι τἀγαθὸν, γινώσκομεν, τῇ γνώσει καὶ μόνῃ πρὸς τὴν εὐσέβειαν τρεφόμενοι, ἀγγέλων δηλαδὴ ἀναβεβηκότων κατὰ τὴν γνῶσιν, ὅσον καὶ κατὰ φύσιν· τοῦ δὲ Θεὸν κατ' οὐσίαν ἰδεῖν, οὔθ' ἡμῖν οὔθ' ἐκείνοις μετόν· ὅπου ἡμῖν οὐδ' ἀγγέλους αὐτοὺς, ἐν ὅσῳ τὸ κατὰ φύσιν περικείμεθα σῶμα, δυνατὸν ἰδεῖν.

Δῆλον γὰρ καὶ σαφῶς ὁμολογούμενον, ὡς ὁ τι βλέπων, ὅμοιον ἑαυτῷ ὂν, τοῦτο βλέπει. Εἰ δέ τις ἀπαιδεύτως οἰηθείη σαθρὸν εἶναι τὸ ῥηθὲν (ἐμβλέπομεν γὰρ ἥλιον καὶ σελήνην καὶ ἀστέρας, ἔτι μὴν ὑφ' ἡμᾶς λίθους, χρυσόν τε καὶ ἄργυρον, καὶ συνόλως τὴν τε θάλασσαν καὶ τὰ ζῶα σύμπαντα, καὶ οὐ δήπου τούτοις ὅμοιοί ἐσμεν), μανθανέτω, ὡς, εἰ καὶ διάφορα τὰ εἴδη τῶν κατηριθμημένων, ἀλλά γε τούτων ἁπάντων ἀναβεβηκὸς γένος τὸ σῶμα· τῆς γὰρ οὐσίας τὸ μὲν ἀόρατον, ὡς ἀσώματον, τὸ δὲ ὁρατὸν, ὡς σῶμα. Ἡ τοίνυν πρώτη τομὴ πάντα ταῦτα ὡς ἂν γένος ἀφορίζει· σῶμα τοίνυν, σῶμα βλέπει· καὶ καθὸ σῶμα, ὅμοιον καὶ συγγενὲς τὸ ὁρῶν τῷ ὁρωμένῳ, εἰ καὶ διάφορα τούτων τὰ εἴδη διὰ τὸ ποικίλον καὶ κόσμιον τῷ παντί.

Ἐπεί τοι γέλως ἂν εἴη χρυσοῦ τε τὸ ἄνθος, ἐπεσθη

(10) Forte δεοίμεθα vel δεώμ. Edit.

Digitized by Google

γε κάλλιστον τῇ ὄψει φαίνεται, καὶ αἰθάλης τὸ ἀναν- A
θὲς, μὴ ἑκάτερον, ὅπερ καὶ ὄντως ἐστὶ, καλεῖσθαι χρῶμα· χρῶμα γὰρ, εἰ καὶ διάφορον, ἑκάτερον· ὄψις γὰρ ἡ αὐτὴ ὁμοίως ἑκατέρῳ κοινωνεῖ. Οὕτω δὴ πάντα τὰ σώματα ὁρατὰ, εἰ καὶ διάφορα τῷ εἴδει, φάσκει μέν· εἰ δὲ σώματα σωμάτων κρείττω, τὸ κωλῦον οὐδὲν, πλήν γε σώματα πάντα· ὅθεν οὐδὲ προσκυνητὸν μάλιστα τῷ ὁρῶντι τὸ ὁρατὸν, ὡς καταλαμβανόμενον πρὸς αὐτοῦ.

aspectum habet, et ab auro differt, et quod est floridum differt a viridi, non uterque vocaretur, qui in re est, color : color enim est uterque, tametsi diversus : idem enim aspectus cum utroque conjunctionem et societatem habet. Sic omnia corpora sunt aspectabilia, licet differentes sint species. Esse autem corpora alia aliis præstantiora, nihil prohibet, quin omnia corpora sint spectabilia : ex quo fit, ut non sit quod sub aspectum cadit maxime et præcipue, adorandum ab eo qui illud cernit, tanquam ab ipso comprehensum.

Cap. XXII. *Materia Deum non vidit. Neque lumen absorbuit.*

Εἰ τοίνυν εἶδε τὸ ἐκ τῆς οὐσίας ἡ ὕλη τοῦ Θεοῦ, συγγενείᾳ πλείστῃ τε καὶ ὁμοιότητι πρὸς τὴν θέαν ἦλθε, καὶ οὐδὲν πλέον ἐχρῆν πρὸς τὸν ἀσύστατον τοῦτον μῦθον εἰπεῖν· εἰ δὲ καὶ ἐπεθύμησε τοῦ φανέντος, τὸ πάντων ἄριστον αὐτῇ προσεμαρτύρησεν ὁ ἀνόητος· ὡς κακίαν μὲν ὄνομα τεθεικέναι δοκεῖν, οὐσίαν δὲ ἀγαθὴν προσομολογῆσαι. Τί γὰρ εἰς ἀπόδειξιν καλοκαγαθίας μεῖζον τοῦ ἐπιθυμῆσαι τἀγαθοῦ; Εἰ δέ φησι καὶ ἐπελάβετο, καὶ κατέπιεν, ὡς ἐγκύμων γενέσθαι τῆς ἐναντίας τοῦ Θεοῦ οὐσίας, καὶ ταῖς ἰδίαις δυνάμεσι διένειμεν· ὦ τῆς ἀλόγου μανίας! οὐκ εἶδε μόνον, ἀλλὰ καὶ ἐπεθύμησε· καὶ οὐκ ἐπεθύμησε μόνον, ἀλλὰ καὶ κατέπιε· καὶ οὐ κατέπιε μόνον, ἀλλὰ καὶ κατέχει. Ταῦτα πάντα σαφῶς οὐ τὴν ἐναντιότητα τῆς φύσεως ὁρίζει, ἄκραν δὲ καὶ τὴν ἀνωτάτω συγγένειαν ἀμφοῖν ὁμολογεῖ.

Si igitur materia vidit, quod ex substantia Dei erat, cognatione magna et similitudine ducta, ad B spectaculum venit, nec amplius opus erat dicere contra hanc fabulam, quæ consistere non potest : si vero etiam desideravit quod vidit, de re omnium optima testimonium illi perhibuit homo stultus ; ut videatur nomen quidem nequitiæ imposuisse ei, substantiam vero bonam esse eidem attestatus. Quid enim majus esse poterat ad probandum bonitatem, quam desiderasse bonum? Quod autem dicit apprehendisse et absorbuisse, ut substantia Dei contraria tanquam semine fieret gravida, et distribuisse suis potestatibus : o furorem amentis! non solum vidit, sed desideravit ; et non tantum desideravit, sed absorbuit ; et non solum absorbuit, sed etiam retinuit. Hæc omnia perspicue non contrariam naturam definiunt, sed potius summam et C altissimam cognitionem utriusque concedunt.

Εἴτε γὰρ ἀγανακτοῦσα, ὅπερ λογισμοῦ δεῖγμα τυγχάνει, εἴτε καὶ ἐπιθυμοῦσα κατέπιε τὸ φανὲν, φύσεως ἄντικρυς κοινωνία ταῦτα γένοιτ' ἄν· εἰ γὰρ ἄκρως ὑπῆρχεν ἐναντία, συνῆλθεν οὐδαμῶς ἂν ἑκάτερα. Οὐ συνεῖδε δὲ πρὸς τοῖς ἄλλοις βάρβαρος οὐδὲ τοῦτο, ὅτι ἡ ἀποσταλεῖσα παρὰ τοῦ Θεοῦ δύναμις, εἰ μὲν ἀσώματος ἦν, τομὴν οὐδεμίαν παρεδέξατο ἂν· ὡς μηδαμῶς καταδιαιρεθῆναι δύνασθαι κατ' οὐσίαν εἰς τὰς ἐναντίας δυνάμεις, μήτε μὴν καταποθῆναι· τὸ γὰρ ἀσώματον τίνα ἂν καταποθείη τρόπον; Εἰ δὲ σωματικὴ, πᾶν σῶμα κατατεμνόμενον καὶ κατακερματιζόμενον ἀναιρεῖται τρόπον τινὰ, καὶ ζῆν οὐκέτι δύναται τὴν ἰδίαν ζωήν. Τοιγαροῦν ἢ ἀσώματος ἦν ἡ ἀποσταλεῖσα παρὰ τοῦ ἀγαθοῦ δύναμις, καὶ οὐδαμῶς οὔτε κατεπόθη, οὔτε εἰς πολλοὺς διῃρέθη, καὶ πέπαυται, καὶ οὕτω παντελῶς ὁ μῦθος· ἢ σωματική τις ἐτύγχανε καὶ ἀνῄρηται πάντη, καὶ ἀπόλωλε πρὸς τῆς κακίας, ὅπερ ἐστὶ χαλεπώτερον εἰς ὕβριν τοῦ ἀγαθοῦ· μᾶλλον δὲ ἰσχυρώτερον εἰς ἀνασκευὴν τοῦ μύθου· σῶμα γὰρ καθ' ἑαυτὸ διαιρεθὲν καὶ διασκορπισθὲν, (νοῦς γὰρ οὐ διαιρεῖται), ποίαν ἔχει τὴν ἰσχὺν, ὥστε ὑποτάττειν τὴν κακίαν, τὸ τοσαύτην γε βλάβην καὶ ὕβριν εἰς τὴν ἰδίαν φύσιν ὑπομεῖναν, ὡς ἠφανίσθαι καὶ ἀπολωλέναι δοκεῖν; τοῦτο γὰρ ἴδιον σώματος κατατεμνομένου.

Sive enim succensens, quod quidem ratiocinationis indicium est, sive desiderans absorbuit quod vidit, hæc plane ad communitatem naturæ pertineant. Si enim summe contraria fuissent, nequaquam utraque coissent. Ut alia omittam, neque hoc barbarus advertit, quod potestas a Deo missa, siquidem incorporea erat, nullam partitionem recepisset, ut nullo modo posset dividi secundum substantiam in contrarias potestates, ac multo minus absorberi : quod enim expers corporis est, quonam modo absorbeatur? Si vero corporea erat, omne corpus sectum et in frusta partitum quodam modo perit et non potest vitam suam vivere. Igitur vel incorporea erat potestas a bono missa, et nullo D modo absorpta est, nec in multos divisa est, atque ita ex toto fabula sublata est : vel corporea quædam potestas erat, et a nequitia deleta est et interitum cepit ; quod est ad contumeliam Dei sceleratius, quin potius ad eversionem fabulæ valentius : corpus enim per se divisum et dissipatum ac dispersum (mens enim non dividitur), quas vires habet ad subigendam nequitiam, quod tantum detrimentum et contumeliam in naturam propriam accepit, ut videatur deletum esse et interiisse? hoc enim corporis divisi proprium est.

Cap. XXIII. *Deus substantiam suam non misit. Manes in Deum furens.*

Τὸ δὲ δὴ παραλογώτερον, εἰ θελήσας Θεὸς γῆν ἐξελέσθαι τῆς κακίας, τὸ ἐκ τῆς ἰδίας φύσεως γυ-

Quod autem amentius est, si cum voluisset Deus terram eripere nequitiæ, ex natura propria emisit

Digitized by Google

illud nudum ad contumeliam et interitum ipsius substantiæ, tot sæculis sessurum et habitaturum simul cum nequitia, et particeps ejus futurum, ac cum ea pariter peccaturum. Quod quidem vel unam horam aut punctum temporis substantiam Dei passam esse, ut nequitiæ subjecta esset, et pariter cum ea deliquisset, omnem amentiam superat. Quanto melius erat traditam esse terram, quam substantiam Dei comprehensam esse? Si enim non fuisset ferenda incursio in terram, ut materia ordinem perturbaret, quanto minus ferenda erat tanta servitus, et naturæ divinæ subjectio, idque non ad brevissimum tempus, sed ad universum et immensum sæculum? ut neque nequitia peccare desisteret, et Deus cum ea per potestatem ex se genitam peccaret.

Unde consequens est, neque Deum voluisse mittere nequitiæ ex substantia sua genitum ad peccandum cum ea : nec illud missum inductum fuisse et obtemperasse, ut ad tantum malum et luem proficisceretur ; ut impleretur scilicet omni iniquitate et injustitia, simul et impietate, idque pro terrena liberatione terræ non jam tunc captæ, sed capiendæ, tanquam non potuisset Deus aliter huic terræ præesse. Vide quam plane infirmum mentiatur Deum Manichæus in Deum furens, tanquam defensor possessionum alicujus pupilli, et cujus infirmitatem necessarium est confiteri, ut partes patroni impleat. Ut enim contra defendens nequitiam nequaquam per se consistentem, omnia quidem fecisse contra Deum narrat, seditionem, impetum in res ejus, postremo, quod est omnium flagitiosissimum, obtinuisse omni sæculo substantiam ejus, eamque in infinitas partes divisisse, præfocare, et in se ipsa reprimere, habereque eam sociam in omni prava actione et intemperantia ; Deum autem non potuisse locum suum ullo alio modo neque valenter eripere, neque saltem vacare a peccato, quod naturam ejus decebat.

Quæ enim id quod ex ipso secundum substantiam genitum est, pariter cum materia peccat, plane in eum qui genuit, redundant. Sic demum omnem potentiam in Deum testimonio suo tribuit nequitiæ ; Deum vero dicit passum esse omnium durissima : et audet subjungere, quod potestas Dei missa sopivit materiam tanquam belluam cautione, non solum summe contraria, sermone omni probabilitate carente miscens, et quæ nullo pacto esse possunt, secundum naturam commento suo largiens, sed contra quam vult hic etiam conficiens et concludens : ex utrisque enim ait hunc Deum universum hoc fabricatum esse. Corpus vero hominis esse quidem nequitiæ ; animam vero Dei, sive cum sint unius formæ, sive cum jam ex contrariis composita ; quorum neutrum, ut paulo post docebimus, consistere potest. Corpus tamen solum

A μνὸν προσήκατο εἰς ὕβριν χαλεπὴν, καὶ διαφθορὰν αὐτῆς γε τῆς οὐσίας, τοσοῦτον αἰῶνα καθεζόμενον κακίᾳ συνοικῆσον, καὶ μεθέξον αὐτῆς, καὶ συναμαρτῆσον αὐτῇ· ὅπερ μίαν γοῦν ὥραν ἢ χρόνου στιγμὴν παθεῖν τὴν οὐσίαν τοῦ Θεοῦ, ὡς ὑποταγῆναι κακίᾳ, καὶ ταύτῃ συναμαρτῆσαι, καὶ πάντων ἀλογώτερον ἂν εἴη. Καὶ πόσῳ δὴ βέλτιον ἦν γῆν παραδοθῆναι, καὶ μὴ τὴν οὐσίαν τοῦ Θεοῦ καταληφθῆναι ; Εἰ γὰρ οὐκ ἀνεκτὴ πρὸς ἀταξίαν τῆς ὕλης ἡ κατὰ γῆς ἔφοδος, πόσῳ μᾶλλον ἀφόρητος ἡ τοσαύτη δουλεία καὶ ὑποταγὴ τῆς τοῦ Θεοῦ φύσεως, καὶ οὐ πρὸς τὸ βραχύτατον, ἀλλὰ πρὸς ὅλον καὶ ἄπλετον αἰῶνα ; ὡς τὴν μὲν κακίαν (10') τοῦ ἁμαρτεῖν μὴ πεπαῦσθαι, Θεὸν δὲ συναμαρτάνειν αὐτῇ, διὰ τῆς ἐξ αὐτοῦ προβεβλημένης δυνάμεως.

B

Ὅθεν εἰκὸς, οὐδὲ Θεὸν πρὸς τὸ συνεξαμαρτάνειν ἐθελῆσαι πέμψαι τῇ κακίᾳ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ προβεβλημένον, οὔτ' ἐκεῖνο πεισθῆναί τε, καὶ ὑπακοῦσαι πρὸς τοσοῦτον ὄλεθρον ἀφικέσθαι, ὥστε πάσης ἀνομίας τε καὶ ἀδικίας, ἅμα καὶ δυσσεβείας ἐμπλησθῆναι ὑπὲρ τοῦ γηΐνου, τὴν ἤδη ληφθεῖσαν, ἀλλὰ τὴν καταλαμβάνεσθαι μέλλουσαν ἐλευθερωθῆναι, ὡς οὐχ οἷόν τε ὂν ἑτέρως ταύτης τὸν Θεὸν προστῆναι. Ὅρα ὅσην ἀδυναμίαν καταψεύδεται τοῦ Θεοῦ σαφῶς ὁ κατὰ τοῦ Θεοῦ μανείς· ὥσπερ κτημάτων ὀρφανοῦ τινος προϊστάμενος, οὗ τὴν ἀσθένειαν ἐπάναγκες ὁμολογῆσαι, ἵνα τὰ τῆς συνηγορίας πληρωθῇ· ὡς γὰρ τοὐναντίον, τὴν οὐδαμῶς ὑφεστηκυῖαν κακίαν πρεσβεύων, πάντα μὲν αὐτὴν κατὰ Θεοῦ δεδρακέναι,

C λέγει ἐπαναστῆναι, ἐπιβῆναι τοῖς αὐτοῦ θελῆσαι· τέλος, τὸ πάντων κατὰ Θεοῦ χαλεπώτερον, τῆς οὐσίας αὐτοῦ ἐγκρατῆ σύμπαντα τὸν αἰῶνα γενέσθαι, καὶ κατατεμεῖν ταύτην, ὡς οὐκ ἐνδέχεται, εἰς ἄπειρα τμήματα, ἀποπνίγειν τε καὶ ἀποθλίβειν ἐν ἑαυτῇ, καὶ συμμέτοχον ἑαυτῆς ἐν πάσῃ κακοπραγίᾳ καὶ ἀκολασίᾳ ἔχειν· Θεὸν δὲ μὴ δυνηθῆναι μήτε τὸν ἴδιον τόπον ἑτερόν τινα τρόπον δραστηρίως ἐξελέσθαι, μήτε τὸ ἀναμάρτητον γοῦν ἑαυτῷ πρεπόντως τῇ φύσει τηρῆσαι.

Ἃ γὰρ τὸ ἐξ αὐτοῦ προβεβλημένον κατ' οὐσίαν τῇ ὕλῃ συναδικεῖ, ἄντικρυς εἰς αὐτὸν ἀνατρέχει τὸν προβεβλημένον. Οὕτω δὴ πᾶσαν δυναστείαν κατὰ Θεοῦ τῇ κακίᾳ προσμαρτυρῶν, Θεὸν δὲ τὰ πάντων

D ἀνήκεστα πρὸς αὐτῆς πεπονθέναι λέγει, καὶ τολμῶν ἐπάγει, ὅτι δὴ κατεκοίμησε τὴν ὕλην ἡ ἀποσταλεῖσα τοῦ Θεοῦ δύναμις, ὡς τὸ θηρίον ἐπῳδῇ, οὐ μόνον ἀπιθάνως τὰ ἄκρως ἐναντία τῷ λόγῳ κιρνῶν, καὶ τὰ μηδαμῶς κατὰ φύσιν ἐνδεχόμενα τῷ ἰδίῳ πλάσματι χαριζόμενος, ἀλλὰ καὶ τοὐναντίον ἢ βούλεται, καὶ ἐνταῦθα κατασκευάζων· ἐξ ἀμφοῖν μὲν γὰρ τούτοιν φησὶ Θεὸν δημιουργῆσαι τόδε τὸ πᾶν· τοῦ δὲ ἀνθρώπου εἶναι μὲν τὸ σῶμα τῆς κακίας· εἶναι δὲ τὴν ψυχὴν τοῦ ἀγαθοῦ, εἴτε μονοειδῆ, εἴτε συγκειμένην ἐκ τῶν ἐναντίων· καὶ ταύτῃ, ὡς ἑκάτερον μικρὸν ὕστερον δείξομεν, σύστασιν οὐδὲ μίαν ἔχον. Σῶμα μέντοι καθ' ἑαυτὸ οὐδὲν τῶν κακῶν οὐδ' ἐπινοεῖ, οὔτε ὀρᾷ·

(10') *Κακίαν. Nequitiam* vocat semper Satanam auctor. Turr.

Digitized by Google

οὔτε γὰρ φονεύει, οὔτε μοιχεύει, οὔτε ληστεύει, οὔτε ἄλλο τι τῶν ἀδικημάτων ἐργάζεται, ψυχῆς αὐτῷ μὴ παρούσης.

A ac per se nihil mali neque cogitat, neque facit; non enim occidit, neque adulteratur, neque latrocinatur, nec aliam injuriam facit, cum non adest anima.

Cap. XXIV. *Mistio animæ cum corpore.*

Καίτοι τούτων καὶ τῶν τοιούτων ἕνεκεν ἐπινενόηται τῷ Μάνεντι τῆς ἐναντίας ἀρχῆς ἡ ὑπόστασις, καὶ τῶν ἐναντίων ἡ κρᾶσις, ὡς ἂν τὸ αἴτιον αὐτῶν εὑρεθείη. Εἰ δὲ ἡ κρᾶσις τῆς ψυχῆς τοῦ ἀγαθοῦ πρὸς τὸ σῶμα τοῦ κακοῦ, τῶν ἀδικημάτων ἀνθρώποις παρέσχε τὰς ἀφορμάς, καθ' ἑαυτὸ γὰρ οὐ πλημμελεῖ σῶμα· βέλτιον ἦν μὴ συγκραθῆναι τὴν πεπλασμένην τοῦ ἀγαθοῦ δύναμιν τῇ μὴ οὔσῃ κακίᾳ· οὐ γὰρ ἂν τῶν κατὰ ἀνθρώπους ἁμαρτημάτων οὐδὲν ἐπολιτεύετο, οὐδ' ἂν ὑπῆρχεν ὅλως. Ποῖος γὰρ B ἦν ὁ φόνος, τοῦ φονευομένου μὴ ὄντος, εἴγε μὴ διὰ τῆς τῶν ἐναντίων κράσεως, κατὰ τὸν γελοιότατον λόγον, ἐγεγόνει κόσμος; ποία δ' ἂν μοιχεία, τοῦ σώματος μὴ ὄντος, μήτε καθ' ἑαυτὸ γοῦν ἐπιθυμοῦντος, εἰ μὴ ψυχὴ ἡ τοῦ ἀγαθοῦ κατεπέμφθη; δυοῖν γὰρ θάτερον· ἢ τοῦ ἀγαθοῦ οἰκονομίᾳ χρὴ φάσκειν συνελθεῖν τἀναντία, ἵνα γένηται ὡς πρὸς ἀγαθοῦ κόσμος, καὶ ὅλως αὐτὸς αἴτιος ἂν εἴη τῶν ἐν ἀνθρώποις κακῶν, εἴγε ἑκὼν τῇ κακίᾳ προσεχρήσατο κατὰ τῶν γενησομένων· ἢ ἐβιάσθη πρὸς τῆς κακίας, καὶ ἤδη τὰ νικητήρια κατὰ τοῦ ἀγαθοῦ ἀπενήνεκται ἡ κακία.

Atqui ob hanc causam excogitavit Manichæus hypostasim principii contrarii et mistionem contrariorum, ut causa malorum reperiretur. Sed si admistio animæ, quæ Dei est, cum corpore, quod diaboli, causas et primordia injuriarum ac peccatorum hominibus præbuit, per se autem non delinquit corpus: melius erat, ut anima a Deo creata non admisceretur nequitiæ non exstanti: nullum enim ex peccatis quæ homines committunt, in vita cerneretur neque penitus esset. Quod enim esset homicidium nemine occiso? Si per mistionem contrariorum, ut est in hac fabula ridicula, non fuisset factus mundus: quod adulterium esset non exstante corpore, neque per se concupiscente, nisi anima quæ Dei est, missa esset in corpus? alterum enim ex duobus relinquitur: aut dicendum esse, gubernatione Dei provida coisse contraria, ut tanquam a bono Deo fieret mundus, atque ita ipse omnino malorum in hominibus auctor esset, siquidem volens usus est nequitia contra eos qui futuri essent; aut vi coactum esse a nequitia, et jam nequitiam victoriam devicto Deo reportasse.

Cap. XXV. *Materia ante creationem mala facere non potuit. De mundi creatione absurda Manetis sententia.*

Ποῖος γὰρ ἦν, αὖθις λέγω, φονος, εἰ μήτε ἄνθρωπος ἦν, μήτε ξίφος, μήτε ἄλλο τι τῶν φονικῶν ἐργαλείων, εἰ μὴ διὰ τῆς συνόδου τῶν ἐναντίων κατεσκευάσθη ὁ κόσμος; Ἡ γὰρ ὕλη καθ' ἑαυτὴν, εἰ καὶ πρὸς ἀλλήλους οἱ ἐξ αὐτῆς ἐστασίαζον, φόνον μὲν οὐκ ᾔδει, οὐ γὰρ εἶχε θνητὸν, ὃν φονεύει· μοιχείαν ἠγνόει, οὐ γὰρ κατεγγυήσεις γάμων παρ' αὐτῇ ἐπολιτεύοντο· οὐ μὴν οὐδ' ἐσυκοφαντεῖτο, οὐδὲ γὰρ ὅλως τὸ κρίνειν εἶχεν, ἄλογος οὖσα· φιλαργυρίας δὲ τῶν κακῶν τῆς ῥίζης καὶ φιλοδοξίας, οὐδὲ ἕως προσηγορίας ἐμέμνητο· ἡ γὰρ φυλαργυρία παρὰ ἀνθρώποις, διὰ τὴν χρείαν, ἧς ἠλευθέρωτό γε ἐκείνη· καὶ ἡ φιλοδοξία λογισμοῦ πάθος, ἧς οὐ μετεῖχεν, ἀλόγιστος οὖσα· γαστριμαργία τε καὶ πορνεία, καὶ ἀῤῥενοφθορία παρ' αὐτῇ χώραν οὐκ εἶχε· καὶ συνόλως πάντα τὰ κακὰ ἃ παρὰ ἀνθρώποις ἀναφαίνεται, οὐδαμῶς D εἶχεν ἡ ὕλη πρὸ κόσμου.

C Sed dicam iterum, quale homicidium erat, si neque homo erat, neque gladius, nec aliud genus teli aut instrumenti ad occidendum, nisi per conjunctionem contrariorum ædificatus esset mundus? Materia enim per se ac sola, quanquam nati ex ipsa seditionem in seipsos movebant, homicidium quidem ignorabat; non enim habebat mortalem, quem occideret; adulterium nesciebat, quia sponsiones nuptiarum apud eam non versabantur: nec erat calumnia, omnino enim judicare non poterat, esset cum rationis expers. Cupiditas autem divitiarum, quæ est omnium malorum radix, ne nominabatur quidem; cupiditas enim divitiarum apud homines est propter usum et necessitatem, qua erat liberata materia. Ambitio non participabat perturbationem rationis, quia erat in materia vacuitas rationis: gulæ ac ventris vitium, et fornicatio, ac masculorum concubitus apud eam locum non habebant: et ut summatim dicam, omnia mala quæ apud homines feruntur, ante mundum ædificatum minime habebat materia.

Ὥστε οὐκ ἐπεδέθη τῇ συγκράσει, ἀλλὰ τοὐναντίον κατὰ τὴν ἀνόητον αὐτὴν ὑπόθεσιν, ὥσπερ ἵππος πεδίου λαβομένη, διαθέει πρὸς τὴν ἀδικίαν τῶν κακῶν φερομένη· ἃ γὰρ μηδαμῶς ὑπῆρχε πρὸ κόσμου κακὰ, ταῦτα, ἀφ' οὗ κόσμος, ἐν κόσμῳ ἐμπολιτεύεται. Κἂν γὰρ θείη τις κατὰ τὸν ἐκείνου λόγον, στασιάσαι καὶ μανῆναι κατ' ἀλλήλων τοὺς τῆς ὕλης, καὶ μυρία ἀλλήλους διαθεῖναι κακὰ, καὶ κατὰ τοῦ φωτὸς στρατεῦσαι· οὐ μέντοι τὸν κατάλογον τῶν κατηριθμημένων ἀνθρωπίνων κακῶν ἐκείνοις ὑπάρξαι φαντασθήσεται·

Itaque non fuit ligata commistione, sed potius contra convenienter eidem causæ amenti, sicut equus campum nactus, cursu fertur ad injustitiam malorum hominum: quæ enim erant ante mundi fabricationem mala, ex quo mundus est, in mundo versantur. Quamvis enim ponamus, ut ille dicit, natos ex materia fecisse seditionem, et furore in seipsos fuisse percitos, et infinitis malis se vicissim affecisse, et contra lumen exercitum eduxisse; non tamen bibens ea mala quæ in homine nume-

Digitized by Google

ravimus, cum illis fuisse cogitatione fingetur; quia non poterant humana mala agi priusquam homo esset : et ubi esse potest qui dicat, quod ligata nequitia frenata est, quæ neque malorum humanorum memineral; postquam vero ligata est, de his accusatur

A ἐπειδή γε οὐδὲ ἐνεδέχετο τὰ ἀνθρώπινα κακὰ πρὶν ἄνθρωπον γενέσθαι πράττεσθαι· καὶ ποῦ ἂν ὁ φάσκων εἶη, ὡς ἐσωφρονίσθη πεδηθεῖσα ἡ κακία, ἡ πρὶν μὲν πεδηθῆναι τῶν κατὰ ἀνθρώπους κακῶν οὐδὲ μεμνημένη, μετὰ δὲ τὸ πεδηθῆναι ἐπὶ τούτοις διαβαλλομένη;

Quid autem nocebat bono sola secum ordinem perturbans, et non habens cui perturbationem ordinis inferret? evertere enim bonum nullo pacto poterat. Si autem nitebatur invadere in loca aliena, aliter impetum ejus amentem reprimere oportebat : quæ enim prius non nocebat, ordinem contra se perturbans, nunc quidem videtur aliud quid assumpsisse, in quod tanquam in familiare et conjunctum perturbationem ordinis nocentiorem efficiet. Continuo dicemus, quod etiam homines B per seipsos malefici, volent quidem aliquid mali facere ; non habentes autem in quem faciant, otiosi reperiantur ; se vero ipsi benevole aspiciant ob concordiam ad maleficium : materia autem neque volebat, non enim consilium capiebat cum esset expers rationis ; neque poterat, cum esset sola et per se. Igitur quæ a Manichæo vocatur materia, videtur sumpsisse fere a bono per animam veriorem materiam ad operationem nequitiæ, quam nesciebat ; accusabatur enim ante mundi fabricam de perturbatione ordinis nobis ignota, et minime apparente. Didicit autem operari manifesta mala, et quæ cernuntur : excitavit ergo belluam cantio, et nequaquam sopivit, ut ille dicit.

Τί γὰρ ἔβλαπτε τάγαθὸν, καθ' ἑαυτὴν ἀτακτοῦσα, καὶ μὴ ἔχουσα ᾧ τὴν ἀταξίαν προστρίψηται; τρέψαι μὲν γὰρ τάγαθὸν οὐδαμῶς οἵα τε ἦν· εἰ δὲ ἐπιβαίνειν ἐπεχείρει τοῖς μὴ ἰδίοις τόποις, ἑτέρως αὐτὴν ἐχρῆν ἀναστεῖλαι τῆς ἀλόγου φορᾶς· ἡ γὰρ καθ' ἑαυτῆς πρότερον ἀβλαβῆ τὴν ἀταξίαν ἐνδεικνυμένη, νῦν γε δοκεῖ προσειληφέναι τι ἕτερον, καθ' οὗ ὡς συνόντος τὴν ἀταξίαν βλαβερωτέραν ἐνδείξεται αὐτίκα· καὶ ἄνθρωποι καθ' ἑαυτοὺς κακοῦργοι βουλήσονται μέν τι κακὸν δρᾷν, μὴ ἔχοντες δὲ καθ' οὗ δράσαιεν, ἀργοὶ ἂν ἀποδειχθεῖεν· ἀλλήλους δ' ἂν ἴδοιεν εὐνοϊκῶς συμφωνίᾳ τῇ περὶ τὸ κακόν. Ἡ δὲ ὕλη οὔτε ἠβούλετο· οὐδὲ γὰρ ἐβουλεύετο ἄλογος οὖσα, οὔτε ἐδύνατο, μόνη καὶ καθ' ἑαυτὴν οὖσα. Ἆρ' οὖν ἡ καλουμένη παρὰ τοῦ Μάνεντος ὕλη διὰ τῆς ψυχῆς ὕλην ἀληθεστέραν πρὸς τοῦ ἀγαθοῦ κινδυνεύειν προσειληφέναι δοκεῖ εἰς ἐνέργειαν κακίας, ἣν ἠγνόει· ἐνεκαλεῖτο γὰρ πρὸ κόσμου ἀταξίαν, ἄδηλον ἡμῖν καὶ μὴ φαινομένην. Ἔμαθε δὲ ἐνεργεῖν δῆλα καὶ φαινόμενα κακά· διύπνησεν ἄρα τὸ θηρίον ἡ ἐπῳδὴ, καὶ οὐδαμῶς κατ' ἐκεῖνον ἐκοίμησεν

Si autem dicit noluisse Deum ut fieret mundus, C perçunctandum est, quis erat, qui voluit? an malitia, quæ non habebat cognitionem? Quis est qui ex utrisque fecit quæ sunt? nunquid materia? non esset in admiratione ejus operatio. Sed nunquid non voluit Deus, coactus tamen est? Si ita esset, magis subjectus fuisset quam subjecisset, atque supervacaneum esset illum admirari sapientiam Dei vi coactam, et damnum eorum, qui futuri erant ; quæ enim nullo modo mala erant ante conjunctionem contrariorum, neque saltem nominabantur, hæc post ortum mundi floruerunt.

Εἰ δὲ λέγοι, Οὐκ ἤθελεν ὁ Θεὸς γενέσθαι κόσμον, ἐρωτητέον, Καὶ τίς ἦν ὁ βουλόμενος; ἄρα ἡ κακία, ἡ μὴ ἐγνωκυῖα; Τίς δέ ἐστιν ὁ κατασκευάσας ἐξ ἀμφοῖν τὰ ὄντα; ἡ ὕλη; οὐκ οὖν θαυμασία τὴν ἐνέργειαν (11). Ἀλλ' ἄρα Θεὸς οὐκ ἤθελε μὲν, ἠναγκάζετο δέ; οὐκ οὖν ὑπετάγη μᾶλλον ἢ ὑπέταξε; Καὶ περιττὸν κἀκεῖνο θαυμάζειν, τάγαθοῦ τὴν σοφίαν βιασθεῖσαν εἰς τὴν βλάβην τῶν γενησομένων· ἃ γὰρ οὐδαμῶς ἦν κακὰ πρὶν συνελθεῖν τἀναντία, οὔτε μὴν ὄνομα γοῦν αὐτῶν ἐπολιτεύετο, ταῦτα μετὰ κόσμου νένεσιν ἤνθησαν.

CAP. XXVI. *Deus auctor peccati secundum Manem. Mistionem animæ cum materia Manes admittit.*

An non est absurdum dicere, voluisse Deum D perturbationem ordinis, quæ nobis demonstrari non potest, a materia tollere, et actionis malorum quæ videmus et in hominibus apparent, omni ordine et ratione carentis auctorem fuisse? Perturbationem namque ordinis de qua materiam damnabat, verbo solum proferre potuit, non tamen rebus ipsis et operibus demonstrare : mala autem, ex mistione ista contrariorum conficta, et quæ fieri non potuit, oculis cernens insanus homo, dissimulare ea non potest. Quare dum docere vult, non esse Deum auctorem injustitiæ humanæ, maxime esse plane confitetur, imo plenius quam si hoc solum studeret.

Καὶ πῶς οὐκ ἄτοπον φάσκειν, βουλόμενον τὸν Θεὸν ἀταξίαν τὴν ἡμῖν γε ἀναπόδεικτον τῆς ὕλης παῦσαι, ἀταξίας ἀποδεικνυμένων κακῶν καὶ φαινομένων ἀνθρώποις παραίτιον γενέσθαι; Τὴν μὲν γὰρ ἀταξίαν, ἣν κατεψηφίζετο τῆς ὕλης λόγῳ μόνον παράγειν, οὐ μὴν καὶ δεῖξαι τοῖς ἔργοις δεδύνηται· τὰ δὲ κακὰ τὰ ἀπὸ τῆς μυθώδους καὶ μὴ ἐνδεχομένης τῶν ἐναντίων κράσεως, ὀφθαλμοῖς ὁρῶν ὁ ἄνοητος, οὐ καταδύεται. Ὥστε βουλόμενος τὸν Θεὸν ἀναίτιον τῆς κατὰ ἀνθρώπους ἀδικίας ἀποφῆναι, αἰτιώτατον αὐτῶν ἄντικρυς ὁμολογεῖ πλέον ἢ τοῦτο καὶ μόνον ἐσπούδαζεν.

(11) *Οὐκ ἄρ' θαυμ.* Quia ab aliquo quod sine cognitione et ratione fit, non est admirabile in eo, a quo fit. VERR.

Digitized by Google

Φέρε δὴ τὰ πραττόμενα κακὰ πρὸς ἀνθρώπων κατίδωμεν, τίνι προσῆκε φιλαλήθως· ἐπιχειρήσει μὲν γὰρ ἴσως καὶ τῆς ψυχῆς κρᾶσιν εἰσηγήσασθαι τῶν ὡς ὑπείληφεν ἐναντίων· εἴτε δὲ αὐτὴ μονοειδὴς ὑπάρχει ἐκ τἀγαθοῦ παρ' αὐτῷ, εἴτε καὶ ἐκ συνθέσεως τῶν ἐναντίων ἐκ τῆς μερίδος τοὐναντίου τοῦ ἀγαθοῦ, ῥᾳδίως ἀποδειχθήσεται, κατὰ τὴν ἀσεβῆ ταύτην ὑπόθεσιν, τὰ κακὰ γινόμενα. Ἔστι μὲν οὖν ἀσώματος ἡ ψυχὴ, καὶ μηδαμῶς σύνθεσιν κατ' οὐσίαν, καὶ μάλιστα ἐναντίων ἀποδεχομένη· οἱ γὰρ ἐκ διαφόρων συντιθέναι δόξαντες αὐτὴν οὐ τὴν οὐσίαν ποικίλην καὶ πρὸς ἑαυτὴν διαφερομένην εἰσηγήσαντο, ἀλλὰ τὰς ἐνεργείας αὐτῆς ἐκ τῶν ὁρωμένων ὑπέγραψαν, ἵνα λόγον ἁπλοῦν καὶ περιληπτικὸν αὐτῆς ποιήσασθαι μὴ δυνηθέντες.

A Age jam, consideremus mala quæ ab hominibus fiunt, ad quem vere pertinent. Aggrediatur fortasse introducere mistionem animæ cum contrariis quam suspicatus est. Sive ipsa anima sit μονοειδής, id est, simplicis et unius formæ ex bono apud ipsum, sive ex compositione contrariorum ex parte ejus quod est bono contrarium; facile secundum hoc impium fundamentum et principium demonstrabuntur mala quæ fiunt. Est igitur anima expers corporis, quæ nullo pacto compositionem secundum substantiam, præsertim contrariorum, recipit. Qui enim visi sunt eam componere, non substantiam variam et a se differentem introduxerunt, sed operationes ejus ex iis quæ videntur, descripserunt, cum non possent B exstruere unam simplicem definitionem qua comprehenderetur.

Cap. XXVII. *Unde procedat animæ peccatum. Ratio præest vitiis et virtutibus.*

Εἰ γὰρ καὶ ταῖς διαφόροις ποιότησιν ἃς ἐπεδέχεται ἄλλοτε ἄλλως, διαφέρεται πρὸς ἑαυτὴν, ὅμως κατ' οὐσίαν ἔργον ὑπάρχουσα τοῦ Θεοῦ, ἀμετάβλητός τέ ἐστι, καὶ οὐκ ἐκ διαφόρων σύγκειται· ἐναντίων μέντοι κράσεων τοσοῦτον ἀφέστηκεν, ὅσον καὶ τοῦ καθ' ἑαυτὴν σῶμα εἶναι δοκεῖν. Θῶμεν δὲ κατὰ τὴν ἐκείνου ψευδολογίαν, εἴγε καὶ τοῦτο λέγειν ἐπιχειροίη, ὡς καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου συνέστηκεν ἐξ ἀγαθοῦ καὶ κακοῦ· οὐχὶ τὸ μὲν λογιστικὸν αὐτῆς κατ' ἐκεῖνον ἀναθετέον τῷ ἀγαθῷ, τὸ δ' ἀλόγιστον εἴη τῇ κακίᾳ; δῆλον, ὡς οὐδὲν ἂν ἕτερον εἰπεῖν ἔχοι. Τῆς τοίνυν ἐπιθυμίας κινουμένης σφαλερῶς εἴτε ἐκ μόνου τοῦ σώματος, εἴτε καὶ ἐκ τοῦ προσήκοντος τῇ κακίᾳ μέρους τῆς ψυχῆς, ἆρ' αὐτόματος πρόεισιν ἡ πρᾶξις; Οὐχὶ δὲ φθάνει μὲν ἐν ἀνθρώπῳ σκέψις καὶ βουλὴ, ἔπειτα κρίσις, καὶ αἵρεσις τῆς πράξεως, καὶ οὕτως εἰς ἔργον ἡ ἐπιθυμία προφέρεται; Ἔγκλημα δὲ κακίας ἐκ τῆς πράξεως, οὐκ ἐκ τῆς ἐπιθυμίας γίγνεται· ὡς, εἰ μένειεν ἐπὶ χώρας ἡ ἐνθύμησις τῆς ἐπιθυμίας εἰς ἔργον τῇ αἱρέσει τοῦ λογισμοῦ μὴ προιοῦσα, πρῶτον μὲν ἂν ἁρπασθεὶη θᾶττον, ἐξαπτομένη τε ἅμα καὶ σβεννυμένη· ἔπειτα οὐδαμῶς ἂν ἔγκλημα νομισθείη, οὐ μόνον κοινὸν, ἀλλ' οὐδὲ κατὰ τὸ ἄκρον τῆς ἀρετῆς εἰ κρίνοιτο.

Etsi enim variis qualitatibus quas alias aliter recipit, a se differt; tamen secundum substantiam quæ opus Dei est, immutabilis est, et non componitur ex diversis; a contrariis tamen mistionibus tantum abest, ut ipsa per se corpus esse videatur. Ponamus igitur, ut ille mentitur, si quidem hoc dicere aggrediatur, esse scilicet animam hominis compositam ex bono et malo, nonne quod in ea est particeps rationis, opinione istius attribuendum est bono, id est, Deo; quod vero C ratione caret, nequitiæ? liquet, nihil aliud posse dicere. Excitata ergo (lubrica) cupiditate sive ex corpore, sive ex ea parte animæ quæ ad nequitiam pertinet, an fortuito actio prodit? Nonne antegreditur in homine consideratio et consilium, deinde judicium et electio actionis, atque ita desiderium ad effectum perducitur? Crimen vero nequitiæ ex actione, non ex desiderio conflatur; ut si maneat in loco cogitatio desiderii non progrediens ad opus per electionem partis ratiocinantis, primum quidem cito potest desinere incensum simul et exstinctum: deinde nequaquam existimabitur crimen, non solum commune, sed neque si judicetur secundum summum virtutis.

Φαίνεται τοίνυν τῷ λογικῷ τῆς ψυχῆς εὐλόγως ἀνατιθέμενα τὰ ἁμαρτήματα, καὶ οὔτε τῷ σώματι, οὔτε D ἄλλῳ μέρει τινὶ ταύτης· ὡς τὸν μὲν ἀλόγιστον κακίαν ἀπηλλάχθαι τῆς αἰτίας τῶν παρ' ἡμῖν κακῶν, ἅτε μηδὲ ὑπάρχουσαν, κινδυνεύειν δὲ κατὰ τὸν ἐκείνου λόγον ἐκ τῆς μερίδος τἀγαθοῦ ταῦτα προφέρεσθαι· εἴ γε μὴ ἑτέρῳ χρησαίμεθα φιλαλήθει λόγῳ. Εἰ μὲν γὰρ, μὴ διαγινώσκουσα τὴν ποιότητα τῆς ἐπιθυμίας, ἐπὶ τὴν πρᾶξιν ἀλογίστως ἐχώρει ἡ ψυχὴ, διισχυρίσαιτ' ἂν τις, ὡς ἐκ τοῦ ἀλογίστου μέρους φέρεται τὰ παραλόγως πραττόμενα· εἰ δὲ πολλάκις αὐτὸς ὁ λογισμὸς πῃ μὲν αἱρεῖται, ὡς ὑποκατακλινόμενος ἑκὼν ἀγωγῇ φαύλῃ, τὴν ἐπιθυμίαν, πῃ δὲ παραιτεῖται πάλιν, ὅταν φόβος αὐτὸν ὀστισοῦν ἀναστείλῃ, ἢ ἐπιθυμία γοῦν ἀρετῆς ἀνθελκούσης πρὸς ἑαυτήν· δῆλον, ὡς ὁ λογισμός ἐστιν ὁ μόνος οἱ-

Apparet igitur peccata convenienter rationi, parti animæ rationis participi assignata esse et ascripta, et non corpori, nec ulli alii parti hujus animæ. Ut nequitia quidem ratiocinationis expers liberata sit a culpa atque accusatione eorum malorum quæ apud nos sunt, quippe cum nec ipsa exstet, videanturque hæc secundum sermonem illius, ex parte Dei depromi, licet nulla alia ratione vera uteremur. Si enim anima non discernens qualitatem cupiditatis, ad actionem sine ulla ratiocinatione procederet: affirmare quis posset, quæ inconsiderate ac præter rationem fiunt, ex parte rationis experte depromi. Sin autem sæpenumero ratio ipsa jam eligit cupiditatem, tanquam prava institutione flexa libens, jam rursus repudiat, cum aliquis metus eam refrenat, aut desiderium

Digitized by Google

virtutis ad se attrahentis ; liquet solum rationem esse, quæ recte et prave facta sibi vindicat et asciscit.

Hic versatur et vertitur ad occurrendum contra excussio eorum quæ male a Manichæo probata sunt : non enim, ut apparet, ullum materiæ peccatum est in nostris actionibus, sed animæ, vel partis hujus quæ est rationis particeps, quæ, Manichæo auctore, ad partem Dei pertinet.

Ad hæc si accideret, ut in iis qui pudicitiam colunt, esset insitum, non excitari ad cupiditatem ; posset quis in impudicis liberare rationem a criminibus, quasi cupiditas rationem ex toto ab actionibus averteret, quam cupiditatem ille dicit esse ex parte mali. Sed si quis maxime apud eos qui pudicitiam amplectuntur, hac via et ratione eam colere reperiat, quod illi cupiditates naturæ ratione frenant et cohibent : perspicue concluditur, rationem esse quæ delinquit et virtutem colit, quæ utrumque et virtutem et vitium novit. Quare autem insita nobis sit peccatorum cupiditas, dicemus cum erit opportunum, docentes, pertinere hoc maxime ad admirationem Creatoris.

A κειούμενος τὰ καλῶς τε καὶ ὡς ἑτέρως πραττόμενα.

Καὶ πρὸς τοὐναντίον ἐνταῦθα χωρεῖ τῶν ἀποδεικνυμένων τῷ Μάνεντι κακῶς ἡ ἐξέτασις· οὐδὲν γὰρ τῆς ὕλης, ὡς ἔοικεν, ἐν τοῖς καθ' ἡμᾶς ἁμάρτημα, ἀλλὰ τῆς ψυχῆς ἢ τοῦ ταύτης λογιστικοῦ, ἢ τῇ τοῦ ἀγαθοῦ μοίρᾳ προσῆκε μετ' ἐκεῖνον.

Πρὸς δὲ τούτοις, εἰ τοῖς σωφροσύνην ἀσκοῦσιν ἀκίνητον συνέβαινεν εἶναι τὴν ἕξιν πρὸς ἐπιθυμίαν, ἀπήλλαξεν ἄν τις παρὰ τοῖς ἀκολασταίνουσι τῶν ἐγκλημάτων τὸν λογισμὸν, ὡς τῆς ἐπιθυμίας τὸ ὅλον ἀποφερομένης τῶν πραττομένων, ἣν ἂν ἐκεῖνος ἐκ τῆς τοῦ κακοῦ μερίδος φαίη τυγχάνειν. Εἰ δέ γε μάλιστα παρὰ τοῖς σωφροσύνης ἀντιποιουμένοις ταύτῃ τὸ ἀσκητικὸν εὕροι τις ἄν, ὅτι λογισμῷ τῆς φύσεως κωλύουσι τὰς ἐπιθυμίας· σαφῶς ἀποδείκνυται, ὡς ὁ λογισμός ἐστιν ὁ πλημμελῶν τε καὶ κατορθῶν, ὁ ἑκάτερα εἰδὼς, ἀρετήν τε καὶ κακίαν. Διὰ τί μέντοι ἔμφυτος ἡμῖν τῶν ἁμαρτημάτων ἡ ἐπιθυμία, κατὰ καιρὸν ἐροῦμεν, ἀποδεικνύντες γε τοῦτο μάλιστα συντείνειν εἰς θαῦμα τοῦ δημιουργήσαντος.

B

Cap. XXVIII. *Confirmatio hujusce doctrinæ.*

Quod autem nunc quæritur, si non satis confectum est, nullo modo peccata nostra esse opus alicujus materiæ aut nequitiæ, sed contra solius rationis ; licet etiam aliter confirmare quod dictum est. An aliud quid dicere possunt esse homicidium quam malum, et scortationem atque adulterium, et furtum, et mendacium? Si non aliud possunt, perspicuum est quod mala erunt. Quid? si judex occidit eum qui injuriam fecit, cædes igitur lege sancitur? Atqui idem efficit, qui violente occidit, et qui lege : sed propositum distinguit factum. Quin potius eadem est actio ejus, qui cum sua, et qui cum aliena se miscet ; sed propositum separat, quæ similiter facta sunt.

Præterea furari a Manichæo quæ sunt apud eum, vel instrumenta, vel cibos, annon videtur idem opus esse atque furtum criminosum facere? non tamen ratione idem est, sed penitus differens. Deinde si furens homo gladium repetat, quem deposuit sanæ mentis cum esset, ut necesse sit ei cui commissum est depositum mentiri non se accepisse, quid verbis differt mendacium a vera perfidia, nisi proposito asseverantium discernantur?

Ex his igitur patet actionem ut plurimum non per se explorari, sed mentem vel cogitationem ejus qui suscepit. Eadem ratio in contrariis reperiri potest. Si quis enim pecuniam vel alimentum impertiat egenti, non ut illi benigne faciat, sed ut laudem eorum qui vident aucupetur ; nonne perspicuum est factum quidem esse pulcherrimum et benignum, propositum tamen valde humile et criminosum? Si quis prolixe precetur et frequenter jejunet, religionem et tolerantiam hominibus osten-

C

D

Τὸ νῦν δὲ ζητούμενον εἴγε μὴ αὐτάρκως ἀποδέδεικται, ὡς οὐδαμῶς ὕλης τινὸς ἢ κακίας ἐστὶν ἔργον τὰ ἡμέτερα πλημμελήματα, τοὐναντίον δὲ μόνου τοῦ λογισμοῦ· ἔνεστι γὰρ καὶ ἑτέρως συστῆναι τῷ λεγομένῳ· ἆρα μή τι ἄλλο φήσαιεν εἶναι φόνον, ἢ κακὸν, πορνείαν τε καὶ μοιχείαν, κλοπήν τε καὶ ψεῦδος ; Δῆλον, ὡς ἔσται μάλιστα κακία. Τί οὖν; ἐὰν ὁ δικαστὴς ἀναιρῇ τὸν ἠδικηκότα φονεύσας, φόνος ἄρα νομισθείη ; καίτοι τὸ ἔργον ταὐτὸν τοῦ πρὸς βίαν φονεύοντος, καὶ τοῦ νόμῳ ἀναιροῦντος· ὁ δὲ σκοπὸς διίστησι τὸ πραττόμενον. Ἀλλὰ καὶ μὴν ἡ αὐτὴ πρᾶξις πρὸς τὴν ἰδίαν τε καὶ ἀλλοτρίαν τῷ ἀνδρὶ τῆς κοινωνίας· ὁ δὲ λογισμὸς χωρίζει τῷ σκοπῷ τὰ παραπλησίως γινόμενα.

Ἔτι μὴν τὸ κλέψαι παρὰ τοῦ Μάνεντος τὰ πρὸς ἐπιβουλὴν αὐτῷ παρακείμενα, ἢ ἐργαλεῖα, ἢ ὄψα, πῶς οὐκ ἂν δόξειε ταὐτόν γε εἶναι τὸ ἔργον κλοπῇ τῇ διαβεβλημένῃ ; οὐ μέντοι ταὐτὸν τῷ λογισμῷ, ἀλλὰ πάντη διάφορον. Πρὸς δὲ τούτοις εἰ ἀπαιτοίη μανεὶς ἄνθρωπος ξίφος, ὅπερ παρέθετο νήφων, ὡς ἀναγκαῖον εἶναι τῷ ὑποδεξαμένῳ ψεύσασθαι μὴ εἰληφέναι· κατά τί ἂν διαφέροι τοῖς ῥήμασι τὸ ψεῦδος πρὸς τὴν ὄντως ἀγνωμοσύνην, εἰ μὴ τῷ σκοπῷ διακρίνοιτο τῶν ἰσχυριζομένων ;

Δῆλον τοιγαροῦν ἐκ τούτων, ὡς οὐδὲ ἡ πρᾶξις ὡς ἐπὶ πολὺ καθ' ἑαυτὴν δοκιμάζεται, ἀλλ' ἡ διάνοια καὶ ὁ λογισμὸς τοῦ μετιόντος· εὕροι γὰρ ἄν τις καὶ ἐν τοῖς ἐναντίοις τὸν αὐτὸν λόγον. Εἰ γὰρ μεταδοίη τις χρημάτων ἢ τροφῆς τῷ πενομένῳ, οὐκ ἐκεῖνον φιλανθρωπευόμενος, τὸν δὲ παρὰ τῶν ὁρώντων ἔπαινον θηρώμενος· πῶς οὐ δῆλον, ὡς τὸ μὲν ἔργον κάλλιστον καὶ φιλάνθρωπον, ὁ δὲ σκοπὸς λίαν ταπεινὸς καὶ διαβεβλημένος; Εἰ δέ τις καὶ προσεύχοιτο μακρὰ, καὶ νηστεύοι πυκνὰ, ἀνθρώποις εὐλάβειαν ἅμα

Digitized by Google

καὶ καρτερίαν ἐπιδεικνύμενος· εὔδηλον, ὡς οὐ διὰ τὸ ἔργον ἂν εἰκότως ἐπαινεθείη, διὰ δὲ τὸν νοῦν τῶν πραττομένων ψεχθείη. Οὐ μὴν ἀλλ' εἴ τις ἕτερος σωφρονοίη, καὶ τῶν γε πλειόνων ἐπιθυμιῶν ἀπέχοιτο, οὐ πόθῳ τῆς ἀρετῆς, φειδοῖ δὲ χρημάτων· οὐκ εὔδηλον, ὡς ὁ τοιοῦτος διὰ πάθος παθῶν ἑτέρων κρατεῖ, αὐτὴν δὴ τὴν κατὰ τὸ φαινόμενον καρτερίαν ἀντὶ κακίας τῷ σκοπῷ μετερχόμενος;

Εἰ τοίνυν πολλάκις καὶ τὰ νομιζόμενα κακὰ τῇ διανοίᾳ τοῦ πράττοντος ἀγαθὰ ἀναφαίνεται, ἢ μηδὲ κακά, καὶ τοὐναντίον τὰ ἐπὶ τὸ βέλτιον ὑπειλημμένα ὡς κακὰ διελέγχεται τῇ αἱρέσει καὶ τῷ σκοπῷ τοῦ μετιόντος· τίς ἂν ἔτι λοιπὸν ἀντιλέγειν ἔχοι, ὡς οὐχ αἱ πράξεις ὥς ἐπὶ πολὺ παρά γε τῇ ἀληθείᾳ δοκιμάζονται, ὁ δὲ νοῦς ἐστι τῶν πραττομένων ὁ βασανιζόμενος;

Ποῖα τοίνυν ἔργα τῇ κακίᾳ λογιούμεθα; τὰ δοκοῦντα εἶναι κακά, ἅπερ ἐστὶν ἀγαθά, ὅτε ἀρετῆς διανοίᾳ πράττεται; Ποῖα δὲ τῷ ἀγαθῷ ἀναθήσομεν; τὰ φαινόμενα ἀγαθά, ἅπερ λογισμῷ κακὰ γίνεται; Οὐκοῦν ἀποτόμως οὐδέτερα οὐδετέρῳ· μόνον δὲ τὸ λογιστικὸν καὶ ἡγεμονικώτατον τοῦ νοῦ τοῦ πράττοντος διακρινοῦμεν, πότερον ὀρθῶς μετῆλθεν ἢ μὴ τὸ πραττόμενον· τὸ δὲ ἡγεμονικώτατον τῆς τοῦ ἀνθρώπου διανοίας, ὅτι παντάπασι προσῆκε κατὰ τὸν ἐκείνου λόγον τῷ βελτίονι μέρει τῆς ψυχῆς, κἂν μυριάκις μαίνοιντο οἱ ἐκ τοῦ Μάνεντος, οὐκ ἂν ἀρνηθεῖεν.

Ἄδικον τοιγαροῦν παντελῶς κρίσιν κατὰ τῆς παρ' αὐτοῦ πεποιημένης ὕλης ἐξενήνοχεν ὁ Μάνης, ἀντιθεὶς ἃ μηδαμῶς αὐτῇ προσῆκεν, εἴγε καὶ ἐτύγχανεν οὖσα τῶν παρὰ ἀνθρώποις πραττομένων αἰτία· τοὐναντίον δὲ μᾶλλον τῆς τοῦ ἀγαθοῦ μερίδος εὐλόγως ἂν νομισθείη, εἴγε ἐναντίως δύο τινές εἰσιν ἀρχαὶ κατὰ τὴν ἐκείνου μανίαν.

tans, liquet non esse propter opus laudandum, sed propter mentem quam in iis quæ fecit habuit vituperandum. Quinetiam si quis alius temperans sit, et a multis cupiditatibus abstineat non desiderio virtutis, sed ut pecuniæ parcat, annon satis manifestum est hunc qui sic est, affectione affectiones alias vincere, ipsam vero tolerantiam specie extrinsecus apparente pro nequitia animo et proposito suscipere?

Si igitur sæpe quæ prava existimantur, ex animo facientis honesta esse apparent; vel quæ non prava existimantur, sed contra potius honesta et bona putantur, voluntate et proposito suscipientis convincuntur nequitiæ, quis jam potest contradicere, ex magna parte actiones non apud veritatem explorari; mentem vero esse, quæ in iis quæ aguntur, excutitur?

Quæ igitur opera ascribemus nequitiæ? illane quæ videntur mala, quæ quidem sunt bona, quando ratione virtutis fiunt? Quæ vero asciscemus bono? an quæ apparent bona esse, quæ quidem ratione mala fiunt? Igitur neutra neutri solummodo: solum rationem, et quod in mente actionem suscipientis præcipuum est, dijudicabimus, utrum recte susceperit, an secus. Quod autem maxime principale mentis hominis est, pertinere ad meliorem partem animæ, ut ille tradit, licet infinite insaniant Manichæi, non possunt negare.

Iniquum igitur judicium pronuntiavit Manichæus contra materiam a se factam, assignans illi quæ nullo pacto ei conveniebant, si eorum quæ apud homines fiunt, causa erat. Imo contra potius ad partem boni convenienter rationi pertinere existimarentur, si duo quædam principia contraria sunt, ut ille insane tradit.

Cap. XXIX. *An potestatem absorptam iterum recepit Deus. Manetis blasphemiæ adversus Deum.*

Σπουδάζειν δέ φησι τὸν Θεὸν τὴν καταποθεῖσαν δύναμιν, ἣν καλεῖ ψυχὴν ἁπάντων, αὖθις πρὸς ἑαυτὸν ἀναδέξασθαι· ἵνα μὴ τὸ ἑαυτοῦ ἀπεράντως ἀεὶ προσδεδεμένον τῇ ὕλῃ, καὶ τιμωρούμενον διατελῇ. Τί οὖν τὴν ἀρχὴν παρεβάλετο τοῦτο, ὥστε τοσοῦτον αἰῶνα μηδ' ἀναπνεῦσαι δυνηθῆναι, καὶ πλέον παθεῖν μᾶλλον ἢ δρᾶσαι; Εἰ μὲν γὰρ περιεῖχεν ὁ μῦθος, ὡς τοῦ μὲν Θεοῦ μηδὲν ὑβρισθέντος εἰς τὴν ἰδίαν οὐσίαν, μήτε κατὰ γοῦν τὸ βραχύτατον ἐνσχεθέντος λίαν ἀπρεπῶς τῇ ὕλῃ, ἀλλ' ἑτέρου δή τινος ἀλλοτριωτάτου τῆς αὐτοῦ φύσεως, ἅμα δὲ καὶ εὐθὺς ἐξαιρεθέντος καὶ τούτου, ὡς ἐν τύπῳ μᾶλλον ἢ ὑποκατακλίσει τὴν τοιαύτην πεποιῆσθαι δοκεῖν μεταχείρησιν, ἔσχεν ἂν τὸ γοῦν π.θανὸν ἐν ψεύδει τὸ πλάσμα. Νυνὶ δὲ ἄπλετος μὲν αἰών, καὶ τοῦτο δή φασιν ἐκ τῆς φύσεως ὂν τοῦ Θεοῦ καθειργμένον διατελεῖν· ὡς αὐτὸν εἶναι ὀκεῖν τὸν κατεχόμενον τῇ ὁμοιότητι τοῦ κατεχομένου, καὶ τῷ γε ἐκ τῆς φύσεως αὐτοῦ τοῦτο τυγχάνειν· ὅθεν καὶ πλείονί γε σπουδῇ πρὸς ἑαυτὸν αὖθις ἀναλέξασθαι τοῦτο ποθεῖ· ἡ δὲ ὕλη ἁπλῆ καὶ ἀπαθὴς ὑπάρχει, ὡς δράσασα μᾶλλον ἢ παθοῦσα.

Dicit præterea studuisse Deum, ut potestatem absorptam, quam vocat animam omnium, rursus ad se reciperet; ne quod erat ex ipso, materiæ alligatum, et in supplicio semper sine ullo fine permaneret. Quid igitur principio hoc protrahebat, ut tot sæculis neque respirare posset, et magis pateretur quam ageret? Si enim in fabula esset, Deum quidem nullam contumeliam in substantiam suam accepisse, neque vel paululum inhæsisse materiæ valde indecoræ, sed alium quemdam alienissimum a natura ejus, et hunc continuo ereptum esse, ita ut hujusmodi prehensio magis apparendo in speciem, quam succumbendo facta esse videretur, habuisset commentum paulum saltem ad suadendum in mendacio. Nunc vero immensum sæculum ponunt, et hoc esse ex natura Dei, manere vinculis constrictum, ut ipse Deus comprehensus esse videatur propter similitudinem ejus qui detentus est, et quia hoc quod captum tenebatur, ex natura ejus erat; unde majore studio ad seipsum, ut aiunt, recolligere desiderabat: materia autem simplex erat et ἀπαθής, utpote magis agens quam patiens.

Digitized by Google

Ex his perspicitur omnia quæ ille planus composuit, ad blasphemiam Dei composuisse, qui nihil horum contra se fecit. Itaque vult, inquit, et studet, ut ad se recipiat illam virtutem : et hæc est apud ipsos salus exspectata et beatitudo, esse scilicet redditum Deo, quod erat ejus proprium. Ipse igitur exspectabat sibi finem, sperans accipere beneficium; siquidem recuperaturus est, quod ex natura ejus est, libertatem; ut quæ destruxit ædificet, et nihil aliud, et spe nutritus sedeat tolerans, et in finem intuens, ut se ipsum quodammodo a nequitia liberet : quod quidem si retardetur, et non cito fiat, ipse sit qui tarditate punitur. A

Liquet enim non esse penes ipsum celeritatem finis; olim enim in hac re spem habuit; quoniam aliud ridiculum dicit Manichæus, quod cum ii qui erant ipsius materiæ, sentirent se male perituros lumine paulatim ablato, ex adverso machinati sunt carnis constructionem ad vinciendas magno vinculo animas. Quare ut ille tradit, perspicuum est, quandiu illi carnem suppeditabunt, tandiu animæ Dei inhærescent materiæ et vinctæ tenebuntur; eritque penes illos non circumscribi mundum tempore, et non erit in potestate boni finis ejus. B

Ἐκ τούτων γε δῆλον, ὡς ἅπαντα ἃ συνέθηκεν ὁ πλάνος, εἰς βλασφημίαν συντέθεικε τοῦ Θεοῦ, τοῦ μηδὲν τούτων καθ' ἑαυτοῦ πεποιηκότος· ἀναλαβεῖν τοίνυν πρὸς ἑαυτὸν ἐθέλει καὶ σπουδάζει, φησὶν, ἐκείνην τὴν δύναμιν (11') · καὶ τοῦτό γέ ἐστιν ἡ παρ' αὐτοῖς ἐλπιζομένη σωτηρία καὶ μακαριότης, τὸ ἀποδοθῆναί γε τῷ Θεῷ τὸ οἰκεῖον αὐτοῦ. Ἆρ' οὖν αὐτὸς εἰς ἑαυτὸν ἀναμένει τὸ τέλος ἐλπίζων ὡς εὐεργετησόμενος, εἴγε μέλλοιτο ἐκ τῆς φύσεως αὐτοῦ τὴν ἐλευθερίαν ἀπολαμβάνειν· ἵνα ἃ κατέλυσεν οἰκοδομήσῃ, καὶ πλέον οὐδέν· καὶ τῇ ἐλπίδι τρεφόμενος κάθηται καρτερῶν, καὶ πρὸς τὸ τέλος ἀφορῶν, ἵνα ἑαυτὸν τρόπον τινὰ τῆς κακίας ἐλευθερώσῃ· οὗ δὲ βραδύνοντος, καὶ μὴ θᾶττον γιγνομένου, αὐτὸς ἂν εἴη διὰ τῆς βραδύτητος ὁ τιμωρούμενος.

Δῆλον γὰρ, ὡς οὐδὲ ἐπ' αὐτῷ τυγχάνει ἡ ταχύτης τοῦ τέλους· πάλαι γὰρ ἂν τούτῳ χρησάμενος τῆς ἐλπίδος ἀπολέλαυκεν· ἐπειδὴ καὶ λόγος ἕτερος καταγέλαστός ἐστι τοῦ Μάνεντος, ὡς οἱ τῆς ὕλης αἰσθανόμενοι, ὅτι κακῶς ἀπολοῦνται, τοῦ φωτὸς κατὰ μικρὸν ἀφαιρουμένου, ἀντεμηχανήσαντο τῆς σαρκὸς τὴν κατασκευὴν δεσμὸν μέγιστον ταῖς ψυχαῖς. Ὥστε δῆλον κατὰ τὸν αὐτοῦ λόγον, ἕως ἂν ἐκεῖνοι τὴν σάρκα χορηγήσωσιν, ἕως δὴ τούτου αἱ ψυχαὶ τοῦ ἀγαθοῦ ἐνσχεθήσονται· καὶ ἔσται ἐπ' ἐκείνοις τὸ μὴ περιγραφῆναι χρόνῳ τὸν κόσμον, οὐχὶ δὲ ἐπὶ τῷ ἀγαθῷ τὸ τέλος αὐτοῦ.

Cap. XXX. *Manetis contradictiones.*

Quid aliud dicere potest qui advertit, quam quod non constat sibi Manichæus; quin potius huc et illuc se transferens a seipso redarguitur? Qui enim ait, Deum esse fabricatum mundum, quomodo rursus ait eos qui sunt materiæ filii, opposuisse ei carnem, tanquam partita esset Deo cum illis fabricatio mundi; et hac quidem ratione facta Deo violentia, concedens vero illis hoc tanquam munus, non compleret universum secundum propriam voluntatem. C

Tanquam autem causæ suæ et principii oblitus planus, dicit futuram esse pestiferam materiæ ademptionem et ereptionem virtutis illi admistæ, qua posuerat frenatam esse perturbationem ordinis in illa principe materia. Si enim cum adest, nequitiam ligat, rursus recedens relaxat; erit magna causa lætitiæ ipsi materiæ hæc ereptio. Si igitur ad extremum spes ipsi est, rediturum esse ad Deum quod ab ipso disjunctum fuit, quod a principio decrevit, et adegit illud subire infinitis sæculis laborem inanem et malas sordes, non in eo spem maximam et beatitudinem ponere, si rursus recuperaretur? Materia enim nullo pacto apparet refrenata ac repressa, imo contra potius majorem licentiam ad excogitanda prava opera adepta. D

At oportebat, inquit, hanc ligare : cum igitur paulatim abstracta erit virtus detenta, quid fiet? Liquet, rursus reversuram esse materiam ad per-

Τί δ' ἂν φαίη τις συνορῶν, ὡς οὐχ ἵσταταί πω λόγος τῷ Μάνεντι, ἀλλ' ὧδε κἀκεῖσε μεταγόμενος ὑφ' ἑαυτοῦ διελέγχεται; Τοῦ γὰρ κόσμου δημιουργὸν φάσκων εἶναι τὸν Θεὸν, ὅπως οὖν αὖθις τοὺς τῆς ὕλης φησὶν ἀντιτιθέναι αὐτῷ τὴν σάρκα, ὥσπερ Θεοῦ μεριζομένου πρὸς ἐκείνους τὴν δημιουργίαν· καὶ κατὰ τοῦτο μὲν βίαν ὑπομένοντος, τῇ δὲ πρὸς αὐτοὺς ἀντιδόσει τὸ πᾶν οὐ κατὰ γνώμην ἰδίαν συμπληροῦντος.

Ὡς δὲ τῆς ὑποθέσεως ἐπιλελησμένος ὁ πλάνος τῆς ἑαυτοῦ, ὀλέθριον τῇ ὕλῃ φησὶν ἔσεσθαι τῆς κρατείσης αὐτῇ δυνάμεως τὴν ἀφαίρεσιν, δι' ἧς αὐτὴν ὑπέθετο τὴν ἀρχὴν ἀτακτοῦσαν σωφρονισθῆναι· εἰ γὰρ παροῦσα δεσμεύει τὴν κακίαν, ἀναχωροῦσα πάλιν ἀνήσει, καὶ ἔσται λίαν κατὰ τὴν ἀρχαίαν.... τοῦτ' ἔστι χαρᾶς αἰτία καὶ τῇ ὕλῃ ἡ ταύτης ἀφαίρεσις· ἃ οἷα πρὸς ἡδονῆς ἀφαιρουμένης. Εἰ τοίνυν οὐ παρὰ τὸ τέλος, ὅμως ἐλπὶς αὐτῇ τυγχάνει, ἵνα πρὸς Θεὸν ἐπανέλθῃ διαζευχθεῖσα αὐτοῦ, τί τὴν ἀρχὴν ἀφωρίζετο, ἄπλετον αἰῶνα ὑποσχεῖν μάταιον πόνον καὶ ῥύπον κακὸν, καὶ ἀντὶ μεγίστης ἐλπίδος καὶ μακαριότητος τίθεσθαι τὸ αὖθις ἀναληφθῆναι; Ἡ γὰρ ὕλη οὐδέν γε οὐδαμοῦ δέδεικται σωφρονισθεῖσα· τοὐναντίον μὲν οὖν πλείονος λαβομένη τῆς ἐξουσίας εἰς πονηρῶν ἔργων ἐπίνοιαν.

Ἀλλ' ἔδει, φησὶ, δεθῆναι ταύτην· ὅταν οὖν ἀποσπασθῇ κατὰ μικρὸν ἡ κατεχομένη δύναμις, τί γενήσεται; εὔδηλον, ὡς αὖθις ἡ ὕλη πρὸς τὴν φυσικὴν

(11') *Τὴν δύναμιν*. Supra verti sæpe *potestatem*; sic vocabat Manichæus animam. Turr.

Digitized by Google

ἀταξίαν ἐπανήξει. Οὔ, φησίν· ἐν γὰρ τῷ τέλει περιγενήσεται ταύτης, καὶ βῶλον ἀπεργασάμενος αὐτὴν ὑφ' ἑαυτῆς φλέγεσθαι παρασκευάσει. Τί οὖν τὴν ἀρχὴν μὴ τοῦτο πεποίηκεν; Ἆρ' οὐκ ἐβούλετο ἢ οὐκ ἠδύνατο; Εἰ μὲν γὰρ μὴ ἐβούλετο, πῶς αὖθις βουλήσεται, μεταγνοὺς, ἢ τὸ βέλτιον ἐπικρίνας; Οὐκ ἦν δὲ καὶ ἄλλως πρὸς ἀγαθοῦ μὴ τὴν ἀρχὴν παντελῶς καταργῆσαι κακίαν, εἴγε οἷός τε ἦν. Εἰ δὲ μὴ ἠδύνατο, ἀδυναμίας μὲν κίνδυνος ἀνακύπτει κατὰ τοῦ πλασαμένου· πῶς δὲ ὅμως ὕστερόν ποτε δυνήσεται; ἆρα προσλαβὼν δύναμιν, ἣν μὴ εἶχεν, ἢ αὐξηθεὶς ἢ ἐπιδούς; εἰ γὰρ ἀγένητα ἄμφω τἀναντία, οὐδέτερον οὔτε αὔξησιν οὔτε μείωσιν ἐπιδέχεται.

Ὅλον τοιγαροῦν ἀσύστατον τοῦ βαρβάρου τὸ πλάσμα. Τί δέ; ἆρ' αἴσθησιν εἰληφέναι φησὶν, ὡς τοῦ πλείονος μέρους ἢ τοῦ γοῦν ἐλάττονος ἀποσπασθέντος τῆς συγκραθείσης τῇ ὕλῃ δυνάμεως; εἴγε ἀφ' οὗ σελήνη αὔξει καὶ μειοῦται, διατελεῖ Θεὸς κατὰ βραχὺ τὸ οἰκεῖον ἀπολαμβάνων. Καίτοιγε τοσοῦτος παρῆλθεν αἰὼν, καὶ οὔτε τὸ ἀνθρώπινον γένος ἀριθμῷ γε τῶν ζώντων ἠλάττωται, οὔτε ἄλλο τι τῶν τετραπόδων μείωσιν ὑπέστη τινὰ, ἀλλὰ συνήθως τὰ γιγνόμενα γίγνεται καὶ ἀπογίγνεται· καὶ ἔτι μᾶλλον εἰς πλῆθος ἡ ἀνθρωπότης ἐπιδέδωκε. Πόθεν τοίνυν ἐκεῖνος ὁ παραπαίων οἴεται ἀφαιρεῖσθαι κατὰ βραχὺ, ἣν πλαττόμενός φησι συγκραθῆναι τῇ κακίᾳ δύναμιν; εἴγε τὰ αὐτὰ ὡσαύτως ἔχει κατὰ κόσμον· τὸ αὐτὸ μὲν γὰρ τῆς ἡμέρας μέτρον, τὸ αὐτὸ δὲ τῆς νυκτός· καὶ οὔτε τὸ φῶς ἠλάττωται, οὔτε τὸ σκότος ἐπλεόνασεν· ὁ γὰρ αὐτὸς ἡλίου δρόμος καὶ σελήνης, καὶ μία δὴ τάξις ἡ ἐξ ἀρχῆς γενομένη διαμένει.

turbationem. Negat Manichæus : Nequaquam, inquit; ad extremum enim vincet eam, facietque ut redacta in glebam a seipsa comburatur. Cur igitur non fecit hoc a principio? Utrum non voluit, an non potuit? Si noluit, quomodo rursus volet, pœnitentia ductus, judicans et eligens quod melius est? Nonne pertinebat ad bonum aliter a principio funditus delere nequitiam, si quidem poterat? Sin vero non poterat, periculum infirmitatis in auctoritatem mundi emergit. Quomodo ergo postea poterit? an viribus quas non habebat, assumptis, vel augescens, vel accessionem et incrementum adhibens? si enim ambo contraria ingenita sunt, neutrum accretionem aut imminutionem recipit

Totum igitur commentum barbari consistere nequit. Quid vero? an dicit Manichæus, sensu se percepisse majorem vel minorem partem virtutis admistæ materiæ ereptam et ademptam? Siquidem ex quo luna crescit et decrescit, Deus, inquit, paulatim recuperat quod lunæ proprium est; et tamen tot sæculis lapsis, neque genus humanum numero viventium imminutum est, nec ullum aliud genus quadrupedum diminutionem ullam cepit : quin potius quæ facta sunt, solito more fiunt, et desinunt esse; et adhuc magis humanitas in multitudinem crevit : Unde igitur insanus ille opinatur paulatim auferri virtutem, quam fingit admistam esse nequitiæ? Siquidem eadem similiter se habent in mundo; eadem enim est mensura diei, eadem noctis; neque lumen magis tenue factum est, neque tenebræ majores : idem namque est cursus solis et lunæ, id est, idem ordo qui a principio factus est, perseverat.

CAP. XXXI. *Secundum Manem, substantia Dei patitur, si animæ puniantur. Deus implet profundum unde materia. Diabolorum malitiæ progressus.*

Ἐρωτητέον δὲ κἀκεῖνο, Εἰ αἱ ἁμαρτήσασαι ψυχαὶ, καὶ μυρίοις ἐνεχθεῖσαι κακοῖς ἐν τῷ βίῳ, τίσουσι δίκην ὧν ἐπλημμέλησαν, ἢ οὔ; Εἰ μὲν οὖν τίσουσιν, ὃ δὴ καὶ αὐτὸς ὁμολογεῖ ἐν τῇ βώλῳ, ταύτας ἐμπαγήσεσθαι ἅμα τῇ κακίᾳ λέγων· εὑρεθήσεται ὁ Θεὸς τὴν ἑαυτοῦ φύσιν τιμωρούμενος· οὗ τί ἂν γένοιτο ἀτοπώτερον; εἰ δὲ ἀτιμώρητοι ἔσονται, οὐκ ἄλυπος καὶ ἀζήμιος μόνον ἡ ἁμαρτία, ἀλλὰ καὶ πλέον ἂν ἔχειν δοκοίη τῆς δικαιοσύνης· εἴγε καὶ ἐν τῷ παρόντι αἰῶνι τὴν ἡδονὴν προσάγοι τῷ μετιόντι, καὶ ἐν τῷ μέλλοντι τιμωρίας αἰτία μὴ γένοιτο.

Πρὸς δὲ τούτοις ἅπασι θαύμαστον αὐτοῦ κἀκεῖνο, ἔνθα φησὶν, ὡς, τῆς κακίας ἐνταυθοῖ ἀσχολουμένης, Θεὸς ἐν τῷ μεταξὺ τὸ βάθος ἀναπληροῖ χώματι ὅθεν ἀνέκυψεν ἡ ὕλη, κατὰ τὴν αὐτοῦ δεινοτάτην ἔκστασιν μὴ συνιέντος, ὡς τὸ ἐπιβαλλόμενον. Εἰ μὲν ἀπὸ τῆς γῆς εἴη τοῦ ἀγαθοῦ, τίνα τρόπον ἔχει χώραν, ἐν τόπῳ γε ἐναντίῳ; εἰ δὲ ἐκ τῶν μερῶν τῆς κακίας τὸ οἰκεῖον οὐκ ἐκκλείσει (12) τὴν αὐτόθεν ὡρμημένην. Κάθηται δὲ Θεὸς κατὰ τὸν Μάνεντα δι' αἰῶνος μετα φέρων χώματα, καὶ κατὰ βραχὺ προσχωννύων βάθη

Percontandum etiam illud : Num animæ quæ peccaverunt et infinitorum malorum in vita reæ fuerunt, dabunt pœnas eorum quæ commiserunt, an non? Si quidem dabunt, quod quidem et ipse confitetur, cum ait in gleba has infigendas esse cum nequitia, reperietur Deus naturam suam punire : quo quid absurdius et flagitiosius fieri potest? Si vero impunitæ et inultæ erunt, non solum neque dolorem neque damnum afferet peccatum, sed etiam plus justitiæ habere videbitur : quandoquidem in hoc sæculo voluptatem afferat suscipienti et in futuro non sit supplicii causa.

Præter hæc omnia, illud est in isto stupendum, ubi ait, quod nequitia hic occupata, id est ligata, Deus interim profundum implet aggere unde materia emersit; nihil ipso in gravissima mentis alienatione intelligente ὡς τὸ ἐπιβαλλόμενον, ut quod injiciebatur. Si erat ex terra boni, quomodo in loco contrario recipitur? Si autem ex partibus nequitiæ, quod ex parte nequitiæ est et ei convenit, non includet inde exortam materiam. Sedet autem Deus, auctore Manichæo, transferens semper ag-

(12) Ἐκκλείσει. An ἐγκλείσει? Sic legebat interpres.

Digitized by Google

geres, et paulatim quædam profunda aggeribus repiens. O amentem furorem! ad quem pluribus vel saltem respondere res est ridicula.

Si vero vultis scire, dæmones ipsos non esse malos a radice, neque habere radicem vitii et turpitudinis, sed voluntate huc processisse, cum non essent natura mali, neque natura ascripti ignorantiæ, non nox et tenebræ secundum substantiam, sed habitu et studiis, et tractatione hujusmodi studiorum facti tales, inquiramus disputando. Cæca igitur natura neque minimum quidem aspectum habebit, et ipsa ignorantia neque stillam cognitionis sibi vindicabit, neque nox ipsa et tenebræ sic natura ortæ vel in parvum splendorem mutabuntur : apparet autem cognovisse dæmones Salvatorem, ac Dominum confessos esse : *Scimus*, inquiunt, *quis sis Filius Dei vivi* [1]. Cognoscere autem non potest ignorantia, neque videre cæcitas. Sciunt, et verum dicunt scientes, et non per calumniam ; dicunt enim, tametsi non legitima et sincera affectione, veritatem. Non jam de cæca natura aut ignorantia accusantur ; alioqui ne minimum quidem vidissent, nec ei supplices fuissent, neque cessissent dicto, neque secernere potuissent eum qui apparuit, sed potius existimassent ex suis esse, nihilque inter seipsos et illum interesse.

A τινά. Ὦ τῆς ἀλόγου μανίας! πρὸς ἣν ἐν τοῖς πλείοσι καὶ γέλως τὸ γοῦν ἀποκρίνασθαι.

Εἰ δὲ βούλεσθε μαθεῖν, ὅτι καὶ οἱ δαίμονες αὐτοὶ οὐκ ἀπὸ ῥίζης εἰσὶ κακοὶ, οὐδὲ ῥίζαν ἀτοπίας ἔχοῦσιν, ἀλλὰ κἀκεῖνοι ἀπὸ προαιρέσεως ἐπὶ τοῦτο ἐλήλύθασιν, οὐ πονηροὶ τὴν φύσιν ὄντες, οὐκ ἀγνοίᾳ ἐγγεγραμμένοι, οὔτε νὺξ καὶ σκότος τὴν οὐσίαν τυγχάνοντες, ἀλλ' ἕξει καὶ ἐπιτηδεύμασι, τῇ ἐπιχειρήσει τῶν τοιούτων γεγονότες· τὸν λόγον ἐξετάσωμεν· τυφλὴ μὲν οὖν φύσις οὐδὲ ἐν ἐλαχίστῃ καὶ ὀλίγῃ τῇ βλέψει γενήσεται· καὶ αὐτὴ ἡ ἄγνοια οὐδὲ ῥανίδα γνώσεως ἑαυτῇ προσποιήσεται, οὐδὲ νὺξ αὐτὴ καὶ σκότος τὸ οὕτω πεφυκὸς κἂν εἰς βραχεῖαν λαμπηδόνα μεταποιηθήσεται· φαίνονται δὲ καὶ οἱ δαίμονες καὶ B Σωτῆρα εἰδότες, καὶ Κύριον ὁμολογοῦντες· *Οἴδαμέν σε, τίς εἶ*, λέγοντες, *ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*. Εἰδέναι δὲ ἄγνοια οὐ δύναται, καὶ βλέπειν τυφλὴ φύσις οὐκ ἰσχύει. Ἴσασι, καὶ ἀληθεύουσιν εἰδότες, καὶ οὐ συκοφαντοῦντες λέγουσι· λέγουσι γὰρ, ὄντες κἂν μὴ γνησίᾳ διαθέσει, τὴν ἀλήθειαν. Οὐκέτι τυφλῇ τῇ φύσει οὔτε τῇ ἀγνοίᾳ κατηγροῦνται· ἦ γὰρ ἂν οὐδὲ τὸ ἐλάχιστον ἐώρων, οὔτε ἱκέται ἦσαν, οὔτε παρεχώρουν τῷ λεγομένῳ, οὔτε διέκριναν τὸν φανέντα ἄλλον τῶν πολλῶν εἶναι, καὶ οὐδὲν διαφέρειν αὐτόν τε καὶ αὐτούς.

Cap. XXXII. *Preces dæmonum Deo. Quomodo puniantur dæmones in inferis.*

En, animalia non utentia ratione sapientes ab insipientibus non internoscunt. Si autem cognoverunt dæmones, et propter judicium soluti sunt C lege non internoscendi aliud ab alio, et dijudicando agnoverunt talia ; convincitur non naturam in hac re, sed voluntatem moderari : quamvis enim ægrotet voluntas, quamvis erret, non tamen desinit esse rationis particeps ; quin potius non est hoc interemptum. Sic dæmones agnoverunt eum, rogaverunt, supplices ei fuerunt, ne juberet eos abire in abyssum. Si erant filii abyssi, si cognationem cum abysso habebant, cur cognata refugiunt? cur radicem suam recusant? potius enim eam amplexi essent, arbitrantes requiem suam esse in cognatione positam, siquidem in cognatis fit recreatio ; in peregrinis vero et alienis afflictationes : magis erat illis recusandus Jesus ; magis recusandus hic locus, ubi boni et æqui sunt ; amplectendus vero discessus in abyssum. Contra vero dum recusant, et cavent, et illuc abire detrectant, imo ob hanc causam supplices orant, satis indicii dederunt, nullam se necessitudinem et cognationem cum loco tormentorum habere ; nihil enim seipsum afflictat, et malo afficit : omne autem quod afflictatur, et malo afficitur, ab alio afflictatur : necesse enim est quod afflictat non sit sui afflictatio ac cruciatus, sed alterius quod aptum natum est, ut afflictetur et malo afficiatur.

Ἰδοὺ γὰρ τὰ ἄλογα ζῶα μεταξὺ σοφῶν τε καὶ ἀσόφων οὐκ ἔχει εἰδέναι, ποῖοι σοφοὶ, καὶ ποῖοι ἄσοφοι. Εἰ δὲ ἔγνωσαν οἱ δαίμονες, καὶ διάκρισιν εἰδότες ἀπολέλυνται (13) τοῦ ἀδιακρίτου, διακρίσει τὸ τοιοῦτον ἐπεγνωκότες· ἐλέγχεται καὶ ἐν τούτῳ μὴ φύσις, ἀλλὰ προαίρεσις πρυτανεύουσα· κἂν γὰρ νοήσῃ προαίρεσις, κἂν σφάλῃ, ὅμως τοῦ εἶναι λογικὴ οὐκ ἀπήλλακται, ἀλλ' ἔχει τοῦτο μὴ διεφθαρμένον. Οὕτω καὶ δαίμονες ἐπέγνωσαν αὐτόν· ἐλιπάρησαν, ἱκέτευσαν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Εἰ τῆς ἀβύσσου παῖδες ἦσαν, εἰ συγγένειαν πρὸς τὴν ἄβυσσον εἶχον, τί φεύγουσι τὰ συγγενῆ ; τί τὴν οἰκείαν παραιτοῦνται ῥίζαν ; μᾶλλον γὰρ ἂν ἠσπάσαντο ἀνάπαυλαν ἑαυτῶν τὴν συγγένειαν ἡγούμενοι· ἐν γὰρ τοῖς συγγενέσιν ἡ ἀνάκτησις γίνεται, ἐν δὲ ξένοις αἱ κακώσεις· μᾶλλον γὰρ ἔδει αὐτοὺς παραιτεῖσθαι τὸν Ἰησοῦν· μᾶλλον δὲ ἔδει αὐτοὺς παραιτεῖσθαι τὸ ἐνταῦθα χωρίον, ἔνθα σπουδαῖοι καὶ ἐπιεικεῖς, ἀσπάζεσθαι δὲ τὴν ἄβυσσον ἢ τὴν ἐν ἀβύσσῳ ἄφιξιν. Παραιτούμενοι δὲ καὶ φυλαττόμενοι, καὶ ἀπιέναι ἐκεῖ οὐκ ἀνεχόμενοι, ἀλλ' ἱκετεύοντες τῆς αἰτίας ταύτης χάριν, ἱκανὸν τεκμήριον δεδώκασι μηδεμίαν αὐτοὺς φυσικὴν συγγένειαν πρὸς τὰ κολαστήρια ἔχειν· οὐδέποτε γὰρ οὐδὲν ἑαυτὸ κακοῖ· πᾶν δὲ κακούμενον ὑπ' ἄλλου κακοῦται· ἀνάγκη γὰρ τὸ κακοῦν μὴ ἑαυτοῦ εἶναι κάκωτιν, ἀλλ' ἑτέρου τοῦ πεφυκότος πάσχειν, ἢ κακοῦσθαι.

[1] Marc. I, 24; Luc. IV, 34.

(13) *Ἀπολέλ.* Huic legi serviunt et parent animalia rationis expertia. Turr.

Digitized by Google

Ἰδοὺ τὸ πῦρ ἑαυτὸ οὐ καίει· ἕτερον γὰρ καὶ οὐχ ἑαυτὸ ἀναλώσει. Ἰδοὺ τὸ ὕδωρ ἑαυτὸ οὐ κατακλύζει· τὰ γὰρ ἕτερα κατακλῦσαι δίδεν, ἑαυτὸ δὲ κατακλύσαι οὐκ ἔχει. Ἰδοὺ ὁ ἀὴρ ψύχειν ἑαυτὸν οὐκ οἶδεν· ἐπεὶ πᾶν τὸ δρῶν καὶ κακοῦν ἕτερόν τι κακοῖ καὶ λυπεῖ· εἰ δὲ κακὴ ἡ ἄβυσσος, καὶ κακοῦνται οἱ δαίμονες ὑπὸ τῆς ἀβύσσου, καὶ βασανιστήριον μὲν ἡ ἄβυσσος, στρεβλοῦνται δὲ οἱ δαίμονες, οὐκέτι τῷ ὁμοίῳ βασανίζονται, ἀλλ' ἕτεροι ὄντες ὑπὸ ἑτέρου βασανίζονται· οὐκέτι τῆς φύσεως ταύτης οὐδὲ τῆς οὐσίας· ἑτέρας γὰρ ἐδείχθη οὐσίας ἡ ἄβυσσος. Καὶ ὅτι μὲν οἱ δαίμονες ἑτέρου γένους καὶ ἑτέρας οὐσίας παρὰ τὴν ἄβυσσον, ἱκανὰ τὰ εἰρημένα· καὶ αὕτη δὲ ἡ ἄβυσσος βασανιστήριον μὲν ἔστι καὶ κολαστήριον, οὐκ αἰώνιον δὲ, οὔτε ἀγέννητον, ἀλλ' ὕστερόν ποτε γεγεννημένον, ὀψέ ποτε πεποιημένον, ἀντὶ φαρμάκου καὶ βοηθήματος τοῖς ἡμαρτηκόσιν. Ἱεραὶ γὰρ αἱ μάστιγες, φάρμακον οὖσαι τῶν ἡμαρτηκότων· ἱεραὶ αἱ πληγαὶ βοηθήματα τυγχάνουσαι τῶν σφαλέντων· οὐ γὰρ ἵνα ὦσι κακοὶ αἱ πληγαὶ γεγόνασιν, ἀλλ' ὅπως μὴ ὦσι κακοὶ γεγόνασιν αἱ μάστιγες· λυπούμενοι γὰρ τῇ πληγῇ οἱ κακοὶ τῇ μάστιγι κολοβοῦσι τὰ κακά· διὰ τοῦτο οὐδὲ τὰς ἀβύσσους μεμφόμεθα· ἀλλ' οἴδαμεν, ὅτι βασανιστήριον καὶ κολαστήριον γεγόνασι, σωφρονισμὸς τῶν ἡμαρτηκότων τυγχάνουσαι.

Εἰ δὲ βασανιστήριον καὶ στρεβλωτήριον ἡ ἄβυσσος, στρεβλοῦνται δὲ καὶ βασανίζονται οἱ δαίμονες, καὶ τὴν οὐσίαν ἔχουσιν εὐπαθῆ πρὸς τὰ βασανιστήρια, καὶ δύνανται ἔχειν καὶ ἀλγηδόνα, ὑπόκεινται καὶ τιμωρίᾳ, καὶ ἀντίληψιν ἔχουσι τῶν κολάσεων, πῶς ἀγέννητοι; πῶς ἀεί; πῶς οὐδέποτε ἤρξαντο; πῶς ἀφ' ἑαυτῶν εἰσιν οἱ μὴ ἀπαθεῖς; οἱ παθεῖν δυνάμενοι καὶ τιμωρηθῆναι ἰσχύοντες; οὐδέποτε γὰρ τὸ ἀγέννητον οὐδὲν πείσεται, οὐδὲ ὑπό τινος τιμωρηθήσεται· ἀλλ' ἀφ' ἑαυτοῦ ἀρξάμενον ἑαυτῷ μένει, καὶ μὴ ἀφ' ἑτέρου δεξάμενον τὴν ἀρχὴν, οὐδὲ ἀφ' ἑτέρου τὴν τιμωρίαν λαμβάνει· καὶ μὴ ἐπιγραφόμενον τὸν αἴτιον οὐκ ἐπιγραφήσεται τὸν κολάζοντα· καὶ οὐ κριθήσεται παρ' ἑτέρου μὴ παρ' ἑτέρου ἀρξάμενον· καὶ οὐ φοβηθήσεται οὐδένα παρ' οὐδενὸς τὸ εἶναι εἰληφός. Τί γὰρ καὶ φοβηθήσεται, εἰ τελείαν τὴν σύστασιν ἔχει; εἰ τέλειον τὸν ἀπαρτισμόν; εἰ ἀφ' ἑαυτοῦ ἀπήρτισται, καὶ ἑαυτῷ ἥρμοσται; τὰ γὰρ δυνάμενα (14) παθητὴν ἔχειν τὴν ἁρμονίαν φοβεῖται τὸν δυνάμενον μεταποιεῖν τὰς ἁρμονίας· τὸ δυνάμενον παθεῖν φοβεῖται τὸν δρῶντα. Εἰ δὲ φοβοῦνται οἱ δαίμονες καὶ δύνανται παθεῖν, οὐκ ἀγέννητοί εἰσι· τὸ γὰρ ἀγέννητον ἀπαθὲς, καὶ οὐ δύναται παθεῖν, ἔξω τῆς φύσεως τῶν γεννητῶν ὑπάρχον.

Ὅτι δὲ ἱκετεύουσιν, ἐν αἰσθήσει εἰσὶ, καὶ οἴδασιν ἃ εἰσι· καὶ οἴδασιν, ὅτι δύνανται παθεῖν· οὐ γὰρ ἠγνόησαν ἑαυτούς· οὐκ ἀπαθεῖς ἑαυτοὺς ἐλογίσαντο· τὸ δὲ εἰδέναι τινὰ ἑαυτὸν καὶ μὴ ἠγνοηκέναι, αἰσθήσεώς ἐστι σύμβολον καὶ σημεῖον. Εἰ δ' ὅτι εἰσὶν εὐπαθεῖς ἐδειλίασαν, καὶ δειλιῶντες ἱκέτευσαν, καὶ ἱκέτευον τὸν δυνάμενον· οὐκ ἠγνόησαν τὸν ἰχνεύοντα·

A Ecce ignis non comburit se, sed aliud, neque se consumit. Ecce aqua non inundat seipsam, quæ alia inundare solet, se vero ipsa non potest. Ecce aer, refrigerare se ipse non potest, quoniam omne quod facit et cruciat, aliud quid cruciat et dolore afficit. Si autem abyssus cruciat et dæmones cruciantur ab ipsa abysso, estque abyssus locus tormentorum; torquentur enim dæmones, non jam torquentur a simili, sed alii cum sint, ab alio torquentur; non ab hac natura neque substantia, qua scilicet dæmones sunt: alterius enim substantiæ est abyssus. Atque esse quidem dæmones alterius generis ac substantiæ præter abyssi substantiam, satis ex iis quæ dicta sunt, perspicitur. Ipsa vero abyssus locus est tormentorum ac suppliciorum, non tamen æternus, nec ingenitus; sed postea fuit, sero tandem factus, ut esset medicina et opem ferret peccantibus. Sacræ sunt plagæ quæ sunt remedia et auxilia erratorum; non enim ut sint mali, factæ sunt plagæ, sed ut non sint mali, verbera inducta sunt; mali enim dolore plagarum amputant et præcidunt vitia. Idcirco non querimur de abyssis; quin potius tormentis et suppliciis scimus castigari ac corrigi eos qui deliquerunt

B

Si autem abyssus est, ubi dæmones torquentur et supplicio afficiuntur, et substantiam habent quæ subire potest tormenta et dolorem sentire, et supplicia sustinent, et habent remunerationem pœnarum quibus puniuntur, quomodo ingeniti? quomodo semper? quomodo nunquam esse cœperunt? quomodo ex se sunt, qui impatibiles non sunt, qui pati possunt, qui possunt puniri? ingenitum enim nihil unquam mali sustinebit, nec ab ullo punietur. Quin potius a seipso principium ducens seipso consistit, et non ab altero cœptum est, nec ab altero supplicium fert; et cui non assignatur auctor, non assignabitur vindex; et non judicabitur ab altero, qui ab altero non est cœptus; ac neminem metuet, qui a nemine accepit ut esset. Quid enim metuet, si in perfectione consistit? si perfectam consummationem habet? si a se consummatus est? si seipso aptatus? quorum enim aptatio incommodari potest, timent eum, qui aptare potest: quod potest male affici, timet male afficientem. Si autem timent dæmones, et possunt male affici, non sunt ingeniti: quod enim ingenitum est, impatibile est; et non potest pati, quod extra naturam genitorum est.

C

D

Quod autem supplicant, in sensu sunt, et sciunt, quid sint, et quod pœnas sustinere possunt; non enim se ignoraverunt; non se impatibiles esse cogitarunt: nosse autem aliquem seipsum et non ignorare, signum est sensus et indicium. Si vero quia erant patibiles, formidaverunt, et formidantes supplicaverunt, et supplicaverunt ei qui pote-

(14) *Τὰ γὰρ δυν.* Sic reddendum: *Qui harmoniam mutabilem habet, reformidat eum qui potest harmonias mutare aut destruere.* Basn.

Digitized by Google

rat; non ignoraverunt eum qui interrogabat : ipsa enim supplicatio testatur cognovisse eos interrogantem, atque esse quidem se patibiles, non ignoraverunt; esse vero illum, qui interrogabat, Dominum et regem universitatis rerum, ex supplicatione apparet scivisse. Hæc de dæmonibus dicta sunt, ut neque de dæmonibus disputatio vacaret.

Possunt et hæc addi, naturam esse sibi similem, nihilque eam a se differre. Ecce ignis totus similis sibi est, non minus calidus quam sit ipse, neque magis : non habet plus et minus : in naturis enim vacant plus et minus : ubi enim est plus et minus, non est natura, sed accessio voluntatis. Si autem de dæmonibus scriptum est, ire et assumere septem alios spiritus nequiores se [9]; et apparet ex sermone, esse accessionem, quia hoc est nequam, illud vero nequius, differentia nequitiæ est. Ubi est natura non sibi similis, si differentia reperitur in nequitia; et differentia voluntatis, non naturæ testis est? Ac de his quidem satis dictum sit.

A αὕτη γὰρ ἡ ἱκεσία αὐτῶν μαρτυρεῖ, ὅτι ᾔδεισαν τὸν ἱκνεύοντα (15), καὶ ὅτι μὲν ἦσαν εὐπαθεῖς καὶ παθητοὶ οὐκ ἠγνόησαν· ὅτι δὲ ἐκεῖνος ἦν ὁ ἱκνεύων ὁ Κύριος καὶ βασιλεὺς τῶν πραγμάτων, φαίνονται διὰ τῆς ἱκεσίας ἐπιστάμενοι. Καὶ ταῦτα περὶ δαιμόνων κατεσκευάσαμεν, ἵνα μηδὲ ὁ περὶ δαιμόνων ἀργῇ λόγος.

Ἔγχωρεῖ γὰρ καὶ ταῦτα προστιθέναι, ὅτι ἡ φύσις ἑαυτῇ ὁμοία ἐστὶ, καὶ οὐδεμίαν διαφορὰν πρὸς ἑαυτὴν ἔχει. Ἴδοὺ γὰρ τὸ πῦρ ὅλον, ὅμοιον ἑαυτῷ, οὐχ ἧττον ἑαυτοῦ θερμὸν, οὐδὲ μᾶλλον ἑαυτοῦ· οὐ τὸ μᾶλλον καὶ τὸ ἧττον ἔχει· ἐν γὰρ ταῖς φύσεσι τὸ μᾶλλον καὶ τὸ ἧττον ἀργεῖ· ὅπου δὲ μᾶλλον καὶ ἧττον, οὐκέτι φύσις, ἀλλὰ προαιρέσεως ἐπίδοσις. Εἰ δὲ γέγραπται καὶ περὶ δαιμόνων, ὅτι ἀπέρχεται καὶ παραλαμβάνει B ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ· καὶ φαίνεται ἐκ τοῦ λόγου ἐπίδοσις, ὅτι τὸ μὲν πονηρὸν, τὸ δὲ πονηρότερον, διαφορὰ πονηρίας. Ποῦ ἔστι φύσις μὴ οὖσα ὁμοία ἑαυτῇ, διαφορᾶς ἐν πονηρίᾳ εὑρισκομένης, καὶ τῆς διαφορᾶς μαρτυρούσης τῇ προαιρέσει καὶ μὴ τῇ φύσει; Ἄλις μὲν τῶν τοιούτων λόγων.

CAP. XXXIII. *Manetis duo principia ingenita separata. Malus Satan, Deus bonus. Apostoli aliquando boni, aliquando mali.*

Aggrediemur deinceps commentum primum istorum fabulæ exponere, et confutationibus refellere. Malum, inquit, erat, et ingenitum erat : erat autem et Deus bonus, et divisa loca habitationis, et uterque apud se ab altero sejunctus : ac separatus quidem Deus a malo; separatus item a Deo princeps mali : et uterque apud se erat, uterque C suis imperabat et gubernabat, ut natus et aptus erat : malus quidem male, bonus vero bene; malus nocens et suis rebus nocens, et suis nocere non desinens; bonus semper bonus et juvans, et res suas juvans, et nunquam non juvans. Omnis enim utilitas a bono cœpit proficisci. Cum doctrinis pugnaverunt; extrema quæsiverunt; invenire non potuerunt; qui a principio, quæ consectaria erant, non approbaverunt. Ac parva quidem sunt hæc, et non multa; satis tamen sunt ad disputationem quæstionis : formam tantum protuli; non excurri ad multitudinem testimoniorum. Quæ enim affinitatem et cognationem cum his habent, quæret lector, et ex his ad similia et affinitate conjuncta legendum progredietur.

Age nunc, instruamus paremusque illorum disputationem, ipsorum dogmata apponentes. Malus quidem erat Satanas, bonus vero Deus : et sic res erat. Fabulam verto, ut fabulam repudiem; et nisi opponam quæ exponunt, non possum fabulam evertere. Bonus quidem erat Deus, inquit; malus vero Satanas; et nunquam non erat; erat enim semper, et a nullo profectus; erat enim, et radix erat, in-

Ἐπιχειρήσωμεν δὲ καὶ τὴν μυθοποιίαν αὐτῶν τὴν πρώτην ὑφηγησάμενοι, τοῖς ἀνασκευαστικοῖς χρησώμεθα λόγοις. Κακία, φησὶν, ἦν, καὶ ἀγέννητος ἦν· ἦν δὲ καὶ ὁ ἀγαθὸς Θεὸς, καὶ μεμερισμένοι τόποι τῆς οἰκήσεως· καὶ ἑκάτερος καθ' ἑαυτὸν τοῦ ἑτέρου ἀπηλλαγμένος· καὶ ἀφώριστο μὲν κακίας ὁ Θεός· ἀφώριστο δὲ καὶ ὁ τῆς κακίας ἄρχων τοῦ Θεοῦ· καὶ ἑκάτερος καθ' ἑαυτὸν ἦν· καὶ ἦρχεν ἑκάτερος τῶν ἰδίων· καὶ ᾠκονόμει ὡς ἐπεφύκει· ὁ μὲν κακὸς κακῶς, ὁ δὲ ἀγαθὸς ἀγαθῶς· ὁ μὲν κακὸς βλάπτων, καὶ τὰ ἑαυτοῦ βλάπτων, καὶ τοῦ βλάπτειν τὰ ἴδια μὴ ἀπαλλαττόμενος· ὁ δὲ ἀγαθὸς ἀεὶ ἀγαθὸς καὶ ὠφελῶν, καὶ τὰ ἑαυτοῦ ὠφελῶν, καὶ μηδέποτε μὴ ὠφελῶν· πᾶσα γὰρ ὠφέλεια ἐξ ἀγαθοῦ προήρχετο. (16) Ἀνακόλουθα μαθημάτων ἐμαχέσαντο· τὰ τελευταῖα ἐζήτησαν, εὑρεῖν οὐκ ἠδυνήθησαν, ἀπὸ τῆς ἀρχῆς τὴν ἀκολουθίαν μὴ παραδεξάμενοι. Καὶ μικρὰ μὲν ταῦτα, καὶ οὐ πολλά· αὐτάρκη δὲ πρὸς τὴν ζήτησιν· τὸν χαρακτῆρα μόνον κεκίνηκα, καὶ οὐκ εἰς πλῆθος καταβέβηκα τῶν μαρτυριῶν· (17) τὰ γὰρ συγγενῆ τῶν λεγομένων ζητήσει ὁ ἀναγινώσκων, καὶ ἐκ τούτων ἐπὶ τὰ ὅμοια καὶ D ἀδελφὰ χωρήσει ἀναγνώσματα.

Ἡμεῖς δὲ φέρε κατασκευάσωμεν τὸν ἐκείνων λόγον, τὰ δόγματα ἐκείνων παραθέμενοι· πονηρὸς μὲν ἦν ὁ Σατανᾶς, ἀγαθὸς δὲ ἦν ὁ Θεός· καὶ οὕτως ἦν. Τὸν μῦθον στρέφω, ἵνα τὸν μῦθον δυσωπήσω· καὶ εἰ μὴ παράθωμαι ἃ ἐξηγοῦνται, ἐντρέψαι τὴν μυθοποιίαν οὐκ ἔχω. Ἀγαθὸς μὲν ἦν ὁ Θεὸς, φησὶ, πονηρὸς δὲ ὁ Σατανᾶς· καὶ ἦν πονηρός· καὶ οὔτε ποτὲ οὐκ ἦν· ἀεὶ γὰρ ἦν· καὶ οὐκ ἀπό τινος ἦν· ἦν γάρ· καὶ ῥίζα

[9] Luc. XI, 26.

(15) *Τὸν ἱκν.* Interrogavit enim illum Jesus : ***Quod est tibi nomen?*** (*Luc.* VIII, 30.) TURR.

(16) *Ἀνακόλ.* Legerem, ἀκόλουθα μαθημάτων, sicque redderem totam periodum : *Consequentias disciplinarum negaverunt, extrema quæsierunt, et reperire non potuerunt, principiorum consequentiam non admittentes;* sic enim planus est sensus. PASS.

(17) *Τὰ γὰρ συγγ.* Quædam deesse videbantur hoc

Digitized by Google

ἦν, φησὶ, καὶ ἦν Κύριος, καὶ αὐτὸς ἦν· καὶ ῥίζα ἦν· καὶ ῥίζα καλὴ, καὶ ῥίζα καλῶν· καὶ πᾶν κ.λὸν ἀπὸ τούτου ἐξῆλθε· δύο γὰρ ἦσαν ῥίζαι, καὶ δύο προῆλθον πρόοδοι, αἱ πρόοδοι κατάλληλοι ταῖς ῥίζαις· ἀπ' ἐκείνης τὰ τοιαῦτα, καὶ ἀπὸ ταύτης τὰ τοιαῦτα θρυλλοῦσιν.

A quit : erat item Dominus, et ipse erat; et radix bona, et radix bonorum; et omne bonum ab hoc profectum est : duæ namque radices erant, et duo surculi provenerunt, surculi radicibus respondentes : ab illa talia, ab hac talia fieri jactant.

Στῶμεν ἕως τούτων ἐπιχειρήσωμεν λοιπὸν τὴν ἐξέτασιν, καὶ ἴδωμεν συλλογισμοὺς, καὶ μνημονεύσωμεν ῥητῶν, ἵνα καὶ τοῖς συλλογισμοῖς συναγάγωμεν, καὶ τοῖς ῥητοῖς πείσωμεν· φήσομεν γὰρ πρὸς αὐτούς· Ἐπεὶ Θεὸς ῥίζα ἦν, καὶ ῥίζα καλὴ, καὶ καρποὶ καλοὶ ἀπὸ ῥιζῶν καλῶν προηνέχθησαν· καὶ ὁ Σατανᾶς ῥίζα ἦν, καὶ ῥίζα κακή· καὶ καρποὶ κακοὶ ἀπὸ ῥίζης κακῆς προηνέχθησαν· τίνος καρποὶ οἱ ἀπόστολοι, ἵνα ἐκ τῶν καρπῶν γνῶμεν τὸ ζητούμενον; ὅπερ οὐκ ἀπὸ τῶν ῥιζῶν λαμβάνω· φήσομεν γὰρ, Ἡ ῥίζα ἡ κακὴ οὐδὲν καλὸν προσενεγκεῖν οἶδεν· οὔτε ἡ ῥίζα ἡ καλὴ οὐδὲν κακὸν προσενεγκεῖν οἶδε. Φαίνονται δὲ οἱ ἀπόστολοι ποτὲ μὲν καλοὶ, ποτὲ δὲ κακοί· καὶ ὀψὲ μὲν καλοὶ, ἀρχῆθεν δὲ κακοὶ, καὶ μεταβολὴν πεποιημένοι ἀπὸ τῶν κακῶν.

B Insistamus hic, deinde quæstionem aggrediamur, videamusque argumentationes, et quæ dicta sunt recordemur, ut argumentationibus conclusiones conficiamus; et ex iis quæ diximus, fidem faciamus: dicemus enim istis : Si Deus erat radix, et bona radix, et boni fructus ex bonis radicibus profusi; ac Satanas radix erat, et mala radix, ac fructus mali ex mala radice fusi : cujus radicis apostoli fructus exstiterunt, ut ex fructibus quod quærimus, cognoscamus? Nondum a radicibus argumentum sumo; dicemus enim : Mala radix nihil boni proferre potuit, neque radix bona quidquam mali. Videntur autem apostoli quandoque boni, quandoque mali fuisse; ac sero quidem boni, principio autem mali, mutasseque malos mores

Εἰ μὲν γὰρ φήσομεν τοῦ Σατανᾶ καρποὺς εἶναι τοὺς ἀποστόλους διὰ τὰ παλαιὰ πταίσματα, δυσωπηθήσονται διὰ τὴν ἀποστολὴν καὶ τὴν τελειότητα τῶν ἀρετῶν· εἰ δὲ τοῦ Θεοῦ, τί ἐροῦσι περὶ τῶν πταισμάτων τῶν παλαιῶν καὶ τῆς παλαιᾶς διαβολῆς; δυσωπήσει γὰρ αὐτοὺς τὸ γράμμα, καὶ ἐλέγξει αὐτῶν τὴν κρίσιν. Εἰ δὲ, ἀποροῦντες καὶ εἰπεῖν μὴ δυνάμενοι, ἀντερωτῶσι φάσκοντες δύσκολον εἶναι τὴν λύσιν τῶν προτάσεων, καὶ δύσκολον εἶναι τὴν ἀπόδειξιν· φήσομεν καὶ ἡμεῖς οὐ καρποὺς εἶναι τοὺς ἀποστόλους τοῦ Θεοῦ, ἀλλὰ ποιήματα καὶ πλάσματα· οὐ γὰρ ὡς ἀπὸ ῥίζης καρποὶ προηνέχθησαν, ἀλλ' ὡς ἀπὸ κτίστου καὶ ποιητοῦ, κτίσματα καὶ ποιήματα γεγένηνται τοῦ πεποιηκότος· οὐχ ὡς ὁμοουσία τοῦ πεποιηκότος· γεννητοὶ γὰρ ἐκ τοῦ ἀγεννήτου ποτὲ οὐκ ὄντες, ὕστερον δὲ πεποιημένοι· τὸ μὲν εἶναι ἀπὸ τοῦ πεποιηκότος λαβόντες, οὐκ οὐσίαι δὲ ἐξ οὐσίας, ἀλλ' ὑποστάσεις ἐξ ἀγαθότητος τοῦ Δημιουργοῦ πεποιημένοι· καὶ οὕτω πεποιημένοι, ἵνα προαιρέσει τὴν ἀρχὴν ἔχωσι (18). Φαίνεται οὖν ὁ Σωτὴρ λέγων· *Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν· Εἰ θέλεις τέλειος γενέσθαι· Εἰ θέλεις ὑγιὴς γενέσθαι·* εἰ ὁ ποιήσας τοιαῦτα λαλεῖ, δι' οὗ Πατὴρ πάντα ἐποίησε, νόει τοῦ πεποιηκότος τὰς φωνάς· ἐν τῷ θέλειν τοὺς νόμους ἔθετο· ἐν τῇ θελήσει τὰ νομικὰ ἀποταμιεύεται· τὴν βούλησιν τῶν πραττόντων κυρίαν τῶν πραττομένων ἐπίσταται.

Si enim dicamus esse apostolos Satanæ fructus propter vetera delicta, adhibebunt eis reverentiam propter apostolatum et perfectionem virtutum. Sin vero Dei fructus, quid dicent de antiquis eorum peccatis, et de antiqua vita diabolica? ad pudorem enim revocabit eos Scriptura, et eorum judicium redarguet. Si vero non reperientes exitum, et quo se vertant nescientes, nos rursus interrogent, dicantque nobis quoque difficiles esse quæstiones ad solvendum; difficile item ratione concludere : respondebimus, non esse fructus Dei apostolos, sed factos et fictos; non enim tanquam fructus ex radice profusi sunt, sed tanquam creaturæ a Creatore et auctore creati; creaturæ enim ejus sunt, non tanquam ejusdem substantiæ, cujus ipse est. Geniti sunt ab ingenito, cum aliquando non essent, postea facti sunt; qui ut essent quidem, ab eo qui fecit, acceperunt, non substantiæ ex substantia, sed facti hypostases bonitate auctoris, atque ita facti, ἵνα προαιρέσει τὴν ἀρχὴν ἔχωσι, ut voluntate habeant principatum. Ait igitur Salvator : *Si quis vult venire post me* [3]; *Si vis perfectus esse* [4]; *Si vis sanus fieri* [5]. Si is qui fecit, sic loquitur, per quem Pater omnia fabricatus est, intellige voces auctoris : in voluntate posuit leges; in voluntate legitima recondit; voluntatem agentium scit dominam actionum esse.

C

D

Cap. XXXIV. *Mali aliquas virtutes habent. Pharao. Nabuchodonosor. Nequitiam lumen rapuisse dot et Manes.*

Ἀμέλει τιμῶν τὴν τῶν (19) πράξεων κοινωνίαν, ἀνήρτησεν ἐν τῇ θελήσει ὁ λόγος· *Ἐὰν θέλητε καὶ*

Sane quidem ut nos honoraret, voluit Verbum, ut communitas actionum in voluntate penderet.

[3] Matth. xvi, 24. [4] Matth. xix, 21. [5] Joan. v, 6.

loco, quæ ad confutationem eorum quæ proxime ex Manichæi libro recitaverat, pertinebant; quorum confutatio ordine secutura erat. Turr.

(18) *Τὴν ἀρχὴν ἔχ.* In Epist. Judæ ℣ 6, *Angelos vero qui non servaverunt suum principatum*, etc. Ib.

(19) *Πράξεων κοιν.* Actiones bonæ, quarum communitate cum Deo conjuncti sumus, omnes sunt voluntariæ. Ib.

Digitized by Google

Si volueritis, inquit, *et audieritis me, bona terræ comedetis; si autem nolueritis, nec audieritis me, gladius devorabit vos* [6]. Sed absurdum est prætermittere sermonem de improbissimis, ac præterire considerationem de iis qui turpissime atque effrenatissima licentia in vita versantur, ne nostrum silentium periculosissimam desperationem eis comparet. Non magnopere accusant Nabuchodonosorem? non valde reprehendunt Pharaonem? non ad summum fastigium turpitudinis progressos existimant? talia enim de illorum vita et instituto ubique jactant. Si igitur in illorum animis nullum studium cerneretur, alia ratio esset. Sin vero in adeo malis etiam partes aliquæ eorum quæ bona sunt reperiuntur, sensus, perceptiones, intelligentiæ, pœnitentia ac supplicationes; quid jam dicturi sunt? Si enim hic turpissimus appareat habere partes quasdam virtutis et mores aliquos idoneos, quid dicent? Si enim respondebunt, mistum esse Satanam, ut qui fructus ex virtute ac vitio mistos attulerit, aut fructus hos non esse diaboli; non enim fructus misti, fructus fuerint carentis mistione; neque quod non est mistum, radix misti erit; hi autem misti esse, aliquo tempore apparuerunt, et percepisse scientias, et improbitate capti esse: hac ratione apparebunt non esse veræ personæ, sed fictæ cogitatione.

A εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Ἄτοπον δὲ καὶ τὸν περὶ τῶν φαυλοτάτων καταλιπεῖν λόγον, καὶ τὴν περὶ τῶν αἰσχίστως καὶ ἐκδεδιητημένως ἀναστρεφόντων παραλιπεῖν ἐξέτασιν, μήπως ἡ ἡμῶν σιωπὴ ἀπόνοιαν χαλεπωτάτην αὐτοῖς κατασκευάσῃ. Οὐ σφόδρα διαβάλλουσι τὸν Ναβουχοδονόσορ; οὐ σφόδρα μέμφονται τὸν Φαραώ; οὐ πέρας αἰσχρότητος αὐτοὺς νενομίκασι; τοιαῦτα γὰρ περὶ τῆς ἐκείνων διαγωγῆς ἄνω καὶ κάτω θρυλλοῦσιν. Εἰ μὲν οὖν ἐν ταῖς διανοίαις ἐκείνων οὐδεμίᾳ σπουδὴ φανείη, λόγος ἂν εἴη ἕτερος· εἰ δὲ ἐν τοῖς οὕτω κακοῖς καὶ μέρη εὑρίσκεται καλῶν, καὶ αἰσθήσεις, καὶ ἀντιλήψεις, καὶ μετάμελος, καὶ ἱκεσίαι· τί ἔτι φήσουσιν; Εἰ γὰρ οὗτος ὁ πάνυ αἴσχιστος φανείη τινὰ B μέρη ἔχων ἀρετῆς, καὶ τρόπων ἐπιτηδειότητα, τί ἐροῦσιν; Ἢ γὰρ τὸν Σατανᾶν μικτὸν ἐξ ἀρετῆς καὶ κακίας, ὡς μικτοὺς καρποὺς ἐνεγκόντα φήσουσιν, ἢ τούτους καρποὺς μὴ εἶναι τοῦ διαβόλου· οὐκέτι γὰρ οἱ μικτοὶ τοῦ ἀμίκτου εἶεν ἂν καρποί, οὔτε ῥίζαν τὸ ἄμικτον τοῦ μικτοῦ φανήσεται· οὗτοι δὲ καὶ μικτοὶ ἐφάνησαν χρόνῳ, καὶ τὰς ἐπιστήμας λαβόντες, καὶ πονηρίᾳ αἱρεθέντες· καὶ φανήσεται κατὰ τοῦτον τὸν λόγον πλάσμα εἶναι λόγου, καὶ μὴ ἀληθείας ὑπόστασις.

En Pharao, cum increpatur, remittit et mollitur, flectitur mente, et percussa anima non perseverat in duritia; quin potius duo facit: poscit C quod optat, et accusat factum; et non, videtur anima oculis capta, sed ad pœnitentiam procedens, ac petitionem et supplicationem amplectens, et in precibus blandiens. Si autem natura malus fuisset, quomodo de precibus et pœnitentia cognitionem habuisset? Si enim bona est pœnitentia, et bona item precatio; si vero natura mala, quomodo malum cum bono mistum fuit? Quomodo ex malo bonum prolatum est? Apparent non intelligere quæ loquuntur, quin potius mente rudi et inerudita, sputa magis verborum, quam verba proferre.

Ἰδοὺ γὰρ ὁ μὲν Φαραὼ ἐν ταῖς ἐπιτιμίαις ἐνδίδωσι καὶ ἀπαλύνεται· ἐνδίδωσι τῇ διανοίᾳ, καὶ κακατυφθεὶς τὴν ψυχὴν οὐκ ἐπιμένει τῇ τραχύτητι· ἀλλὰ δύο ποιεῖ, καὶ τὴν εὐχὴν αἰτεῖ, καὶ κατηγορεῖ τοῦ γενομένου, καὶ οὐ φαίνεται πηρὸς ἡ ψυχή, ἀλλ' ἐμβλέπουσα, καὶ πρὸς μετάνοιαν χωροῦσα· ἀντιλαμβανομένη δὲ καὶ τῆς αἰτήσεως καὶ ἱκεσίας, καὶ λιπαροῦσα εὐχῆς ἕνεκεν. Εἰ δὲ ἐπεφύκει κακὸς, πῶς ἐγνώκει περὶ τῆς εὐχῆς καὶ τῆς μετανοίας; Εἰ γὰρ ἡ μετάνοια καλὴ, καὶ εὐχὴ καλή· εἰ δὲ ἡ φύσις κακὴ, πῶς ἐμίγη τὸ κακὸν τῷ καλῷ; Πῶς δὲ ἐκ κακοῦ καλὸν προηνέχθη; Καὶ φαίνονται μὴ εἰδότες ὃ λέγουσιν· ἀλλὰ ἀπαιδεύτῳ γνώμῃ πτύσματα μᾶλλον ῥημάτων ἢ ῥήματα προσφερόμενοι.

Nabuchodonosor, quamvis moribus sævus esset, et fornacem præparasset, et imaginem fecisset, et minis terreret, atque imaginem venerari cogeret; D statim ut sancti pueri in fornacem illati sunt, et cedebat flamma, et corpora non attigit, factaque est fornax synagoga, ac pro lamentis hymni et laudes adhibebantur, neque jam tanquam igne carnem urente lamentatio flebat, sed ab anima lætante cantus celebrabatur: statim, inquam, prospexit quæ intra fornacem flebant, honoratusque est angeli spectaculo, misitque vocem: *Nonne tres viros in fornacem intulimus? en, quatuor video, et quartum tanquam similem Filio Dei* [7]. Continuo igitur legem de hac re scribit, ut confiteantur Deum, ut testentur veritatem; fit inter-

Εἰ δὲ καὶ ὁ Ναβουχοδονόσορ, καίτοι χαλεπὸς ὢν τὸ ἦθος καὶ τὴν κάμινον εὐτρεπίσας, καὶ τὴν εἰκόνα ποιήσας, καὶ τῇ ἀπειλῇ φοβῶν, καὶ προσκυνεῖν τὸ ἄγαλμα ἀναγκάζων, ὡς οἱ ἅγιοι ἔνδον ἐβάλλοντο, καὶ ὑπεχώρει ἡ φλὸξ καὶ τῶν σωμάτων οὐχ ἥπτετο, καὶ συναγωγὴ ἡ κάμινος ἐγίνετο· καὶ ἀντὶ ὀδυρμῶν ἔνδον ὕμνοι ἐτελοῦντο, καὶ οὐκέτι καιομένης σαρκὸς θρῆνος ἐπέμπετο, ἀλλ' ἐκ πανηγυριζούσης ψυχῆς ᾄσμα ἐτελεῖτο· παρέκυψεν ἰδεῖν τὰ ἔνδον, τετίμηται τῇ τοῦ ἀγγέλου θεωρίᾳ, ἀφῆκε φωνήν· *Οὐχὶ τρεῖς ἄνδρας ἐνεβάλομεν εἰς τὴν κάμινον; ἰδοὺ τέσσαρας ὁρῶ, καὶ τὸν τέταρτον, ὡς ὅμοιον Υἱῷ Θεοῦ.* Εὐθέως γοῦν γράφει ὑπὲρ τούτου νόμον, ὁμολογεῖν τὸν Θεὸν, μαρτυρεῖν τὴν ἀλήθειαν· ἐξηγητὴς τῆς ὁράσεως γίνεται. Διαβάλλομεν οὖν τὰς ἐξηγήσεις, ἢ ἐπαινέσομεν;

[6] Isa. I, 19, 20. [7] Dan. III, 91, 92.

Digitized by Google

καλὸν τὸ *πρεσβεύειν ὑπὲρ Χριστοῦ*, ἢ ἐν πονηρῷ μέρει αὐτὸ ἑῶμεν; Εἰ μὲν γὰρ τὸ πρεσβεύειν τὰ θεῖα λόγια, καὶ μάρτυρας εἶναι τῆς ἀληθείας, καλόν· ἐπρέσβευσε δὲ καὶ Ναβουχοδονόσορ, καὶ ἔγραψε, καὶ εἰς πᾶσαν τὴν ἀρχὴν αὐτοῦ ἔπεμψε· λέλυται ἡ φύσις (20)· ἐπιστάμενος γὰρ τὸ καλὸν, πρὸς τὴν μάθησιν ἔβλεψε τοῦ καλοῦ. Εἰ δὲ ἤμβλυνε τὴν μάθησιν τῇ πρὸς τὴν πονηρίαν διαθέσει, κατηγορεῖται· ἕτερον γὰρ τὸ ὅλως μὴ δύνασθαι ποιεῖν τὸ καλόν· ἕτερον δὲ τὸ εἰδέναι μὲν, μὴ δύνασθαι δὲ ποιεῖν τὸ καλὸν, τῇ πρὸς τὰ πάθη ῥοπῇ ἡττώμενον.

B Ἐπεὶ δὲ καὶ ἄλλως οἱ ἐκ τοῦ Μάνεντος πειρῶνται δύο φύσεις ἐναντίας ἡμῖν οὔσας ἀπελέγχειν, τῷ ποτὲ μὲν ἡμᾶς ἐνθυμεῖσθαι φαῦλα, ἄλλοτε δὲ ἀγαθά· ἐπισημαντέον, ὡς, φυσικῆς ἐν ἡμῖν οὔσης τῆς γνώσεως ἑκατέρων, ἀναγκαίως ἐπὶ τὴν ἐνθύμησιν, ὧν γινώσκομεν, κινούμεθα, ζημιούμενοι μὲν οὐδ' ὁτιοῦν, κερδαίνοντες δὲ τὸ πᾶν τῇ τοῦ καλλίονος προτιμήσει. Πῶς γὰρ ἂν ἡ ἐπὶ τὸ κρεῖττον ἀνθρώποις ἑκούσιος ἐμαρτυρήθη κίνησις, μὴ τῆς ἐνθυμήσεως ἑκατέρois φυσικῶς ἐπιβαλλούσης, ἀδικία τε καὶ δικαιοσύνη; Ἡ μὲν γὰρ γνῶσις ἀναγκαία πρὸς διάκρισιν· ἡ δὲ ἐνθύμησις ψηλαφᾷ τὰ ἐγνωσμένα· ἡ δὲ πρόθεσις ἐφ' ὃ βούλεται ῥέπει· ταῦτα δὲ οὐχὶ μέρη ψυχῆς διάφορα, ἀλλ' ὡς ἐνέργειαι ταύτης· οὕτω μέντοι τῷ ἡμετέρῳ ὀφθαλμῷ πρόσεστι φυσικῶς τὸ ὁρᾷν ἄλλο C εἰ τύχοι, ἢ πράξεις κακάς τε καὶ ἀγαθὰς, καὶ οὐδετέρων αἴτιος ἂν εἴη· διαδέχεται γὰρ ὁ νοῦς τὴν ὄψιν, καὶ διακρίνει τὰ ὁρώμενα· οὕτω δὴ καὶ ἡ ἐνθύμησις ὀφθαλμοῦ δίκην ἀναγκαίως κινεῖται πρὸς τὸ γενέσθαι ἐνδεχόμενα, οὐ βιαζομένη πρὸς αὐτὰ τὴν ψυχήν, ἀλλὰ γνώσει φυσικῇ ἐπιβάλλουσα τούτοις. Αὐτίκα ἅμα μὲν, ἐὰν θέλωμεν, τἀναντία ἐνθυμούμεθα, ἅμα δὲ τἀναντία πράττειν οὐ δυνάμεθα.

In hunc modum actio quidem electione propositi decreta est; cogitatio vero naturalem cognitionem virtutis et vitii testatur: nisi enim hæc præcognosceremus, nec ea cogitaremus, neque quod melius est, eligeremus, prægressa omnino electione deterioris, pravis institutis anticipati. Quamobrem magis est studendum et laborandum hominibus in educatione filiorum, quam agricolis in incremento arborum. Interpretari igitur cogitationem nostram indicium esse duarum naturarum contrariarum, perinde est ac si quis diceret, esse aspectum mistionem omnium colorum, quia in hæc omnia aciem intendit. Quod igitur necessario accepit homo ut posset peccare, sic a Deo factus, ut non aliter posset ex virtute vivere; id quod Deus cum esset bonus et non invidus, naturæ insitum esse voluit· et quod propter ea quæ injuste apud ho-

Οὕτως ἡ μὲν πρᾶξις ἀφώρισται τῇ αἱρέσει τῆς προθέσεως· ἡ δὲ ἐνθύμησις τὴν φυσικὴν γνῶσιν ἀρετῆς τε καὶ κακίας μαρτυρεῖται· εἰ γὰρ μὴ ταῦτα προεγινώσκομεν, οὔτ' ἂν ἐνεθυμήθημεν, οὔτ' ἂν τὸ κρεῖττον εἱλόμεθα· στερόμενοι τῷ πάντως D προαιρεῖσθαι τὸ χεῖρον, ἀγωνίαις φαύλοις προειλημμένοι. Διὸ δὴ μᾶλλον ἀνθρώποις σπουδαστέον περὶ τὴν τῶν παίδων ἀνατροφὴν ἢ γεωργοῖς περὶ (27*) τῶν φυτῶν αὔξησιν. Τὸ τοίνυν τὴν ἐνθύμησιν ἡμῶν εἰς τεκμήριον λαμβάνειν δύο φύσεων ἐναντίων, παραπλήσιον ἂν εἴη ὥσπερ εἴ τις φαίη τῶν χρωμάτων ἁπάντων κρᾶσιν εἶναι τὴν ὄψιν, ἐπειδὴ τούτοις ἅπασιν ἐπιβάλλει. Ὅτι μὲν οὖν ἀναγκαίως τὸ ἐξεῖναι ἁμαρτάνειν εἴληφεν ἄνθρωπος, οὕτω γενόμενος, ὡς οὐκ ἂν ἑτέρως τὸ κατορθοῦν δύνασθαι κτησάμενος· ὅπερ Θεὸς ἀγαθός τε καὶ ἄφθονος ὑπάρχων ἐντέθεικε τῇ φύσει· καὶ ὅτι τέως διά γε τὰ παρὰ ἀν-

(27*) Desideratur τήν. Edit.

Digitized by Google

θρώποις ἀδικήματα οὐδεμία ἀνάγκη ὕλην ἄναρχον καὶ κακίαν δοκεῖν ἀντιπαρατάττειν Θεῷ· οὔτε μὴν ὅλως κατ' οὐσίαν ὑφεστηκέναι νομίζειν κακίαν, ἀλλ' ἐν πράξει τὴν ὑπόστασιν ἔχειν, διὰ τῶν προειρημένων ἀποδέδεικται.

A mines fiunt : nullo pacto necesse est putare materiam principio carentem et nequitiam resistere Deo ; nec existimare penitus secundum substantiam per se exstitisse nequitiam, sed in actione consistere, superius demonstratum et conclusum est.

CAP. VII. *Objectiones circa Providentiam.*

Λοιπὸν ἤδη περὶ τε τῆς πανσόφου διοικήσεως τοῦ Θεοῦ, καὶ περὶ τῶν μάτην εἰς κακίαν πρὸς τοῦ Μάνεντος διαβληθέντων δημιουργημάτων, ῥητέον ὡς δύναμις. Ἀταξίαν δὴ πολλὴν ψηφίζεται τῶν καθ' ἡμᾶς πραγμάτων, πλοῦτόν τε καὶ πενίαν, ὑγείαν τε καὶ νόσον, ὡς ἄνισα διαβάλλων· ἔτι μὴν καὶ τὸ πολλάκις τὸν μὲν κακοῦργον διαφεύγειν τὴν τῶν νόμων τιμωρίαν, τὸν δ' ἀναίτιον τιμωρεῖσθαι, καὶ τοὺς φαύλους ἔστιν ὅτε τῆς κατὰ τῶν ἄλλων ἀρχῆς ἐπιβαίνειν. Ῥητέον (28) τοίνυν, ὅτι παρῆκται (29) πρὸς τοῦ δημιουργήσαντος ἄνθρωπος εἰς τὸν βίον, ἐμπορευόμενος ἕτερον οὐδὲν ἢ μόνην εὐσέβειάν τε καὶ ἀρετήν. Ταῦτα γὰρ κτησάμενος μὲν, καλῶς ἂν διανήξηται τόνδε τὸν βίον· ἀμελήσας δὲ τούτων, χαλεπῶς ἂν διαβαπτισθείη πλανώμενος. Τροφὴν δὲ σώματος καὶ ἐνδυμάτων περιβολὴν, καὶ τὴν ἄλλην σκέπην δέδωκεν ὁ Θεὸς αὐτῷ οὐχ ὡς (29*) προηγούμενα δῶρα, ἀλλ' ὡς ἀναγκαῖα πρὸς τὴν ἐνταῦθα τοῦ εἶναι σύστασιν· ἵνα μετὰ σώματος ὑπάρχων τὸ μὲν ζῇν διὰ τούτων ἔχῃ, τὸ δὲ πονεῖν καὶ κτᾶσθαι τὰ ῥηθέντα ἀόκνως μετίῃ.

B Deinceps de sapientissima Dei gubernatione, et de iis quæ inaniter et temerarie a Manichæo in criminibus ad asserendam nequitiam objecta sunt, pro viribus dicendum est. Multam perturbationem ordinis in nostris rebus accusat. Divitias et paupertatem, sanitatem et invaletudinem, tanquam sit in eis inæqualitas, criminatur. Item illud, sæpe maleficum supplicium legum effugere, innocentem vero puniri, quandoque etiam improbos imperium in alios invadere. Dicendum igitur est, productum esse hominem ab auctore suo in hanc vitam, ut nullum aliud negotium ageret, quam ut solam pietatem et virtutem, compararet. Hæc enim si acquisivisset, recte hanc vitam tranaret. His vero neglectis, periculose demergeretur deceptus. Alimentum autem corporis, et vestitum, et reliquum tegumentum dedit Deus ipsi non tanquam dona præcipua, sed tanquam necessaria ad vitam hic tuendam ; ut dum corpus habet, tum horum præsidio vivat, tum impigre laborem suscipiat, et quæ dicta sunt, paret

Φῶς δὲ περιεποίησε σωματικὸν, καὶ κατάλληλον αὐτοῦ τῇ φύσει, καὶ ἀέρα πρὸς ἀναπνοὴν, καὶ ὕδωρ, καὶ τὰ ἄλλα δὴ ὅσα ἀναγκαῖα· ταῦτα γὰρ κοινὰ μὲν φυσικῶς ἅπασιν ἀνθρώποις ὑπάρχει παρὰ Θεοῦ· καὶ οὐκ ἄν τις φαίη, ὡς τῷ πένητι ἔλαττον τοῦ φωτὸς μέτεστι ἢ τῆς τῶν ὑδάτων χορηγίας, οὔτε μὴν τῆς πρὸς τὸ ζῇν φυσικωτάτης ἀναπνοῆς· καὶ ἀναγκαίαν δὲ τὴν τροφὴν, εἰ καὶ μὴ ἄνευ ἱδρῶτος πορίζεται, ἀλλ' ὅμως κοινὸς τοῖς πᾶσι τῆς πρὸς τὸ ἀναγκαίως ζῇν χορηγίας ὁ τρόπος. Χρυσός τε καὶ ἄργυρος, καὶ λίθοι τίμιοι, παρ' αὐτοῦ καὶ ταῦτα τοῖς κεκτημένοις ὑπάρχει· οὐ μὴν πλέον τι συμβάλλοιτ' ἂν πρὸς τὴν προειρημένην ἐμπορίαν, εἰ μὴ καὶ μᾶλλον ἐμποδίσειεν ἄν. Ὅμως δὲ οὔτε πενίᾳ ἀνέφικτος ἡ προτεθεῖσα παρὰ Θεοῦ τοῖς ἀνθρώποις πορεία, οὔτε πλούτῳ μᾶλλον ῥᾳδία· ἀλλ' ἀμφοτέρως ἔνεστι τοῖς γε σπουδαιοτάτοις τὴν προκειμένην τελεῖν ὁδόν· πενία μὲν γὰρ διὰ καρτερίας καὶ ἐλευθεριότητος, πλοῦτος δὲ διὰ μετριοφροσύνης καὶ τοῦ προτιμᾶν τῶν δοθέντων τὸν δεδωκότα, κατορθώσειεν ἂν τὸ σπουδαζόμενον, ὡς μήτε τὸν πτωχεύοντα δυσχερείας ἄνευ καὶ πόνων ἐπιβάλλειν τῷ κατορθώματι· δεῖσθαι δὲ προσεχείας, εἰ καί τις αὐτῷ πρόσεστιν ἀφροντιστία, πρὸς τὸ μὴ τῆς πτωχείας χάριν ἀνελεύθερόν τι μὲν δρᾶσαι, ἀγαναχτήσαντα δὲ πρὸς ταύτην διελέγξαι τὴν οἰκείαν πρόθεσιν, ὡς μᾶλλον ἂν Θεοῦ τιμῴη τὰ πρὸς αὐτοῦ διδόμενα· μήτε τὸν περιουσίαν πλείστην κεκτημένον ὠνίου τρόπον ἑαυτῷ δύνασθαι εὐσέβειάν τε καὶ ἀρετὴν πορίσασθαι, ἀλλὰ διανήξαιτο.

C Lumen autem ascivit ei corporeum naturæ ejus conveniens, tum aerem ad ducendum spiritum, et aquam et quæcunque alia necessaria : hæc enim auctore Deo communia sunt naturaliter cum omnibus hominibus ; nec ullus dicere possit minus luminis impartiri pauperi, neque minus aquæ suppeditari, neque minus aeris ad respirationem quæ est ad vivendum maxime naturalis, et alimentum necessarium, tametsi non sine sudore suppeditat. Aurum autem et argentum et lapides pretiosos qui habent, ab ipso accipiunt. Non tamen plus conferre possint ad facultatem, quam superius diximus, nisi magis etiam impedire. Tamen neque profectio hominibus a Deo proposita, paupertate impeditur, neque divitiis facilior efficitur. Sed utraque conditione studiosis et maxime industriis ac gnavis licet constitutam viam et destinatam conficere : paupertas enim per tolerantiam et libertatem, opulentia vero per modestiam et cultum honoremque auctoris bonorum quem anteponit bonis ipsis, perficere potest quod studet et laborat ; ut neque pauper sine difficultate et laboribus assequatur virtutem ; sed egeat studio et accuratione, si qua in ipso inest incuria, ne propter paupertatem aliquid illiberale faciat, et dum iniquo animo fert paupertatem, animum suum ac voluntatem patefaciat ; ut qui magis quam Deum, honoret ea quæ a Deo dantur : neque qui divitiis affluit, possit sibi instar rei venalis, pietatem et virtutem comparare ; quin potius plus

(28) *Ῥητέον.* κ. τ. λ. Vide infra in *Supplementis ad hos Titi Bostrensis libros*, ubi § II ex *Parallelis Damascenicis* descriptus exhibetur hic locus.

(29) *Παρῆκται. Paralt.* l. c., παρήχθη. Mox ibid.

(29*) *Οὐχ ὡς.* Hæc addidimus, et sententia postulante, et versione ita exhibente. EDIT.

Digitized by Google

in hac re sudandum ei sit : magis enim hic, ut par est, fluctuat, et tanquam tempestate jactatur mens, cura et sollicitudine in bona externa, et in animam partita : et nisi existimet esse opes omnino πάρεργον, ἔργον vero solum amicitiam cum Deo, demergetur in amentiam integram ; non intelligens se, primo et solo bono relicto, servire mortuis divitiis, quas cum reliquerit aliis, ipse abibit.

A πλείονος ἱδρῶτος πρὸς τοῦτο δεῖσθαι· χειμάζεσθαι γὰρ μᾶλλον τὸν τοιοῦτον εἰκὸς τὴν διάνοιαν, τῇ φροντίδι μεριζόμενον πρός τε τὰ ἐκτὸς πρός τε τὰ περὶ τὴν ψυχήν· ὡς, εἰ μὴ πάρεργον εἶναι παντελῶς τὸν πλοῦτον οἰηθείη, ἔργον δὲ μόνον τὴν πρὸς Θεὸν φιλίαν, βαπτισθήσεται πρὸς ἄνοιαν παντελῆ, μὴ συνιείς, ὡς, τὸ πρῶτον καὶ μόνον ἀγαθὸν ἐάσας, δουλεύει νεκρῷ πλούτῳ, ὃν ἀπολιπὼν ἄλλοις οἰχήσεται.

Cap. VIII. *Pauperis et divitis discrimen. Improbus quare dives.*

Ex æquo igitur vacat periculo via virtutis ; neque diviti, neque pauperi impedita. Inter se autem dives et pauper solum differunt externarum rerum accessione, quæ nihilo plus valet ad id quod propositum est, adipiscendum : atque hoc quidem necessario divina sapientia disposuit. Quando enim pauper exercetur ad tolerantiam capiendam, videns apud alium opulentiam ; animus etiam divitis exploratur tenuitate pauperis ; inutiles enim sunt opes, si non adsit paupertas : cui enim benigne faciet opulentus ? et paupertas non est spectata et probata, nisi adversante opulentia. Denique neque divitem esse beatum est, neque pauperem esse miserum : quandoquidem solus ille cui accedit firma animæ secundum virtutem felicitas, sive dives sive pauper sit, compos ejus est cujus causa a Deo factus est homo : ut jam opus sit a Deo accipere, ut sit ; a se vero accipere, ut bonus sit, adjuvante Deo : vult enim Deus, ut homo cum sit rationis particeps, habeat aliquid a se ad gloriosam fiduciam.

B

C

Quocirca non admirabimur, neque beatum prædicabimus virum divitem maleficia committentem : neque stupebimus contra Dei providentiam, quod, qui talis est, divitiis affluat. Quid enim amplius habet vir improbus dives ? Quid vero non minus habet ? vigiliæ enim et pericula propter pecunias ; dolores vero de consumptis majores, quam voluptates de acquisitis : non enim tam delectat quod adest, quam cruciat quod abest, et semper cupiditas divitiis augetur : ita ut sine intermissione cogitatio habitet cum affectione effrenata, corpus vero sæpenumero cogitatione contabescat. Demum quæ videtur præstantior conditio affluentiam opum possidentis, difficilior et molestior est quam conditio egentis : ille enim deliciis et mollitia cubilis utens, quandoque in varios morbos incidit, cum pauper siccitate victus necessarii valetudinem corpori ascivit. At quis dicat non esse corpus excellentius et magis honoratum quam bona externa ? Quod si habitudo corporis valentior in iis perseverat qui necessariis moderate utuntur ; iis vero qui se ad immoderatas delicias dimittunt, simul robur et firmitas corporis relaxatur ; annon liquet hac parte et hac ratione inferiores esse divitias paupertate ? præterquam si quis reperiatur qui egeat necessariis ; quod quidem nunquam studioso virtutis accidit.

D

Nunquid voluptas ciborum sumptuosorum per-

(30) Forte τρυφαῖς. Edit.

Ἀκίνδυνος μὲν οὖν ἐπίσης οὔτε πλουσίῳ οὔτε πένητι τῆς ἀρετῆς ἡ πορεία, οὐ μὴν οὐδ' ἀνέφικτος οὐδενὶ τούτοιν· ἀλλήλων δὲ διαφέρουσι μόνον τῇ τῶν ἔξωθεν περιβολῇ, μηδὲν ἐχούσῃ πλέον πρὸς τὸ προκείμενον· ἀναγκαίως καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας διαθείσης. Ὅ τε γὰρ πένης διαγυμνάζεται πρὸς καρτερίαν, πλοῦτον παρ' ἄλλῳ βλέπων, καὶ ὁ πλούσιος δοκιμάζεται τὴν γνώμην τῇ τοῦ πτωχεύοντος ἐντελείᾳ· πλοῦτος μὲν γὰρ μὴ παρακειμένης πτωχείας ἄχρηστος· τίνα γὰρ εὐποιήσει ; καὶ πενία ἀδόκιμος μὴ ἀντικειμένου πλούτου. Ὅλως δὲ οὔτε τὸ πλουτεῖν μακάριον, οὔτε τὸ πένεσθαι ἐλεεινόν· ἐπειδή γε μόνος ἐκεῖνος μακάριος, ᾧ πρόσεστιν ἡ βέβαιος τῆς ψυχῆς κατ' ἀρετὴν εὐπραγία, κἂν τε πλούσιος, κἂν πένης ὑπάρχῃ ὁ τοιοῦτος, ἧς ἕνεκεν πρὸς Θεοῦ ἄνθρωπος γεγένηται· ὡς δέον παρὰ μὲν Θεοῦ τὸ εἶναι λαβεῖν, παρ' ἑαυτοῦ δὲ τὸ ἀγαθὸν προσγενέσθαι λαβεῖν, συνεργοῦντος Θεοῦ· βούλεται γὰρ Θεὸς καὶ παρ' αὐτοῦ τὸν ἄνθρωπον ἔχειν ἄν τι, λογικὸν ὄντα πρὸς ἔνδοξον παῤῥησίαν.

Ὥστε οὐ θαυμάσομεν οὐδὲ μακαριοῦμεν ἄνδρα πλούσιον κακοπραγοῦντα· οὐδὲ διαπορήσομεν, ὅτι πλουτεῖ τοιοῦτος ὢν πρὸς τὴν τοῦ Θεοῦ πρόνοιαν. Τί γὰρ ὑπάρχει πλέον ἀνδρὶ πονηρῷ πλουτοῦντι ; Τί δὲ οὐκ ἔλαττον αὐτῷ πρόσεστιν ; ἀγρυπνίαι μὲν καὶ κίνδυνοι διὰ τὰ χρήματα, λύπαι δὲ τῶν ἀναλισκομένων μείζους ἢπερ ἡδοναὶ τῶν ποριζομένων· οὐ γὰρ οὕτω τὸ παρὸν εὐφραίνει, ὡς τὸ ἀπὸν λυπεῖ· καὶ ἀεὶ τὰ τῆς ἐπιθυμίας συναύξεται τῷ πλούτῳ, ὡς τὸν λογισμὸν ἀδιαλείπτως συνοικεῖν ἀσχέτῳ πάθει, τὸ δὲ σῶμα πολλάκις συγκατατήκεσθαι τῷ λογισμῷ· τὸ δὲ δοκοῦν πλεονεκτημα τοῦ περιουσίαν κεκτημένου χαλεπώτερον τυγχάνει ἢ μειονέκτημα· τρυφῶν (30) γὰρ καὶ εὐνῆς ἀπαλότητι χρώμενος, εἰς ἀῤῥωστίας ἔστιν ὅτε ποικίλας ἐμπίπτει· τοῦ δὲ πένητος τῇ ξηρότητι τῆς ἀναγκαίας διαίτης τὸ ὑγιαῖνον τῷ σώματι ποριζόμενον. Καίτοι τίς ἂν φαίη, ὡς οὐχὶ τὸ σῶμα τῶν ἐκτὸς προτιμότερον ; Εἰ δὲ τοῖς τὰ ἀναγκαῖα μετρίοις ἐῤῥωμενεστέρα τοῦ σώματος ἕξις διαμένει, τοῖς δὲ πρὸς ἄμετρον τρυφὴν κεχαλασμένοις, συγκατάγεται καὶ τοῦ σώματος ὁ τόνος· πῶς οὐκ ἔνδηλον, ὡς κατὰ τοῦτο καὶ ἔλαττον τῆς πενίας ὁ πλοῦτος ; πλὴν εἰ μή τις εὑρεθείη καὶ τῶν ἀναγκαίων προσδεής, ὅπερ οὐδέποτε τῷ κατ' ἀρετὴν σπουδαίῳ συμβαίνει.

Ἆρα δὴ τῶν πολυτελῶν ἐδεσμάτων ἡ ἡδονὴ συν-

Digitized by Google

διαμένει τῇ αἰσθήσει τῶν ἀεὶ κεχρημένων, ἢ δὴ λίαν εὐτελίζεται τῇ χρονίᾳ συνηθείᾳ; ὡς μηδὲν ἔχειν τοὺς τοιούτους πλέον, ὅπερ εἰς τρυφὴν προσαγάγωνται· ἀεὶ γὰρ τὸ σύνηθες εὐκαταφρόνητον. Τῷ δὲ πένητι τὸ μὲν εὐτελὲς διὰ τὴν ὑγείαν ἡδιστον, τὸ δὲ πολυτελὲς, εἴ ποτε γένοιτο, ξένον καὶ καινότατον εἰς ἀνειμένην ἀπόλαυσιν· ὥστε κατὰ τοῦτο τοῖς ὀρθοῖς λογισμοῖς ὁ χρώμενος εὕροι ἂν πλέον ἔχοντα τοῦ πλουσίου τὸν πένητα. Νόσος δὲ καὶ ὑγεία παραπλησίως ἀναγκαῖα· ἥ τε γὰρ ὑγεία πρὸς ἀδικίαν τοῦ ἔργου τῆς ἀρετῆς, ἥ τε νόσος ἔστιν ὅτε πρὸς ἀνατροπὴν ἁμαρτίας· βοηθεῖται γὰρ πολλάκις ὁ λογισμὸς τοῖς ἔξωθεν κύμασιν. Ἄλλως τε τῶν ἀῤῥωστημάτων ἡ πεῖρα τῆς τοῦ ὑγιαίνειν εὐεργεσίας ἀναμιμνήσκει πρὸς εὐλάβειαν. Ἦν δ' ἂν καὶ λίαν εὐκαταφρόνητος, εἰ καθ' ἑαυτὴν καθόλου διέμενε, τῷ μηδὲν ἐνδέχεσθαι παρεμποδίζειν αὐτήν.

A manet cum sensu eorum qui semper usi sunt eis, an valde vilis efficitur diuturno usu? ut jam nihilo plus habeant isti in eo, quod ad delicias et voluptatem adhibent : semper enim quod consuetum est, facile contemnitur. Pauperi autem quod tenue et vile est, propter sanitatem suavissimum est : si quando vero sit ei, quod sumptuosum est, peregrinum et novum ducit ad fruendam relaxationem : ut hac ratione, qui recte cogitet, pauperem reperiat præstare diviti. Morbus autem et bona valetudo æque necessaria sunt. Sanitas enim valet interdum ad injustitiam et offensionem virtutis, morbus item aliquando ad evertendum et refutandum peccatum valet : juvatur enim sæpenumero ratio externis fluctibus. Interdum experientia invaletudinis de beneficio bonæ valetudinis admonet ad declinandum maleficium. Esset autem despecta sanitas, si universe per se permaneret, nihilque quod eam impediret, posset contingere.

B

Cap. IX. *Justus ægrotans. Malefici cur non puniantur.*

Εἰ δ' ὁ μὲν ἐπιεικὴς νοσοίη, ὑγιαίνοι δὲ ὁ θρασύς· ὁ μὲν κατέχεται, τῷ κύματι βοηθούμενος, πρὸς τὸ ἀμεμπτον τῆς ἑαυτοῦ ζωῆς· ὁ δὲ παραδέδοται τῷ πλημμελεῖν ὡς ἀπεγνωσμένος. Εἰ δ' αὖθις ὁ θρασὺς καὶ λίαν ἀσεβὴς περιπίπτοι, ὁ δὲ ἐπιεικὴς ὑγιαίνοι· ὁ μὲν οὐχ ἵνα βοηθηθῇ πρὸς αἴσθησιν κολάζεται, ἀλλ' ἵνα χρησιμεύσῃ τοῖς ὁρῶσι πρὸς ὑπόδειγμα· ὁ δὲ, ὡς δίχα δεσμῶν ἡμέρως ἀναστρέφειν δυνάμενος, ἄνοσος διαμένει· εἰ καὶ ὅλως ἑκάτερα πανταχοῦ χρήσιμα, καὶ ἄθλιος ὁ τὴν Πρόνοιαν ἐντεῦθεν ἀρνούμενος ἢ διαβάλλων· μόνη γὰρ ὀλέθριος ἐκείνη νόσος, ἡ τὴν διάθεσιν τῆς ψυχῆς πρὸς ἀποτροπὴν ἀρετῆς κακοῦσα. Οἷς οὖν ὁ λογισμὸς ἀθῶος διαμένοι, εἴτ' οὖν καὶ ὑγιαίνοι τὸ σῶμα, αἰσθήσονται ἑκατέρου τὸ χρήσιμον· εἰ γὰρ μὴ πάντως κολάζοι τὸν κακοπραγοῦντα νόσος, ἐπειδὴ καὶ τοὺς νόμους ἔστιν ὅτε διαφεύγουσι κακοῦργοι· ἆρ' οὖν οὐκ ἂν εἴη διὰ τοῦτο κώλυμα τῆς κακουργίας ὁ νόμος, ἐπειδὴ μὴ διὰ πάντων πρόεισι τῶν ὑποκειμένων; ἢ τὸ θαῦμα τῆς τοῦ Θεοῦ σοφίας ἐντεῦθεν ὡς πανταχόθεν ἀναδείκνυται; Εἰ μὲν γὰρ πάντως δῆλον ἦν, ὡς οὐδαμῶς ἐνδέχεται διαφεύγειν τῶν νόμων τὴν κόλασιν τὸν ὅ τι δήποτε τῶν ἀπηγορευμένων διαπραττόμενον, κἰδδηλον ἂν καὶ λίαν ἀδόκιμον ἦν τὸ ἄπρακτον τῆς ἁμαρτίας· πάντες γὰρ ἂν δέει τῆς τιμωρίας, οὐχὶ μίσει τῆς κακουργίας, ἀπείχοντο. Χρὴ δὲ τὸν σπουδαῖον μισεῖν τὸ ποιῆσαι μᾶλλον ἢ παθεῖν, κἂν μὴ δικαίως συμβαίνοι.

Si autem ille quidem justus ægrotet, hic vero audax bene valeat; ille quidem cohibetur unda adjutus, ut vita ejus querela et reprehensione careat; hic vero tanquam desperatus traditus est peccatis. Si rursus audax et valde impius morbo conflictetur, justus vero firma valetudine sit; punitur ille quidem sensu supplicii, non ut juvetur, sed ut alios exemplo juvet; hic vero, tanquam qui solutis vinculis mansuete versari potest, sine ægrotatione perseverat. Quamvis utraque prorsus ubique utilia sint; et misèr, qui Providentiam hinc negat aut accusat : ille enim morbus solus mortifer est, qui animam ad evertendam virtutem male afficit. In quibus igitur ratio salva et incolumis perseverat, sive ægro corpore sive sano sint, utriusque utilitatem sentient : etsi enim non omnino morbus maleficum puniat, siquidem leges etiam interdum malefici effugiunt; an propterea desinet lex esse impedimentum maleficis, quia non per omnes legi subjectos procedit? An admiratio sapientiæ Dei hinc etiam sicut undique declaratur? Si enim penitus constaret, nullo pacto posse hominem effugere supplicium legum, qui quodcunque lege vetitum est admitteret; abstinere peccato, non esset spectatum ac probatum, sed adulterinum et incertum : omnes enim metu supplicii, non odio maleficii abstinerent. Oportet autem honestum et propœnas dare, quamvis injuste.

C

D

bum magis odisse maleficium facere, quam maleficii

Ἐντεῦθεν διαφεύγουσι τοὺς νόμους τῶν κακούργων οἱ πλείους, ἐπειδή γε κόλασις οὐχ αὕτη τῶν ἁμαρτανόντων ἐστὶν, οἵησις δὲ μόνον τιμωρίας· θάνατος γὰρ ὁ κατὰ φύσιν καὶ δίχα κολάσεως ἂν ἐπέλθοι. Ὥστε ἄλλη μὲν ἔστι τοῖς παρανομοῦσιν ἡ ἄφυκτος τιμωρία· διαφεύγουσι δὲ τὴν ἐφ' ἡμῶν οἱ πλείους, ἵνα τὸ ἐνδεχόμενον τοῦ λαθεῖν βάσανος γένηται τοῦ ἀνθρωπίνου λογισμοῦ· καὶ καθόλου ἐπί τε κλέπτοντος καὶ ψευδομένου, καὶ τὰ μείζω τῶν κακῶν θρᾷν ἐπιχειρούντων τὸ ῥηθὲν παρεκτείνεται.

Hinc fit ut major pars maleficorum leges effugiat, quoniam non est hoc supplicium delinquentium, sed opinio tantum vindicationis : mors enim naturalis sine supplicio etiam adveniet. Quare alia est ultio et supplicium delinquentium, cujus effugium reperire non possunt : evadunt autem plures ex nostra vindicta, ut posse latere tormentum et cruciatus humanæ cogitationis efficiatur. Et universe quod dictum est, ad furantem et mentientem et graviora maleficia committentes porrigitur.

Digitized by Google

Sed dicet aliquis, magis torqueretur conscientia hominum, si nullus maleficus deprehensus puniretur: contra vero evenit ut plane sit hortatio quædam ad maleficium faciendum, quosdam maleficos aliquando non comprehendi a legibus : unde utrumque necessarium est, et incidere maleficum in leges, ac comprehendi ad exemplum vitandi maleficii ; et effugere tormentum et cruciatum cogitationis. Homini enim ad eligendum virtutem et vitium libero, sic facto a Deo, foris accedit, ut quodam modo mens ejus adjuvetur, et quasi fulciatur timore et vacatione timoris, hortationibus et dehortationibus, morbo et sanitate, paupertate et opibus ; denique omnia quæ contraria inter se videntur, consone ac convenienter in unum tendunt et spectant, ut humanam mentem exerceant, et nemo se dedat somno ; quin potius hinc et illinc pulsus et excitatus, vigilet ad officium pietatis et virtutis obeundum. Si vero accidat, ut aliquis puniatur non solum innocens, sed vir admirabilis, et ab eo pœnæ virtutis repetantur, quid nocuerit sustinenti ? Arguit quidem hoc eos qui faciunt, non eum qui sustinet, licet usque ad mortem iniquum supplicium progrediatur. Qui talis est, anticipatione mortis, quæ pertinent ad vitam futuram, meditatus est : cui enim nihil suave est eorum, quæ multis jucunda sunt, nec acerbum, annon est hic ante mortem huic vitæ mortuus ? Qui hic ea quæ existimantur insidiæ factæ, loco beneficii et gratiæ ducit, qua exspectat post hanc vitam majora bona consequi, quam ea quæ relinquere videtur, ad quæ ab inimicis suis cito dimissus, tanquam beneficos ducit eos qui ei insidiati sunt.

Φαίη δ' ἄν τις, ὡς πλέον ἂν ἐβασανίσθη τῶν ἀνθρώπων ἡ πρόθεσις, εἰ μηδεὶς κακοῦργος ἐλεγχόμενος ἐτιμωρεῖτο· γέγονε δὲ τοὐναντίον ἄντικρυς προτροπὴ τοῦ κακοπραγεῖν τὸ μὴ καταλαμβάνεσθαί ποτε πρὸς τῶν νόμων ἐνίοις τῶν μετιόντων τὰ κακά· ὅθεν ἑκάτερον ἀναγκαῖον, καὶ τὸ παρεμπίπτειν τὸν κακοῦργον εἰς ἀνατροπῆς ὑπόδειγμα, καὶ διαφεύγειν βάσανον λογισμοῦ. Ἐλευθέρῳ γὰρ τῷ ἀνθρώπῳ πρὸς αἵρεσιν ἀρετῆς καὶ κακίας, οὕτω πρὸς Θεοῦ γενομένῳ, ἔξωθεν προϋπάρχει· καὶ τὸ βοηθεῖσθαι καὶ ἐρείδεσθαι τρόπον τινὰ τὴν διάνοιαν, οἷον διὰ φόβου καὶ ἀφοβίας, προτροπῶν τε καὶ ἀποτροπῶν, νόσου τε καὶ ὑγείας, πενίας τε καὶ πλούτου, καὶ πάντα τὰ ἀντικεῖσθαι ἀλλήλοις δοκοῦντα, συμφώνως πρὸς ἓν τείνει, ὡς ἂν τὸν ἀνθρώπινον νοῦν διαγυμνάζοι μηδὲν ἀποκαθεύδειν, ἐντεῦθεν δὲ κἀκεῖθεν κατακρουόμενον, διεγηγορέναι πρὸς τὸ ἔργον τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς. Εἰ δὲ καὶ κολάζεσθαί τινα συμβαίνοι, οὐκ ἀναίτιον μόνον, ἀλλὰ καὶ θαυμάσιον ἄνδρα, καὶ δίκην ἀρετῆς ἀπαιτεῖσθαι τοῦτον, τί ἂν βλάβος προσαγάγοι τῷ πάσχοντι ; διελέγχει μὲν γὰρ τοὺς ποιοῦντας, οὐ βλάπτει δὲ τὸν ὑπομένοντα, κἂν ἕως θανάτου φέρηται τὰ τῆς ἀλόγου τιμωρίας. Φθάσας γὰρ ὅγε τοιοῦτος, νεκρότητι τὰ πρὸς τὸν βίον μεμελέτηκεν· ᾧ γὰρ μηδὲν μὲν ἡδὺ τῶν τοῖς πολλοῖς, ἢ ἀηδές, πῶς οὐχὶ νεκρὸς τοῦ βίου καὶ πρὸ θανάτου ὅγε τοιοῦτος καθέστηκεν ; εἰς χάριν τήν γε νομιζομένην ἐπιβουλὴν δεχόμενος, ᾗ μετὰ τὸν παρόντα βίον προσδοκᾷ μείζοσιν ἀγαθοῖς ἐντεύξεσθαι, ὧν ἀπολιπεῖν δοκεῖ, ἐφ' ἃ πρὸς τῶν ἐχθρῶν ταχέως παραπεμπόμενος, ὡς εὐεργέτας τοὺς ἐπιβουλεύοντας ἔχει.

Cap. X. *Pœnæ sunt argumenta virtutis. Manetis blasphemiæ in Dei providentiam.*

Alia etiam ratione apud homines necessarium est permitti a Deo tormenta et cruciatus, ut magis spectata ac probata sit libera virtutis susceptio, si neque mortem oppetere reformidet. Jam cum improbos et avaritiæ deditos viderimus aliquando imperium tenere, et ad magistratus eligi ; scire oportet permitti hoc providentia ac gubernatione Dei : cum enim qui sunt sub imperio peccatis abundant, justum supplicium est iniquitas eorum qui imperio præsunt, qui ulciscuntur quæ faciunt, et puniunt quæ committunt : ut maxime pateat non contingere ut peccatum impunitum sit. Rectus quidem videri potest judex, quia ne quid mali committat, eos qui committunt punit. Sin autem is qui judicat incipit ea admittere quæ in aliis vindicat, et punit, et quidem impensius, ut suadeat, se nihil mali agere; plane apparet jus firmum et valde horribile esse incidere in hujusmodi magistratus ad sustinendas pœnas propter improbitatem morum. Feruntur autem in Scripturis hujusmodi sententiæ divinæ manifestæ contra eos qui delinquunt.

Manichæus tamen amentissimus, ut dogma nequitiæ ingenitæ et blasphemiæ in Deum apud eum firmum esset, nullam partem gubernationis Dei

Καὶ ἄλλως ἐν ἀνθρώποις ἀναγκαία τῆς βασάνου ἡ παρὰ τοῦ Θεοῦ συγχώρησις, ὡς ἂν δοκιμωτέρα τυγχάνοι ἡ αἵρεσις τῆς ἀρετῆς, εἰ μηδὲ θάνατον εὐλαβοῖτο. Πονηροὺς δὲ καὶ πλεονεκτικοὺς ὅταν ἴδωμεν ἔστιν ὅτε κρατοῦντας, καὶ τὰς ἀρχὰς πιστευομένους· ἰστέον, ὅτι συγχώρησίς ἐστι καὶ τοῦτο τῆς οἰκονομίας τοῦ Θεοῦ· ἐπειδὰν γὰρ τὰ τῆς ἁμαρτίας πλεονάζῃ τῶν ἀρχομένων, κόλασις ἂν γένοιτο δικαία τῶν ἀρχόντων ἡ ἀδικία, τιμωρουμένων ἃ πράττουσι, καὶ κολαζόντων ἃ ποιοῦσιν· ὡς ἂν γένοιτο μάλιστα δῆλον, ὅτι παρανομία ἀτιμώρητος οὐκ εἴη. Ὀρθότης μὲν δικαστοῦ δόξειεν ἄν, ἐπειδή τι μὴ πράττει κακὸν, τοὺς ποιοῦντας κολάζειν. Εἰ δ' αὐτοὺς ὁ δικάζων, τῶν γε τοιούτων ἀπαρχόμενος, τοὺς τὰ αὐτὰ μετιόντας κολάζει, καὶ μάλιστα δαψιλέστερον, ὡς ἂν πείθοι μηδὲν αὐτὸς φαῦλον διαπράττεσθαι· ἄντικρυς κρατοῦν καὶ λίαν φοβερὸν ἀναφαίνεται τὸ δίκαιον πρὸς τὸ δίκην ὑπομένειν τοὺς διὰ σκαιότητα τρόπων τοιούτοις ἄρχουσι δικαίως περιπίπτοντας· ἀποφάσεις γὰρ καὶ τοιαῦται σαφεῖς παρὰ Θεοῦ κατὰ τῶν ἁμαρτανόντων ἐν Γραφαῖς ταῖς ἁγίαις γεγένηνται.

Ὁ μέντοι χαλεπώτατα Μανες, ἵνα παρ' αὐτῷ κρατήσῃ τὸ δόγμα τῆς ἀγεννήτου κακίας καὶ τῆς κατὰ Θεοῦ βλασφημίας, οὐδὲν ἀσυκοφάντητον κατα-

Digitized by Google

λέλοιπε τῆς τοῦ Θεοῦ διοικήσεως. Πολλάκις δὲ ἔστιν ἰδεῖν καὶ δικαίους ἡμαρτηκότας ὑπὸ ἀσεβεῖς γενομένους· ὥσπερ εὐγενῆ παῖδα πατρὶ μὴ πειθόμενον, διὰ ξένου τυπτόμενον, ἵνα μετὰ τῆς ἀλγηδόνος τῶν πληγῶν, καὶ ἡ ἀτιμία τοῦ διακονουμένου μεταβάλῃ τὸν πλημμελοῦντα· ἔνγάρ τι καὶ μόνον, ἔφαμεν, καὶ ἀληθές ἐστιν, ὡς ὁ πρὸς Θεοῦ γενόμενος ἄνθρωπος ἀπαιτεῖται κατὰ τὸν βίον τὸ συνέσει λογισμοῦ κατορθῶσαι τὸ κατὰ μηδὲν ἀδικεῖν τὴν ἀρετήν· ᾧ δή τις προσέχων καὶ μόνῳ (30*), [μακαριώτατος ἂν γένοιτο, κἂν] μηδὲν ἕτερόν τι κατὰ τὸν βίον ἔχῃ. Τοῦτο τοίνυν εἰδι' ὅλου τοῦ περὶ Προνοίας λόγου μνημονεύοιτο, οὐδὲν ἂν ὑποπτεύοιτο πρὸς ἀνισότητα καὶ ἀταξίαν τῶν πρὸς Θεοῦ διεικουμένων· εἰ μὲν γὰρ εὕροι τις ἄν, ὡς ἄλλῳ μὲν ἀνεῖται τῆς εὐσεβοῦς ἀρετῆς ἡ πορεία, ἄλλῳ δὲ ἀποκέκλεισται, ἐνταῦθα πρὸς τὸ νῦν κεφάλαιον τῶν ἀγαθῶν καὶ ἡ ἀνισότης διαβολὴν ἂν ἔχειν ἔδοξε τῆς διοικήσεως· εἰ δὲ δι' οὗ καὶ μόνου γένοιτ' ἄν τις ὡς ἀληθῶς μακάριος, τοῦτο κοινὸν ἐπίσης πρὸς ἐξουσίαν τοῖς ἅπασι πρόκειται· ποίαν διαφορὰν εἴποι γε (31) ἄν τις, κἂν ᾖ φιλαίτιος, ἡ ἀνισότητα, ὁπότετῶν ἐκτὸς αἱ πλεονεξίαι αὖθις πρὸς ἰσότητα τοῖς λογισμοῖς ἀνακλῶνται; ὡς οὐκ ἔλαττον μὲν ἡ καὶ μᾶλλον ἡδομένου τοῦ πένητος οἷς προσφέρεται τροφίοις τοῦ πλησίου.

A prætermisit, quin eam culumniaretur. Videmus sæpe justos qui deliquerunt sub ditione et potestate impiorum esse, ut sic castigentur, sicut cum generosus filius, qui patri non paret, a peregrino et hospite verberatur, ut dolor plagarum et ignominia verbera adhibentis delinquentem mutent: unum enim est ac solum et verum, ut diximus, quod Deus ab homine in vita requirit, ut efficiat sapienti cogitatione, ne virtutem ulla ex parte offendat: quod quidem si attendat vel solum hoc, beatissimus sit, quamvis nihil aliud in vita habeat. Hoc igitur si in universo sermone de Providentia commemoretur, nulla suspicio relinquetur de inæqualitate et perturbatione ordinis in iis quæ a Deo gubernantur. Si quis enim reperire, posset B quod aliis laxata esset vita virtutis piæ et sanctæ, aliis vero clausa; videretur contra hoc caput bonorum esse in inæqualitate accusatio gubernationis. Sin vero id quo solo potest quis vere beatus esse omnibus æque communiter propositum est, ut possit esse compos ejus; quam oppressionem aut inæqualitatem poterit quis objicere quamlibet accusandi cupidus? Quandoquidem habere plus bonorum externorum rursus rationibus ad æqualitatem revocatur, ut non minus vel etiam magis delectetur pauper iis cibis qui ei adhibentur quam dives.

Καὶ τὰ περὶ σκέπην δὲ ὁμοίως ἔχει, κἂν ἧττον ὑπάρχει τίμια, καὶ τύπος αἰσθήσεως τὰ συνήθως παρακείμενα, ὡς μηδένα τοῦ πλείονος ἐπαισθάνεσθαι, διὰ τῆς συνηθείας τῆς αἰσθήσεως ἀμαυρουμένης· μηδὲ C ἄλλον τοῦ ἐλάττονος, καὶ τοῦτον διὰ συνηθείας τὸ ἐνδέον πρὸς τὴν αἴσθησιν μὴ ἄγοντα. Αὐτίκα βάρβαροι γυμνοὶ τό γε πλέον τοῦ σώματος διάγοντες, καὶ ἄστρωτοι καθεύδοντες, καὶ λυπροῖς αἰδέσμασι διαιτώμενοι, οὐκ ἠνέσχοντο πώποτε καταλιπεῖν τὴν φίλην δίαιταν, ὡς διὰ τῆς συνηθείας τὸ ἐνδέον αὐτῶν μηδὲν καθορῶντες, μᾶλλον δὲ ταύτην μηδ' ἀπολιπεῖν οἷοί τε ὄντες· ἢ θᾶττον μὲν ἂν καὶ τὸ ὑγιαίνειν κατωλίποιεν, θᾶττον δ' ἂν καὶ τὸ πρὸς κρυμοὺς καὶ ἡλιακὴν φλόγα καρτερεῖν ἀποκτήσαιντο.

Similiter evenit in iis quæ ad tegumentum corporis pertinent: quamvis viliora sint, sensum informant quæ ei consueverunt apponi, ut nemo quod plus est sentiat, sensu consuetudine hebetato; nec alius quod minus est quia propter consuetudinem non percipit sensu quod deest. Hinc continuo fit ut Barbari, quod majus est, nudo corpore vitam degentes, et sine stragula veste cubantes, et asperis indumentis utentes, nunquam paterentur ut relinquerent rationem vivendi gratam, ut qui propter consuetudinem quid eis desit non intelligunt, imo qui non possunt hanc relinquere, et potius ac libentius desinerent recte valere, et mallent frigora et ardorem solis tolerare.

Cap. XI. *Communio bonorum et malorum. Bella cur Deus permittit.*

Καὶ πρός γε τὸ ζῆν οὐδεὶς οὐδενὸς πλέον ἔχει κατὰ τὸν βίον· κοιναὶ μὲν γὰρ πᾶσιν αἱ φυσικαὶ διαναπαύσεις ἀνακλίσεών τε καὶ ὕπνων, κοιναὶ δὲ τροφαὶ καὶ ἀπολαύσεις, εἴ τις τὸ μὲν διάφορον συνετῶς παρέλθοι, τὴν δὲ χρῆσιν τῇ αἰσθήσει δοκιμάζοι· κοιναὶ δὲ οὐκ ἔλαττον ἀκριβῶς καὶ αἱ λύπαι ψυχῶν τε καὶ σωμάτων· καὶ μᾶλλον εὐρεθείη τις ἂν τούτων ὑπερβολὴ παρὰ τοῖς πλέον κατὰ τὸν βίον ἔχειν δοκοῦσιν. Ὥστε καὶ τούτων κατὰ τὸ ἀληθὲς οὕτως ἐχόντων, ποῦ ἂν εἴη τὸ ἄνισον τῆς τοῦ Θεοῦ διοικήσεως, ποικιλίαν, οὐκ ἀνισότητα τοῖς καθ' ἡμᾶς ἀντιθέντος; ἕτερον γὰρ τυγχάνει ποικιλία σοφίας ἐν κόσμῳ διαπρέπουσα, καὶ ἕτερον ἀταξία διοικήσεως. Εἰ δέ τις εὕροι ἂν τοὺς μὲν ἀπαθεῖς φύσει τῶν ἀνθρώπων,

D Atque ad vitam degendam, ac jucunde quidem degendam, nemo plus quam alius habet in vita. Communia sunt omnibus, quibus natura recreamur, accubationes et epulares somni; communia alimenta, et eorum fructus ac jucunditates, si quis prudenter præstantiam quidem eorum prætereat, usum vero sensu experiatur et probet. Communes item sunt non minus exacte animarum et corporum dolores; atque in his quidem magis reperietur exsuperantia apud eos qui in vita plus habere videntur. Quare cum hæc ita sint, ubi erit inæqualitas in gubernatione Dei, qui varietatem, non inæqualitatem in rebus nostris posuit? aliud enim est varietas sapientiæ quæ in mundo decorem habet;

(30*) *Μόνῳ.* Post hanc vocem nonnulla deesse videntur. (Quæ nos supplendo, uncis inclusimus.)

(31) *Εἴποι γε.* Vulg. ἔποιεν. Edit.

Digitized by Google

aliud perturbatio ordinis in gubernatione. Si quis reperire posset alios quidem homines natura ab affectionibus animæ et corporis liberos, alios vero non liberos; rursus alios sine cibo viventes, alios cibo alentes vitam; aut alios qui nequitiam suscipere non possent, alios qui possent; item alios mortales, alios immortales: recte iste inæqualitatem gubernationis reprehenderet, et turbationem ordinis, quasi magis sortitione quam ratione res nostras Deus procuraret. Sed, si idem modus in ortu omnium, una et eadem naturæ educatio; et eorum quæ necessaria sunt, sine quibus vita degi non potest, communis est omnibus ex æquo suppeditatio; finis autem omnium unus et solus: cum appareat summa æqualitas in omnibus, vel cæcus prorsus est, qui Dei providentiam tanquam non ordinatam accusat, vel oculis malevolis et inimicis res aspicit, et ob eam causam non est dignus fide. Etenim, si perturbatio ordinis in varietate inest, decorum varietatis, quod sapientem artificem magnopere decet, reprehendit iste. Pergat etiam improbare varietatem colorum, et diversitatem ac differentiam ciborum ac potionum, quæ mirabiliter

Hinc profecti sunt miserrimi homines, qui ad defendendum fatum videntur sibi confirmare malum inæqualitatis, duobus principiis introductis: ostensum tamen est prudentibus nullam in rebus nostris inæqualitatem esse.

Quia vero bella etiam assignant, et attribuunt nequitiæ, quomodo varia fata, ipsorum opinione, multorum aliquando millium in unum tempus, imo in unam horam incidunt? an unum fatum conciliat hos et copulat inter se? annon est ridiculum existimare hoc? Ex quo fit ut inæqualitas fati, quæ est gravis morbus errantium, locum in rebus non habeat. Bella autem principium sumunt ex avaritia; geruntur autem permissu Dei: malum enim horum est ipsa causa, id est cupiditas, quæ avaritiam parit: quod quidem malum ab hominibus non a Deo proficiscitur, ut in iis quæ prius dicta sunt patefactum est.

τοὺς δὲ ἐμπαθεῖς καθ' ἑκάτερον ψυχήν τε καὶ σῶμα· καὶ τοὺς μὲν ἄνευ τροφῆς (31*)· ἢ τοὺς μὲν ἀνεπιδέκτους κακίας, τοὺς δὲ δεκτικούς· ἔτι μὴν τοὺς μὲν θνητοὺς, τοὺς δὲ ἀθανάτους· καλῶς ἂν ὁ τοιοῦτος ἀταξίαν τε καὶ ἀνισότητα κατείποι τῆς διοικήσεως, ὡς ἀποκληρώσει τινὶ μᾶλλον ἢ λόγῳ τοῦ Θεοῦ τὰ καθ' ἡμᾶς διοικοῦντος. Εἰ δὲ τρόπος μὲν ὁ αὐτὸς τοῖς πᾶσι γενέσεως, μία δὲ καὶ ἡ αὐτὴ τῆς φύσεως ἡ ἀνατροφὴ, τῶν δὲ ἀναγκαίων, ὧν ἄνευ συστῆναι ἀδύνατον, κοινὴ τοῖς ἅπασιν ἐπίσης ἡ χορηγία, τέλος δὲ τῶν ἁπάντων ἓν καὶ μόνον· τῆς ἰσότητος πρὸς ἄκραν ἀκρίβειαν ἐν ἅπασι φαινομένης, ἡ τυφλὸς παντελῶς ὁ διαβάλλων εἰς ἀταξίαν τοῦ Θεοῦ τὴν πρόνοιαν, ἢ ἐχθροῖς ὄμμασι καθορῶν τὰ πράγματα, ἥκιστα πιστεύεται δίκαιος. Εἰ γὰρ ἡ διαφορὰ τὴν ἀταξίαν ἔχει, τὸ κόσμιον τῆς ποικιλίας, τεχνίτῃ γε πανσόφῳ λίαν ἁρμόττον, ὁ τοιοῦτος διαβάλλει. Καὶ προϊὼν κακιζέτω καὶ τὸ ποικίλον τῶν χρωμάτων, καὶ τῶν ἐδεσμάτων καὶ πομάτων τὸ διάφορον· ἅπερ ἀναλαμβάνει γε θαυμασίως τὰς αἰσθήσεις τῶν προσφερομένων.

Ἐντεῦθεν ἐξῆλθον οἱ λίαν ἀθλιώτατοι, πρὸς εἱμαρμένην τὸ ἄτοπον τῆς ἀνισότητος διὰ ταῖν δυοῖν ἀρχαῖν βεβαιοῦν δοκοῦντες· ἀλλὰ δέδεικται μὲν τοῖς ἔμφροσιν, ὡς οὐδεμία τις ἀνισότης ἐνεστιν ἐν τοῖς καθ' ἡμᾶς.

Ἐπειδὴ δὲ καὶ τοὺς πολέμους τῇ κακίᾳ προσνέμουσι, τίνα τρόπον εἱμαρμέναι διάφοροι κατ' αὐτοὺς, πολλῶν ἔστιν ὅτε χιλιάδων ὑφ' ἕνα καιρὸν, μᾶλλον δὲ ὑπὸ μίαν ὥραν πιπτουσῶν; ἆρα μία τις εἱμαρμένη συνάπτει τούτους ὑφ' ἑαυτῇ; καὶ πῶς οὐ πάντη τοῦτό γε ὑπολαμβάνειν γελοιότατον; Ὅθεν τὸ μὲν ἄνισον τῆς εἱμαρμένης, τὸ χαλεπὸν τῶν πεπλανημένων νόσημα, χώραν ἐν τοῖς πράγμασιν οὐκ ἔχει· πόλεμοι δὲ τὴν μὲν ἀρχὴν ἐκ πλεονεξίας λαμβάνουσι, τὴν δὲ ἐνέργειαν πρὸς Θεοῦ συγχωρουμένην ἔχουσι· κακὸν μὲν γὰρ τούτων ἡ ἀφορμὴ, λέγω δὴ τῆς πλεονεξίας ἡ ἐπιθυμία· ὅπερ ἀνθρώπων, ἀλλ' οὐχὶ Θεοῦ πλημμέλημα, τοῖς ἔμπροσθεν δέδεικται.

Cap. XII. *Mors non mala. Cur vero timetur. Justorum et impiorum mortis finis, qualis.*

Mors naturæ est non mala. Ortus et mors natura sunt a Deo sancita; non quidem ut pereant qui moriuntur, sed ut apponantur iis qui sunt. Non enim esset Boni solis hominibus qui sunt largiri ut sint et nati sint, sed etiam eos qui non sunt creando adjungere ad eos qui sunt: ut qui sunt nati, cursu vitæ satis emenso, ut a cursu requiescant, mortem accipiant non quæ eos ad pereundum ducat, sed quæ alio singulos pro dignitate transferat, et qui non sunt, aditum habeant ad capiendum ortum. Mors igitur lege naturæ sancita non est mala, quocunque modo accidat: nec enim inquirendum est de variis casibus propter quos accidit. Unus modus communis omnibus co-

Θάνατος δὲ τῆς φύσεως οὐ κακός· γένεσις γὰρ καὶ θάνατος πρὸς Θεοῦ φύσει νενομοθέτηται· οὐ τῶν γε τελευτώντων ἀπολλυμένων, ἀλλὰ τῶν γινομένων τοῖς οὖσι προστιθεμένων. Ἀγαθοῦ (32) γὰρ οὐκ ἂν εἴη τὸ μόνοις τοῖς οὖσιν ἀνθρώποις τὸ εἶναί τε καὶ γεγονέναι δωρεῖσθαι, ἀλλὰ καὶ τοὺς μὴ ὄντας προκατασκευάζειν τοῖς οὖσιν· ὡς ἂν οἵ τε γενόμενοι, διαδραμόντες αὐτάρκως τοῦ βίου τὸ στάδιον, ἀντὶ ἀναπαύσεως τοῦ δρόμου τὸν θάνατον λάβωσιν, οὐκ εἰς ἀπώλειαν αὐτοὺς ἄγοντα, ἀλλ' ἑτέρωσε κατὰ τὴν ἀξίαν ἑκάστου μετάγοντα· οἵ τε μὴ ὄντες πάροδον εἰς τὸ γενέσθαι λάβωσιν. Οὐκοῦν θάνατος ὁ τῇ φύσει νενομοθετημένος οὐ πονηρὸς, κἂν ὁπωσοῦν ἔπιοι· οὐδὲ γὰρ τὸ διάφορον τῶν περιστάσεων, δι' ὧν ἔπε-

(31*) Ἄνευ τροφῆς. [Deest hic aliquid ut fiat oppositio inter bonum et malum, ciborum penuriam et abundantiam; ideo reponendum credo, τοὺς δὲ μετὰ τροφῆς, *illos vero qui cibis fruuntur.* Basn.

(32) Ἀγαθοῦ. *Boni*, hoc est, *Dei.* Turr. — Sic sæpe alibi.

Digitized by Google

σιν, ἐξεταστέον. Ἕνα δὲ τρόπον κοινὸν τοῖς πᾶσιν ὄντα γνωστέον, λέγω δὴ τὸ μὴ δίχα περιστάσεώς τινος καὶ ἀνάγκης ἀναχωρεῖν ψυχὴν ἀπὸ σώματος, ἀλλὰ παραμένειν ἕως ἂν τὸ φυσικὸν αὐτῆς καταγώγιον ἀκαθαίρετον διαμένοι· τούτῳ μέντοι τῷ φυσικῷ καὶ κοινῷ συνυπάρχει τι δέος, ὅπερ εἰς τιμωρίας ὑποψίαν ἀναγκαίως παρείληπται, οὐ μέντοι ἐν τοῖς πᾶσιν, ἀλλ' οἷς γε ἡ διάνοια πρόχειρος εἰς ἁμαρτίαν, πρὸς ἀνατροπὴν ταύτης. Ὁ μὲν γὰρ ἔμφρων κατ' ἀρετὴν, ἄραγε τοῦ πλημμελεῖν, καὶ τοῦ οἴεσθαι μοχθηρὸν εἶναι τὸν θάνατον ἀπῆλλακται· ὁ δὲ φιλαμαρτήμων, ἀπὸ μὲν τῆς αὐτῆς ἀνοίας ἀφ' ἧσπερ καὶ πλημμελεῖ, τὸν θάνατον εὐλαβεῖται. Ἀναγκαῖον μέντοι τῆς ἀνοίας ἔχει τὸ τοιοῦτον παρακολούθημα, ἵνα τὸ ἀδεὲς δεδιὼς, ὃ προσῆκεν ἀληθῶς δεδιέναι, λέγω δὴ τῆς ἁμαρτίας διαφύγῃ τὴν βλάβην. Ἐπειδὰν οὖν πλεονάσῃ παρ' ἔθνεσι τὰ τῆς ἁμαρτίας, ἧς γε τυγχάνει ἓν εἶδος τὸ τῆς ἀπληστίας, ἑαυτοῖς παραίτια γίγνεται τῆς κατὰ τὸ φαινόμενον τιμωρίας, ἥτις κατὰ μὲν τὸ ἀληθὲς ὡς οὐκ ἂν εἴη τιμωρία λέλεκται, φύσει κοινῇ κατὰ πάντων ὡρισμένη· εὐεργετεῖ δὲ τούς τε πίπτοντας ἐν πολέμῳ καὶ τοὺς διασωζομένους, τοῖς μὲν ἁμαρτίας τέλος παρέχουσα, τοῖς δὲ ὑπόδειγμα δέους ἐμποιοῦσα· εὐεργετεῖ δὲ, κἂν δίκαιοι τῷ πλήθει συναπέλθωσιν· ὡς γὰρ τοῖς ἀδίκοις τέλος τῆς ἀδικίας ὁ θάνατος, οὕτω δὲ καὶ δικαίοις ὡς νικηταῖς τρόπον τινὰ στεφάνων ἀρχή

A gnoscendus est, qui est discessus animæ a corpore, non sine casu quodam et necessitate, sed exspectandum est, quandiu domicilium naturale durat et non dissolvitur: cum hoc tamen naturali domicilio et communi simul inest quidam metus, qui quidem necessario de suspecto supplicio suscipitur; non tamen ab omnibus, sed ab iis quibus mens est prompta et facilis ad peccatum; ad hujus enim aversionem metus ille suscipitur. Qui enim degit ex virtute, is quidem peccare desivit, et non opinatur duram esse mortem. Qui vero deditus est peccatis, eadem imprudentia qua peccat, mortem timet. Necessarium tamen est ut hanc imprudentiam hic metus consequatur, ut qui timebat id in quo non erat timor, vere timeat quod timere oportet, damnum, inquam, ex peccato. Quia igitur gentes peccatis redundant, quorum species una est insatiabilem esse, ipsæ sunt sibi causa supplicii, id est mortis; quod quidem dictum est non esse vere supplicium, quod natura est omnibus definitum, beneficio autem afficit eos qui in bello cadunt, et eos qui evadunt incolumes: illis quidem finem peccandi affert, his vero exemplum timoris proponit. Afficit autem beneficio, licet justi cum multitudine vulgi a vita recedant; sicut enim injustis mors est finis injustitiæ, sic justis tanquam victoribus quodammodo est initium coronarum.

Ὥστε θαυμάσιον διὰ τῆς πανσόφου προνοίας τοῦ Θεοῦ συμβαίνει· τὸ γὰρ δοκοῦν κολάζειν, εὐεργετεῖ· καὶ οὐδὲ δι' ὧν αὐτὸς ἀντικρυς κατασκευάζει ἀνιαρῶν εἶναι δοκούντων, ἀλλὰ δι' ὧν ἀνθρώποις αὐτομολοῦσι συγχωρεῖ· ὥστε πόλεμος οὐκ ἔργον Θεοῦ, ἀλλὰ συγχώρησις ἀναγκαία εἰς μὲν ὑποψίαν τιμωρίας κατὰ τῆς ἁμαρτίας, κατὰ δὲ τὸ ἀληθὲς, εἰς τέλος αὐτῆς· ἔνθα κἂν δίκαιος πέσῃ, δίκαιον δὲ πολεμεῖν ἀπεικὸς, μειζόνως εὐεργετεῖται· μεῖζον γὰρ τοῦ παυθῆναι κακίας τὸ καρπῶν ἀπολαῦσαι τῶν τῆς ἀρετῆς πόνων, ὅπερ εὐσεβέσι μετὰ θάνατον ὑπάρχει. Οἱ δὲ πρὸς ταῦτα διαμαχόμενοι, πρὶν τὸ καθόλου διελέγξαι κακὸν, τὸ μέρος διαβάλλουσιν· εἰ γὰρ ὡς ἀπὸ κακίας ὑφεστηκυίας, καὶ ἀρχῆς ἀνάρχου, τοὺς πολέμους ἡμῖν κατακομίζουσιν, αὐτόν γε τὸν θάνατον καὶ μόνον κακίσαι προσῆκον ἦν αὐτοῖς· περιττὸν γὰρ τὰς προφάσεις ἐξετάζειν, τοῦ ἀναγκαίως συμβαίνοντος ἀκρίτου μένοντος.

Unde hoc per providentiam Dei sapientissimam admirabile evenit, ut quod videtur punire, beneficium fiat. Non dico videri punire per ea quæ Deus haud dubie facit, quæ acerba et aspera videntur, sed per ea quæ hominibus transfugis permittit; quamobrem bellum istorum non est opus Dei, sed permissio necessaria. In speciem quidem ad puniendum peccatum, vere autem ad imponendum finem peccato; ubi quamvis justus cadat (justum autem bellare non decet), majus beneficium accipit; majus enim est percipere fructum laborum virtutis, quod piis post mortem contingit, quam desinere peccare. Qui autem contra hæc disceptant, priusquam probent bellum esse ex omni parte malum, partem ejus accusant. Si enim bellorum originem ex nequitia per se exsistente et ex principio ingenito duci dicunt, oportebat eos ipsam mortem, et quidem solam vituperare: supervacaneum enim est causas bellorum excutere et inquirere, cum quod necessario accidit, in id judicium non cadat.

Cap. XIII. *Mortem malam non esse, iterum confirmatur.*

Πῶς δ' ἂν τὸν θάνατον κακίσαι δυνηθεῖεν, ἀπολύοντά γε τῆς ὕλης, κατὰ τὸν λόγον τοῦ ἀπατεῶνος, τὴν ψυχήν; Ὥστε κατὰ μὲν τὴν κοινὴν δόξαν ἥκιστά γε θάνατος κακόν· τὸ γὰρ ἀναγκαίως τοῖς πᾶσι συμβαῖνον οὐ κακόν· μάτην αὐτὸν διὰ τοὺς πολέμους διαβάλλουσιν, οὐδὲν πλέον ἐπάγοντα τῶν κατὰ φύσιν ἀποκειμένων. Εἰ δέ τις τὴν πρόφασιν αὐτὴν τῶν πολέμων κακίζοι, εἴτ' οὖν ὀργὴν, εἴτ' ἔχθραν, εἴτε καὶ πλεονεξίαν, οὐκ ἂν διαμαρτάνοι τοῦ πρέποντος· ἀν-

Quomodo autem possunt mortem malam dicere, quæ, ut Manichæus fallaciter tradit, animam a materia liberat? Quare communi omnium sententia nequaquam malum est mors: quod enim necessario omnibus accidit, non est malum. Inaniter autem mortem, quæ propter bella accidit, accusant; quæ nihil amplius affert quam quod secundum naturam constitutum est. Si quis vero ipsam causam bellorum malam esse dicat, sive ira sit, sive inimi-

Digitized by Google

citia, sive avaritia, non aberravit a recto et decenti. Tribuendum tamen est hoc hominibus pravo animo affectis.

Quod autem mors mala minime sit, illa etiam ratione et via probari potest. Si enim mors non omnibus definita et decreta esset, accideret ut justus semper laboraret in stadio virtutis nullum fructum percipiens præter sudores, et injustus in voluptatibus peccatorum immortalis degeret; essetque utrumque valde absurdum. At mors injustam voluptatem delinquenti reprimit et cohibet; et justo labori quietem affert. Etenim quia necessarium est homines posse peccare, id quod est causa ut possint ex virtute vivere; potestas autem a Deo data ad comparandam virtutem apud majorem partem hominum ad facilitatem peccati declinat, ut admirabilior sit virtus difficultati admista, utilis est utrisque mors, justo et injusto; illi quidem quietem a laboribus affert, huic vero peccatorum finem.

Si igitur mors bona est, et non solum non mala, ut ostensum est, et non solvit animam, ut Manichæus opinatur, a materia quæ non est, sed eo modo quem diximus; quare principium nequitiæ in bellis excogitabimus, et non potius solum injustum animum ac voluntatem accusabimus? Quod enim inde evenit, quod quidem providentiæ Dei assignabitur, justum; non ex bello solum, sed quocunque modo mors accidat, universe bonum esse natura, in superioribus conclusum et confectum est. Quare bellum est accusandum, non mors quæ inde accidit, quæ utiliter constituta est, sed animus ac propositum non juste bello utentium, cujus non est auctor qui res nostras procurat.

A θρώποις μέντοι λογιστέον τοῦτό γε, μοχθηρίᾳ προθέσεως οὕτω διατεθειμένοις.

Ὅτι δὲ ὁ θάνατος ἥκιστα κακὸς, δειχθείη μάλιστα ἂν ἐκείνως· εἰ γὰρ μὴ κοτὰ πάντων ὥριστο, ὅ τε δίκαιος διὰ παντὸς ἂν ἐπόνει πρὸς ἀρετὴν, οὐδὲν πλέον τῶν ἱδρώτων καρπούμενος, ὅ τε ἄδικος ἐν ἡδοναῖς ἂν τῶν ἁμαρτημάτων ἀθάνατος διῆγε· καὶ ἦν ἂν ἑκάτερον λίαν ἄτοπον. Ὁ δὲ θάνατος καὶ τὴν ἄδικον ἡδονὴν τῷ πλημμελοῦντι καταστέλλει, καὶ τὸν δίκαιον πόνον τῷ δικαιοπραγοῦντι καταπαύσει· ἐπειδὴ γὰρ ἀναγκαῖον ἀνθρώποις τὸ δύνασθαι ἁμαρτάνειν, αἴτιον ὂν τοῦ δύνασθαι κατορθοῦν· ἡ δὲ ἐξουσία παρὰ Θεοῦ δοθεῖσα πρὸς τὴν καλοῦ κἀγαθοῦ κτῆσιν παρὰ τοῖς πλείοσι πρὸς τὸ εὔκολον τῆς ἁμαρτίας ἀποκλίνει· ὡς θαυμασιωτέραν B εἶναι τὴν ἀρετὴν δυσχερείᾳ συγκεκραμένην, ὠφελιμός γε ὁ θάνατος ἑκατέροις, δικαίῳ τε καὶ ἀδίκῳ· τῷ μὲν ἀνάπαυλαν τῶν πόνων, τῷ δὲ τέλος τῶν ἁμαρτημάτων παρέχων.

Ἀγαθοῦ τοίνυν εὑρισκομένου, οὐχὶ μόνον μὴ κακοῦ τοῦ θανάτου, οὐ κατὰ τὸν Μάνεντος λόγον, ὡς ἀπολύοντος τῆς μὴ οὔσης ὕλης τὴν ψυχὴν, ἀλλὰ τὸν εἰρημένον τρόπον, τοῦ τίνος χάριν ἀρχὴν κακίας ἐπινοήσαιμεν ἂν τοῖς πολέμοις, οὐχὶ δὲ μόνον τὴν ἄδικον πρόθεσιν τῶν χρωμένων διαβαλοῦμεν; Τὸ γὰρ ἀποβαῖνον, ὅπερ ἄν τις λογίσαιτο τῇ προνοίᾳ τοῦ Θεοῦ, δίκαιον, οὐκ ἐκ πολέμου μόνον, ἀλλὰ κατὰ πάντα τρόπον καθόλου τῇ φύσει ἀγαθὸν, οὐ μόνον οὐ κακὸν τοῖς ἔμπροσθεν ἀπεδείχθη. Ὥστε τὸν πόλεμον διαβλη- C τέον, οὐ τὸν ἀποβαίνοντα θάνατον συμφερόντως κείμενον, ἀλλὰ τῶν χρωμένων, καὶ μάλιστα μὴ δικαίως τὴν πρόθεσιν, ἧς ὅγε προνοῶν τῶν καθ' ἡμᾶς ἀναίτιος.

Cap. XIV. *Sterilitas, fames, terræ motus, an a Deo. Mala hominibus utilia.*

Rursus est aliud genus eorum quæ Manichæus dementissimus accusat, terræ motum dico, pestem, famem ex sterilitate, ex locustis et aliis hujusmodi, tanquam a principio contrario hæc proficiscantur: sciunt vero omnes, solere plerumque omnes homines, paucis exceptis, in rebus lætis et prosperis laxare mentes, et affectionibus succumbere, nullamque virtutis et laborum pietatis memoriam habere: atque hoc quidem quodammodo consentanee accidit. Postquam enim satietas ciborum et potionum D immoderata propter magnam ubertatem hominibus incidit, ventre pinguiore facto, crassitudo mentis et remissio cogitationis accedit: anima autem gravata subjicitur affectibus a ratione alienis. Si qua vero calamitas ex iis quas numeravimus accidat, minus curant ventrem homines, minusque voluptatibus inserviunt: temperantiam autem et pietatem pro virili consectantur, et, quoad fieri potest, meliores mores induunt, pressi magis quam secundis rebus lætificati. Quæ igitur nequitiæ attribuemus opinione Manichæi? illane quæ sensui quidem acerba sunt, effectu vero valde utilia? Quæ rursus

Αὖθις ἕτερον εἶδος, ὧν ὁ χαλεπώτατα Μανεὶς αἰτιᾶται, σεισμὸν, καὶ λοιμὸν, καὶ λιμὸν, ἀφορῶν τε καὶ ἀκρίδων, καὶ τῶν τοιούτων, ὡς ἐξ ἐναντίας ἀρχῆς καὶ τοῦτο γινόμενον· δῆλον δὲ τοῖς ἅπασιν, ὡς ἐν μὲν ταῖς λίαν εὐθυμίαις τε καὶ εὐπραγίαις εἰώθασιν ὡς ἐπὶ τὸ πολὺ, πλὴν ὀλίγων, πάντες ἄνθρωποι διαχαυνοῦσθαι τὴν διάνοιαν, καὶ τοῖς πάθεσιν ὑποκατακλίνεσθαι, καὶ μνήμην ἀρετῆς τε καὶ πόνων εὐσεβείας οὐδεμίαν ἔχειν· καὶ τοῦτό γε εἰκότως τρόπον τινὰ συμβαίνει. Ἐπειδὰν γὰρ πλησμονὴ σιτίων τε καὶ ποτῶν ἄμετρος διὰ πολλὴν εὐπορίαν ἀνθρώποις ἐγγένηται, γαστρὸς ἐπιπλέον πιαινομένης, παχύνεται μὲν ὁ νοῦς, ὑπτιοῦται δὲ ὁ λογισμός· βαρυνομένη δὲ ἡ ψυχὴ, τοῖς ἀλογίστοις πάθεσιν ὑποβάλλεται. Εἰ δέ τις συμβαίη τῶν καταλεγομένων συμφορῶν, ἧττον μὲν γαστρὸς φροντίζουσιν ἄνθρωποι, ἧττον δὲ ταῖς ἡδοναῖς δουλεύουσι, σωφροσύνην τε καὶ εὐσέβειαν, ὅση δύναμις, μεταδιώκουσι· καὶ βελτιοῦνται τὸν τρόπον, ὡς οἷόν τε, πιεζόμενοι μᾶλλον ἢ εὐθηνούμενοι. Ποῖα τοίνυν προσοίσαιμεν τῇ κακίᾳ κατὰ τὸν ἐκείνου λόγον; τὰ τῇ μὲν αἰσθήσει λυπηρὰ, τῇ δὲ ἐνεργείᾳ λίαν ὠφέλιμα; Ποῖα δὲ τῷ ἀγαθῷ; τὰ ἡδέα μὲν, ἔστι δ' ὅτε βλαβερώτατα;

Digitized by Google

(33) καὶ πῶς οὐ δόξει παιδαγωγὸς εἶναι μᾶλλον πρὸς ἀρετὴν ἡ κακία τοῦ ἀγαθοῦ; πολλάκις γὰρ, οὓς μὴ μετέβαλεν ἐπὶ τὸ κρεῖττον εὐθηνία, μετεποίησέ τις προσπεσοῦσα λύπη καὶ συμφορά· δέονται γὰρ ἄνθρωποι καὶ τοιούτων τινῶν ἀναμνήσεων κατὰ καιροὺς, πρὸς τὸ διεγείρεσθαι τὸν νοῦν, καὶ τῆς πλείονος ῥᾳστώνης ἀπαλλάττεσθαι.

Εἰ μὲν γὰρ εὐθηνουμένους ἦν ἰδεῖν αὐτοὺς, τῶν γοῦν μεγάλων ἀδικημάτων ἀπεχομένους, μέτρια δὲ πλημμελοῦντας, ἦν ἄν τις εὔλογος καταδρομὴ, ὡς οὐ κατὰ λόγον καὶ τῶν τοιούτων συμβαινόντων· εἰ δὲ πρὸς τελείαν τοῦ χορηγοῦντος λήθην τὴν διηνεκῆ τῶν ἀναγκαίων ἀφθονίαν λαμβάνουσιν· ἀναγκαῖόν ποτε καὶ τὸ διεγείρεσθαι ταῖς συμφοραῖς εἰς μνήμην Θεοῦ, ᾧγε προσῆκεν ἀδιάλειπτον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ὁμολογεῖν τὴν χάριν. Ὥστε νουθετῶν Θεὸς ἀνθρώπους οἰκονομεῖ τὰ τοιαῦτα, οὐκ ὀργῆς τινος πάθει κατεχόμενος, ἀλλὰ κηδεμονίας καὶ τῆς τῶν δεομένων ἐπιστροφῆς μεταποιούμενος. Οὐδὲ γὰρ φιλανθρωπίας τῆς ἀνωτάτω καὶ ἀκριβοῦς ἂν εἴη τὸ ὑποκορίζεσθαί γε χρηστότητι τὰ ἀνθρώπινα πάθη, καὶ τῷ ἀνεπιπλήκτῳ τὴν αὔξησιν αὐτοῖς ἐπιτρέπειν· τοὐναντίον γὰρ τοῦτο πρὸς ἀπανθρωπίαν ὁρᾷ, εἴγε, βουλόμενος τῆς κατὰ τὸ φαινόμενον μὴ ἐξίστασθαι χρηστότητος, ἐπιβούλως συγχωροίη πρὸς ἔκλυσιν κακίας πάντη καταπίπτειν τοὺς ἀνθρώπους· λέγω δὲ, τὰ χρηστὰ παρέχων, καὶ τὰ νομιζόμενα λυπηρὰ ἀναγκαίως ἐπάγειν· οὐδὲ γὰρ πατὴρ πλημμελοῦντα παῖδα τύπτων ἀπάνθρωπος· τοὐναντίον μὲν οὖν, εἰ μὴ πρὸς ἐπιστρέφειαν ἄγοι τοῦτον, οὐ δόξει φειδὼ πατρικὴν ἐνδείκνυσθαι· οὐδὲ τέμνων καὶ καίων ἰατρὸς ἑλκῶν νομάς· ἀλλ' ὅσῳ τοῦ λόγου τῆς τέχνης μεταποιεῖται, τοσούτῳ φειδόμενος τοῦ κάμνοντος προσάγει τὴν ἀλγηδόνα τῶν αὐστηροτέρων βοηθημάτων, ὡς ἀπολουμένου μὲν πρὸς τῶν ἑλκῶν τοῦ κάμνοντος, εἰ μὴ τοῦτον βοηθηθείη τὸν τρόπον· σωθησομένου δὲ, τομῆς τε καὶ καυτῆρος, εἰ δέοι, προσαγομένων.

A bono? jucunda ne, quæ quandoque nocentissima sunt? sæpe enim, quos prosperitas ad meliorem frugem non mutavit, luctus et calamitas converterunt: indigent enim homines quandoque hujusmodi admonitionibus ad excitandam mentem, et ut a multa mollitudine liberentur.

Si enim videremus secundis rebus florentes, a magnis saltem injuriis abstinere, et parva maleficia committere, posset aliquis cum ratione in hæc invehi, tanquam contra rationem acciderent: sin vero abundare semper necessariis, oblivionem summam largitoris affert istis, necesse est, ut aliquando calamitatibus memoria Dei excitetur; cui oportebat sine intermissione gratias agere pro nostrarum rerum providentia et procuratione. Unde admonens Deus homines, talia dispensat ac gubernat, non perturbationi iræ inserviens, sed curam amplectens eos convertendi, quos opus est convertere. Nec enim excellentissimæ et perfectæ erga homines charitatis esset, humanas ægritudines præ lenitate extenuare, et incrementum eis permittere non increpando: quin potius contra, ad inhumanitatem hoc spectaret, si cum vellet non recedere ab ea lenitate quæ speciem tantum habet, insidiose permitteret in dissolutionem nequitiæ omnino homines decidere. Dico autem lenia præbere ratione, et ea quæ acerba putantur, necessario infligere. Nec enim pater cum filium delinquentem verberat, inhumanus est: contra potius, si hunc ad conversionem non traduceret, paternam providentiam ac misericordiam habere non videretur. Nec enim medicus cum secat et urit ulcus serpens, inhumanus est; imo quanto magis rationem artis adhibet, tanto magis ut ægrotum sanet, dolorem ex severioribus remediis inducit; tanquam interiturus sit æger ab ulceribus, nisi hoc modo auxilietur ei; sanandus vero, sectione et ustione adhibitis.

Cap. XV. *Malorum asperitas hominibus tribuenda, qui malis abutuntur. Manes secum pugnat.*

Ὥστε, κατὰ τὸ ὑπόδειγμα, ἄνθρωποί εἰσιν οἱ τά γε ἀνιαρὰ ποιοῦντες καθ' ἑαυτῶν μᾶλλον ἢ ὁ Θεὸς, οἱ τὴν χρείαν καὶ τοὺς καιροὺς προθέσει γε οἰκείᾳ προκατασκευάζοντες διὰ τῶν οἰκείων παθῶν· ὡς γὰρ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς ποιεῖ τὸν καιρόν τε καὶ τὴν χρείαν, ἀλλὰ τὸ ὑποκείμενον ἕλκος καὶ τὸν ἰατρὸν ἐπείγεται, καὶ τὸν καυτῆρα καλεῖ, οὕτω δὴ καὶ τὰ ἀνθρώπινα πάθη προκαλεῖται τῶν εἰς θεραπείαν συντεινόντων παρὰ Θεοῦ τὴν ἐπιμέλειαν, ἥκιστά γε ἀνεχομένου τῶν ἀνθρώπων, ὡς οἰκείου ἔργου μὴ διὰ παντὸς προνοεῖν· ἐπέτρεψε μὲν γὰρ ἀνθρώποις τῆς ἀρετῆς καὶ τῆς καλοκαγαθίας ἐλευθέριον ἔχειν τὴν αἵρεσιν. Ὑπερείδει μέντοι τὸ πρὸς τὰ πάθη σαθρὸν ἡμῶν δι' ὧν ἐναργῶς ἔστιν ὅτε νουθετεῖ καὶ ἐπιπλήττει· οὔτε διηνεκῶς ἐπάγων τὰ αὐστηρότερα, ἵνα μὴ τῇ ἀνάγκῃ τῆς κατηφείας τὸ ἐλευθέριον ἐκβάλῃ· οὔτε ἄφετον πάντη τὴν ὁρμὴν τῆς ῥᾳστώνης ἡμῖν

Quamobrem, ut hoc exemplum docet, homines potius quam Deus sunt, qui aspera et acerba sibi inferunt, qui usum et opportunitates temporis proposito proprio per affectus suos præparant: sicut enim medicus non facit, ut opus sit urere et tempus urendi, sed ulcus et medicum adducit et ustionem vocat; sic humanæ affectiones Deum accersunt ad ea adhibenda, quæ ad curationem pertinent; qui minime patitur, quin hominibus semper tanquam operi suo provida cura prospiciat. Commisit enim hominibus, ut haberent liberam electionem virtutis ac probitatis. Quod tamen in nobis est infirmum ad affectiones, fulcit ac firmat per ea quæ interdum ad admonendum et increpandum manifesto adhibet; neque perpetuo quæ austeriora et acerbiora sunt, inducens, ut necessitate et vi mœroris libertatem non excludat; neque rursus relin-

(33) *Καὶ πῶς.... ἀγαθοῦ. Et quomodo malum non videbitur esse pædagogus ad virtutem, potius quam bonum?* Hæc fugerunt interpretem.

Digitized by Google

quens nobis appetitum segnitie omnino solutum, ne anticipationes affectionum sine curatione dimittat; utrumque sapientia ineffabili ad utilitatem hominum dispensat et moderatur, qui uniuscujusque tempus opportunum novit.

Statim ut videris terræ motum aut siccitatem aut incursionem locustarum, simul sane omnes fere homines videas ad metum flexos, et ad supplicandum ei qui potest hæc depellere. Si autem ea quæ videri solent jucunda et placida, humanam rationem laxam ac remissam reddunt; molesta vero et acerba excitant, et ad statum magis pium convertunt: an non dicat aliquis, illa quidem pro corporibus, hæc vero pro animis a Deo gubernari? Num igitur quæ animas ad pietatem et virtutem commovent, appellanda sunt mala? etsi enim sensui sufferentium molesta sunt et tristia, ad salutem tamen hominum necessario infliguntur.

Manichæus vero demens semper se secum pugnare ignorat. Etenim si accretio materiæ nocet, quis non sentiat, contra quam dicit, accidere? Augebitur enim hæc contra homines, qui semper in rebus lætis et secundis sunt, et deliciis indulgent, et ventri et voluptatibus infra ventrem deserviunt: minuetur vero vehementer fame, peste, morte, quæ non permittunt proficere eam ad injustitiam accretionis. Quamobrem consentaneum erat, ut hæc potius vocaret bona, convenienter suo fundamento et principio, quam mala: sic enim meliorem rationem viderctur assecutus, quam si rursus ratione referens jucunda ad alia contraria principia, rursus mala vocasset; utraque enim sunt bona ratione a Deo data. At ille gaudens peccato ad constituendam et conflandam nequitiam per se, ut opinatur, consistentem, dolorem capit ex monitionibus Dei efficacibus, quibus meliores facti homines, et sæpenumero aliqui perfecte ad virtutem traducti, dogma ejus falsum esse declarant.

Ad hæc omnia, si non accideret aliquando, ut quæ Deus communiter omnibus hominibus donat et largitur, prohiberentur, largitionem eorum ac suppeditationem ad vim alicujus naturæ immutabilis homines retulissent; neque cum acciperent, gratias largienti egissent; neque habentes, unquam petiissent.

Privantur igitur interdum ad breve tempus, ut petant; et rursus accipiunt, ut gratias agant ei qui dat, agnoscentes ipsum esse qui præbet, et non alia quæpiam natura suppeditans præter Deum, expers judicii et immutabilis. Vult autem Deus, ut ei gratias habeant homines, quo digniores fiant ut dona ejus accipiant, non ut ipse fructum aliquem sibi metat. Vult autem eos bona petere, ut accipientes ea, eum sentiant qui suppeditat: qui læ-

καταλιμπάνων, ἵνα μὴ τὰς προλήψεις τῶν παθῶν ἀνιάτους ἀφίῃ· ἑκάτερα δὲ ἀῤῥήτῳ σοφίᾳ πρὸς ἀνθρώπων ὠφέλειαν οἰκονομεῖ ἑκάστου τὸν δέοντα καιρὸν ἐπιστάμενος.

Αὐτίκα ἴδοις ἂν σεισμὸν, ἢ ὄμβρου ἔνδειαν, ἢ ἀκρίδων ἐπιφοράν, ἦ ἅμα σχεδὸν ἅπαντας ἀνθρώπους πρὸς εὐλάβειαν ἐπικλινομένους, καὶ πρὸς ἱκεσίαν τοῦ μεταγαγεῖν τὰ τοιαῦτα δυναμένου. Εἰ δὲ τὰ μὲν δοκοῦντα συνήθως ἡδέα καὶ χρηστὰ τὸν ἀνθρώπινον λογισμὸν ὑπτιοῖ· τὰ δὲ ἀνιαρὰ διεγείρει, καὶ συστρέφει πρὸς εὐσεβεστέραν κατάστασιν· πῶς οὐκ ἄν τις ἐκεῖνα μὲν ὑπὲρ σωμάτων, ταῦτα δὲ ὑπὲρ ψυχῶν φαίη πρὸς Θεοῦ διοικεῖσθαι; Ἆρ' οὖν τὰ διεγείροντα ψυχὰς εἰς εὐσέβειάν τε καὶ ἀρετὴν κλητέον κακά; κἂν γὰρ τῇ αἰσθήσει τῶν ὑποκειμένων ἀνιαρὰ τυγχάνῃ, πρὸς μέντοι σωτηρίαν ἀνθρώπων ἀναγκαίως ἐπάγεται.

Ὁ μέντοι πρὸς ἀλήθειαν Μάνης πάντη ἑαυτῷ μαχόμενος ἀγνοεῖ· εἰ γὰρ ἐπιβλαβὴς τῆς ὕλης ἡ αὔξησις, τίς οὐκ ἂν αἴσθοιτο, ὡς τοὐναντίον ἢ λέγει συμβαίνει; Αὐξηθήσεται μὲν γὰρ αὕτη κατὰ ἀνθρώπων ἀδιαλείπτως, εὐθηνουμένων, καὶ τρυφαῖς ἐσχολακότων, γαστρὶ καὶ τοῖς μετὰ γαστέρα δουλευόντων· μειωθήσεται δὲ εἰς τὰ μάλιστα διὰ λιμῶν καὶ λοιμῶν καὶ θανάτων πρόοδον, ταύτῃ μὴ ἐπιτρεπόντων πρὸς ἀδικίαν αὐξήσεως. Ὥστε καὶ εἰκὸς ἦν αὐτὸν ἀγαθὰ ταῦτα καλεῖν κατὰ τὴν ὑπόθεσιν τὴν ἑαυτοῦ μᾶλλον ἢ κακά· οὕτω δ' ἂν ἔδοξε βελτίονος ἐφικέσθαι λόγου, εἰ μὴ πάλιν τὰ ἡδέα πρὸς ἄλλας ἐναντίας ἀρχὰς τῷ λόγῳ φέρων, αὖθις κακὰ προσηγόρευσεν· ἀγαθὰ γὰρ ἀμφότερα λόγῳ πρὸς ἀγαθοῦ Θεοῦ ἐπαγόμενα. Ὁ δὲ χαίρων τῇ ἁμαρτίᾳ πρὸς σύστασιν τῆς ὑφεστώσης, ὡς οἴεται, κακίας, λυπεῖται πρὸς τὰς ἐνεργεῖς τοῦ Θεοῦ νουθετήσεις, δι' ὧν ἄνθρωποι βελτιούμενοι, πολλάκις δὲ ἔνιοι τελείως πρὸς τὸ κρεῖττον μεταβαλλόμενοι, ἀσύστατόν γε αὐτοῦ τὸ δόγμα τῆς πλάνης ἀποφαίνουσι.

Πρὸς δὲ τούτοις (34) ἅπασι τῶν συνήθως ὑπὸ Θεοῦ δωρουμένων κοινῇ πᾶσιν ἀνθρώποις μηδεμία (35) ἔστιν ὅτε συνέβαινε κώλυσις, φορᾷ φύσεως ἄν τινος ἀμεταβλήτου τὴν χορηγίαν αὐτῶν ἀνέθεσαν (36) ἄνθρωποι· καὶ οὐκ ἂν μὲν, δεχόμενοι ταῦτα, χάριν ὡμολόγησαν τῷ διδόντι, οὐκ ἂν δὲ ᾔτησαν, μὴ ἔχοντες.

Στεροῦνται τοιγαροῦν ἐνίοτε πρὸς ὀλίγον, ἵνα αἰτήσωσι· καὶ δέχονται αὖθις, ἵνα χάριν ὡμολογήσωσι τῷ χορηγοῦντι· γινώσκοντες, ὡς αὐτός γέ ἐστιν ὁ παρέχων, καὶ οὐ φύσις ἄλλη τις παρὰ τὸν Θεὸν ἄκρατός τε καὶ ἀμετάβλητος (37) ἡ χορηγοῦσα. Βούλεται δὲ ὁ Θεὸς εἰδέναι χάριν ἀνθρώπους αὐτῷ, ἵνα ἀξιώτεροι τοῦ λαμβάνειν τὰ παρ' αὐτοῦ γένωνται, οὐχ ἵνα τι καρπώσηται εἰς ἑαυτόν. Βούλεται δὲ ἀγαθὰ τούτους αἰτεῖν, ἵνα δεχόμενοι αἴσθησιν τοῦ χορτῷ διδόντι.

(34) *Πρὸς δὲ τούτ.* Hæc habentur in *Parallelis Damasc.* pag. 788, exstantque infra in *Supplem.* ad hos libros Titi Bostrensis, § III.

(35) *Μηδ.* Leg. cum Parall. εἰ μηδεμία τις ἐστιν.

(36) *Ἀνέθ.* Parall. ἠθέλησαν. Mox τῷ Θεῷ pro

(37) *Ἀμετάβλητος.* Parall. ἀμεταμέλητος. Locum integrum sic reddit Billius: *Agnoscentes...., non alteram quamvis præter Deum naturam esse, quæ indiscriminatim et sine pœnitentia subministret.*

Digitized by Google

ηγοῦντος ἔχωσι· χαίρει μὲν γὰρ τὰ παρ' ἑαυτοῦ διδούς· χαίρει δὲ μᾶλλον ἀξίοις διδούς· ὡς τῆς φιλανθρωπίας τρόπον τινὰ ἀτιμαζομένης, εἰ μὴ πρὸς εὐαισθήτους γίγνοιτο· εὐλόγου δὲ λίαν ἀποφαινομένης, εἰ πρὸς τὸ δέχεσθαι τὸν χορηγοῦντα ὑπὲρ πάντα ἔχοιεν οἱ δεχόμενοι.

A tatur dandis suis; sed magis lætatur, cum dat dignis: tanquam benignitas erga homines quodammodo inhonorata sit, nisi gratis et benevolis hominibus exhibeatur; quæ valde rationi consentanea tunc apparet, cum ii qui bona accipiunt, omnibus bonis largientem præponunt.

Cap. XVI. *Mors necessaria, ut nativitas. Mala proficere rursum demonstratur.*

Κἂν πόλεις δὲ καταπίπτωσιν ἐπιφυομένης ἀσεβείας, οἷα δὴ καὶ πρώην ἐπὶ τοῦ λίαν ἀσεβήσαντος (38) καὶ τῶν εἰδώλων τὴν πλάνην ἀναμνήσαντος, φθείρεται ἡ ἁμαρτία, καὶ μειοῦται ἡ κατὰ Θεοῦ πλάνη· θανάτου δὲ κατὰ φύσιν πλέον οὐδὲν γίγνεται· καὶ ἥκιστα κακὸν τὸ τῆς θείας ἐπιστρεφείας· τοὐναντίον μὲν οὖν, ὡς ἐν φαρμάκου εἴδει, ἀγαθόν· κακὸν δὲ μόνον τὸ τὴν συμφέρουσαν οἰκονομίαν κακίζειν· ὁ γὰρ παιδοποιίαν διαβάλλων ὡς αὐξητικὴν τῆς ὕλης, οὗτος, θάνατον ἀθρόον (39) κακίζων, νοῦν γε ἀνθρώπινον ἄρ' ἔχειν ἂν δοκοίη, μαχόμενα λίαν ἑαυτῷ φανταζόμενος; Ἀλλ' οὔτε παιδοποιία κακὴ, τὸ ἀείζωον τῷ θνητῷ γένει ποιοῦσα, καὶ προστεθεῖσα τῇ δημιουργίᾳ τοὺς γιγνομένους· οὔτε θάνατος, κἂν πολὺς ἀθρόως ἐπενεχθείη, πονηρὸς, οὐκ ἐπὶ ζημίᾳ κατὰ ἀνθρώπων ὑπὸ Θεοῦ κείμενος, ἀλλ' ἐπ' ὠφελείᾳ τῇ ἀνωτάτῳ, δικαίοις τε καὶ ἀδίκοις ὡρισμένος.

Et si civitates concidant exorta impietate, sicut nuper contigit, cum ille impiissimus dominaretur, et errorem idololatriæ recoleret ac renovaret, peccatum interimitur, et error in Deum minuitur: nihil vero amplius accidit quam mors secundum naturam; et quod fit ad divinam conversionem, nequaquam malum est, sed contra potius bonum est, B tanquam speciem medicinæ habens. Malum vero tantum est, utilem Dei gubernationem improbare. Qui enim procreationem liberorum reprehendit tanquam augentem materiam, cum mortem universam improbet; an humanam mentem habere videtur, valde sibi ipsi repugnantia cogitatione fingens? At neque procreatio mala est, quæ facit ut genus mortale semper vivat, et adjungit ad fabricam mundi eos qui procreantur; neque mors quamvis universe inferatur, mala est; nec a Deo constituta, ut homines jacturam et damnum faciant, sed ad utilitatem summam justis et injustis decreta est.

Τὸ δὲ κατὰ μέρος ἑκάστῳ συμβαῖνον φυσικῶς, τοῦτο πολλοῖς ἀθρόως εἰ ἐπέλθοι, κατὰ φύσιν μὲν ἔπεισι, καὶ πλέον οὐδέν· τοσούτῳ δὲ οὐ κατὰ μέρος μείζονα τοῦ οἰκονομοῦντος τὴν κηδεμονίαν σημαίνει, C ὅσῳ τὸ μὲν οὐδὲν τεκμήριον κατακρίσεως τῶν ἁμαρτανόντων ἔχει· τὸ δὲ τῇ κατὰ τὸ φαινόμενον ἀγανακτήσει, τοὺς μὲν τελευτῶντας τὸν εἰρημένον πάλαι τρόπον εὐεργετεῖ, τοὺς δὲ ζῶντας ἐπιστρέφει.

Quod autem unicuique privatim accidit naturaliter, hoc si multis confertim adveniat, naturaliter quidem contingit; nihilque amplius est, quam quod singulis contingit: sed tanto majorem curam gubernantis, quam illud quod privatim accidit, significat, quanto in illo privato minus indicii est judicii divini in delinquentes. Hoc autem generalius propter speciem quam habet divinæ iræ, morientes quidem beneficio afficit, sicut ante explicatum est, viventes vero convertit.

Εἰ δέ τις, πολλῶν πολλάκις τοιούτων γιγνομένων, δείκνυσι τὸν ἀνθρώπινον βίον τοῖς αὐτοῖς ἐμπλεκόμενον ἀδικήμασι, παραπλήσιον ἐμοί γε δοκεῖ πάσχειν ὁ τοιοῦτος, εἴ τις, ἐν λίμναις καὶ θαλάττῃ τοὺς ἰχθύας ὁρῶν, οἴοιτο τὴν ἁλιευτικὴν τέχνην ἀργεῖν, τοὺς θηρωμένους οὐχ ὁρῶν, τοὺς δὲ νηχομένους ἐν τοῖς ὕδασι βλέπων· ἢ ὥσπερ, εἴ τις πολλοὺς κάμνοντας ὁρῶν, μηδὲν τὴν ἰατρικὴν ἐνέργειαν οἰηθείη.

Si quis vero objiciat, quamvis multa hujusmodi sæpenumero fiant, nihilominus tamen humanam vitam eisdem maleficiis implicatam esse similiter; hic quidem judicio meo facit, ut si quis pisces in lacu aut mari videns, existimet artem piscandi otiosam et inutilem esse, quia pisces captos non videt, natantes in aquis videt: aut perinde est, ut D si quis multos ægrotos cernens, curationem medici nihil esse arbitretur.

Πολλῶν γὰρ εὐεργετουμένων εἰς εὐσέβειάν τε καὶ ἀρετὴν, δι' ὧν ἔστιν ὅτε τὰ φοβερὰ Θεὸς οἰκονομεῖ, ὁ φιλαίτιος τὸ μὲν κατορθούμενον ἀρνεῖται, τὸ δὲ φιλόνεικον τῶν πολλῶν εἰς ἁμαρτίαν ὀνειδίζει.

Cum enim multi proficiant ad pietatem et virtutem, illis pertimescendis quæ Deus aliquando sua gubernatione operatur; qui criminandi studio tenetur, quod perfectum est negat, et quod multi in peccato perseverantes contendunt, exprobrat.

Καίτοι φαμὲν οὐδ' ἡμεῖς ἀναγκαστικὰ τοῖς πολλοῖς εἶναι τὰ τοιαῦτα, ἀλλ' ἀποτρεπτικὰ τοῦ ἁμαρτάνειν τοῖς εὐγνωμονοῦσιν· αὐτίκα πρὸς ὀλίγον ἐπαγόμενα ταχέως ἀποπαύεται, ἵνα μὴ βιάσηται μᾶλλον, ἢ

Atqui neque nos dicimus habere talia vim cogendi multos, sed dehortandi a peccato gratos et benevolos; quæ ad breve tempus invecta, celeriter quiescunt, ne magis vim afferant, quam suasione mu-

(38) *Λίαν ἀσεβ.* Julianum Apostatam dicit. Turr.

(39) *Θάνατον ἀθρόον.* Si enim mala est procreatio, malum erat Manichæum natum esse, quo nihil sibi repugnantius dicere poterat. Ipse enim putabat se verum dogma tradere. Docere autem veritatem ut putabat, quis dicat malum esse? Ib.

Digitized by Google

tent : rursus vero, quæ erant in consuetudine, exercentur, in quibus animus et voluntas eorum qui mutati sunt, spectatur et exploratur, ut ii sola memoria exemplorum infirmitatem suam fulciant et stabiliant, qui sunt grati et æqui. Imo vero potius dicendum est, si cum talia contingant, pauci quidam et valde rari sunt qui vitam mutant; an non multo plus ad nequitiam cogitatio hominum profecisset, si per hæc quæ accidunt, non fieret a peccatis avocatio?

Quod si nullus hinc utilitatem caperet, quod quidem fatuum est dicere; præstaret reprehendere homines, qui nec hoc quidem modo juvari volunt, quam culpam negligentiæ in Deum transferre, quasi non amplius studio convertendi utentem; qua ratione utendum est in eos qui nullum sensum talium capiunt. Est autem compertum iis qui sunt grati et æqui, non solum aliquos ad perfectam mutationem in melius capiendam metum impellere, sed aliis etiam appetitum et audaciam ad injustitiam occulte imminuere.

A πειθοῖ μεταβάλῃ· αὖθις δὲ τὰ συνήθη πολιτεύεται τὸ δόκιμον τῆς προθέσεως τοῖς μεταβαλλομένοις ἐμποιοῦντα, ἵνα καὶ μόνην τῶν ὑποδειγμάτων τὴν μνήμην ἀντ' ἐρείσματος ἔχοιεν τῆς ἑαυτῶν ἀσθενείας οἱ εὐγνώμονες. Ῥητέον δὲ μᾶλλον, ὡς, εἰ καὶ, τῶν τοιούτων συμβαινόντων, ὀλίγοι τινὲς καὶ εὐαρίθμητοι τυγχάνουσιν οἱ διαμειβόμενοι, πῶς οὐκ ἂν ἐπέδωκεν ἐπὶ πλεῖστον πονηρίας τῶν ἀνθρώπων ὁ λογισμὸς, εἴπερ ἡ διὰ τῶν τοιούτων ἀποτροπὴ μὴ ἐπίοι;

Εἰ δὲ καὶ μηδεὶς ἐντεῦθεν ὠφελεῖτο, ὅπερ ἧλίθιον εἰπεῖν, βέλτιον ἀνθρώπους ἐλέγχεσθαι, ὡς μηδὲ τοῦτον τὸν τρόπον ἐνδιδόντας, ἢ Θεὸν ἀμελείας ἂν αἰτίαν ὑπέχειν, ὡς μηκέτι ἐπιστρεφείᾳ χρώμενον· ᾧ χρηστέον λόγῳ κατὰ τῶν μὴ ἐπαισθανομένων· δῆλον γὰρ τοῖς εὐγνώμοσιν, ὡς οὐ μόνον πρὸς τὸ κρεῖττον μεταβολῆς ὁ φόβος ἄγει, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀπορρήτως μειοῖ τὴν πρὸς ἀδικίαν ὁρμὴν καὶ τόλμαν.

B

Cap. XVII. *Creatio noctis et tenebrarum.*

Veniamus deinceps ad rationem creationis, quam iste planus calumniatur; ac primum de tenebris et nocte inquiramus, quod potissimum iste mente cæcatus vituperat: tenebras enim quæ in nocte apparent, illarum tenebrarum Manichæus cogitat esse quasi per se sint, intelligit esse indicium, ejus scilicet, quod non est; nihil penitus videns, nec intelligens, sed ad instar cæci hominis in res ipsas offendens et incurrens; vocatque tenebras, et veluti horret, ut non opus habeat disputatione, ut falsitas doctrinæ ejus argumentatione concludatur, ut qui nomen rei e se ipsa vituperatæ usurpet. Dicendum ergo est, vocari quidem has tenebras, non tamen secundum substantiam exsistere: adveniunt enim, et recedunt quotidie, suntque consequentes in modum umbræ; non sunt enim creatæ per se ut substantia, nequaquam; mundo autem creato, est umbra. Nascitur enim homo, qui per se est; sequitur autem eum umbra secundum molem corporis, et neutiquam cum eo ipso fabricata est, sed advenit ut situm et locatum est corpus, et ut est luminis circuitus et conversio. Siquidem nox et tenebræ, cum sit mundus corporeus, solummodo sunt consequentes, non autem sunt fabricatæ in modum substantiæ creatæ.

Cum enim sol diurnum cursum absolvit, et vertitur ad recessus proprios, necesse est ea quæ sunt intra mundum, omnia inumbrari, cum sit extra quod illuminat, sic Deo volente: causas, cur ita voluerit, paulo post pro viribus dicemus. Illud statim dicendum est, quæ habent molem corpoream interdiu in contrariam partem luminis positi umbras jacere; et transfertur simul cum lumine in contrarium umbra; et ubi est usque ad meridiem sol, ibi est post meridiem umbra. Ubi autem umbra post meridiem, sol est post hunc. Umbra vero diurna umbra est, et non omnino tenebræ; quia

C

D

Ἐλθωμεν δὴ λοιπὸν καὶ εἰς τὸν περὶ δημιουργίας λόγον πρὸς τοῦ ἀπατεῶνος συκοφαντουμένης· καὶ πρῶτόν γε περὶ σκότους καὶ νυκτὸς ἐξετάσωμεν, ὅπερ μάλιστα κακίζει τὴν διάνοιαν ἐσκοτωμένος· σκότος γὰρ ἐν νυκτὶ φαινόμενον, ἐκείνου τοῦ σκότους ὁ Μάνης εἶναι φαντάζεται ὡς ὄν, τεκμήριον τοῦ μὴ ὄντος λαμβάνει, μηδὲν παντελῶς μήτε βλέπων, μήτε νοῶν, ἀλλὰ τυφλοῦ δίκην τοῖς πράγμασι προσπαίων· καὶ καλεῖ σκότος, καὶ οἱονεὶ φρίττει, ὡς μηδὲ λόγου δεόμενος πρὸς ἀπόδειξιν τῆς ἑαυτοῦ ψευδολογίας, ὡς αὐτόθεν διαβεβοημένου πράγματος τὸ ὄνομα λαμβάνων. Ῥητέον τοίνυν, ὡς τοῦτο δὴ σκότος καλεῖται μὲν, οὐ μὴν ὑφέστηκε κατ' οὐσίαν· ἐπισυμβαίνει δὲ καθ' ἡμέραν καὶ ἀποσυμβαίνει, παρακολούθημα, καὶ σκιᾶς τρόπον ὑπάρχον· δεδημιούργηται μὲν γὰρ εἰς ὑπόστασιν οὐσίας οὐδαμῶς, κόσμου καὶ δημιουργηθέντος, σκιὰ τυγχάνει· ἄνθρωπος τίκτεται μὲν γὰρ καθ' ἑαυτὸν, παρακολουθεῖ δὲ αὐτῷ πρὸς τὸν ὄγκον τοῦ σώματος ἡ σκιά· καὶ οὐ δήπου συγκατεσκευάσθαι δόξειεν ἐν ἑαυτῷ, ἀλλ' ἐπισυμβαίνει πρὸς τὴν τοῦ σώματος θέσιν, καὶ πρὸς τὴν τοῦ φωτὸς περίοδον. Οὕτω δὴ καὶ νὺξ καὶ σκότος, σωματικοῦ τοῦ κόσμου δηλαδὴ τυγχάνοντος, παρακολούθημα μόνον ἐστὶν, οὐ μὴν δημιουργήματος τρόπον οὐσιῶδες κατεσκεύασται.

Τοῦ γὰρ ἡλίου τὸν μεθημερινὸν δρόμον περαίνοντος, πρὸς δὲ τὰς ἰδίας ἀναχωρήσεις τρεπομένου, τοῦ κόσμου τὰ ἐντὸς ἐπάναγκες ἅπαντα σκιάζεσθαι, ἔξω τυγχάνοντος τοῦ φωτίζοντος, οὕτω δὴ Θεοῦ βουληθέντος, δι' ἃς αἰτίας μικρὸν ὕστερον ὡς δυνάμεις ἐροῦμεν· αὐτίκα καὶ μεθ' ἡμέραν πρὸς τὸ ἀντικείμενον μέρος τῆς τοῦ φωτὸς θέσεως, τὰ ἀνέχοντα τῶν σωματικῶν ὄγκων παραπέμπει τὰς σκιὰς, καὶ συμμεταβαίνει τῷ φωτὶ πρὸς τοὐναντίον ἡ σκιά· καὶ οὐ μὲν ἕως μεσημβρίας ἥλιος, μετὰ ταύτην γίνεται σκιά· ἡ δὲ σκιὰ μεθ' ἡμέραν, καὶ οὐ παντελῶς σκότος· ἐπειδὴ τὸ περιέχον πανταχόθεν ἀνεμπόδιστον καὶ τοῖς σκιαζο-

Digitized by Google

μένοις τόποις τοῦ φέγγους παρέχει τὴν μετουσίαν. Εἰ γοῦν οἰκόν τινα τελείως ἀποκλείσεις, ὡς μηδὲ στενὴν γοῦν εἴσοδον καταλιπεῖν τῷ φωτὶ αὐτῷ, νύκτα ποιήσεις καὶ ἐν μεσημβρίᾳ. Τοῦτο δὴ καὶ ἐν νυκτὶ γίνεται πρὸς τοὺς ἰδίους χώρους ἡλίου γενομένου. Ὥστε ἡ νὺξ στέρησις ἂν εἴη φωτός. Μάθοι δ' ἄν τις σαφέστερον τὸ γινόμενον, εἰ νοήσειεν, ὡς ἐν νυκτὶ μέν ἐστί που διαμένων καὶ ὑπάρχων ὁ ἥλιος, μεθ' ἡμέραν δὲ οὐδαμοῦ τὸ σκότος, ἀλλὰ παντελῶς διαλυόμενον ἀφανίζεται. Ὥστε φωτὸς μὲν γέγονεν οὐσία, σκότους δὲ οὐδαμῶς.

A quod continet cum sit undique apertum, locis etiam quæ umbram habent, præbet luminis participationem. Itaque si domum quampiam ex omni parte bene claudas, et neque vel angustus aditus lumini relinquatur, noctem efficies etiam in meridie. Hoc autem fit in nocte, sole loca sua ambiente et circumeunte. Unde nox est privatio luminis. Potest autem hoc quod fit, clarius percipi, si quis considerat, alicubi esse et manere noctu solem, interdiu vero nusquam esse tenebras, sed penitus dissolvi et tolli. Quare substantia luminis facta est, non autem tenebrarum.

Cap. XVIII. *Noctis necessitas. Utilitates ex ea profluentes.*

Σκοπητέον δ' ὅμως νυκτὸς ὅσον τὸ ἀναγκαῖον. Ἔστιν ἀνάπαυλα πρῶτον κοινὴ τοῖς πᾶσιν· ὁ γὰρ μεθ' ἡμέραν ὕπνος τὸ ἀναγκαῖον τῆς νυκτὸς μᾶλλον παραδείκνυσιν, ἧς γε τοσοῦτος ὑπάρχων ὁ χρόνος οὐχ ἱκανὸς διαναπαῦσαι τὰς αἰσθήσεις ἀνθρώποις· καὶ τοῦ μὲν μεθ' ἡμέραν ὕπνου οὐκ ἴση τοῖς πᾶσι μετοχή· τὸ δὲ ἐν νυκτὶ κοινόν, καὶ ἐπίσης τοῖς πᾶσι τῆς διαναπαύσεως τὸ μέτρον, οὐκ ἔχον ἀνωμαλίαν πρὸς τὰ βιωτικὰ πλεονεκτήματα. Ὅπερ οὐκ ἔλαττον τὴν ἰσότητα τοῦ Δημιουργοῦ ὡς πρὸς ἓν γένος τὸ τῶν ἀνθρώπων μαρτύρεται. Ἔπειτα εἰ διαπαντὸς ὑπῆρχεν ἡμέρα ἀδιάδεκτον ἔχουσα τὸ διάστημα, οὐκ ἂν ἐμετρήθη χρόνος εἰς μέρη μὴ τετμημένος. Ἡ δὲ καθ' ἡμέραν τοῦ χρόνου τομὴ διὰ τῶν μορίων τούτων καταριθμεῖσθαι ποιεῖ· χωρὶς δὲ χρόνου διαγνώσεως ἄλογος ἂν ἐν τοῖς πλείοσι γέγονεν ἀνθρώποις ὁ βίος· τὸ δὲ δὴ μεῖζον, οὐκ ἂν φωτὸς γέγονεν ἀπόλαυσις, σκότους μὴ παρακειμένου τὸν εἰρημένον τρόπον νυκτερινοῦ. Φῶς γὰρ σωματικὸν ἀδιάλειπτον, οὐδ' ὅτι φῶς ἐστιν, ἐγνώσθη ἄν· πρὸς γὰρ ἀντιδιαστολὴν σκότους φῶς ὠνόμασται καὶ ἐστίν. Οὐκ ἂν οὖν θαυμαστόν τι ἦν, ὡς ἔστι δημιούργημα φανὲν, εἰ μήγε ἡ θέσις τοῦ δοκοῦντος ἀντικεῖσθαι παρεδείκνυεν αὐτό.

B Considerandum vero est, quam sit necessaria nox. Primum, est communis requies omnibus; somnus enim diurnus magis necessitatem noctis declarat, cujus quidem tempus tam longum non sufficit hominibus, ut a sensibus requiescant, et diurnum somnum capere non æqualiter omnibus licet : in nocte vero communis est omnibus et æqualis mensura ad requiescendum, nullam inæqualitatem habens ad avaritias vitæ et plus habendi cupiditates. Quod quidem non minus æqualitatem Creatoris testatur, tanquam uni generi hominum æqualiter prospicientis. Deinde, si semper esset dies, et spatio diei non succederet nox, non possemus metiri tempus non divisum in partes. Divisio autem diurni temporis facit, ut liceat tempus per has particulas numerare. Nisi autem tempus discerneretur, in multis rebus non posset hominibus ratio vitæ iniri et constare; et quod majus est, non esset voluptas luminis fruendi, si non essent tenebræ nocturnæ in proximo eo modo quem diximus. Lumen enim corporeum continuum neque quod lumen esset, cognosceretur : lumen enim dicitur et est, ut a tenebris distinguatur. Non igitur esset, ut esse apparet admiratione dignum a Deo creatum, nisi comparatio ejus quod videtur contrarium, illud ostenderet.

C

Ὥστε καὶ τἆλλα μὲν πολλὰ χάριν ὁμολογητέον ἐπὶ τῇ νυκτὶ τῷ πανσόφῳ Δημιουργῷ· μάλιστα δ' ὅτι τοῦ φωτὸς ἐμποιεῖ τὴν αἴσθησίν τε καὶ τὴν ἀπόλαυσιν, οὐκ ἂν ἄλλως διαγνωσθέντος, ὅτιπερ ἐστίν.

Quamobrem oportet gratias agere Deo, sapientissimo Creatori, cum propter alia multa, tum maxime quia fecit, ut lumen sentiremus et eo frueremur; quod quidem esse non aliter discernere potuissemus.

Ἀλλ' ἐκπλαγείη τις ἂν τὴν ἄῤῥητον τοῦ Θεοῦ σοφίαν, ὅτι, τοσούτων καὶ ἔτι πλεόνων ἀναγκαίων τε καὶ χρησίμων διὰ σκότους ἀνθρώποις ὑπαρχόντων, ὅμως δὲ ἐπειδὴ σκότους ἦν ὄνομά τε καὶ πρᾶγμα, οὐ κατεσκεύακεν αὐτὸ κατ' οὐσίαν, ἀλλὰ συμβαίνειν καὶ ἀποσυμβαίνειν αὐτὸ πεποίηκεν· ἵνα καὶ ὡς ὂν τά τε ῥηθέντα καὶ ἔτι πλείω παρέχῃ, καὶ ὡς μὴ ὂν ἥκιστα διαβάλῃ τὸν Δημιουργόν. Ἄμεμπτος τοιγαροῦν ἡ νὺξ, ἀλλὰ καὶ θαυμασία παντοίως τῇ χρήσει.

D Est autem obstupenda ineffabilis Dei sapientia, quod cum tot et adhuc plures necessariæ hominibus et opportunæ utilitates ex tenebris exsistant, tamen quia erat nomen et res tenebrarum, non fecit eas secundum substantiam, sed fecit ut venirent et recederent; ut quasi essent ea quæ diximus, et adhuc plura commoda præberent; et quasi non essent, minime mundi fabricator accusaretur. Extra culpam igitur et querelam est nox, quin potius usu est omnibus modis mirabili.

Φασὶ δὲ λῃστὴν ἐν νυκτὶ κακουργεῖν. Καὶ τί δεῖ πρὸς τὴν νύκτα; εἰ γὰρ μὴ ἐνεδέχετο καὶ ἐν ἡμέρᾳ κακοπραγεῖν τοὺς βουλομένους, ἐχρῆν τῆς νυκτὸς διαβάλλεσθαι τὸν καιρόν. Ἐπεὶ δὲ τὴν εὐκαιρίαν τῆς κακουργίας ὁ δρῶν ἀναμένει, κἂν ἐν ἡμέρᾳ, κἂν ἐν νυκτὶ παραπέσοι, τὴν πρόθεσιν τοῦ δρῶντος, οὐ τὸν

Sed aiunt, latronem noctu latrocinari. Sed quid hoc contra noctem? si enim non contingeret de die latrocinari eos qui latrocinari volunt, oporteret tempus nocturnum accusare. Sed quia latro opportunitatem furti exspectat, sive die sive nocte incidat, animus maleficium facientis, non tempus est

Digitized by Google

crimini dandum : verumtamen si maleficus nocti pareret. dormiret sane ; hoc enim solum nox jubet.

καιρὸν αἰτιατέον· πλὴν εἰ νυκτί γε ἐπείθετο κακοῦργος ἅπας, ἐκάθευδεν ἄν· τοῦτο γὰρ καὶ μόνον παρεγγυᾷ.

Cap. XIX. *Mendacii cum tenebris comparatio.*

Præterea considerandum est similiter inter se contraria vidéri lumen et tenebras, veritatemque et mendacium. Quod enim est lumen corpori, hoc est veritas animæ; et quod tenebræ oculis, hoc ignorantia et mendacium menti. Homo enim nihil aliud est quam anima et corpus. Utrique parti suppeditat Deus, corpori lumen ; per corpus enim lumine corporeo fruitur ; per animam vero veritate spirituali.

Θεωρητέον δὴ ἐπὶ τούτοις, ὡς ἀναλόγως ἀλλήλοις ἀντικεῖσθαι δοκεῖ, φῶς τε καὶ σκότος, ἀλήθειά τε καὶ ψεῦδος· ὅπερ γὰρ φῶς σώματι, τοῦτο ἀλήθεια ψυχῇ· καὶ ὅπερ σκότος ὀφθαλμοῖς, τοῦτο ἄγνοια καὶ σκότος (40) διανοίᾳ. Ἄνθρωπος μὲν γὰρ οὐδὲν ἕτερον ἢ ψυχή τε καὶ σῶμα· παρὰ δὲ Θεοῦ πρὸς ἑκάτερον τὴν χορηγίαν ἔχων, διὰ μὲν σώματος σωματικοῦ φωτὸς ἀπολαύει, διὰ δὲ ψυχῆς νοητῆς ἀληθείας.

Sicut autem non sunt tenebræ secundum substantiam, solum autem eas advenire permissum est, sicut ostensum est ; sic etiam mendacium non manet ab aliqua substantia per se exsistente, quam ille principium ingenitum vocat, neque est substantia quæpiam per se exsistens ac vivens. Sed sola cogitatione esse, concessum est, et advenire atque recedere similiter ut tenebras ; idque valde utiliter et necessario : nisi enim cogitatio mendacii esse posset permissu Dei, veritatis optio non esset in hominibus spectata et probata, et frustra nominaretur, nisi permissum esset, esse mendacium cogitatione. Nemo enim esset amicus veritatis, nisi potestatem haberet cogitandi mendacium. Non dico esse mendacium adjunctum veritati, sed quod optio veritatis non videretur esse, nisi potestas mentiendi adjaceret : quod quidem veracibus prodest, non veritati. Oportet enim eum qui verax est, ut penes eum sit mentiri, a quo cum abstinet, verax est. Posse ergo mentiri affert hominibus, ut veritatem mendacio anteponant. Sicut positæ tenebræ sensum luminis movent et excitant, tamen sicut lumen in tenebris lucet (dissolvit enim eas adveniens, quippe cum non sint secundum substantiam), sic veritas vincens mendacium, omnino convincit, quod non est, cogitatione esse propter potestatem cogitationis, id est quia cogitari potest. Quomodo enim potest quis veritatem eligere, si suscipere mendacium non est penes ipsum?

Ὥσπερ δὲ σκότος κατ' οὐσίαν μὲν οὐχ ὑπάρχει, ἐπιέναι δὲ συγκεχώρηται μόνον, ὡς ἀποδέδεικται, τὸν αὐτὸν τρόπον καὶ ψεῦδος (41), ἀπό τινος μὲν οὐσίας ὑφεστηκυῖά τε καὶ ζῶσα· ἐπινοίᾳ δὲ μόνον εἶναι συγκεχώρηται, συμβαίνειν τε καὶ ἀποσυμβαίνειν παραπλησίως τῷ σκότει, καὶ τοῦτο λίαν χρησίμως τε καὶ ἀναγκαίως· εἰ γὰρ μὴ ἐπετέτραπτο ψεύδους ἐπίνοια, ἀδόκιμος ἂν ἦν καὶ ἀβασάνιστος κατ' ἀνθρώπους τῆς ἀληθείας ἡ αἵρεσις· μάτην δ' ἂν καὶ ὠνομάζετο, εἰ μὴ τὸ ψεῦδος συγκεχώρητο τῇ ἐπινοίᾳ· οὐδεὶς γὰρ ἂν ἦν φιλαλήθης, εἰ μὴ καὶ τοῦ ψεύδεσθαι τὴν ἐπίνοιαν εἶχεν ἐφ' ἑαυτῷ. Οὐ φημὶ, ὅτι προσεχαρισμένον ἂν εἴη τῇ ἀληθείᾳ τὸ ψεῦδος, ἀλλ' ὅτι τῆς ἀληθείας ἡ αἵρεσις οὐκ ἄν γε εἶναι ἐδόκει, εἰ μὴ παρέκειτο τοῦ ψεύδεσθαι ἡ ἐξουσία· ὃ δὴ ὑπὲρ τῶν φιλαλήθων, οὐχ ὑπὲρ τῆς ἀληθείας ἐστί. Δεῖ γὰρ τὸν ἀληθεύοντα ἔχειν ἐφ' ἑαυτῷ καὶ τὸ ψεύδεσθαι αὐτῷ ἐξεῖναι, οὗ ἀπεχόμενος ἀληθεύει. Προσάγει τοίνυν ἀνθρώποις τῆς ἀληθείας τὴν προτίμησιν τὸ ἐξεῖναι ψεύδεσθαι. Ὥσπερ φωτὸς ἀνακινεῖ τὴν αἴσθησιν ἡ θέσις τοῦ σκότους· ὥσπερ μέντοι τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει (διαλύει γὰρ αὐτὸ ἐπιὸν, ἅτε δὴ μὴ κατ' οὐσίαν ὑπάρχον), οὕτως καὶ ἡ ἀλήθεια, κατὰ τοῦ ψεύδους κρατιστεύουσα, διελέγχει παντελῶς αὐτὸ μὴ ὄν, ἐπινοίᾳ τῇ ἐξουσίᾳ τοῦ λογισμοῦ παρεισιὸν εἰς αἵρεσιν ἑαυτῆς· πῶς γὰρ ἄν τις ἀλήθειαν ἕλοιτο, εἰ μὴ καὶ τοῦ ἀντικειμένου τὴν αἵρεσιν ἔχοι ἐφ' ἑαυτῷ,

Si igitur ostendi posset esse tenebras secundum substantiam, et non advenire et recedere, sicut dictum est, poni etiam posset falsa et mendosa substantia. Sin vero nec ille nec alius ostendere potest, non dissolvi has tenebras quæ ad instar umbræ fiunt, ut lumen quidem noctu exsistat, tenebræ vero interdiu non sint; liquet neque mendacium, quod cum tenebris similitudinem habet, per se exsistere instar substantiæ, sed necessario permitti, ut cogitatione tantum sit, idque ad electionem veritatis.

Εἰ μὲν οὖν δεῖξαι δυνατὸν, ὡς κατ' οὐσίαν ὑπάρχει τὸ σκότος, οὐχὶ δὲ συμβαίνει καὶ ἀποσυμβαίνει μόνον, ὡς εἴρηται· τεθείη ἂν καὶ ψευδὴς οὐσία· εἰ δὲ μήτ' ἐκεῖνος, μήτε ἄλλος δεῖξαι δύναται, ὡς τοῦτο δὴ τὸ σκότος οὐχὶ διάλυτόν ἐστι σκιᾶς τρόπον γιγνόμενον, ὡς τὸ μὲν φῶς ὑπάρχειν καὶ ἐν νυκτὶ, τὸ δὲ σκότος ἐν ἡμέρᾳ μὴ εἶναι τὸ ἀναλόγως ἔχον αὐτῷ ψεῦδος, δῆλον, ὡς οὐδ' αὐτὸ ὑφέστηκεν οὐσίας τρόπον τινὰ, ἀναγκαίως δὲ μόνον κατ' ἐπίνοιαν ἐπιγίγνεσθαι συγκεχώρηται πρὸς αἵρεσιν τῆς ἀληθείας.

(40) *Σκότος*. Legerat ψεῦδος Turrianus, et quidem optime : non enim comparantur hic tenebræ cum tenebris, sed mendacium cum nocte et tenebris. quemadmodum lux cum veritate. Basn.

(41) *Ψεῦδος*. Desunt hic in Græco plura quæ sensum non modo obscurum, sed imperfectum reddunt. Sic supplerem : ἦν αὐτὸς ἀγέννητον ἀρχὴν λέγει, μηδέ ἐστιν οὐσία ὑφεστηκυῖά τε καὶ ζῶσα· his respondent optime Latina. Id.

Digitized by Google

Ἐπειδὴ δὲ τὸ φῶς κατ' οὐσίαν ὑφέστηκε, σαφῶς ἄρα καὶ ἀλήθειαν νομίσειεν ἄν τις κατ' οὐσίαν ὑφεστάναι, ἵνα τῆς ἀναλογίας σώζηται ἡ ἀκρίβεια· καὶ τί δὴ τὸ κωλύον Θεὸν αὐτοαλήθειαν εἶναι, ἡγεῖσθαί τε καὶ νομίζειν; εἰ γὰρ φῶς ὁ Θεὸς, φῶς νοητὸν, οὐ γὰρ δὴ ὁρατὸν, φῶς δῆλον, ὡς ἀλήθεια· φῶς γὰρ νοερὸν οὐδὲν ἄλλο, πλὴν ἀληθείας· ὅμως δὲ φῶς τε καὶ αὐτοαλήθεια τυγχάνων ὁ Θεὸς οὐκ ἀδυναμίᾳ ψεύδους ἀπέχεται, ἀλλὰ μὴ βουλόμενος ψεύσασθαί ποτε. Εἰ δέ γε μὴ δύναται, οὐ γὰρ ἄτοπον εἰπεῖν, ἐπειδή γε οὐδέποτε οὐχὶ μὴ βούλεται.

A Quia vero lumen secundum substantiam per se exstitit, plane existimare licet esse veritatem per se secundum substantiam, ut similitudinis ac proportionis ratio limate et perfecte servetur, ecquid prohibet, quin Deum ipsam per se veritatem esse existimemus et reputemus? Si enim Deus est lumen, lumen autem intelligibile, non aspectabile, lumen scilicet sicut veritas; lumen enim spirituale nihil aliud est, quam lumen veritatis; Deus tamen cum lumen et ipsa per se veritas sit, a mendacio abstinet, non quia deficit ei potestas, sed quia non vult unquam mentiri. Si autem non potest, non enim absurdum est sic loqui, ideo non potest, quia nunquam vult.

Οἷς μὲν γὰρ καὶ τὸ βούλεσθαι καὶ τὸ μὴ, κατὰ διάφορον τρόπον ἐπισυμβαίνει, τούτοις εὐλόγως καὶ τὸ δύνασθαι ἀφώρισται. Θεῷ δέ γε, ἐπειδὴ οὐδέποτε συμβαίνει τὸ βούλεσθαι, τὸ μὴ δύνασθαι προσαπτέον· οὕτω μέντοι, διὰ τὸ μηδέποτε βούλεσθαι, οὐχὶ διὰ τὸ μὴ δύνασθαι τρόπον ἀσθενείας καὶ ἀδυναμίας· τὸ μὲν γὰρ δημιούργημα πεπεδῆσθαι φύσει, λέγω δὴ τὸ σωματικὸν φῶς, οὐκ ἄλογον φάναι, ὡς μὴ ἐπ' αὐτῷ εἶναι τὸ εἶναι φῶς, ἀλλ' ἐπὶ τῷ ποιήσαντι· τὸν δὲ Δημιουργὸν ὑποβεβλῆσθαι φύσεως ἀνάγκῃ λίαν ἄτοπον ἡγεῖσθαι, ὡς μὴ ἐπ' αὐτῷ εἶναι δοκεῖν τὸ ἀληθεύειν, ἀλλὰ πρὸς τῆς φύσεως βεβιᾶσθαι, καίτοιγε ὅπερ ἐστὶν, αὐτὸ μόνον ἐστίν. Ἀλλ' οἷς μὲν ἐδημιούργησε ἐντέθεικε τὸ φύσει καὶ ἀνάγκῃ εἶναι ὅ εἰσιν· αὐτῷ μέντοι ἐντέθεικεν οὐδεὶς τὸ ἀνάγκῃ εἶναι ἀλήθειαν. Οὐκοῦν φύσεως μὲν ἐπάνω ὁ φύσεις κατασκευασάμενος· αὐτὸς δὲ φύσεως ἀνάγκης ἐλεύθερος· οὕτω γὰρ ἀληθῶς ἀγαθὸς ὁμολογηθήσεται.

B Quibus enim velle et non velle diverse accidit, recte et rationi convenienter his attribuitur posse: Deo autem quoniam nunquam accidit velle, confitendum est non posse eum mentiri; sic tamen, quia scilicet non potest velle; non autem quia non potest ad instar ejus cui est infirmitas et deficit potestas: creaturam enim impediri et constringi natura, lumen, inquam, corporeum non habere penes se, ut sit lumen, sed penes auctorem luminis esse, non est alienum a ratione sic dicere; auctorem vero subjectum esse necessitati naturæ, valde absurdum est cogitare; ut non videatur penes ipsum esse verum dicere, sed a natura per vim cogi, cum alioqui ipsum solum sit, quod quidem est. Iis tamen quæ creavit, imposuit, ut natura et necessitate essent quod sunt. Deo tamen nemo imposuit, C ut necessitate naturæ esset veritas. Supra naturam igitur est, qui naturas fabricatus est; ipse autem liber est a necessitate naturæ: sic enim vere bonum esse confitebimur.

Οὐκοῦν διὰ τῶν εἰρημένων αὐτὸ ψεῦδος οὐκ ἔστι· ψεύστης δὲ ὁ ψευδόμενος· ἀπὸ γὰρ τοῦ μετιόντος καλεῖται, οὐχ ὁ μετερχόμενος ἀπὸ τοῦ μὴ ὄντος. Ψεῦδος γὰρ πρὸ τοῦ ἐπινοοῦντος αὐτὸ οὐκ ἂν εἴη· παραπλησίως δὲ καὶ σκότος οὐ δεδημιούργηται μὲν, παρεισέρχεται δὲ, σκιὰ τοῦδε τοῦ παντὸς ὑπάρχον· πλὴν ὅσον τὸ μὲν σκότος οὐ μόνον ὑποτρέχειν συγκεχώρηται, ἀλλὰ καὶ λίαν ὠφελίμως· τοῦ δὲ ψεύδους ἡ ἐπίνοια τὴν μὲν αἵρεσιν διασαφεῖ τῆς ἀληθείας παρὰ ἀνθρώποις· προτιμηθεῖσα δὲ τῆς ἀληθείας, βλαβερωτάτη γέ ἐστι, καὶ μάλα γε εἰκότως· ψεῦδος γὰρ πρὸς ἀνθρώπων ἐπινοεῖται, σκότος δὲ τὸ σωματικὸν παρὰ Θεοῦ κεῖται. Διὸ χρὴ τὸ μὲν νοοῦντα φεύγειν, τὸ δὲ μὴ λοιδορεῖσθαι, ἀναγκαίως πρὸς ταῦτα Δημιουργοῦ κείμενον.

Igitur ex iis quæ dicta sunt, patefit, per se mendacium non esse; mendacem vero esse eum qui mentitur; a mentiente enim vocatur mendacium; non autem mentiens vocatur ab eo, quod non est. Mendacium enim non potest esse antequam cogitetur: similiter tenebræ non sunt creatæ, sed subierunt, factæ umbra universi: præterquam quod tenebræ non solum subire permissæ sunt, sed valde etiam utiliter. Cogitatio vero mendacii electionem veritatis apud homines declarat. Cum vero anteponitur veritati mendacium, nocentissimum est, idque valde D consentanee; mendacium enim ab hominibus excogitatum est, tenebræ vero corporeæ a Deo positæ sunt. Idcirco oportet illud quidem fugere; hoc vero non vituperare, quod necessario a Creatore positum est.

Cap. XX. *Manetis stultitia, negantis feras a Deo fuisse creatas.*

Λοιδορεῖται μὲν οὐ τοῦτο μόνον ὁ τῆς κενωτάτης κατὰ Θεοῦ βλασφημίας εὑρετὴς, ἀλλὰ καὶ ζώοις τοῖς ἀγρίαν φύσιν παρὰ τοῦ Δημιουργοῦ λαχοῦσι, σαφῶς δίκην ἐχθροῦ τὰ πάντα φιλαιτίου κατὰ τῶν δημιουργημάτων κινούμενος. Ἐλέγξει δὲ ὁ λόγος τοῦ ἀπατεῶνος τὴν ἄλογον καὶ ἐν τούτοις βλασφημίαν.

Vituperat autem non has solum iste inauditæ contra Deum blasphemiæ inventor; sed etiam animantes, quæ naturam sævam sortitæ sunt a Creatore; more inimici qui omnia accusans, in creaturas Dei invehitur. Sed blasphemiam amentem et vecordem istius deceptoris in hujusmodi animantibus sermo noster redarguet.

Θηρία γὰρ ἅπαντα τετράποδά τε καὶ ἑρπετὰ κα-

Omnes enim feras ac bestias, quadrupedes ac

Digitized by Google

serpentes cum vituperat, perinde mihi facere videtur, ut si quis servus deditus peccatis et improbissimus, alia quidem domini et auctoris sui approbet, odio autem habeat et criminetur flagellum solum quod apparet ; qui ipso quidem odio ostendit, quam necessarium sit flagellum appositum : homines enim faciles et parati ad capiendam oblivionem contra Deum, si nihil haberent in fabrica mundi quod dignum esse metu appareret, amplius quidem procederent animo et voluntate contra Deum ; accusati vero essent non recte, utpote nulla re earum quæ apparent excitati. Etsi enim natura inest nobis libertas ad eligendum quod melius est, tamen propter ignaviam facile in oblivionem incidimus. Multa igitur sunt quæ necessario cogitationem nostram ad Deum timore excitant : sicut rursus plurima, quæ hanc cogitationem per benignitatem, et bonis fruendi copiam et facultatem ad agendas gratias Creatori movent : utrisque enim eruditur, et instituimur iis quibus tanquam bonis fruimur, et iis quibus tanquam horribilibus et pertimescendis convertimur.

A κίζων, παραπλήσιόν τι πάσχειν μοι δοκεῖ, ὥσπερ ἂν εἴ τις φιλαμαρτήμων δοῦλος καὶ λίαν πονηρὸς, τὰ μὲν ἄλλα τοῦ δεσπότου αὐτοῦ ἀκαταιτίατα ἀποδέχοιτο, μισοίη δὲ καὶ διαβάλλοι μάστιγά που καὶ μόνον φαινομένην· αὐτῷ γε τῷ μισεῖν ὁ τοιοῦτος δεικνὺς, ὡς ἀναγκαῖον τὸ παρακείμενον· ἄνθρωποι γὰρ, πρὸς τὴν κατὰ Θεοῦ λήθην πρόχειροι τυγχάνοντες, εἰ μηδὲν ἄξιον δέους φαινόμενον εἶχον ἐν δημιουργίᾳ, πλέον μὲν ἂν ἐχωρίσθησαν προθέσει τοῦ Θεοῦ, ἠτιάθησαν δὲ οὐκ εὐλόγως, ἅτε δὴ διὰ μηδενὸς τῶν φαινομένων διεγειρόμενοι. Εἰ γὰρ δὴ καὶ πρόσεστιν ἡμῖν φύσει τὸ ἐλευθέριον πρὸς αἵρεσιν τοῦ κρείττονος, ἀλλά γε διὰ ῥᾳστώνης ῥᾳδίως εἰς λήθην ἐμπίπτομεν. Πολλὰ τοίνυν ἐστὶν ἀναγκαίως τὰ διεγείροντα τῷ δέει πρὸς τὸν Θεὸν τὸν ἡμέτερον B λογισμόν· ὥσπερ αὖθις πάμπολλα τὰ κινοῦντα τοῦτον διὰ χρηστότητος καὶ ἀπολαύσεως ἀγαθῶν εἰς χάριτος ὁμολογίαν τοῦ Δημιουργοῦ· ἑκατέροις γὰρ ἀποπαιδαγωγούμεθα, οἷός τε ὡς ἡδέων ἀπολαύομεν, καὶ οἷς ὡς διὰ φοβερῶν ἐπιστρεφόμεθα.

Cap. XXI. *Nulla malitia sine cognitione et libertate.*

Quod igitur sævum est natura, horribile est, sed non malum ; malitia enim et nequitia affectio cogitationis sunt. Appetitus autem naturalis sic factus, ab omni culpa et crimine liberatus est. Deus autem misericordia erga homines motus, fecit, ut metu C et horrore bestiarum ratione carentium, prohibitatem quæ ad partem rationis compotem pertinet, consectaremur : et nihil in hujusmodi bestiis ac feris malum ; quod enim non novit quod est, quomodo malum est? ut jam non minus sic redarguatur, quod Manichæus tradit de nequitia, quam finxit et ingenitum principium vocat : non enim tribuit ei cogitationem et cognitionem nequitiæ, ne si reperiatur habere sensum boni, hac ratione appareat, non esse nequitia : cognitio enim boni testimonium est naturæ non malæ. Manichæus vero, cum nequitiam statuit ratione carere, et cognitione privatam esse, eam etiam privat cognitione ejus, quod ipsa est.

Φοβερὸν τοίνυν τὸ ἄγριον κατὰ φύσιν, οὐ πονηρόν· πονηρία γὰρ καὶ κακία λογισμοῦ πάθος· ὁρμὴ δὲ φυσικὴ οὕτω κατεσκευασμένη πάσης αἰτίας ἀπήλλακται. Θεὸς δὲ, φειδόμενος ἀνθρώπων, πεποιηκεν, ἵνα τῷ δέει τῶν ἀλόγων τὸ λογικὸν τῆς καλοκαγαθίας μεταδιώξωμεν· καὶ κακὸν ἐν τούτοις οὐδέν· ὃ γὰρ μὴ οἶδεν ὅτι ἐστὶν, πῶς κακόν ἐστιν; ὡς οὐχ ἧττον καὶ οὕτως τῷ Μάνεντι καὶ ὁ περὶ τῆς κακίας αὐτῆς, ἣν πλασάμενος ἀρχὴν ἀγέννητον καλεῖ, λόγος διελέγχεται· λογισμὸν μὲν γὰρ αὐτῇ καὶ γνῶσιν κακίας οὐ δίδωσιν, ἵνα μὴ καὶ τἀγαθοῦ τὴν αἴσθησιν ἔχουσά γε εὑρεθῇ· οὕτω γὰρ ἀποδειχθείη μὴ οὖσα κακία· γνῶσις γὰρ ἀγαθοῦ μαρτυρία φύσεως οὐ κακῆς· ἀλόγιστον δὲ καὶ γνώσεως ἔρημον αὐτὴν ὁριζόμενος, τοῦ ὅπερ ἐστὶ καὶ αὐτὴ τὴν γνῶσιν αὐτὴν ἀφαιρεῖται.

Si enim sentiat et cognoscat, quod mala est, sentiet omnino contrarium evadens bona. Siquidem malum ratione deprehenditur sensu et comparatione boni : ut si manifestum sit malum, contrarium quoque sit manifestum ; omne enim contrarium probatio et index est contrarii, cognitione tamen et judicio. Sine cognitione enim neutrum est alterius judicatio. Si igitur nequitia se ipsam ignorat, et cogitatione non suscipit malum, non erit nequitia ; frustra et vane accusabitur ; nequitia enim libera a ratione similis est phrenetico, id est, furioso in febre aut in alio casu ; qui quod facit, nescit, cui omnes ignoscere consuevimus, ac magis quidem ad luctum flectimur, a nequitia eum liberantes ; cum sine causa percutit, aut etiam occidit, si gladium reperiat. Sic omnibus hoc manifesto patet ; et hoc judicium commune est ac naturæ con-

Εἰ γὰρ αἴσθηται καὶ γνῷ κακυνομένη, αἰσθησεται πάντως τοῦ ἐναντίου ἀγαθυνομένη· ϕωρᾶται γὰρ D λογισμῷ τὸ κακὸν τῇ αἰσθήσει, καὶ τῇ παραθέσει τοῦ ἀγαθοῦ· ὡς, εἰ δῆλον ὑπάρχοι, τοὐναντίον κατάδηλον ἔσται· ἔλεγχος γὰρ πᾶν ἐναντίου ἐναντίον γνώσει μέντοι καὶ κρίσει· ἄνευ δὲ γνώσεως, οὐδέτερον θατέρῳ δῆλον. Εἰ τοίνυν καὶ ἑαυτὴν ἀγνοεῖ, καὶ λογισμῷ μὴ μέτεισι τὸ κακὸν ἡ κακία, οὐκ ἂν εἴη κακία· μάτην δ' ἂν ἐγκαλοῖτο· ὁμολογεῖ δὲ, ὅτι ἐστὶ λογισμοῦ κακία ἐλευθερουμένη· αὐτίκα φρενῖτις ἐν περιστάσει πυρετῶν, ἢ ἄλλου τινὸς συμπτώματος· οὐκ εἰδότι ὃ ποιεῖ συγγινώσκειν ἅπαντες εἰώθαμεν, μᾶλλον μὲν οὖν καὶ εἰς οἶκτον ἐπικαμπτόμεθα, κακίας ἐλευθεροῦντες τὸν μάτην μὲν τύπτοντα, εἰ δὲ ξίφος εὕροι, καὶ φονεύοντα. Οὕτω γε πᾶσι κατάδηλον, καὶ κρίσις αὕτη κοινή τε καὶ φύσεως ἀκολουθία, τὸ μὴ κακὸν ὀνομάζειν τὸ οὐκ εἰδὸς ὅ τι δρᾷ. Εἰ τοίνυν

Digitized by Google

μήτε τὸ γινῶσκον ἀγαθὸν κληθείη ἀναγκαῖον, μήτε τὸ ἀγνοοῦν ἑαυτὸ, ὅτι δόξειεν ἂν εἶναι κακία· τὸ μὲν ὅτι μηδ' αὐτὸς τίθησι, τὸ δ' ὅτι πεπλανημένως, καὶ ἐκτὸς τῆς κοινῆς δόξης θέμενος ὁρίζεται. Οὕτως οὐδὲ θηρίον οὐδὲν κακὸν, λογισμοῦ ἐστερημένον· ἄνθρωπος δὲ κακοήθης κακὸν ἂν εἴη, λογισμῷ μετιὼν, ἅπερ ἥκιστα ἀγνοεῖ· ἡ γὰρ τοῦ λογισμοῦ τῆς φύσεως προσθήκη φέρει τῆς κακίας τὸ ἔγκλημα, προκατασκευάζουσα δῆλον εἶναι τὸ πραττόμενον· ἡ δὲ τῆς γνώσεως ἀφαίρεσις τῆς αἰτίας. Οὕτω δὴ γνοὺς μὲν ἄνθρωπος ἄμφω, ἀρετήν τε καὶ κακίαν, ὅπερ ἂν ἕληται, φθάνει γὰρ ἡ γνῶσις τὴν αἵρεσιν, ἀπ' ἐκείνου καλεῖται· πρὶν δὲ γνῶναι νήπιον ὑπάρχον, οὐδέτερον τῶν ἄκρων καλεῖται. Δῆλον τοίνυν πανταχόθεν, ὡς τῷ λογισμῷ καὶ τῇ μετὰ τὴν γνῶσιν αἱρέσει κακίαν τε καὶ ἀρετὴν λογιζόμεθα. Τὰ τοίνυν ἀμέτοχα λογισμοῦ θηρία οὐκ ἂν εἴη κακὰ, οὐδὲ ἐκ κακίας προενηνεγμένα· ἐπειδήπερ κἂν ἐκείνη οὕτως ἔχοι, οὐκ ἂν εἴη κακία.

A sectarium, non nominare malum, si ignorat, quod facit. Si igitur neque id quód cognoscit, bonum necessarium vocabitur; sequitur neque id quod se ipsum et quid sit, ignorat, nequitiam esse: quorum alterum neque ipse admittit, alterum vero per errorem et contra communem existimationem statuit. Sic neque fera ulla mala est, cum sit rationis expers: homo vero male moratus, malus est, qui ratione utens capessit quæ non ignorat: accessio enim rationis ad naturam, nequitiæ crimen inducit; præparat enim ratio cognitionem actionis susceptæ; privatio autem cognitionis privatio est culpæ et criminis. Sic homo utrumque cognoscens, virtutem scilicet et vitium, ab eo quod eligit, nominatur; antecedit enim electioni cognitio: prius autem B quam cognoscat, dum puer parvus est, a neutro extremo nominatur, id est neque bonus neque malus dicitur. Quamobrem ex omni parte liquet, virtutem et vitium rationi, et post rationem electioni attribui. Bestiæ igitur quæ non sunt rationis participes, non sunt nequam, nec a nequitia productæ, quia si illa ita se habeat, non est nequitia.

Cap. XXII. *Serpentium ac morborum utilitas.*

Ἄλλως τε ἴδοις ἂν πολλάκις καὶ τῶν ἑρπετῶν αὐτῶν τὸ χαλεπώτατον, λέγω δὴ τὸν ἰὸν, εἰς ἰατρείαν πρὸς τῶν ἀκριβεστάτων ἰατρῶν λαμβανόμενον, καὶ τῇ τῶν ἀπομάχεσθαι δυναμένων παραμίξει καθαίροντα τῶν παθῶν ἔστιν ὅτε τὰ χαλεπώτατα· τὰς δὲ σάρκας αὐτὰς ἑτέρων εἰδῶν τε καὶ βοτανῶν συμπλοκῇ φάρμακον ἄριστον σώμασιν ἀποτελούσας. Παραπλησίως δὲ καὶ τῶν ἄλλων θηρίων· μέρη γάρ τινα καὶ μέλη, καὶ αἷμα καθ' αὐτὸ πολλάκις εὐεργετοῦσι κάμνοντας. Πῶς οὖν ἐκ κακίας ἐστὶ τὰ ἐν μέρει καὶ ὠφελοῦντα; Ταῦτα τοιγαροῦν ἅπαντα χρήσιμα μόνον δι' ἀνθρώπους ἡγητέον· οὔτε δὲ ἀγαθὰ οὔτε κακὰ προσαγορευτέον, δέος μόνον ἀνθρώποις ἀναγκαίως ἐμποιοῦντα πρὸς ἐπιστροφὴν τοῦ κρείττονος· καὶ τὸ ἀργὸν αὐτῶν ἀργίας παρὰ ἀνθρώποις κωλυτικόν· κεῖται γὰρ αὐτὰ μάστιγος δίκην φαινομένης ἐν οἴκῳ πρὸς κατασκευὴν εὐλαβείας τῶν οἰκετῶν, εἴ τις ἀργήσειεν, ἢ εἴ τις πλημμελοίη τῶν κατὰ τὴν ἑστίαν· εἰ δὲ πονηροὺς ἔστιν ἰδεῖν μηδὲν ὑπὸ τούτων βλαπτομένους, θαύμασον τοῦ Δεσπότου τὸ ἀνεξίκακον. Οὐδὲν δὲ ἧττον νοητέον τὴν παρακειμένην μάστιγα· τοὐναντίον δὲ, εἰ χρηστοὶ περιπίπτοιεν τούτοις, ἰστέον, ὡς, ἀγαθοῦ πλημμελοῦντος, φείσαιτ' ἂν πρὸς ἐπιστρέφειαν ὁ Δεσπότης, οὐχὶ δὲ τοῦ λίαν ἀπεγνωσμένου. Ὁ μὲν γὰρ ἁμάρτημα πλημμελεῖ, ὁ δὲ τηρεῖται πρὸς ἀνίατον τιμωρίαν· τοιαῦτα γὰρ ὑποδείγματα πάμπολλα ἴδοιμεν ἂν ἐν ταῖς θείαις Γραφαῖς ὑστερούμενα. Μέλει τοίνυν πάνυ γε Θεῷ ἀνθρώπου· διὸ παντοίως αὐτῷ τὰ ἀνακινοῦντα πρὸς εὐλάβειαν παρατέθεικεν· ὡς μηδὲ τὸν ὕπνον πυκνοτάτης ὀχλήσεως ἀπηλλάχθαι, ἀλλὰ καὶ τοῦτον, διὰ κνωδάλων τινῶν ἐμποδιζόμενον, κέντρου δίκην νύττειν τὸν λογισμόν· καὶ πολλά γε τὰ βοηθοῦντα τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ θαυμασίως πρὸς ἀνάμνησιν Θεοῦ· δι' ὧν γὰρ πάσχει σωματικῶς, παθῶν ψυχῆς ἐλευθεροῦται· καὶ δι' ων παθεῖν ἂν δυνηθείη, κἂν μὴ πάθῃ, πρὸς εὐλάβειαν ἐπιστρέφεται.

Præterea videre licet sæpenumero, quod est in serpentibus nocentissimum: venenum dico a medicis absolutissimis ad medicinam adhiberi, et mista cum iis quæ possunt auxiliari, gravissimos morbos interdum depellere; et ex ipsis carnibus, aliis generibus et herbis admistis optimum remedium corporibus confici. Similiter in aliis bestiis: C quædam enim partes et membra et sanguis, sola ac per se ægrotantibus conducunt. Quomodo igitur sunt ex nequitia, quæ ex parte sunt utilia et juvant? Hæc igitur omnia ducenda sunt utilia propter homines tantum; non autem appellanda sunt bona neque mala, quæ hominibus tantum necessario metum injiciunt, ut ad melius institutum se convertant: et otium bestiarum, atque vocatio earum a vocando, apud homines otium et inertiam prohibet: sunt enim posita ipsa instar flagelli apparentis in domo, ut metuant famuli ac ministri, si quis eorum se dedat otio, aut si quis domi delinquat. Si vero contingit videre has quas diximus, bestias nihil nocere improbis, admiremur in Domino tolerantiam malorum. Nihilominus tamen considerare D oportet flagellum propositum: contra vero si boni incidunt in has feras, advertendum est, quod Dominus bono delinquenti prospicit et cavet, non autem ei qui valde desperatus est. Ille enim peccat, quæ curari possunt; hic vero reservatur ad supplicium, quod evadi non potest: hujusmodi enim exempla permulta in divinis Scripturis videre ac legere licet. Magna itaque cura est Deo de homine, quamobrem omnibus modis proposuit, quæ eum ad timorem moverent et excitarent; ut neque somnus illi a creberrima molestia liber esset, quin hic etiam a quibusdam feris et serpentibus impeditus, cogitationem instar stimuli pungeret: ac multa quidem sunt quæ humanam infirmitatem juvant, ut

Digitized by Google

homo recordetur Dei ejusque memoriam habeat. Mirifice namque per ea quæ corpore patitur, a morbis animæ liberatur; et per ea quæ pati posset, quamvis non patiatur, ad timorem convertitur. Incidit quoque homo necessario in morbos corporis, ut peccatum, gravissimum morbum et qui solus vere morbus est, effugiat : qui enim non dolet, intemperans est; et qui peccat impune, funditus perit.

A Καὶ περιπίπτει σωματικοῖς πάθεσιν ἀναγκαίως ἄνθρωπος, ἵνα τὸ χαλεπώτατον καὶ μόνον ὡς ἀληθῶς πάθος διαφύγῃ τὴν ἁμαρτίαν· τὸ γὰρ ἀνάλγητον ἀκόλαστον· καὶ τὸ ἀτιμώρητα ἁμαρτάνον παντελῶς διαφθείρεται.

Si enim tam multis ac tantis ad timendum propositis, ex magna parte homines ex vacuitate timoris ægrotant; quomodo convictum et societatem inter se habere potuissent, si nullus eis metus ante oculos impenderet? Mollit igitur duriorem mentem morbus; et sæpenumero naufragium mercatores perjuriis assuetos mutavit; et rursus inopia opibus elatum depressit; orbitas filiorum correxit avaritiæ propter liberos deditum.

Εἰ γὰρ, καὶ τοσούτων παρακειμένων εἰς φόβον, ἀφοβίαν ὡς ἐπὶ τὸ πολὺ νοσοῦσιν ἄνθρωποι· πῶς ἂν συνεῖναι γοῦν ἀλλήλοις ἐδυνήθησαν, εἰ μηδὲν αὐτοῖς κατ' ὀφθαλμοὺς ἐπῆρτητο δέος; μαλάττει τοιγαροῦν καὶ νόσος διάνοιαν σκληροτέραν· καὶ ναυάγιον πολλάκις συμπεσὸν ἐμπόρων ἐπίορκον τρόπον μετέβαλε· πενία αὖθις κατήνεγκε τὸν ἐπαρθέντα πλούτῳ· παίδων στέρησις ἐσωφρόνισε τὸν διὰ παῖδας πλεονεκτοῦντα.

Quod si non correxit, exemplum saltem sentientibus præbuit : ac liberi quidem nullam prorsus jacturam aut damnum fecerunt, quinimo beneficium acceperunt ab institutione malorum parentum liberati· avaritia autem refellitur.

Εἰ δὲ μὴ ἐσωφρόνισε, τὸ ὑπόδειγμα τοῖς αἰσθανομένοις παρέσχε· καὶ οἱ μὲν παῖδες ἐβλάβησαν παντελῶς οὐδέν, μᾶλλον μὲν οὖν εὐηργετήθησαν, ἀγωγῆς φαύλων γονέων ἀπαλλαγέντες· τὰ δὲ τῆς πλεονεξίας διελέγχεται.

Cap. XXIII. *Jactura liberorum. Absoluta ratio rerum quas Deus gubernat, incomperta.*

Rursus alii cum parentes alioqui probos habeant, moriuntur, aut quia futuri erant indigni genitoribus suis, ne bonorum malæ columnæ exstent : aut si probi quidem sunt, evasuri tamen pravi mutatione morum, si crescerent, beneficio afficiuntur, non permanentes in malum suum, omnia Dei providentia et præcognitione sua gubernante. Admodum itaque necessarii sunt metus, et variæ atque infinitæ sunt causæ eorum quæ Deus dispensat ac providet; et sæpe sæpius eadem propter varias causas eveniunt. Ille ægrotat propter peccata, ut convertatur : alius propter virtutem, ut magis adhuc exerceatur; in testimonium item alius propter nimium peccatum, ut arguatur; et ejusdem casus variæ etiam causæ. Ille amittit opes male eis usus, Deo sic illi prospiciente ac præcavente : alius ut ad virtutem per inopiam se exerceat : alius sponte sua grave pondus divitiarum abjicit, ne sint ei impedimento ad virtutem. Neque facile quispiam perspicere potest absolutam rationem earum rerum quas Deus gubernat, ut hominibus consulat. Pauca vero quæ comprehensa sunt, fidem faciunt eorum quæ non sunt. Quædam enim ipse declarat hominibus, ut quodammodo ex iis quæ sentiunt, ascendere possint ad eum. Alia vero plurima obscuritate contegit, ne contra se fiat magister non credendi : nec enim decebat omnium quæ sigillatim fiunt, demonstrationes a Deo poscere; siquidem hujusmodi cognitio difficilior et pejor est quam ignorantia; hac enim ratione suadetur menti, quod addiscat; alioqui nihil eorum, quæ Deus gubernat, ad justam gubernationem referret. Melior autem est in Deum fides et charitas; et quamvis mens non perspiciat quæ fiunt, confidat tamen recte gubernanti. Siquidem in omnibus rebus adduci argumentis et probationibus, potius esset perfidia quam fides.

Ἄλλων αὖθις εὖ διακειμένων τελευτῶσιν, ἢ ὡς ἀνάξιοι τῶν φυσάντων γενησόμενοι, ἵνα μὴ στήλη κακὴ ἀγαθῶν ἀναστῶσιν· ἢ ἀγαθοί γε τυγχάνοντες, εἰ ἐπὶ πλέον αὐξηθεῖεν, ὡς ἐκ μεταβολῆς γενησόμενοι φαῦλοι, εὐεργετοῦνται, μὴ καθ' ἑαυτῶν διαμένοντες τῇ προγνώσει τοῦ Θεοῦ πάντα διοικοῦντος. Καὶ ἀναγκαῖοί γε λίαν οἱ φόβοι, καὶ ποικίλα καὶ ἄπειρα τῷ πλήθει τὰ αἴτια, ὧν δὲ Θεὸς οἰκονομεῖ· καὶ τὰ αὐτὰ πολλάκις διὰ ποικίλας προφάσεις συμβαίνει. Ὁ μὲν ἀῤῥωστεῖ δι' ἁμαρτίας ἐπιστρεφόμενος· ὁ δὲ δι' ἀρετὴν ἔτι μᾶλλον γυμναζόμενος εἰς μαρτύριον· ἄλλος διὰ ὑπερβολὴν κακίας ἐλεγχόμενος· καὶ τοῦ αὐτοῦ συμπτώματος ποικίλα τὰ αἴτια. Ὁ μὲν ἐκπίπτει πλούτου, μὴ καλῶς χρησάμενος· ἄλλος ὡς καλῶς χρησάμενος φειδοῖ Θεοῦ· ἄλλος δὲ πρὸς ἀρετὴν διὰ πενίας γυμναζόμενος· ἕτερος ἑκὼν ῥίπτει τῶν χρημάτων τὸ βάρος, ὡς μὴ πρὸς ἀρετὴν ἐμποδίζοιτο. Καὶ οὐκ ἂν μέν τις ῥᾳδίως κατίδοι τὴν κατὰ μέρος ἀκρίβειαν, ὧν ὁ Θεὸς ἀνθρώπων φειδόμενος οἰκονομεῖ· τὰ δὲ ὀλίγα καταλαμβανόμενα πίστις γίνεται τῶν μὴ καταλαμβανομένων. Τὰ μὲν γὰρ καὶ αὐτὸς ἀνθρώποις σαφηνίζει, ὡς ἂν ἔχοιεν ἀναβάσει κεχρῆσθαι τρόπον τινὰ πρὸς αὐτὸν, δι' ὧν ἐπαισθάνονται· τὰ δὲ πλεῖστα κρύπτει δι' ἀσαφείας, ἵνα μὴ γένηται τῆς καθ' ἑαυτοῦ γε ἀπιστίας διδάσκαλος· οὐδὲ γὰρ προσῆκε τῶν γινομένων ἑκάστου παρὰ Θεοῦ τὴν ἀπόδειξιν ἀπαιτεῖν· ἐπεί τοι χαλεπώτερα γίγνεται τῆς ἀγνοίας ἡ τοιαύτη γνῶσις, ὡς διὰ τοῦτο δυσωπουμένου τοῦ νοῦ, ὅτι μανθάνοι· ἄλλως δ' ἂν οὐκ ἂν δεξαμένου πρὸς δικαίαν οἰκονομίαν οὐδὲν ὧν διοικεῖ Θεός. Βελτίων δὲ ἡ πρὸς Θεὸν πίστις τε καὶ διάθεσις· καὶ δίχα τοῦ καθορᾶν τὸν νοῦν τῶν πραττομένων, θαῤῥεῖν τῇ τοῦ διοικοῦντος ὀρθότητι· ἐπεί τοι τὸ δι' ἀποδείξεων πανταχοῦ προσδιδάζεσθαι ἀπιστίᾳ σαφὴς μᾶλλον ἢ πίστις ἂν εἴη.

Digitized by Google

Οὐδὲ φίλους γνησίους πολλοὶ περιεργάζονται τῷ ἀνεξετάστῳ τῆς συνουσίας τὸ γνήσιον νέμοντες, ὡς ῥᾳδίως ἐπ' ἀπιστίᾳ διαβαλλόμενοι, εἰ μηδέποτε τὸ θαῤῥεῖν τούτοις μετά γε τὴν πεῖραν παρέχοιντο. Οὕτω δὴ καὶ Θεὸς, μάλιστα βουλόμενος ἡμᾶς διακεῖσθαι πρὸς ἑαυτὸν, οὐχ ἅπασαν τῆς ἑαυτοῦ προνοίας σαφηνίζει τὴν ἐνέργειαν· ἐθέλει γὰρ ἡμᾶς πιστεύειν αὐτῷ, οὐ μὴν οὐδ' ἅπασαν ἀποκρύπτει, ἀλλὰ δι' ἐνίων ὑποδειγμάτων ὑπερείδει τρόπον τινὰ τὸν ἡμέτερον νοῦν.

A Imo plerique in veros et germanos amicos non inquirunt curiose, legitimam ac germanam amicitiam hoc ipso reddentes, quod cum amicis sine curiositate versantur : tanquam facile accusationem perfidiæ incurrentes, si nunquam post periculum factum ipsis confidant. Sic etiam Deus, cum maxime velit, ut simus erga ipsum bene animati, non omnem providentiæ suæ vim et efficientiam declarat : vult enim ut ei credamus ; neque rursus omnem nos celat, sed quibusdam exemplis quodammodo mentem nostram sustentat.

Οἱ μὲν οὖν εὐγνώμονες τῇ προθέσει καὶ εὐσεβέστατοι, ἅμα τε διαίσθονται, καὶ τὴν μνήμην εἰς ἀεὶ παραμένοντες διατηροῦσι, γῆς τρόπον ἀγαθῆς σπέρματα δεξαμένης ἀνθοῦντες πρὸς τὰ καλά.

Qui igitur animo grato et pio sunt, simul sentiunt, et memoriam semper conservant instar terræ bonæ satæ, florescentes in studio virtutum.

Οἱ δὲ πλείονι βαρύτητι τῆς συνηθείας τῶν ἁμαρτημάτων κεχωσμένοι τὸν νοῦν, ἢ ἑτέρων προλήψει κατὰ Θεοῦ πλασμάτων, οἷα δὴ καὶ ὁ Μάνης ἐξήνεγκε, καὶ παρ' ἄλλοις εὕροι τις ἄν, κρούονται μὲν τὴν διάνοιαν, διακρούονται δὲ τῶν ὑποδειγμάτων τὴν αἴσθησιν καὶ τὸ ὄφελος.

B Qui vero mentem habent magna gravitate consuetudinis peccatorum obrutam et oppletam, aut anticipatione aliarum contra Deum fictarum cogitationum, quales Manichæus deprompsit, et quales apud alios reperiuntur; pulsatur quidem eorum mens, sed repellunt sensum exemplorum et utilitatem.

Cap. XXIV. *Prædicatur Dei providentia circa animalia homini inutilia.*

Ταῦτα μὲν προσκείσθω περὶ τῆς καθόλου προνοίας τοῦ τῶν ὅλων Θεοῦ. Ἦν δὲ τὸ ἐξεταζόμενον ἡμῖν, περὶ θηρίων ἁπάντων, καὶ ἀπεδείκνυτο τοῖς κατὰ φύσιν λογισμοῖς οὔτε κακὰ οὔτε ἐκ κακίας τινὸς ταῦτα· χρήσιμα δὲ λίαν ἀνθρώποις εἰς δέους κατασκευήν. Εἰ γὰρ ἅπαντα τὰ κατὰ τὴν δημιουργίαν ἡδέα μόνον ἐτύγχανε καὶ ἱλαρότητος ἔμπλεα, C καὶ μηδὲν ἦν παντελῶς τὸ ἠρέμα γοῦν ἐκφοβοῦν· χαλεπῶς ἂν ἔδοξαν ἄνθρωποι παιδαγωγεῖσθαι πρὸς ἀφοβίαν.

Atque hæc quidem adjecta sint generatim de providentia Dei universorum. Erat autem nobis quæstio de omnibus feris; demonstratumque est rationibus ex natura ductis neque malas esse, nec ex ullo malo principio profectas, utiles vero esse hominibus ad incutiendum metum. Si enim quæ in mundo facta sunt, suavia essent et hilaritatis plena, nihilque omnino esset, quod vel sensim perterrefaceret; grave et durum visum esset hominibus instrui ad non timendum.

Ἔχει δὲ ταῦτα καὶ ποικιλίας κόσμον, καὶ τῷ φοβερῷ καταμεμιγμένην τὴν εὐπρέπειαν. Αὐτίκα καὶ πρὸς τούτοις ἔστιν ἕτερα, ἃ μήτε τρέφειν ἀνθρώπους ἐπιτήδεια, μήτε περιβολὴν ἐνδυμάτων παρέχειν· μήτ' οὖν θηριώδη καὶ ἄγρια τυγχάνει, μόνον δὲ κόσμον τὴν ποικιλίαν ἀναπληροῖ· καὶ δῆλον, ὡς ἅπαντα ἥρεμά τε καὶ ἄγρια, καὶ τὰ μέσως ἔχοντα ἑνὸς ὑποβεβλημένα δημιουργίᾳ τε καὶ βουλήματι διαμένοι, τὴν δὲ ἀλληλοφθορίαν διαφεύγοντα, καὶ ποικίλοις πλεονεκτήμασιν ἠσφαλισμένα· τὰ μὲν γὰρ ἰσχὺν ἄμαχον ἔχει· τὰ δὲ ἀσθενέστερα τῷ τάχει τῆς D φύσεως τὴν σωτηρίαν πορίζεται, καὶ ἄλλα ἄλλως ὥπλισται· καὶ τὰ δοκοῦντα ἄοπλα τυγχάνειν ἄλλον τινὰ τρόπον μεμηχανημένην ἔχει τὴν ἀσφάλειαν· ἢ γὰρ πτηνῶν ἔλαχε φύσιν, ἢ ὑπὸ γῆν διαλανθάνει. Οὕτω τὸ μὲν κόσμιον ὁ Δημιουργὸς τῇ ποικιλίᾳ πεπόρισται, ἐπανιστῶν δὲ τὰ διάφορα τοῖς πᾶσι διανέμει τὴν ἀσφάλειαν ὡς ἂν μηδὲν γένος τούτων ἀσθενείᾳ φύσεως προδοθὲν παραπόληται. Οὕτω δὲ καὶ πρὸς τὰς ὥρας ἠμφίεσται περιβολαῖς αὐτομάτοις, ὁριξί τε πυκναῖς καὶ στερεαῖς δέρμασι, χειμῶνός τε καὶ καύματος ἀποκρούσασθαι τὴν βλάβην ἱκανοῖς, τὴν δὲ ἐπὶ γῆς ἀνάκλισίν τε καὶ ἀνάπαυλαν εὐμαρεστέραν ἀπεργαζομένοις, ὡς αὐτοφυῆ στρωμνὴν ὑποκεῖσθαι δοκεῖν· καὶ τὰ μὲν ὀλιγογόνια ἔλαχεν, ἢ

Habent autem hæc etiam varietatis ornatum et decorem cum terrore mistum. Præter hæc etiam continuo sunt alia animalia, quæ nec idonea sunt ad alendum homines, neque possunt præbere eis vestitum; neque rursus ferina sunt et sæva, sed solum varietatem mundi complent; manifestumque est omnia animalia mansueta, et non mansueta, et quæ sunt interjecta, unius creatione et voluntate permanere, nec a se ipsis vicissim interire, variis modis excellenter munita : alia enim prædita sunt invicto robore, alia vero infirmiora velocitate naturali se tuentur; alia aliter armata sunt: et quæ videntur armis carere, alia quædam forma munitionis tuta sunt : aut enim naturam volucrum sortita sunt, aut sub terra latent. Sic fabricator mundi ornatum confecit varietate; et redigens ad æqualitatem quæ sunt diversa, omnibus distribuit tuitionem sui, ut nullum genus horum imbecillitate naturæ proditum pereat. Ad commutationes temporum induuntur tegumentis suapte natura ortis, et pilis densis ac duris coriis, quæ hieme et in æstu ad propulsandum incommodum idonea sunt, et quæ faciunt ut facilius recubent et requiescant, ut videatur suapte vi et natura supposita eis stragul : : ac partim quid m parum fecunda sunt,

Digitized by Google

aut tanquam difficilia ad capiendum, aut tanquam diuturnæ vitæ; alia vero quæ facile capiuntur, et ad utendum quotidie tradita sunt, fecunditate sua durant et servantur.

A ὡς δυσάλωτα, ἢ ὡς πολυχρόνια· τὰ δὲ εὐάλωτα, καὶ τῇ καθ' ἡμέραν χρήσει παραδεδομένα, τῇ πολυγονίᾳ διαρκεῖ τε καὶ σώζεται.

Cap. XXV. *Nullæ herbæ lethiferæ.*

Alimenta vero aliud animal alia habet, atque omnibus abunde apposita sunt; ita ut nulla herba ex iis etiam quæ mortiferæ videntur esse, natura sit mortifera: quod enim alteri generi nocet, alteri prodest. Salutare autem et pestiferum simul natura quomodo hoc esse potest? differentia autem his utentium varietatem quæ in his inest, requirit, ut in animantibus ratione carentibus vestigium quoddam appareat rationis, legis scilicet ejus qui ea creavit. Nihil enim horum ignorat, quod sibi cognatum est, neque propter naturam ferinam et rationis expertem, quod pestiferum sibi est tanquam aptum ad nutriendum adhibet: quin potius unumquodque, quod sibi commodum est, appetit et prosequitur. Si enim omnis herba et radix omnibus esset accommodata et congruens, minus patefieret, quod lex Creatoris etiam in animantibus ratione carentibus viget et dominatur.

Τροφὰς δὲ ἄλλοτε ἄλλας ἔχει, καὶ τοῖς πᾶσιν ἄφθονος ἡ χορηγία πρόκειται· οὕτω γὰρ οὐδὲ τῶν θανασίμων γε εἶναι νομιζομένων βοτανῶν οὐδεμία τῇ φύσει γε ὀλέθριος γεγένηται· τὸ γὰρ ἄλλῳ γένει βλαβερὸν, ἑτέρῳ δὲ ὠφέλιμον. Ὀλέθριον καὶ σωτήριον ἅμα τῇ φύσει τοῦτο πῶς ἂν γένοιτο; ἡ δέ γε τῶν χρωμένων γενῶν διαφορὰ τὸ ποικίλον τῆς ἐν τούτοις παρασκευῆς ἀπαιτεῖ, ἵνα καὶ ἐν τοῖς ἀλόγοις ἴχνος λόγου δειχθείη νόμῳ τοῦ δημιουργήσαντος. Οὐδὲν γὰρ τούτων ἀγνοεῖ τὸ οἰκεῖον ἑαυτῷ· B οὐδὲ διὰ τὴν ἄλογον καὶ θηριώδη φύσιν, ὡς τρόφιμον τὸ ἑαυτοῦ θανάσιμον προσφέρεται· ἀλλ' ἐπὶ τὸ αὐτῷ γε ὠφέλιμον ἕκαστον ὁρμᾷ. Εἰ γὰρ ἅπασα βοτάνη καὶ ῥίζα τοῖς πᾶσιν ὑπῆρχεν ἐπιτηδεία, ἧττον ἂν ἐδείχθη τοῦ δημιουργήσαντος ὁ νόμος, καὶ ἐν τοῖς ἀλόγοις κρατῶν.

At vero esse hoc quibusdam nocens, aliis autem id ipsum salutare, clarius sapientiam Dei in omnibus prædicat; qua factum est, ut esset in animantibus ratione carentibus vis quædam naturæ qua ea quæ apposita sunt, discernerent. Quæ si naturaliter in singulis non inesset, merito ac recte ea quæ nocent, accusarentur tanquam a nequitia edita et orta.

Τὸ δὲ βλαβερὸν ἐνίοις, ἑτέροις δὲ ταυτὸ σωτήριον παρακείμενον, τρανεστέραν τὴν ἐν τοῖς πᾶσι σοφίαν κηρύττει· ὅτι καὶ ἐν τοῖς ἀλόγοις φυσική τίς ἐστι τῶν εἰς τροφὴν παρακειμένων ἡ διάκρισις· ἧς φυσικῶς γε ἑκάστῳ μὴ ἐνούσης, εὐλόγως ἂν τις κατηγόρησε τῶν βλαβερῶν ὡς ἐκ κακίας προενηνεγμένων.

C

Sin vero in animalibus naturalis quædam vis discernendi, judicium præoccupavit, et unumquodque sibi conveniens eligit; omnis videlicet herba, et radix utilis est, etsi non omnibus: varia autem sunt varie apposita.

Εἰ δέ γε προῦλαβεν ἐν τοῖς ζώοις ἡ φυσικὴ διακρισις τὴν κρίσιν, καὶ τὸ οἰκεῖον ἕκαστον ἐκλέγει, πᾶσα δηλαδὴ βοτάνη καὶ ῥίζα χρήσιμος, εἰ καὶ μὴ τοῖς πᾶσι, ποικίλα δὲ τὰ ποικίλως παρακείμενα.

Cap. XXVI. *Contra ferrum et ignem mentitur Manes*

Hoc igitur modo Manichæi qui omnia criminari studuit, refellenda et evertenda est accusatio herbarum pestilentium. Sic enim et contra ferrum et contra ignem mentitur, faciens in his contra quam vult. Qui enim accusat materiam, quam esse inaniter fingit, rursus apparet tanquam defensor et patronus ejus, eis succensens tanquam malis qui materiam consumunt: ferrum autem et ignis seminata sunt in terra ab ipso mundi Auctore; inventa vero sunt ratione ab homine, id Deo concedente. Sine his autem penitus manca esset vita hominum.

Περιγραπτέον τοίνυν τοῦτον τὸν τρόπον καὶ τὴν κατὰ τῶν θανασίμων λεγομένων βοτανῶν κατηγορίαν τῷ Μάνεντι πάντα διαβάλλειν ἐσπουδακότι· οὕτω γὰρ καὶ σιδήρου καὶ πυρὸς καταψεύδεται, τοὐναντίον ποιῶν καὶ ἐν τούτοις, οὗ βούλεται· κατηγορῶν γὰρ τῆς ὕλης, ἣν εἶναι μάτην φαντάζεται, D αὖθις ὥσπερ τις προστάτης καὶ συνήγορος αὐτῆς ἀναφέρεται, τοῖς γε δαπανῶσι τὴν ὕλην ὡς κακοῖς ἀπεχθανόμενος· σίδηρος δὲ καὶ πῦρ κατέσπαρται μὲν ἐν γῇ πρὸς τοῦ δημιουργήσαντος· ἐξευρέθη δὲ ἀνθρώπου λογισμῷ κατ' ἐπιτροπὴν Θεοῦ· τούτων γὰρ χωρὶς παντελῶς ἠκρωτηρίαστο ἀνθρώποις ὁ βίος.

Etenim si judicavit Manichæus nocentia esse, quia consumunt et interimunt corpora ferro et igni objecta, quanto magis apparebunt utilia et salutaria propter usum suum ad omnia necessarium. Si vero abdita sunt et latentia in fabrica mundi, hæc autem a principio ratio hominis adinvenit; cui assignabimus rationem hominis horum inventricem? an nequitiæ et materiæ quæ cognitionem non habet, ut Manichæus est auctor, an Deo? At per-

Εἰ γὰρ βλαβερὰ πρὸς τοῦ Μάνεντος νενόμισται τῷ καταφθείρειν τὰ παραβαλλόμενα σώματα, πολλῷ μᾶλλον ὠφέλιμά τε καὶ σωτήρια φανήσεται τῇ ἀναγκαίᾳ χρήσει πρὸς ἅπαντα. Εἰ δὲ λανθάνοντα ἐνυπάρχει τῇ δημιουργίᾳ, ἀνθρώπου δὲ ταῦτα λογισμὸς τὴν ἀρχὴν ἐξεῦρε, τίνι λογιστέον τὸν εὑρόντα λογισμόν; ἆρα τῇ μὴ ἐχούσῃ γνῶσιν κακίᾳ τε καὶ ὕλῃ κατ' ἐκεῖνον, ἢ τῷ ἀγαθῷ; Ἀλλὰ δῆλον, ὡς λογισμοῦ σοφία ἀγαθόν τε καὶ ἀγαθοῦ δῶρον. Τίνι δὲ

Digitized by Google

αὐτομάτως ἀφήλατό ποτε σίδηρος, ὁ τῇ χρήσει τοῦ λογισμοῦ μόνον ὑποβεβλημένος καὶ πάσῃ τέχνῃ δουλεύων;

A spicuum est sapientiam rationis et bonum esse, et munus boni. In quem suapte vi insiluit unquam ferrum, quod usui rationis tantum subjectum est, et omni arti servit ac ministrat?

Ἀλλὰ φονεύει, Μάνης φησὶ, δι' αὐτοῦ ἄνθρωπος, καὶ πρὸς τὸ ἐργαλεῖον ἡ κακοτεχνία τοῦ χρωμένου· ὡς, εἰ μὴ ἦν ὁ τοῦτον τὸν τρόπον χρώμενος, οὐκ ἄν γε ἔδοξεν εἶναι σίδηρος κακός. Εἰ γὰρ βουλεύσαιτο μὲν ὁ φονεὺς δρᾶσαι φόνον, διαμάρτοι δὲ τῆς πράξεως, ἆρά γε οὐ δῆλον, ὡς ἡ μὲν πρόθεσις τὸ ἔργον διεπράξατο, ὁ δὲ σίδηρος ἀναμάρτητος; Οὕτω δὴ, κἂν δράσῃ, οὐχὶ σίδηρος αἴτιος, ἀλλ' ὁ σιδήρου τῷ τέμνειν οὐ κατὰ λόγον χρησάμενος. Εἰ δὲ ξύλῳ παίσει, ἢ λίθῳ κρούσει, ἢ χερσὶν ἰδίαις ἀποπνίξει, αὖθις καὶ ταῦτα προσαγορεύσει κακά· καὶ πάντα μᾶλλον αἴτια παρὰ τῷ Μάνεντι ἢ τὸ ὄντως αἴτιον ὁ ἑκούσιος λογισμός.

At occidit homo ferro, inquit Manichæus, et ad instrumentum accedit malum artificium utentis. Quasi non esset visum ferrum malum, nisi homo hoc modo ferro uteretur. Si enim vellet sicarius occidere, et ab ictu aberraret; an non liquet, animo quidem non perpetrasse, ferrum vero extra culpam esse? Sic quamvis ferro homicidium fiat, non est in crimine et culpa ferrum, sed qui non secundum rationem usus est ferro ad secandum. Si autem ligno percutiat, aut cuspide feriat, aut propriis manibus strangulet; rursus hæc Manichæus appellabit mala, et omnia apud eum crimini potius dabuntur, quam cogitatio voluntaria. B

Τὰ γὰρ ῥηθέντα πάντα μετὰ σιδήρου οὔτ' ἀγαθὰ οὔτε κακὰ τυγχάνει· ἕλκεται δὲ πρὸς ὃ ἂν βουληθείη ὁ χρώμενος, ἐργαλείων δίκην παρακείμενα, καὶ τῷ χρωμένῳ δουλεύοντα· ἅπερ εἰ μὴ παραδέδοτο ἀνθρώπῳ, οὔτ' ἂν τὰς τέχνας οὕτω διήνυσεν, οὔτ' ἂν τὰς χρήσεις τὰς ἀπ' αὐτῶν ἔσχεν ἀφθόνους· ὃ δὲ ἧττον μεῖζον, ἥκιστα ἂν διεγυμνάσθη πρὸς ἀρετήν· τῷ γὰρ μὴ ἔχειν ἐργαλείων παράθεσιν ἕλκεσθαι δυναμένων πρὸς ἐργασίαν ἀρετῆς τε καὶ κακίας, οὐκ ἄν γε ἔσχεν ἐφ' ἑαυτῷ τῆς ἀρετῆς τὴν προτίμησιν· ὡς ἐς τὰ μάλιστα ἂν ἐζημιῶσθαι, καὶ μεγίστης εὐδοκιμήσεως ἐκπεπτωκέναι δοκεῖν, εἴπερ διὰ τοῦτο δοκοίη κακουργίας μὴ ἅπτεσθαι, ὅτι μὴ δι' ὧν ἂν δράσειεν εὐπόρησεν· τὸ γὰρ παντελῶς ἄπρακτον ἀργόν τε καὶ ἄδοξον.

Omnia enim quæ dicta sunt cum ferro, neque bona, neque mala sunt; trahuntur enim quo qui utitur velit; quæ vero sunt posita instar instrumentorum, et deserviunt utenti: quæ si homini non essent tradita, nec artificia sic perageret, nec utilitates ex artificiis copiosas haberet; et quod plus est, minime ad virtutem exercitatio adhiberetur. Non habendo enim apposita instrumenta, quæ ad actionem virtutis vel vitii accommodari possent, non haberet potestatem virtutem vitio præponendi, ut maximam jacturam fecisse videretur et a maxima laude excidisse; si propterea videretur non admittere turpe factum, quia non habuit copiam eorum quibus perficeret: quod enim omnino non agit, otiosum est et inglorium. C

Ἀλλ' ὅρα, φήσειεν ἄν, τὸ ἀποβαῖνον, καὶ πλέον οὐδὲν τοῦ ἀναγκαίου συμβαίνει· θάνατος γὰρ οὐ διὰ φονέως εὕρηται, ἀλλὰ πρὸς τοῦ Δημιουργοῦ νενομοθέτηται· καὶ εἴ γέ τις σπουδάζει σίδηρον, καὶ ξύλον, καὶ λίθον, πῦρ τε καὶ ὕδωρ καὶ τὰ τοιαῦτα ὡς κακοποιὰ διελέγξαι, τῶν ἐργαλείων τὴν ἀρχὴν ἀφέμενος, μόνον τὸ ἀποβαῖνον, λέγω δὴ τὸν θάνατον, διελεγχέτω, καὶ δεικνύτω τοῦτον οὐ κατὰ λόγον ὡρισμένον πρὸς τοῦ Δημιουργοῦ· καὶ οὕτως ὕστατον κακὰ προσαγορευέτω τὸ κακῶς συναιρούμενα. Εἰ δὲ θάνατος ὑπ' οὐδενὸς ἀναδειχθείη πονηροῦ, τοὐναντίον μὲν οὖν, ὡς διὰ πολλῶν δέδεικται, καὶ ὠφέλιμός γε τυγχάνει· πῶς οὐ παρέλκει τὰ δι' ὧν ἂν συμβαίνῃ θάνατος, τούτων ὡς κακῶν φύσει κατηγορεῖν, οὐκ εἰδότων μὲν ἐφ' ὃ σαλεύεται πρὸς ἑτέρου, ᾧ παρεδόθη, πάσης δ' αἰτίας ἀπηλλαγμένων; δέον τὸν κινοῦντα μόνον αὐτὰ, ὅτε μὴ προσῆκεν, ἄνθρωπον αἰτιᾶσθαι.

Sed vide, inquiet, quod ex instrumentis provenit, magis necessarium accidit; mors enim non est inventa ab interfectore, sed a Creatore sancita est: et si quis studeat ferrum et lignum et lapidem, ignem et aquam et alia ejusmodi tanquam maleficia accusare, relicto principio instrumentorum; reprehendat et accuset id quod ex instrumentis provenit, mortem dico, probetque non esse hanc a Deo decretam et constitutam secundum rationem: atque ita postremo appellet mala, quæ male adjuvant mortem. Sed si nemo potest probare mortem esse malam, sed contra potius, ut copiose probatum est, utilem esse; an non supervacaneum est accusare tanquam natura sint mala, ea ex quibus mors accidit; quæ neque sciunt ad quæ sint adhibenda ab altero cui tradita sunt, et ab omni culpa et crimine sunt libera? cum oporteret hominem solum accusare, qui ea instrumenta tunc movet, cum non licet neque convenit. D

Cap. XXVII. *Nihil in fabrica mundi malum. Sola humana ratio aliquando quidem peccat, sed simul et coarguitur.*

Οὕτω γὰρ πρὸς ἀλήθειαν ἀποδέδεικται μηδὲν μὲν τῶν κατὰ τὴν δημιουργίαν εἶναι κακόν· μόνον δὲ τὸν ἀνθρώπινον λογισμὸν ἐξουσίαν ἀναγκαίως λαμβάνοντα ἔστιν ὅτε πλημμελεῖν, πλημμελοῦντα δὲ διελέγχεσθαι μόνον, ὅτι προτετίμηκε τὸ χεῖρον· μηδὲν δὲ κατὰ τῆς φύσεως καινοτομεῖν δύνασθαι, μηδὲ

Sic enim vere conclusum et confectum est, nihil in fabrica mundi esse malum. Solam rationem humanam quæ necessario potestatem accipit, aliquando quidem peccare, peccantem vero ob id solum reprehendi, quia quod deterius erat, præposuit meliori; neque contra naturam posse ali-

Digitized by Google

quid novare, nec esse penes eum, ut quæ supra sunt, sint infra, sed solum facere ea, quæ secundum naturam sunt : quamvis accusetur facere præter rationem.

Sicut cædes mortem secundum naturam operatur, nihil amplius faciens quam quod est secundum naturam, præterquam quod coarguit eum qui fecit. Rursus adulterium et alia ejusmodi ob eam tantum causam accusantur, quia sunt aversa a ratione. Contra naturam vero a Creatore constitutam nihil penitus potest aliquid novi moliri, quippe cum lex ejus qui naturam fabricatus est, sit et maneat immutabilis. In ipsis vero quæ naturalia sunt, peccata versantur nullam novitatem introducentia : solum arguunt et convincunt facientem sponte peccare, ut qui non possit aliter ex virtute degere, nisi penes eum sit contrarium agere ; quod quidem volens et libens declinat, ut virtutem comparet. Est igitur summæ stultitiæ et insipientiæ, ferrum aut lignum aut alia ejusmodi in crimen vocare, et non eum qui his præter rationem utitur.

Si quis vero quærat, quare occiditur homo ; rursus dicendum erit, quod sæpius dictum est, quare igitur homo denique moritur? quod quidem si malum esse ostendatur, recte culpa in eum qui constituit redundat. Sin vero non est mala, permissio tantum ejus qui res nostras procurat, inquirenda est, quare homo in hoc genus mortis incidit, quæ non est secundum naturam mala ; et continuo reperietur, ex multis ac variis causis accidere, quas enumerare curiosum fuerit.

Idem enim justo et injusto diversis causis accidit : non ut justo sit damno ; nec injusto, ut sit supplicio et vindictæ (non enim quod secundum naturam est, supplicium fuerit), sed ut sit exemplo aliis vel ad prohibenda mala insanabilia. Multæque aliæ causæ sunt, propter quas Deus hominem occidi permittit : constat tamen nihil amplius, quam quod in natura decretum et constitutum est, accidere : licet enim diversus casus accidat febris, satietatis immodicæ, aut contra exinanitionis ex fame, frigoris, æstus, aggeris, lapidationis, gladii, ignis, aquæ ; at in his omnibus unum est, quod inde provenit. Ecquid hoc? id scilicet, quod a Creatore recte et utiliter in universo genere constitutum est.

τὰ ἄνω κάτω ἐπ' αὐτῷ εἶναι ποιεῖν, ἀλλὰ τὸ κατὰ φύσιν μόνον δρᾷν, κἂν παράλογον κατηγορῆται ποιεῖν.

Οἷον, φόνος θάνατον τὸν κατὰ φύσιν ἐργάζεται, οὐδὲν πλέον ποιῶν τοῦ κατὰ φύσιν ἢ ὅσον ἐλέγξαι τὸν δράσαντα· μοιχεία αὖθις, καὶ τὰ τοιαῦτα τῷ παραλόγῳ μόνον τοῦ λογισμοῦ κατηγορεῖται. Κατὰ δὲ τῆς φύσεως τῆς ὡρισμένης ὑπὸ τοῦ Δημιουργοῦ καινοτομεῖν παντελῶς οὐδὲν δύναται· ὡς ἀπαράβατον μὲν εἶναί τε καὶ μένειν τὸν νόμον τοῦ τὴν φύσιν δημιουργήσαντος. Ἐν αὐτοῖς δέ που τοῖς κατὰ φύσιν στρέφεσθαι τὰ ἁμαρτήματα, μηδεμίαν ἐπεισάγοντα καινότητα, ἢ ὅτι μόνον τὸν πράττοντα διελέγχει ἑκόντα πλημμελοῦντα· ὡς οὐκ ἂν ἑτέρως δυνηθέντα κατορθοῦν, εἰ μὴ καὶ τό γε ἐναντίον εἶχεν ἐφ' ἑαυτῷ, οὗ τὴν ἑκούσιον ἀποφυγὴν πρὸς ἀρετῆς κτῆσιν ἔχει. Οὐκοῦν ἀκροτάτης ἀνοίας ἔργον, μάτην σίδηρον ἢ ξύλον ἤ τι τῶν ἄλλων αἰτιᾶσθαι, καὶ μὴ τὸν χρώμενον παραλόγως.

Εἰ δέ τις ζητοίη διὰ τί φονεύεταί γε ἄνθρωπος, αὖθις μὲν εἰρήσεται τὸ πολλάκις λελεγμένον, τὸ διὰ τί οὖν ὅλως ὁ ἄνθρωπος ἀποθνήσκει; ὅπερ εἰ δειχθείη κακὸν, εὐλόγως ἀνατρέχει κατὰ τοῦ ὡρίσαντος ἡ αἰτία. Εἰ δὲ μὴ κακὸν θάνατος, τὴν συγχώρησιν μόνον τοῦ προνοοῦντος τῶν καθ' ἡμᾶς ἐξεταστέον, τοῦ χάριν ἄνθρωπος φόνου τρόπῳ περιπίπτει τῷ μὴ κατὰ φύσιν κακῷ θανάτῳ· καὶ εὑρεθείη γ' ἂν αὖτη κατὰ πολλὰς καὶ ποικίλας αἰτίας συμβαίνουσα, οὓς περίεργον ἂν εἴη καταριθμεῖν.

Δικαίῳ γὰρ καὶ ἀδίκῳ κατὰ διάφορον αἰτίαν ταυτὸ συμβαίνει· οὔτε τῷ δικαίῳ πρὸς βλάβην, οὔτε τῷ ἀδίκῳ πρὸς τιμωρίαν (οὐ γὰρ ἂν εἴη τιμωρία τὸ κατὰ φύσιν), ἀλλὰ πρὸς ὑπόδειγμα, ἢ πρὸς κόλασιν ἀνηκέστων κακῶν. Καὶ πολλά γε τὰ αἴτια τοῦ συγχωρεῖν Θεὸν φονεύεσθαι ἄνθρωπον· δῆλον μέντοι, ὡς οὐδὲν πλέον τοῦ κατὰ τῆς φύσεως ὡρισμένου συμβαίνει· κἂν γὰρ διάφορον ᾖ τὸ τῆς περιστάσεως, πυρετοῦ τε καὶ πλησμονῆς ἀμέτρου, ἢ τοὐναντίον, λιμοῦ, ψύχους τε καὶ καύματος, χώματός τε καὶ λιθασμοῦ, ξίφους τε καὶ πυρὸς καὶ ὕδατος· ἀλλά γε ἐν τούτοις ἅπασιν ἕν γε τὸ ἀποβαῖνον. Τί δ' ἂν εἴη τοῦτο; τὸ πρὸς τοῦ Δημιουργοῦ καλῶς γε καὶ προσηκόντως ὡρισμένον κατὰ παντὸς τοῦ γένους.

Cap. XXVIII. *Sapiens mundi gubernatio.*

Sic igitur, ac multis etiam aliis modis demonstrari potest, nihil esse in fabrica mundi malum ; neque quidquam in gubernatione divina, quod reprehendi possit, sed omnia inexplicabili sapientia facta esse, et providentia ineffabili gubernari : ut non sit facile eorum quæ a Deo facta sunt, tum quæ suavia, tum quæ tristia et molesta esse videntur, rationem perspicere ac comprehendere : non

Οὕτω μὲν οὖν καὶ κατὰ πολλοὺς ἑτέρους τρόπους δειχθείη ἂν οὐδὲν τῶν κατὰ τὴν δημιουργίαν κακὸν, οὔτε μὲν τῆς θείας οἰκονομίας τι διαβεβλημένον· ἀλλὰ πάντα μὲν ἀῤῥήτῳ σοφίᾳ γεγενημένα, ἀῤῥήτῳ δὲ προνοίᾳ διοικούμενα· ὡς οὐκ ἂν εἴη ῥᾴδιον τῶν πρὸς Θεοῦ γιγνομένων χρηστῶν τε καὶ αὖθις ἀναρῶν εἶναι δοκούντων τὸν νοῦν καταμανθάνειν· οὐ γὰρ ἐχρῆν (42) γε, ὡς ἔοικε, κατὰ τοῖς πᾶσιν ὑπάρ-

(42) *Οὐ γὰρ ἐχρῆν.* Occurrunt ista in *Parallel. Damasc.* lit. x, tit. xxiii, pag. 785, eaque habes infra in *Supplem.*, quæ his libris subjecimus § iv.

Digitized by Google

χειν τῆς τοῦ Θεοῦ σοφίας (43) τὰ τεκμήρια, καὶ τὸν ἄῤῥητον καὶ ἀκατάληπτον νοῦν πάντη γυμνὸν εἶναι ἀνθρώποις· ὅπου γε καὶ βασιλέως ἀνθρώπου καὶ ἄρχοντος ἔστιν ὅτε τὰ πλεῖστα τῶν βουλευμάτων κέκρυπται (44)· ὡς καὶ τὸ πραττόμενον ἄδηλον εἶναι, ὅτῳ λόγῳ πράττεται.

Οὐ τοίνυν θαῦμα, εἰ ἄνθρωποί γε μὴ χωροῦσιν ὅλης τῆς διοικήσεως τοῦ Θεοῦ τὸν λόγον, οἷς ἁρμόττει καὶ δίχα τοῦ πολυπραγμονεῖν ὑποκεῖσθαι καὶ ἡσυχάζειν, καὶ ἥκιστα ἀνταίρειν κατὰ τῆς ἀῤῥήτου διοικήσεως. Πολλάκις γὰρ οὐδὲ τεχνίτην εἴτουν οἰκοδομίας ἢ ναυπηγίας ἢ χαλκευτικῆς ἔμπειρον αἰδούμενοι περιεργαζόμεθα, ποιοῦντά γε τὸ οἰκεῖον ἕκαστον· ἀλλὰ τῇ πείρᾳ καταπιστεύσαντες ἐκδεχόμεθα τοῦργον ἰδεῖν· ἔστι δὲ ὅτε καὶ σφαλλομένων οὐκ ἐπαισθανόμεθα.

Τί δ' ἂν εἴποιμεν περὶ τῆς ὑπὲρ ἅπαντα νοῦν σοφίας τοῦ Θεοῦ, ἣν προσῆκε νοοῦντάς τε καὶ μὴ νοοῦντας ἐκπλήττεσθαί τε καὶ τιμᾶν; Εἰ δέ τις, διὰ τὸ μὴ καταλαμβάνειν τὸν λόγον τῶν πλειόνων τῶν πρὸς τοῦ Θεοῦ γιγνομένων, ἐκπέσοι πρὸς ἀτόπους κατὰ Θεοῦ δόξας, ἀθλιώτατος καὶ λίαν (45) ἀνόητος ὁ τοιοῦτος, αὐτῇ γε τῇ τυφλότητι τῆς ἰδίας διανοίας ὁδηγῷ χρώμενος· ὥσπερ ὁ Μάνης ὁ χαλεπωτάτην μανίαν κατά γε τῶν αὐτῷ πειθομένων ἐπινοήσας· ἐπεὶ μὴ κατέλαβε τίνα τρόπον τὰ καθ' ἡμᾶς διοικεῖται, δευτέραν ἀρχὴν ἄναρχον κακίας ἐπλάσατο, ἵνα καὶ τῶν ἄνω σφαλῇ, καὶ τὰ κάτω νοῆσαι μὴ συγχωρηθῇ, τοιαῦτα κατὰ τοῦ Θεοῦ τῶν ὅλων πλαττόμενος, οἷά γε τὴν ἀνεξικακίαν αὐτοῦ τὴν ἀνωτάτω κηρύττειν· διεῖλε γὰρ τὰ τοῦ Θεοῦ, καὶ τὰ πλεῖστά γε ἀνέθηκε τῇ μὴ οὔσῃ κακίᾳ· παντοίως βλασφημῶν τὸν Δημιουργὸν, ἐκ κακίας συγκεῖσθαι λέγων τοῦ Θεοῦ τὰ κατορθώματα.

enim, ut videtur, oportebat patere omnibus divinæ sapientiæ indicia et mentem Dei, quæ nec explicari neque comprehendi potest, omnino nudam et apertam esse hominibus; quandoquidem plurima etiam hominis regis consilia interdum celantur, ut quod agitur, qua ratione fiat, ignoretur.

Quare non mirum est, si totius gubernationis Dei rationem non percipiunt, quos decet sine curiositate subjectos esse et silere, et minime contra divinam gubernationem dicere. Sæpe enim pudet nos in architectum peritum aut ædificatorem navis expertum aut in fabrum spectatum curiose inquirere, cum quisque eorum quod artis suæ est, facit; quin potius experimento confisi, exspectamus, ut opus videamus. Contingit etiam aliquando, ut lapsum eorum non sentiamus.

Quid dicemus de sapientia Dei, qui omnem mentem et intelligentiam superat, quam quidem oportebat sive eam intelligentes, sive non intelligentes obstupescere et honorare? Si quis vero quia rationem multorum quæ a Deo fiunt, non assequitur, decidat in absurdas de Deo opiniones, miserrimus et valde stultus et insipiens est, hic ipsa cæcitate mentis suæ tanquam duce utens, ut Manichæus, qui insaniam sceleratissimam contra eos qui ei crediderunt, excogitavit: qui, quia non intellexit quomodo nostra Deus gubernaret, secundum principium ingenitum nequitiæ finxit, ut ab iis quæ sunt supra delaberetur; et ea quæ infra ut intelligeret, non ei concederetur, ea in Deum universorum fingens, quæ patientiam ejus altissimam prædicarent: divisit enim ea quæ Dei sunt; et eorum plurima ad nequitiam quæ nihil est, retulit: omnibus modis in Deum blasphemus, qui ait, opera bona Dei composita esse ex nequitia.

Cap. XXIX. *Elementa necessaria.*

Τί τοίνυν φαίη ἂν περὶ τῶν ἀρχῶν τῶν σωμάτων; Τέσσαρες μὲν γὰρ αὗται, ἃ δὴ καὶ καλεῖν εἰώθασιν στοιχεῖα· ἅπερ ἐναντία μὲν ἀλλήλοις, καὶ ἀκριβῶς ἀντικείμενα· οὐδὲν δὲ τούτων ἀποτελεῖν τι καθ' ἑαυτὸ δύναται· τί γὰρ ἂν εἴη τὸ ξηρὸν ἄνευ τοῦ ὑγροῦ; ἢ τί δ' ἂν εἴη τὸ θερμὸν δίχα τοῦ ψυχροῦ; Εἰ οὖν ἐναντίων σύνοδος ἀποτελεῖ σῶμα, ποῖα τῶν τεσσάρων ἐκεῖνος ἀναθήσει τῇ κακίᾳ; ἢ ποῖα τῷ ἀγαθῷ; Εἰ γὰρ ἐν τοῖς πᾶσιν ἀγαθοῦ τε καὶ κακοῦ κρᾶσιν φαντάζεται, ἐπάναγκες διελεῖν εἰς δύο τὰ τέσσαρα· καὶ ταῦτα εἴτουν ἐξίσης διαστῆσαι, ἢ τρία πρὸς ἓν χωρίσαι· ἀλλ' ὅπερ ἂν ἀπονέμοι τῷ ἀγαθῷ, εὑρεθείη ἂν καθ' ἑαυτὸ βλάψαι δυνάμενον· οὐδὲν γὰρ τῶν τεσσάρων ἄκρατον, καὶ οὐχὶ σφαλερόν· αὐτίκα καὶ ἐν τῇ κράσει τὸ πλεονάζον ὀλέθρου γίνεται τῷ σώματι παραίτιον, ὡς φασιν οἱ τούτων ἔμπειροι.

Quid igitur diceret de principiis corporum quæ quatuor elementa appellari consueverunt? quæ quidem contraria inter se sunt, et perfecte opposita, nullum autem horum potest quidquam per se efficere. Quid enim erit, scilicet ad generationem corporis, siccum sine humido? aut quid calidum sine frigido? Si igitur contrariorum conjunctio efficit corpus, quænam ille ex quatuor elementis referet ad nequitiam? aut quæ ad bonum? Si enim Manichæus in omnibus elementis mistionem boni et mali cogitatione fingit, necesse est dividere quatuor in duo, et hæc scilicet æqualiter separare; vel tria in unum: at quodcunque referat ad bonum, reperietur posse per se nocere; quia nullum ex quatuor elementis est purum ac merum, et non periculosum; ac continuo quod in mistione redundat, efficitur corpori causa interitus, ut aiunt qui sunt in his periti et exercitati.

Εἰ τοίνυν τὸ μὲν θερμὸν καθ' ἑαυτὸ καίει, τὸ δὲ

Si ergo calidum quidem per se urit, frigidum

(43) *Τῆς τοῦ Θεοῦ σοφίας.* In Parall. desunt τῆς σοφίας. Mox ibid. γνώριμον pro γυμνόν.

(44) *Κέκρυπται.* Parall. κρύπτεται. Paulo post ὅλως pro ὅλης.

(45) *Καὶ λίαν.* Parall. καὶ πάλιν.

Digitized by Google

vero refrigerat, siccum autem siccat, et humidum humorem efficit: quod horum Deo attribuet iste planus? ipsum enim corpus totum consentaneum est ex iis elementis mistum esse, ex quibus compositum est et per se exsistit. Ut autem unumquodque elementum sit ex mistione eorum elementorum ex quibus fit mistio corporum, fieri non potest.

A ψυχρὸν ψύχει, ξηραίνει δὲ τὸ ξηρὸν, κατακλύζει δὲ τὸ ὑγρόν· ποῖον λογιεῖται τούτων ὁ πλάνος τῷ Θεῷ; αὐτὸ μὲν γὰρ ὅλον τὸ σῶμα κρᾶσιν ἔχειν ἐκ τούτων εἰκὸς δι' ὧν καὶ σύγκειται καὶ ὑφέστηκεν· ἀφ' ὧν δὲ ἡ κρᾶσις ἐκ κράσεως εἶναι ἕκαστον, οὐκ ἐνδέχεται.

Quamobrem ratio non patitur, ut quodque singulare et individuum elementum in duo contraria principia dividatur, et mistio cujusque eorum introducatur: quam enim compositionem excogitabit in sicco deceptor iste? quam mistionem in mero et puro igne? aut quam coagmentationem in frigido, quod ex toto frigidum est? similiter in humido.

Ὥστε οὐκ ἔχει λόγον αὐτῶν γε τῶν ἀτόμων στοιχείων ἕκαστον καταμερίζειν εἰς ἐναντίας δύο ἀρχὰς, καὶ κρᾶσιν αὐτῶν ἑκάστου εἰσηγεῖσθαι· ποίαν γὰρ ἐπινοήσει τῷ ξηρῷ σύνθεσιν ὁ πλάνος; ποίαν δὲ κρᾶσιν τῷ ἀκράτῳ πυρί; ἢ τίνα συμπλοκὴν τῷ ψυχρῷ, ψυχρῷ διόλου τυγχάνοντι; παραπλησίως δὲ καὶ τῷ ὑγρῷ.

B

Hæc enim unius formæ, et individua plane sunt; ut nullum horum per se possit exsistere, sed aliis junctum.

Μονοειδῆ γὰρ καὶ ἀμέριστα σαφῶς ταῦτα τυγχάνει· ὥστε τούτων ἕκαστον οὐδὲ ὑποσταίη καθ' ἑαυτὸ, ἀλλὰ καὶ σὺν ἀλλήλοις ἔχει τὸ εἶναι.

Cap. XXX. *Ignis optimus. Manetis delirium.*

Insanit igitur et quidem gravissima insania, cum partem quidem ignis dicit esse boni, partem vero mali. Est autem necesse illi hoc facere in elementis, et dividere, quæ dividi non possunt; siccum enim ex toto siccum est, et per se siccitas simplex est et unius formæ: et frigidum neque cogitatione dividi potest, cum sit unum ac simplex ex toto; similiter humidum et calidum.

Μαίνεται τοιγαροῦν μανίαν χαλεπὴν, ὅταν τοῦ πυρὸς τὸ μέν τι τοῦ ἀγαθοῦ φάσκει, τὸ δέ τι τοῦ κακοῦ· ποιεῖν δὲ τοῦτο ἐπάναγκες αὐτῷ καὶ ἐπὶ τῶν ποιοτήτων τῶν στοιχείων, καὶ διαιρεῖν τὰ διαίρεσιν μὴ ἐπιδεχόμενα· τότε γὰρ ξηρὸν διόλου ξηρὸν, καὶ αὐτοξηρότης ἁπλῆ τε καὶ μονοειδής· καὶ τὸ ψυχρὸν οὐδὲ εἰς ἐπίνοιαν διαιρέσεως ἐλθεῖν δυνάμενον, ἓν τε καὶ ἁπλοῦν διόλου τυγχάνον· οὕτω δὴ καὶ τὸ ὑγρὸν καὶ τὸ θερμόν.

Quid igitur in igne erit Dei? et quid contra erit C nequitiæ? quandoquidem neque divisionem recipit, neque mistionem accepit, cum sit purum et merum. Corpus enim dividitur saltem cogitatione: merum autem elementum quomodo ex contrariis compositum esse videri potest? quidnam contrarii cogitare quis potest in puro igne?

Τί τοίνυν τοῦ πυρὸς ἔσται τοῦ ἀγαθοῦ (46) καὶ τί τούναντίον τοῦ κακοῦ; ὁπότε διαίρεσιν οὐκ ἐπιδέχεται, ἐπειδή γε οὐδὲ κρᾶσιν ἐπεδέξατο, ἄκρατον ὄν. Τὸ μὲν γὰρ ἓν σῶμα καὶ διαιρεῖται τῇ γοῦν ἐπινοίᾳ· τὸ δὲ ἄκρατον στοιχεῖον πῶς ἐξ ἐναντίων συγκεῖσθαι δόξειεν ἄν; ποίαν δὲ καὶ ἐναντιότητα λογίσηται ἄν τις ἀκράτῳ πυρί;

Si igitur unumquodque est ex toto periculosum, nullum eorum per se secundum rationem Manichæi congruet bono, sed potius omnia referentur ad malum: præterea non erunt corpora ex altero composita, quod est alienum a fundamento Manichæi.

Εἰ τοίνυν ἕκαστον ἐπισφαλὲς διόλου καθ' ἑαυτὸ, οὐδὲν αὐτῶν κατὰ τὸν τοῦ Μάνεντος λόγον ἁρμόσει τῷ ἀγαθῷ, ἀλλὰ πάντα μὲν ἀνακείσεται τῷ κακῷ· οὐκ ἔσται δὲ τὰ σώματα ἐξ ἑτέρου συγκείμενα, ἀλλοτρίως τῇ τοῦ Μάνεντος ὑποθέσει.

Quomodo autem videbitur ei in igne, hoc quidem esse salutare, quod est boni, hoc vero mortiferum et urens, quod est mali, nisi insane fingat mistionem elementorum ex bono et ex malo? quod quidem si putet, cogetur tribuere Deo, quæ volet ex quatuor elementis, quæ ex toto et individue tali natura prædita sunt, et cernetur confiteri exsistere ex Deo merum, et per se nocens. Dividit autem insanus naturam ignis individuam, dicens aliud esse in igne salutare, aliud vero urens: non intelligens barbarus, in usu ignis esse divisionem, non in natura ignis; hujus enim nimia propinquitas, pernicies est; moderata vero distántia securam participationem caloris affert; cum alioqui ipsa vis urendi sola, quæ quidem est ignis, necessaria sit: hæc

Πῶς δὲ αὐτῷ τὸ μέν τι τοῦ πυρὸς δόξει θεραπευτικὸν, ὅσον τοῦ ἀγαθοῦ, τὸ δέ τι ὀλέθριον καὶ καυστικὸν, ὅσον τοῦ κακοῦ, εἰ μὴ καὶ τῶν σωμάτων κρᾶσιν D ἀγαθοῦ τε καὶ κακοῦ μανικῶς ἐφαντάζετο; ὅπερ οἰόμενος ἀναγκασθήσεται ἀπονεῖμαι τῷ ἀγαθῷ τῶν τεσσάρων στοιχείων, ἅπερ ἂν θέλοι, ὁλόκληρά τε καὶ ἀδιαίρετα, οὕτως ἔχοντα φύσει· καὶ ὀφθήσεται ὁμολογῶν ὑπάρξαι καὶ ἐκ Θεοῦ ἄκρατόν τε καὶ καθ' ἑαυτὸ βλαπτικόν. Διαιρεῖ δὲ ὁ ἀνόητος τοῦ πυρὸς τὴν ἀδιαίρετον φύσιν, τὸ θεραπευτικὸν ἕτερον αὐτοῦ λέγων εἶναι, καὶ τὸ καυστικὸν ἕτερον· μὴ συνιεὶς ὁ βάρβαρος, ὡς ἐν τῇ χρήσει ἡ διαίρεσις, ἀλλ' οὐκ ἐν τῇ φύσει τοῦ πυρός· τούτου γὰρ ἡ μὲν ἄμετρος ἐγγύτης ἐπιβουλὴ, ἡ δὲ μετρία διάστασις ἀσφαλῆ τε φέρει τὴν μετουσίαν· ἄλλως τε αὐτὸ δὴ τὸ καυστι-

(46) Ἀγαθοῦ. *Boni.* Sic supra vertit Turrianus

Digitized by Google

κὸν τοῦ πυρὸς καὶ μόνον ἀναγκαῖον, ὅπερ καὶ πῦρ τυγχάνει· τοῦτο γὰρ καὶ μαλάττει καὶ τήκει τὰ πρὸς τὴν χρείαν ἀναγκαίως προσφερόμενα· ὡς μηδὲν ἕτερόν εἶναι τὸ πῦρ ἢ τὸ καυστικὸν αὐτοῦ· μηδὲν δὲ ἕτερον εἶναι τὸ ἀναγκαῖον ἢ τοῦτο. Ὁ δὲ μάτην τὸ πῦρ ἐνυβρίζει, λίαν ἀχάριστος ὢν πρὸς τὰς παρὰ τοῦ Δημιουργοῦ τῶν ὅλων εὐεργεσίας.

A enim mollit et liquefacit ea quæ ad usum necessario adhibentur: ut nihil aliud sit ignis, quam vis ejus ad urendum, et nihil aliud necessarium sit ad hunc usum quam hoc. Manichæus vero valde ingratus, et beneficiorum Dei immemor, ignem vituperat.

Εἰ δέ τις θείη τὰ τέσσαρα στοιχεῖα τῇ κακίᾳ κατ' ἐκεῖνον προσήκειν, πῶς ἂν ταῦτα τὰ ἐκ μιᾶς φύσεως ἐναντία γε ὄντα ὑπάρχειν δοκοίη; Εἰ γὰρ αὐτόθεν τὸ θερμὸν, τὸ ψυχρὸν ἑτέρωθεν, ἢ ἀνάπαλιν· καὶ οὕτως αὖθις ἐπὶ τῆς ἄλλης συζυγίας· ὥστε ἀσύστατος καὶ ἡ τῶν σωμάτων κρᾶσις κατὰ τὴν τοιαύτην ὑπόθεσιν. Εἰ δὲ ἐπινοίᾳ τῆς κακίας ἀναθείη τῶν τεσσάρων τὴν εἰς κατασκευὴν εὕρεσιν, σοφωτάτη γε λίαν ἀναφανήσεται ἡ γνῶσιν καὶ σύνεσιν μὴ κεκτημένη κακία· ὡς καὶ τοῦ Δημιουργοῦ τὸ μέγιστον ἀποφέρεσθαι θαῦμα, εἴγε συνεῖδε τίνα ἂν τρόπον ὑποστήσηται.

Si quis autem ponat quatuor elementa, sicut ille opinatur, ad malum pertinere, quomodo hæc quæ sunt singula unius naturæ, contraria esse videantur? Si enim calidum est ex ipso, frigidum ex altero; aut contra, si frigidum ex ipso, calidum ex altero: et sic rursus in alia conjugatione hoc fundamento posito, mistio corporum fieri non poterit. Si vero ad excogitationem nequitiæ referat inventionem exstruendi mistionem corporum, sapientissima apparebit nequitia, quæ alioqui cognitionem et intelligentiam non habuit; ita ut maximam Creatoris laudem et admirationem ferat, siquidem cognovit, quomodo per se exsisteret mistio, scilicet corporum.

B

CAP. XXXI. *Solem usque adeo Manes honorat, ut ipsum Deo conferat, et ex ejus substantia esse dicat.*

Ἐπειδὴ δὲ ἥλιον σεμνύνει, καὶ ἀμιγῆ εἶναι, ὡς ὑπείληφε, τοῦ κακοῦ διορίζεται, φέρε καὶ περὶ ἡλίου φιλαλήθως κατίδωμεν· ὀφθήσεται γὰρ ἑνὸς τῶν τεσσάρων στοιχείων ὑπάρχων, λέγω δὴ τῆς θερμῆς οὐσίας· οὐ βλάπτει μὲν γὰρ τὰ ὑποκείμενα, μόνον δὲ θερμαίνει καὶ ὠφελεῖ, διὰ τὸ πλεῖστον ἀφεστάναι· οἷς δὲ πλέον προσεγγίζει, καίει τε καὶ ἄγονον τὴν τοιαύτην γῆν ἀπεργάζεται· αὐτίκα καὶ θέρους ὥρᾳ ἄκρατος προσβαλὼν τῇ γῇ, κατὰ μεσημβρίαν οὕτως θερμαίνει ταύτην, ὥστε καυτῆρος δίκην ὑποβεβλῆσθαι δοκεῖν τοῦδαφος τοῖς ἐπιβαίνουσι γυμνοῖς τοῖς ποσί.

Sed quia solem honorat, et ut existimavit, decernit non habere mistionem mali, age videamus de sole pro studio veritatis: videbitur enim esse unius ex quatuor elementis, substantiæ, inquam, calidæ; non enim nocet subjectis, sed solum calefacit et juvat, quia plurimum distat: quibus autem appropinquat, urit, et tale solum sterile reddit; et in æstate cum in terram jacit radios puros in meridie, usque adeo eam calefacit, ut pavimentum nudis pedibus suppositum instar incendii sit.

C

Πολλάκις δὲ καὶ τῇ φλογὶ τῇ ἡλιακῇ παραπεσόντες ἄνθρωποι, πολλῷ γε τῷ καύματι διεφθάρησαν, τὸ παράμυθούμενον ἐγγύθεν μὴ εὑρόντες. Μελαίνει δὲ τὰ σώματα καὶ διακαίει, σαφῶς τὰ πυρὸς ἐνεργῶν· μᾶλλον δὲ πυρὸς αὐτὸς γόνιμός ἐστιν, εἴ τις ἐν ἀγγείῳ ὕδωρ ὑελίνῳ ἀντικρυς αὐτῷ προσαγάγοι· συνάγομένη γὰρ τῷ διαυγεῖ τοῦ τε ὕδατος καὶ τῆς ὑέλου τῆς ἡλιακῆς ἀκτῖνος ἡ ἀκμὴ, καὶ πρὸς στενὸν μὲν παραπεμπομένη, προσομιλοῦσά τε ὕλῃ, ῥᾳδίως πυρὸς ἀντιλαμβανομένῃ, ἅμα τε τίκτει πῦρ, καὶ σαφῶς πείθει τὸν μὴ φιλονεικεῖν ἐθέλοντα, ὡς πυρὸς εἶδος μέν ἐστιν ὁ ἥλιος, τῶν δὲ τῆς δημιουργίας λαμπρῶν ἔργων ὁ πρῶτος· ἐπειδὴ καὶ τοῦ πυρὸς ἡ φύσις ἁπάντων γε ἂν εὑρεθείη λαμπροτέρα.

Sæpe autem homines in flammam solis incidentes nimio æstu interierunt, non invento prope quod refrigeraret. Efficit autem nigra corpora et adurit, facitque plane, quod ignis solet; imo ipse ignem fecunde generat, si quis aquam in vase vitreo soli adverso admoveat; vis enim radii solis lucido illo aquæ et vitri coacta et conferta, atque in angustum quidem transmissa et adjuncta materiæ facile ignem concipienti, simul parit ignem; et aperte suadet non volenti contendere, esse quidem solem speciem ignis, ex operibus vero splendidis ipsius creationis ipsum primum, siquidem natura ignis splendidior est omnibus.

D

Πάντων γὰρ τῶν ἄλλων στοιχείων κάτω φερομένων, τὸ πῦρ μόνον τοῖς μὲν καυστοῖς ἐπιπηδᾷ, ἄνω δὲ τὰ πάντα τὴν πορείαν ἔχει, λεπτότητι κουφιζόμενον, καὶ αὐτόν γε τὸν ἀέρα βαρύτατον ἀπελέγχον, τῷ γε ὑπερβαίνειν αὐτόν· ὡς καὶ τούτου λεπτότερον διαφαίνεσθαι, συγγενείᾳ τῇ πρὸς τὸν ἥλιον. Ὁ τοίνυν Μάνης ἐκθειάζων, ὡς τῆς φύσεως ὄντα τοῦ ἀγαθοῦ τὸν ἥλιον, κινδυνεύει πυροειδῆ, μᾶλλον δὲ σαφῶς τοιοῦτόν δή τινα τὸν ἀγαθὸν εἰσάγειν. Ἥλιος γὰρ τῆς θερμῆς ὑπάρχων οὐσίας, τῇ θέσει πυρὸς διαφέρει· τῇ ἐνεργείᾳ ταὐτὸ δρᾷ, εἰ μὴ τῆς διαστά-

Cum enim omnia alia elementa deorsum ferantur, solus ignis in ea quidem quæ comburi possunt, insultat, sursum vero supra omnia fertur levitate sua, aeremque ipsum convincit graviorem esse, quia supra eum in sublime fertur, ut subtilior tenuiorque appareat quam aer propter cognationem cum sole. Unde Manichæus cum solem facit divinum tanquam ex natura boni, videtur similem igni facere, imo talem quemdam, qualis est ignis, introducit. Sol enim substantiæ calidæ, ab igne differt τῇ θέσει; efficientia vero idem operatur, nisi men-

Digitized by Google

sura distantiæ ea quæ sunt opposita, a validiore jactu radiorum defendat. Quinimo omnibus animantibus et stirpibus nocens existimaretur, nisi simul alia cum eo fabricator mundi ad auxilium fecisset, quæ faciunt ne nobis et aliis animantibus noceat; hæc autem sunt latibula et tecta; stirpibus vero aquæ sunt auxilio et flatus ventorum.

Quare qui definiunt esse quintum elementum solem, ne contra ea quæ clara sunt, contensiose disputent; nec ulla fides habeatur Manichæo scelestissimo et in Deum blasphemo, qui solem cum Deo confert, et ex substantia ejus esse dicit. Omne enim quod sub aspectum cadit, cum sit corpus, natura oppositum est inaspectabili et incorporeo; cujus opus esse potest, et quidem opus valde mirabile, similitudinem vero naturæ nullam habere potest.

Valde difficile esset enumerare, quæcunque impia hic planus libris suis inseruit; vituperans enim res omnes tanquam malas, fructus etiam terræ tanquam nutritios materiæ accusat: ac solem quidem admiratur, et ex bono esse decernit; quæ vero alit calore, stirpes dico et semina, non pudet acerbe vituperare, quæ quidem sine sole qui a Deo factus est, omnino non consisterent. Sicut enim nihil juvaret sol, nisi imbres arbores irrigarent et utiles venti perflarent: sic imbres et alia sine sole nihil juvarent.

σεως τὸ μέτρον ἐξῃρεῖτο τὰ παρακείμενα τῆς ἀκμαιοτέρας αὐτοῦ προσβολῆς. Ἀλλὰ μὴν κἂν τοῖς πᾶσιν ἐπίβουλος ἐνομίσθη ζώοις τε καὶ φυτοῖς, εἰ μὴ συγκατεσκευάσθη γε αὐτῷ παρὰ τοῦ Δημιουργοῦ πρὸς ἐπικουρίαν ἕτερα, δι' ὧν τὸ πρὸς ἥλιον ἀσφαλὲς ἡμῖν τε καὶ τοῖς ἄλλοις ὑπάρχει· ἔστι δὲ ταῦτα καταδύσεις τε καὶ σκέπαι, πρὸς δὲ καὶ φυτοῖς ὑδάτων τε χορηγίαι καὶ ἀνέμων πνοαί.

Ὥστε καὶ οἱ πέμπτον στοιχεῖον ὁριζόμενοι εἶναι τὸν ἥλιον, πρός γε τὰ σαφῆ μὴ φιλόνεικούντων, ἐς.... καὶ οὕτως αὐτὸς ὁ χαλεπώτατα μανείς, τὸν τῶν ὅλων Δημιουργὸν βλασφημῶν, ἥκιστα πιστευέσθω ἥλιον συγκρίνων Θεῷ, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ λέγων εἶναι τοῦτον· πᾶν γὰρ ὁρατὸν, ἅτε δὴ σῶμα τυγχάνον, ἀντιτέτακται φύσει τῷ ἀοράτῳ καὶ ἀσωμάτῳ· οὗ ἔργον μὲν εἶναι δύναται, καὶ μάλα γε θαυμάσιον ἔργον, ὁμοιότητα δὲ φύσεως πρὸς αὐτὸν οὐδεμίαν ἔχειν.

Ὅσα μὲν οὖν ὁ πλάνος ἐντέθεικεν ἀσεβῆ τοῖς ἰδίοις συγγράμμασι, πολὺ ἂν ἔργον εἴη καταριθμεῖν· λοιδορούμενος γὰρ τοῖς οὖσιν ἅπασιν ὡς κακοῖς, καὶ τοὺς καρποὺς τοὺς ἀπὸ γῆς ἅμα διαβάλλει, ὡς θρεπτικοὺς τῆς ὕλης· καὶ ἥλιον μὲν ὑπερθαυμάζει, καὶ ἐκ τοῦ ἀγαθοῦ γε εἶναι, ὥς φησι, διορίζεται· ἃ δὲ τρέφει θερμαίνων φυτά τε καὶ σπέρματα, πικρῶς οὐκ αἰσχύνεται κακίζων, ἅπερ οὐκ ἂν συνέστη παντελῶς ἡλίου δίχα πρὸς Θεοῦ γεγενημένου. Ὡς γὰρ οὐδὲν ἂν ὠνῆσεν ἥλιος, εἰ μὴ ὄμβρων ἤρδευον χορηγίαι τὰ φυτὰ, καὶ ἀνέμων ὠφελίμων διεσάλευον πνοαί· οὕτως ἂν ὄμβροι καὶ τὰ ἄλλα ἡλίου δίχα ὠφέλησεν ἂν οὐδέν.

Cap. XXXII. *Imbres utilissimi. De his Manetis sententia.*

Ille igitur etiam hic vehementer secum pugnat, accusans graviter, et ad nequitiam referens fructus terræ a sole alioquin auctos, quem valde admiratur et honorat. Imbres dicit esse superfluentias præsidum materiæ, qui ex amore laborant adversus potestates boni: qui cum ita laborent, sudores eorum esse definit, id quod in eis, ut ipse putat, abundat et superfluit.

Nititur etiam docere, supervacaneos esse imbres in mare et in loca sola et quæ non seminantur, effluentes; tanquam advenerit ad ratiocinandum diligenter contra Deum, quasi frustra et profuse ac prodige aquas consumat, qui præ summa amentia non videt, quid Deum deceat. Quod si Deus inops aquarum esset, faceret diligenter ut accommodate ad usum et necessitatem effluerent. Sed quia dives est, et tam dives, quantum nemo oratione consequi potest, hæc ipsa abundans imbrium effluxio demonstrat mare ex quo aquæ in aerem feruntur, per imbres irrigare. Solitudo vero et locus qui non excipit semen, necessario pluviam accipit ad suppeditandum fontibus, et aliquando iter facientibus, ut inveniant aquas collectas. Denique ut terra expers pluviæ sole arderet, non sancivit; ut plurimum enim aut per flumina, aut per imbres universa terra rorem a Deo accipit.

Ἆρ' οὖν ἐκεῖνος ἰσχυρῶς ἑαυτῷ καὶ ὧδε μάχεται, πικρῶς διαβάλλων εἰς κακίαν τοὺς ἀπὸ γῆς καρποὺς, διὰ ἡλίου γε αὐξανομένους, ὃν πάνυ θαυμάζει καὶ τιμᾷ. Τοὺς δὲ ὄμβρους περιττώσεις εἶναι λέγων, καὶ τῶν ἀρχόντων τῆς ὕλης ἐρωτιώντων πρὸς τὰς τοῦ ἀγαθοῦ δυνάμεις· καὶ οὕτω δὴ καμνόντων, ἱδρῶτας αὐτοὺς εἶναι διοριζόμενος τὸ παρέλκον αὐτῶν, ὡς αὐτὸς οἴεται.

Καὶ τὸ περιττὸν πειρᾶται δεικνύναι, τὸ καὶ τὴν θάλατταν καὶ τὴν ἔρημόν τε καὶ ἄσπορον ὕεσθαι, ὥσπερ τις ἀκριβὴς λογιστὴς κατὰ Θεοῦ παρελθὼν, ὡς μάτην καὶ ἀσώτως ἀναλίσκοντος τῶν ὑδάτων τὴν παρασκευὴν, δι' ἀκροτάτην ἄνοιαν τὸ πρέπον Θεῷ μὴ βλέπων. Ὡς, εἰ μὲν ἐπτώχευε τοῖς ὕδασι Θεὸς, ἀκριβῆ καὶ τῇ χρείᾳ σύμμετρον ἐποιεῖτο τούτων τὴν ἐπίδοσιν· ἐπειδὴ δὲ πλουτεῖ, καὶ ὅσον γε οὐκ ἂν τις εἰπεῖν δύναιτο, αὐτό γε τοῦτο τὸ ἄφθονον τῆς παρασκευῆς δείκνυσι, τὸ καὶ θάλατταν, ἀφ' ἧς ἀναχομίζει πρὸς ἀέρα τὰ ὕδατα, διὰ νεφῶν ἀρδεύειν. Ἡ δὲ ἔρημός τε καὶ ἄσπορος ἀναγκαίως ὕεται πρὸς χορηγίαν πηγῶν· ἔστι δὲ ὅτε καὶ τοῖς παριοῦσιν, ὡς ἂν καὶ αὐτοί γε εὕροιεν ὑδάτων συστήματα. Καὶ ὅλως ἄβροχον γῆν ἡλίῳ φλέγεσθαι μόνον οὐ νενομοθέτηκεν ὡς ἐπὶ τὸ πολύ· ἡ γὰρ διὰ ποταμῶν ἢ ὄμβρων ἅπασα γῆ πρὸς Θεοῦ νοτίδος ἀπολαύει.

Digitized by Google

Εἴτε τοίνυν μὴ βρέχοι, πρόχειρος εἰς βλασφημίαν ὁ ἀνὴρ, καὶ οἱ ἐξ ἐκείνου· εἴτε βρέχοι, οὐκ ἀναχωρεῖ τοῦ μάτην αἰτιᾶσθαι καὶ διαβάλλειν Θεόν· κἂν ἄρτον εἰς χεῖρας λάβωσιν, ἀρῶνται πρῶτον οἱ τῆς βλασφημίας μαθηταὶ, καὶ οὕτως ἐμπιπλῶνται οἱ ἀχάριστοι· καὶ τῆς δημιουργίας οὐδενὸς τὸ ἧττον ἀπολαύοντες, ἠκόνηνται μόνοι κατ' αὐτῆς τὴν γλῶτταν, μᾶλλον δὲ κατὰ τοῦ πεποιηκότος αὐτήν· καὶ ὡς ἐχθιστοι τοῦ Θεοῦ μετέχουσι· καὶ πρὸς αὐτό γε τοῦτο ἀγανακτοῦντες, ὅτι τῶν ἐκ τῆς δημιουργίας ἐν χρείᾳ καθεστήκασι.

A Sive igitur non pluat, præsto est Manichæus et qui eum sectantur, ad blasphemiam Judaicam: sive pluat, non desinit inaniter accusare et reprehendere Deum: et panem si in manus ad vescendum sumant, primum discipuli blasphemiæ Deum maledictis insectantur, atque ita ingrati satiantur; et quasi nihil fructus ex creatura perciperent, linguam soli in eam acuerunt, imo in auctorem ejus; et tanquam inimicissimi Dei, ea quæ sunt creata, participant, idque succensentes, quod eis indigent.

Cap. XXXIII. *Procreatio liberorum necessaria.*

Τήν τε παιδογονίαν ὑβρίζοντες, τὰς μίξεις αὐτοῖς ἄνευ γε ταύτης συμβαίνειν (46*), δοῦλοί γε ὄντες τῆς ἀναγκαίας διαδοχῆς πρὸς Θεοῦ νενομοθετημένης, ἀλλ' οὐ τῆς ἡδονῆς· ἐχθροί γε τὰ πάντα τῆς ἀληθοῦς καὶ γνησίας ἀρετῆς καὶ τῆς εὐσεβείας ὄντες, ὥσπερ αἰτιώμενοι τὸ ἀείζωον τοῦ τῶν ἀνθρώπων γένους, καὶ βουλόμενοι αὐτοῦ που στῆναι τὸν δρόμον τῆς φύσεως· νομοθετοῦντες τῷ Θεῷ καὶ ἀγανακτοῦντες πρὸς τὴν ἀγαθότητα, δι' ἣν ἀνεξικάκως ἔχει πρὸς τὴν αὐτῶν βλασφημίαν.

Procreationem liberorum contumeliose vituperant, volentes, ut corpora sine ea miscerentur: B qui servi quidem sunt necessariæ successionis a Deo sancitæ, sed non voluptatis; inimici autem per omnia veræ et germanæ virtutis ac pietatis, tanquam accusantes humani generis perpetuitatem, et volentes alicubi sistere processum ejus naturalem, sancientes legem Deo, et bonitati ejus succensentes, qua eorum blasphemiam patienter tolerat.

Καίτοιγε διὰ τοῦτο φυσική τις ἐνέστακται τοῖς σώμασι μίξεως ὄρεξις, ὡς μικροῦ ἀνάγκῃ τῶν τῆς φύσεως κινημάτων φέρεσθαι τὰ ζῶα πρὸς τὴν τῆς διαδοχῆς ἐργασίαν, ὑπερβαλλούσῃ τοῦ Δημιουργοῦ σοφίᾳ καὶ τοῦτο θέντος· ἐπειδὴ γὰρ μοχθηραὶ μὲν γυναιξὶν αἱ ὠδῖνες, μοχθηραὶ δὲ ἀνδράσι τε καὶ γυναιξὶ τῶν γιγνομένων αἱ ἀνατροφαὶ, ἀναγκαῖοι δὲ λίαν αἱ διαδοχαί· ἡ μὲν ὄρεξις φυσικῶς κινεῖται, καὶ τρόπον τινὰ βιάζεται, ὁ δὲ λογισμὸς ὁσίως δέχεται (47) προὐργιαιτέραν τῆς ἡδονῆς ποιεῖσθαι τὴν διαδοχήν· καὶ ἀναίτιος τῶν σωμάτων ἡ ἡδονὴ, εἴγε λογισμῷ καὶ νόμῳ τοῦ ποιήσαντος ἀκολουθοίη.

Cum alioqui naturalis quidam appetitus concubitus ob eam causam corporibus constitutus et ordinatus est, ut animalia fere necessitate motuum naturæ ad efficiendam successionem ferantur, sapientia infinita Creatoris qui hoc statuit: etenim quia laboriosi sunt partus muliebres, laboriosæ item viris et feminis educationes liberorum, valde autem necessariæ successiones; appetitus quidem naturaliter movet et quodammodo vim adhibet, ratio autem sancte demonstravit præstabiliorem esse successionem voluptate; et extra culpam est voluptas corporum, si quidem rationem et legem auctoris sequatur.

Οἱ δὲ τὴν ἡδονὴν πολλάκις καρπούμενοι τὸ ἀπ' αὐτῆς ἔργον ἀναγκαίως μισοῦσι· καὶ παρεγγυῶσι παρ' ἀγγελίαν ταῖς ἐπαγομέναις ἐφαλλομέναις μαγγανείαις τὰς συλλήψεις κλείειν τε καὶ ῥίπτειν, καὶ τοὺς ἐν ὥρᾳ τόκους μὴ ἀναμένειν, ὡς τούτου γε μόνου δεινοῦ καὶ χαλεποῦ· τυγχάνοντες ἐχθροὶ τῆς φύσεως ἐγηγερμένοι, μᾶλλον δὲ τοῦ ταύτην δημιουργήσαντος, καὶ μανίαν κατὰ τοῦδε τοῦ παντὸς ἐκμαθόντες· Καὶ διὰ τί, φασὶν, ἐνυπάρχει τοῖς σώμασιν ἡ πρὸς τὰς μίξεις ἐπιθυμία;

Qui autem sæpius voluptatem capientes, opus quod inde necessario provenit, odio habent, et mandant sic commiscere corpora præter edictum, ut conceptus concludant et ejiciant, et partus tempestivos et maturos non exspectare, quippe cum hoc solum sit grave et difficile; hi, inquam, qui inimici naturæ excitati sunt, et insanire contra Deum universi didicerunt: Quare, inquiunt, insita est corporibus libido corporum commiscendorum? D

Πῶς δ' ἂν ὑπέστη τῆς ἐν μέρει γε σωφροσύνης τὸ κάλλος ἐν ἀνθρώποις, εἰ μὴ φύσει μὲν ἦν τὸ ἐρεθίζον, λογικῷ δὲ κατεχόμενον; ποῦ δ' ἂν ἦν παρθενία παρὰ γυναιξὶν, ἢ παρ' ἀνδράσιν ἀπειρογαμία τὴν κοινὴν σωφροσύνην παρευδοκιμοῦσα, εἰ μὴ λογισμὸς, καὶ τὸ πρὸς ἁγιωσύνην φίλτρον εἶχεν; ὅ γε τοῖς φυσικοῖς προσπαλαῖον, νικηφόρους ἀναδείξει τοὺς καλῶς τὴν ἔμφυτον ἐπιθυμίαν βιαζομένους, οὐ πρὸς ὕβριν τῆς φύσεως, ἀλλὰ πρὸς ἄσκησιν καρτερίας τε καὶ ἁγιωσύνης.

Sed quomodo esset in hominibus decor pudicitiæ privatæ, nisi natura esset quod titillaret, et ratione coerceretur? ubi esset apud mulieres virginitas, aut apud viros intractatio nuptiarum, nisi ratio amorem sanctitatis haberet, quæ naturaliter certans eos qui recte cupiditatem insitam reprimunt et domant, victores declararet? idque non ad contumeliam naturæ, sed ad exercitationem tolerantiæ et sanctitatis?

(46*) *Συμβαίνειν.* Monet Basnagius hic deesse verbum θέλουσιν, quod legisse videtur interpres.

(47) *Δέχεται.* An δέδεικται?

Digitized by Google

CAP. XXXIV. *Ciborum usus moderatus, bonus. Temperantia laudabilis.*

Sic sane cibis et potionibus delectamur, non criminosa voluptate fruentes : naturalis enim hæc est, et tamen jejuniis nos exercemus ; non quod est supra naturam contra naturam exercentes, sed tolerantiam amplectentes, et Deum per humiliationem placantes et propitium reddentes : nunquam exercitationem jejunii susciperemus, nisi fames esset in corpore.

Ubique igitur appetitus asciscit laudem et moderati usus ciborum, et abstinentiæ pro viribus : non enim usus eorum, quæ secundum naturam sunt, peccatum parit : vini quidem moderata potio salutaris esse potest ; vitium vero ebrietatis per intemperantiam introducitur.

Similiter usus cibi secundum naturam moderati culpa vacat : gula vero arguitur et reprehenditur propter nimium, et quia est præter rationem. Sic etiam uti legitime et moderate appetitu miscendi corporis, omnino caret crimine; præter legem autem et immoderate uti, crimen affert incontinentiæ. Manichæus igitur et ejus asseclæ nihil ratione perspicientes, omnia furenter contumeliis affecerunt : tanquam omnis cupiditas sit mala, cujus quidem modus et temperamentum legitimum extra culpam et crimen est : abstinentia vero pro viribus spectata laus est admirabilis virtutis.

Si enim quis abstinens laudabilis est apud Deum, non male in potestate ejus est, id cujus abstinentia officium est perfectæ virtutis. Maxima enim jactura fieret, si in potestate ejus non esset, tanquam non posset edi virtus per abstinentiam : nisi enim contrarium fieri possit, non potest fieri malum ; neque rursus fieri potest bonum, nisi possit malum, ut sæpe demonstravimus. Manichæus autem bonum et virtutem inhonorat, cum potestatem et libertatem vituperat.

Οὕτω δὴ τροφαῖς τε καὶ πόμασιν ἐνηδόμεθα, οὐ διαβεβλημένην ἡδονὴν καρπούμενοι· φυσικὴ γὰρ καὶ αὕτη, καὶ ὅμως νηστείαις διαγυμναζόμεθα, οὐ κατὰ τῆς φύσεως μελετῶντες τὸ ὑπὲρ φύσιν, ἀλλὰ καρτερίαν μὲν ἀσπαζόμενοι, διὰ δὲ ταπεινώσεως τὸν Θεὸν ἐξιλεούμενοι· οὐκ ἂν δὲ νηστείας ἄσκησιν μετήλθομεν, πείνης ἐν τῷ σώματι μὴ ἐνούσης.

Πανταχοῦ τοίνυν ἡ ὄρεξις προξενεῖ καὶ τῆς συμμέτρου χρήσεως καὶ τῆς κατὰ δύναμιν ἀποχῆς τὴν εὐδοκίμησιν· οὐ γὰρ τῶν κατὰ φύσιν ἡ χρῆσις ποιεῖ τὴν ἁμαρτίαν· οἴνου γὰρ τὸ μέτριον εἴη μὲν σωτήριον· μέθης δὲ τὸ κακὸν διὰ τῆς ἀμετρίας εἰσάγεται.

Παραπλησίως δὲ καὶ τροφῆς τῆς κατὰ φύσεως ἐμμέτρου ἀναίτιος ἡ χρῆσις· γαστριμαργία δὲ τῷ ὑπερβάλλοντι παράλογος ἐλέγχεται. Οὕτω δὴ καὶ τῆς πρὸς τὰς μίξεις ὀρέξεως ἡ μὲν νόμιμος χρῆσις καὶ μέτρα γινώσκουσα ἀνέγκλητος παντελῶς· ἡ δὲ παράνομός τε καὶ ἄμετρος τῆς ἀκολασίας προσάγει τὸ ἔγκλημα. Μηδὲν τοίνυν τῷ λογισμῷ μήτε ὁ Μάνης καθεωράκως, μήτε οἱ ἐξ ἐκείνου πάντα φέροντες μανικῶς καθύβρισαν, ὡς πάσης ἐπιθυμίας οὔσης κακῆς· ἧς τὸ μέτρον μὲν νομίμως ἀναίτιον· ἡ δὲ κατὰ δύναμιν ἀποχὴ καὶ θαυμασίας γε ἀρετῆς εὐδοκίμησις.

Εἰ γὰρ ἀπεχόμενός τις ἐπαινετὸς παρὰ Θεῷ, οὐ κακῶς γε ἐκεῖνο τῇ ἐξουσίᾳ παράκειται, οὗ γε ἡ ἀποχὴ τελείας ἀρετῆς κατόρθωμα· ζημία γὰρ ἦν, εἰ μὴ παρέκειτο ἡ ἀνωτάτω, ὡς οὐ κενὸν διὰ τῆς ἀποχῆς ἀγαθὸν ἀποφανθῆναι· ἄνευ γὰρ τοῦ μὴ ποιῆσαι τοὐναντίον, ἐξὸν ποιῆσαι τὸ κακόν, οὐκ ἔνι τοὐναντίον πεποιηκέναι δοκεῖν τὸ ἀγαθόν, ὡς πολλάκις ἐδείξαμεν. Ὁ δὲ Μάνης τἀγαθόν τε καὶ τὴν ἀρετὴν ἀτιμάζει, τὴν ἐξουσίαν καὶ τὸ ἐλεύθερον κακίζων.

CAP. XXXV. *De corporibus inanimatis Manetis insania.*

Præterea non pudet dicere animatos esse lapides, et introducere omnia animata, et quæ manifeste sunt inanimata, tanquam illa virtus boni in lapidibus etiam contineatur ; qui usque adeo quod ab ipsis honoratur, ad ludibrium et vilitatem dejicit, ut naturam boni in lapidibus inanimis ligatam esse dicat. Affirmare autem sic se habere ista quæ dicit, qualis insaniæ indicium esse dicitur ? Si enim in lapidibus continetur, quod a Deo missum est, jam vicit nequitia ; contra ligato, quod ad ligandum venerat, dicit animæ lapidum et lignorum indicium esse sonum in aere lapidis et virgæ, tanquam audierit aliquando vocem ipsorum articulatam.

Est autem apud nos etiam cogitatio et sermo animæ, qui nequaquam auditur ; quod enim auditur, percusso aere per instrumentum corporeum, auditur : quod quidem absque motu rationis in animantibus ratione carentibus inveniri potest, quæ clamant quidem, sed non articulate, quia ratione privata sunt.

Οὐκ αἰσχύνεται δὲ καὶ τοὺς λίθους ἐψυχῶσθαι λέγων, καὶ τὰ πάντα ἔμψυχα, καὶ τὰ σαφῶς ἄψυχα εἰσηγούμενος· ὡς ἀπ' ἐκείνης δὴ τῆς τοῦ ἀγαθοῦ δυνάμεως, ἔτι καὶ ἐν λίθοις κατεχομένης· τοσοῦτο κατάγει τὸ παρ' αὐτῶν τιμώμενον εἰς ὕβριν τε καὶ εὐτέλειαν, ὥστε τὴν φύσιν τοῦ ἀγαθοῦ καὶ ἐν λίθοις ἀψύχοις φάσκειν πεπεδῆσθαι· ἅπερ οὕτως ἔχειν διισχυρίζεσθαι, ποίας ἄν τις φήσειε μανίας εἶναι τεκμήριον ; Εἰ γὰρ ἐν λίθοις κατέχεται τὸ παρὰ τοῦ ἀγαθοῦ πεμφθὲν, ἤδη νενίκηκεν ἡ κακία· τοὐναντίον δεδεμένου τοῦ δῆσαι παραγενομένου· καὶ ποιεῖται τεκμήριον τῆς τῶν λίθων καὶ τῶν ξύλων ψυχῆς τὸν ἐν ἀέρι κτύπον λίθου τε καὶ ῥάβδου, ὥσπερ ἐνάρθρου φωνῆς αὐτῶν πώποτε διακούσας.

Ἔστι δὲ καὶ παρ' ἡμῖν τὸ μὲν ἐνθύμημα καὶ ὁ λόγος τῆς ψυχῆς οὐδαμῶς ἀκουόμενον· τὸ δ' ἐξάκουστον, ἀέρος πληττομένου διὰ τοῦ σωματικοῦ ὀργάνου· ὅπερ δίχα τῆς λογικῆς κινήσεως, καὶ ἐπὶ τῶν ἀλόγων εὕροι τις ἄν, βοώντων μὲν, ἀναρθρα δὲ, ἐπειδὴ λόγου ἐστέρηται.

Digitized by Google

Ὡς παντὸς σώματος, κἂν ἄψυχον ᾖ, οἰκεῖόν ἐστι τὸ ἦχον ἐμποιεῖν τῇ πρὸς τὸν ἀέρα πληγῇ· τὸ γὰρ ἀσώματον οὐκ ἂν ἐξάκουστα φθέγξαιτο· ἀέρα γὰρ οὐ πλήττει, ὀργάνου τοῦ πλήττοντος ἀπηλλαγμένον.

Ἐπεί τοι αἱ ἀσώματοι δυνάμεις ἄψυχοί γε δόξουσιν ἂν, ἐπειδὴ ἐξάκουστον παρ' αὐτῶν οὐδὲν εἰς ἡμᾶς ἀφικνεῖται· ὅπερ τοίνυν ἐχρῆν τεκμήριον ποιήσασθαι τῶν παντελῶς ἀψύχων, ὡς κτυποὺντων ἐξ ἀνάγκης εἰς ἀέρα (τοῦτο γὰρ μόνου σώματος, οὐχὶ δὲ ψυχῆς), τοῦτο ψυχώτεως σημεῖον ἔλαβεν. Ἐντεῦθεν δὴ καὶ τὰ τετράποδα καὶ τὰ πετεινὰ, ὅσα χρήσεις ἀνθρώποις ἔχει τροφῆς, βαρέως αἰτιᾶται τοὺς θύοντας, ὡς ἐκείνης τῆς δυνάμεως τοῦ ἀγαθοῦ καὶ ταῦτα ψυχούσης, καὶ ἐν αὐτοῖς κατεχομένης· ὥσπερ σπουδάζων καθυβρῖσαι παντοίως, ὃν ἀγαθὸν δῆθεν ἀποκαλεῖ· ἐρωτητέον δὴ τίνος ἐπιτροπῇ ταῦτα ἀνθρώποις ἐξ ἀρχῆς εἰς τροφὴν παραδέδοται· ἆρά γε τῆς κακίας, ὡς ὑβριζούσης τὸ ἀγαθόν; Ἀλλ' οὐκ ἄν γε ἐκείνη τοσοῦτον συνεῖδε πρᾶγμα, γνῶσιν μὴ κεκτημένη· οὐ γὰρ ἄλλος δημιουργὸς ἂν εἴη, οὐδὲ δημιουργήσας ἐστὶν, ὥς φησιν ὁ Θεὸς, καὶ τὴν δύναμιν ἐκ τῆς ἰδίας φύσεως προβαλλόμενος ἐπὶ σωφρονισμῷ τῆς ὕλης.

A Est autem proprium corporis, licet sit inanimatum, percusso aere sonitum reddere : quod enim caret corpore, non reddet vocem quæ audiri queat ; quia non percutit aerem, cum sit ab instrumento percutiente liberum.

Quamobrem incorporeæ potestates inanimæ videbuntur, quia nihil quod sensu auditus percipiatur, ab eis ad nos fertur. Quod igitur oportebat fieri indicium corporum prorsus anima carentium, ut quæ necessario aerem pulsant (hoc enim corporis est, non animæ), hoc accepit Manichæus tanquam signum animationis. Hinc etiam est, quod graviter accusat eos qui mactant quadrupedes et volucres, quæcunque homines ad vescendum adhibent, tanquam hæc etiam illa virtus boni animet, in B eisque contineatur. Sic studet, ut modis omnibus contumeliose vituperet, quem bonum scilicet appellat. Interrogandus quippe est, cujus procuratione tradita sunt hæc a principio hominibus ad vescendum? an nequitiæ tanquam contumeliosæ in bonum ? At non fuit illa tantæ rei conscia, ut quæ cognitionem non habuit. Non enim alius creator mundi fuerit ; neque Deus, ut ait, creavit, et virtutem ex propria natura produxit ad correctionem materiæ.

CAP. XXXVI. *Ad hominis utilitatem omnia a Deo creata.*

Συνέστη τοίνυν τὰ ζῶα σύμπαντα, βουληθέντος τοῦ δημιουργήσαντος, τά τε εἰς τροφὴν ἀνθρώποις ἐπιτήδεια καὶ τὰ μή. Ἐπέτρεψεν ἆρα οὐδεὶς ἕτερος ἢ ὁ ποιήσας ἀνθρώποις εἶναι ταῦτα τροφήν· οὐ γὰρ C ἂν ἐπέγνω καθόλου ἡ φύσις τὸ χρήσιμον ἑαυτῇ, μὴ οὕτω νομοθετήσαντος τοῦ πεποιηκότος αὐτήν. Αὐτίκα καὶ πλοῦτος φύσει ταῦτα γεγένηται, ὡς μηδέποτε τῆς αὐτῶν χρήσεως διαλειπούσης· καὶ ὅσῳ γε μᾶλλον ἔνια τῇ χρήσει δαπανᾶται, τοσούτῳ πλέον πολυγονώτερα τυγχάνει· καὶ τὰ μὲν τρέφει μόνον ἀνθρώπους, τὰ δὲ καὶ ἐνδύει, ἄλλα δὲ καὶ ἄλλας χρήσεις παρέχει, δοῦλα φύσει πρὸς τοῦ δημιουργήσαντος ἀνθρώπῳ κατεσκευασμένα. Ὅθεν καὶ ὑποτέτακται καὶ τὰ μεγάλα τῷ ὄγκῳ πράως εἴκοντα, καὶ τὰ ἐν ἀέρι τέχνῃ τοῦ λογισμοῦ καθελκόμενα, καὶ τὰ ἐν ὕδασιν ἀναγόμενα, καὶ μᾶλλον ἐκεῖνα, ὅσα γε τὸ χρήσιμον ἀνθρώποις ἀποπληροῖ. Οὕτω δῆλον, ὡς οὐκ ἄνθρωποι ἑαυτοῖς ἐδιάσαντο παρὰ τὸ βούλημα τοῦ δημιουργήσαντος τὰ ἄλογα· ἀλλὰ καὶ νόμος αὐτοῖς ὑπέταξε τοῦ ποιήσαντος ταῦτα.

Exstiterunt igitur omnia animalia, volente eo qui creavit, et quæ ad alendum homines idonea sunt, et quæ non. Nemo igitur alius procuravit, et hæc hominibus in cibum et alimentum adhiberentur, nisi qui ea creavit : non enim universa natura, quid sibi utile esset, cognovisset, nisi qui eam fecit, sic sanxisset. Ex quo continuo factum est, ut hæc fuerint divitiæ natura, quippe cum nunquam earum usus deficiat ; et quo magis quædam usu consumuntur, eo sunt diuturniora ; ac partim quidem alunt homines, partim vestiunt, et alia alios usus præbent, facta natura homini serva a Creatore. Unde subjecta sunt ei etiam, quæ sunt vasta mole, mansuete obedientia ; et quæ in aere artificio rationis ad nos trahuntur, et quæ in aquis educuntur, atque ea magis quæ utilitatem hominibus explent. Sic patet, non homines sibi per vim animalia ratione carentia subjecisse, præter volun- D tatem ejus qui ea creavit ; quin potius lex Creatoris hæc eis subjecit.

Φαίη δ' ἂν ὁ Μάνης, ὡς οὐδὲ βοῦν εὐσεβὲς ἀρόσει παραβεβλῆσθαι τῆς γῆς, ἵνα μὴ καὶ πάνυ καταδουλοῦσθαι δόξειεν ἡ πρὸς τοῦ ἀγαθοῦ πεμφθεῖσα ψυχή. Καὶ πῶς ἂν γεωργία συσταίη ; πῶς δ' ἂν τὸ γένος παραμείνειε τὸ τῶν ἀνθρώπων διαγινόμενον; Οὕτω παρὰ τοὺς κοινοὺς λογισμοὺς πάντα κατὰ τῆς δημιουργίας ὁ παντοίως Μανεὶς ἐπλάσατο. Δοῦλα γὰρ φυσικῶς ἀνθρώπου τὰ ἥμερα ζῶα γεγένηται, καὶ τῇ τούτου χρήσει παραβέβληται. Δοῦλα δὲ καθ' ἕτερον λόγον καὶ τὰ ἀνήμερα πρὸς τῇ ῥηθείσῃ αἰτίᾳ, ὥστε λογισμῷ τὸν ἄνθρωπον πάντων τῶν ἀλόγων κρατιστεύειν· Θεοῦ δὲ ἐπιτρέποντος διὰ ποικίλας αἰτίας, οὐ λέων μόνον τὸ ἀλκιμώτατον θηρίον, ἤ τι τῶν ἄλ-

Dicit etiam Manichæus, impium esse bovem arationi terræ applicare, ne anima a Deo missa, valde servitute pressa videatur. Et quomodo agricultura sustentari posset? quomodo durans genus hominum perseveraret? Sic Manichæus omnia præter communes notiones contra creationem varie furens finxit. Serva enim hominis naturaliter mansueta animalia facta sunt, et usui ejus destinata. Non mansueta autem alia ratione serva, præter causam dictam, ut homo ratione in omnia animalia ratione carentia dominaretur, Deo ob varias causas id procurante : alioqui non leo tantum, fera fortissima, aut aliqua alia hujusmodi bestia,

Digitized by Google

aut serpens hominem vinceret, sed culex etiam, aut aliud ex minimis. Verum natura ferarum aliter etiam quam dictum est, ad aspectum et experientiam hominibus diversis de causis necessaria est.

A λων θηρίων ἢ ἑρπετῶν, ἀνθρώπου κρατήσειεν ἄν, ἀλλὰ καὶ κώνωψ ἤ τι τῶν ἄλλων βραχυτάτων περιγένοιτο· πλὴν θηρίων φύσις καὶ ἄλλως τὸν εἰρημένον τρόπον εἰς ὄψεις ἐστὶν, ὅτι καὶ εἰς πεῖραν ἀνθρώποις κατὰ διαφόρους αἰτίας ἀναγκαία.

Cap. XXXVII. *In fabrica mundi sapientia Creatoris.*

Sed quia ad singula quæ ille nugatur et fingit, respondere et occurrere delirum esse videtur : contemplandum est intelligentiam habenti sine disputatione, quomodo unius verbo omnia aptata sunt. Una lex Creatoris in omnibus dominatur, et nihil in rebus pugnat, neque belli indicium vel dissensionis in creaturis apparet ; quin potius omnia (homine quidem peccante) pacem inter se habent, ut quæ ab uno pacis et quietis statutum acceperunt ; a quo hoc ipsum quod sunt, a principio habent. Conspirat enim cum rebus quæ in terra sunt, cœlum pluens, cum tempus postulat ; ac rursus pluviam sustinet, cum opus est solo calore ad maturandum : sol autem suo circuitu lege auctoris constituto efficit tempestates, nunquam eas commutans, quinimo unum ordinem earum immutabilem tenet, perseveratque in natura varietas : atque una et eadem summa conspiratio supra et infra cernitur. Nox autem omni sæculo permansit sine inconstantia adversus diem, non motu fortuito et carente ratione diei succedens, sed sapientia auctoris addendo et subducendo temperata ; idque non aliaș aliter, quin potius manifestum ac certum est tempus accessionis ; C manifestum item et certum tempus subductionis. Rursus sol non gravatur nocti succedere, neque contumeliam ducit legem Creatoris ; sed potius more probi servi, confecto sine cessatione ulla cursu diei, recedit, ut ei lex imposita est, diligenter se abdens, ut nox spatium sibi dimensum recipiat.

Ἀλλ' ἐπειδὴ πρὸς ἕκαστον ὧν ἐκεῖνος ἀδολεσχεῖ τε καὶ πλάττεται, λῆρος ἂν δόξειεν εἶναι τὸ λέγειν τε καὶ ἀπαντᾷν· θεωρητέον καὶ δίχα λόγου τῷ κεκτημένῳ σύνεσιν, ὅπως μὲν ἑνὸς ἥρμοστο λόγῳ τὰ σύμπαντα· εἷς δὲ νόμος τοῦ Δημιουργοῦ κατὰ πάντων κρατεῖ, καὶ οὐδὲν ἐν τοῖς οὖσι διαμάχεται, οὐδὲ πολέμου τεκμήριον ἢ διχονοίας ἐν τοῖς δημιουργήμασιν ὑποφαίνεται, ἀλλ' εἰρηνεύει, Θεοῦ γε συμπλέκοντος τὰ πάντα πρὸς ἄλληλα, ὡς ὑφ' ἑνὸς λαβόντα τῆς εἰρήνης καὶ τῆς ἡσυχίας τὸ σύνθημα, παρ' οὗ καὶ τὸ εἶναι τὴν ἀρχὴν τούτοις ὑπῆρξε· συμπνεῖ τε γὰρ τοῖς ἐπὶ γῆς πράγμασιν οὐρανὸς ὕων, ὅταν καιρὸς ἀπαιτῇ, καὶ αὖθις ἀνέχων τὸν ὑετὸν, ὅταν δέῃ θερμότητι μόνῃ τελεσφορεῖσθαι τὰ φυτά· ἥλιος δὲ μεταβαίνων νόμῳ τοῦ ποιήσαντος τὰς ὥρας ἐργάζεται, ἐναλλάττων οὐδέποτε ταύτας, μίαν δὲ τὴν τάξιν αὐτῶν ἀπαράβατον δεικνύων, καὶ ἐμμένει γε τῇ φύσει τὸ διάφορον· μία δὲ καὶ ἡ αὐτὴ φαίνεται σύμπνοια τῶν ἄνω τε καὶ τῶν κάτω πρὸς ἀκρίβειαν. Νὺξ δὲ πρὸς ἡμέραν ἀστασίαστος διέμεινε τὸν αἰῶνα σύμπαντα, οὐκ ἀλόγῳ φορᾷ τὴν διαδοχὴν πρὸς τὴν ἡμέραν ἔχουσα, ἀλλὰ σοφίᾳ τοῦ Δημιουργοῦ, προσθήκαις τε καὶ ἀφαιρέσεσι μετρουμένη· καὶ οὐδὲ ταύταις ἄλλοτε ἄλλως, ἀλλὰ δῆλος μὲν προσθήκης, δῆλός τε τῆς ἀφαιρέσεως ὁ καιρός. Αὖθις δὲ ἥλιος οὐ βαρύνεται τῆς νυκτὸς τὴν διαδοχὴν, οὐδὲ ὕβριν ἡγεῖται τὸν νόμον τοῦ δημιουργήσαντος· ἀλλ' ἀγαθοῦ δούλου τρόπον τελέσας ἀπνευστὶ τῆς ἡμέρας τὸν δρόμον, ἀναχωρεῖ γε ᾗ νόμος αὐτῷ σπουδῇ κρυπτόμενος, ὡς ἂν τὸ οἰκεῖον μέτρον ἡ νὺξ ἀπολάβῃ.

Quid vero de terra et mari dices, quomodo ambo terminis circumscripta sunt? Licet videre mare fluctibus elatum, lege autem ab impetu prohibitum, et vi ventorum impulsum in terram, metu autem legis retrorsum reflexum : quamvis non murus adamantinus auxilio est ei, ne mare effluat et inundet terram, et non obediat auctori suo. Quin imo satis est propugnaculum terræ adversus ma- D re verbum ejus qui fecit, coercetque arena ; quin potius lex cohibet et foris flatus ventorum violentos, et intus fluxionem aquarum, ut nullam partem terræ inundet aqua maris ; et creaturæ quidem amicæ et tanquam inter se germanæ unum vere auctorem sibi ascribunt ac profitentur. Quis enim unquam historicus scripsit, in cœlo motum stellæ in stellam factum esse : aut in terra animalia alterum genus oppugnasse, ut ipsum delerent aut ipsa contra delerentur? Sed potius quæcunque aliud in aliud incurrunt et invadunt, sapientia Creatoris statutum est hoc, ut quæ abundant consumantur ; quæ et esse et consumi, utrumque hominibus prodest.

Τί δ' ἂν εἴποις περὶ γῆς τε καὶ θαλάττης, ὡς ἕκαστον αὐτῶν ὅρῳ τινὶ περιγέγραπται ; Ἀλλ' ἔστιν ἰδεῖν τὴν θάλατταν κυρτουμένην μὲν τοῖς κύμασι, νόμῳ δὲ τῆς ἐφόδου κωλυομένην· καὶ ὑπὸ μὲν πνευμάτων βιαίων κατὰ γῆς ὠθουμένην, φόβῳ δὲ τοῦ νόμου εἰς τοὐπίσω ἀνακλωμένην· καίτοι γε οὐκ ἀδαμάντινον τεῖχος αὐτῇ βοηθεῖ πρὸς τὸ μὴ ῥεῦσαι κατὰ τῆς γῆς, καὶ ἀπειθῆσαι αὐτῷ τῷ ποιήσαντι. Ἀλλ' ἀρκεῖ περίβολον εἶναι τῇ γῇ πρὸς τὴν θάλατταν ὁ λόγος τοῦ ποιήσαντος, καὶ ψάμμος κατέχει, μᾶλλον δὲ νόμος ἐπέχει, καὶ βίαν τῶν ἔξωθεν πνευμάτων, καὶ ῥύσιν ὑδάτων, ὥστε καὶ μηδὲν τῆς γῆς κατακλυσθῆναι· καὶ φίλα γε ὡς ἀλλήλοις εἶναι ἀδελφὰ δημιουργήματα, ἕνα πρὸς ἀλήθειαν τὸν δημιουργὸν ἐπιγραφόμενα. Τίς γὰρ ἱστόρησε πώποτε, ὡς ἐν οὐρανῷ μὲν ἀστὴρ ἀστέρι ἐπανέστη, ἐπὶ γῆς δὲ ζῶα ἑτέρῳ γένει διεμαχέσατο, ὡς ἐξαλεῖψαι τοῦτο, ἢ τοὐναντίον ἐξαλειφθῆναι ; Ἀλλὰ καὶ ὅσα ἄλλο ἄλλῳ ἔπεισι, καὶ ταῦτα σοφίᾳ τοῦ Δημιουργοῦ νενομοθέτηται, τὸ πλεονάζον αὐτῶν παραναλίσκειν, ὧν καὶ τὸ εἶναι καὶ τὸ δαπανᾶσθαι ὑπὲρ ἀνθρώπων ἑκάτερα.

Digitized by Google

Εἰ δέ τις ἔλθοι τῷ λόγῳ καὶ πρὸς αὐτὰς τῶν σωμάτων τὰς ἀρχὰς, καὶ τέτταρα μὲν στοιχεῖα κατίδοι, τῇ δ' ἐναντιότητι πρὸς συμφωνίαν κεραννύμενα, πλέον ἂν ἐκπλαγείη τῶν ὄντων τὴν συμφωνίαν, ὡς ἀφ' ἑνός γε ἐχόντων καὶ μόνου τὸ εἶναι· τούτοις γὰρ ἡ ἐναντιότης φιλίας ἀφορμή· καὶ τὸ μαχόμενον τῆς φύσεως αὐτοῖς εἰρήνης τῆς ἀνωτάτω παραίτιον· ἃ δὴ τέσσαρα μέν ἐστιν ἀριθμῷ, ἓν δὲ συνερχόμενον. Μᾶλλον δὲ καὶ ἀλλήλων ἐπιδεόμενα πρὸς τὸ εἶναι αὐτῇ γε τῇ ἐναντιότητι ἀλλήλοις ἐπικουροῦντα, καὶ ἐν ἀλλήλοις κρυπτόμενα, καὶ δι' ἀλλήλων φαινόμενα· μικρὸν μὲν οὖν εἰπεῖν, ὡς οὐ ψυχρίζεται τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ, οὐδὲ ἐσβέσθη ὑπὸ τοῦ ὑγροῦ· οὐδὲ κατεφλέχθη μὲν τὸ ξηρὸν ὑπὸ τοῦ πυρὸς, κατελύθη δὲ ὑπὸ τοῦ ὑγροῦ· σύστασις γὰρ ἀλλήλων ταῦτα θαυμασίως ἐνδιαιτᾶται· καὶ δόξαι ἂν πῦρ μόνον ὄν, οὐ μέντοι δίχα ὑγροῦ καὶ ξηροῦ, οἷς γε τρεφόμενον διαλάμπει· ὥσπερ καὶ τὰ ἄλλα ἀλλήλοις ἔνεστιν ἀφῇ μόνον ἐμφαίνοντα τὴν ἐναντιότητα, οὕτω μέντοι φιλάλληλα, ὡς οὐδεμίαν διαφωνίαν ἔχειν δοκοῦντα. Ταῦτα δὲ τὴν ἄῤῥητον σοφίαν κηρύττει καὶ σιωπῶντα τοῦ ἑνὸς ἀγεννήτου, ὑφ' οὗ δὴ καὶ γενόμενα συνεκράθη· οὐ γὰρ δὴ σῶμα γένοιτ' ἂν ἐξ ἑνός τινος καὶ ἁπλοῦ στοιχείου· κράσει γὰρ συσταίη ἂν σῶμα. Ποία δὲ κρᾶσις ξηροῦ καὶ μόνου; ποία ὑγροῦ, εἰ καθ' ἑαυτὸ τυγχάνει;

A Si quis autem ad ipsa principia corporum consideranda veniat, et quatuor elementa contempletur, quemadmodum eorum conspiratio ac concentus ex contrariis pendeat; magis stupebit consensum rerum, ut quæ ab uno et solo hoc ipsum quod sunt, habeant: in his enim quatuor elementis, id quod contrarium est, amicitiæ causa est; et quod in eis natura pugnat, summam pacem facit; quæ quidem quatuor numero sunt, unum vero conflatu ac concursu. Quin potius se ipsis inter se indigent, ut sint; et ipsa natura contrarii se vicissim adjuvant, et in se ipsis inter se abdita sunt, et per se ipsa inter se apparent; et, ut paulum dicam, neque calidum frigidi frigore frigescit, nec humore humidi exstinguitur: neque siccum ab igne combustum est, nec ab humido humore perfusum. Ex his enim inter se constituta sunt, et consistunt, et in se ipsis mirabiliter insunt: ac putabis quidem solum ignem esse, non tamen absque humido et sicco, quibus quidem alitur et splendet: sicut alia in se ipsis insunt, tactu tantum contrarium indicantia; sic tamen sibi inter se amica, ut nullam discordiam habere videantur. Hæc autem silentio prædicant admirabilem unius ingeniti sapientiam, a quo facta postea concreta ac mista sunt: non enim corpus ex uno quopiam et simplici elemento fieri potest: mistione enim et concretione conflatur corpus. Quæ autem concretio ac mistio esse possit sicci tantum? quæ humidi solum?

B

Cap. XXXVIII. *Varietas in creatione necessaria.*

Οὐκοῦν ἀναγκαία ἡ ποικιλία πρὸς τὴν ἑνὸς σώματος κρᾶσιν· ἀναγκαία δὲ ἡ τούτων ἐναντιότης ἐπειγομένη πρὸς ἑνότητα εἰς θαῦμα τοῦ δημιουργήσαντος· ἅτινα οὐ πρῶτον καθ' ἑαυτὰ συνέστη, καὶ οὕτως συνῆλθεν· ἀλλὰ τὴν γένεσιν σὺν ἀλλήλοις λαβόντα, καὶ ἅμα γενόμενα, ταῖς αἰσθήσεσι διεκρίθη· σώματος γὰρ ὑποστάντος, καὶ λόγος καὶ νοῦς διέκρινεν αἰσθήσει τὰ συνημμένα. Ὥστε τούτων ὕστερον ἡ ἐναντιότης ἐφωράθη τῇ αἰσθήσει τοῦ γενομένου σώματος, ὅπερ ἐξ αὐτῶν πρὸς τὸ εἶναι [συνέστη τε καὶ συγκέκραται, οὐ πρότερον γενομένων ἢ αὐτὸ τὸ σῶμα, ἀλλὰ σὺν αὐτῷ ἀρχὴν] λαβόντων (48). Τίς ἂν πρὸς ἀξίαν θαυμάσειε, τήν τε δύναμιν τοῦ Δημιουργοῦ, καὶ τὴν συμφωνίαν τῶν γινομένων, ὡς ἅμαχα καὶ εἰρηναῖα τὰ πάντα, πλήν γε ἀνθρώπων ἀδικίας;

C Igitur necessaria est varietas ad mistionem corporis: necessaria item natura contrariorum, quæ in auctoris admirationem ad coagmentationem unius urget: quæ quidem non primum per se sola constituta sunt, atque ita coierunt; sed ortum pariter inter se capientia, et simul ut facta sunt, sensibus sunt dijudicata. Cum enim corpus per se exstitit, ratio et mens conjuncta et concreta, sensu discernit. Quamobrem natura contrariorum postea deprehensa est sensu corporis, quod ex ipsis concretum et temperatum est. Quæ quidem non prius sunt, quam corpus ipsum; sed simul cum eo incipiunt esse. Quis digne ac meretur, admirari potest potestatem Creatoris, et concordiam ac concentum creaturarum? quam in pace sint et sine pugna omnia, excepta injustitia hominum?

D

Ἑστήκει οὖν ἡ δημιουργία σύμπασα, κινουμένη μὲν τὴν ἰδίαν καὶ εὔτακτον κίνησιν, ἀκίνητον δὲ διατηροῦσα τὸν ἐφ' ἑαυτῇ τοῦ πεποιηκότος νόμον. Καὶ τίς ἂν θέλοιτο, εἰ τὰς αἰσθήσεις ὑγιαίνοι τῆς ψυχῆς, τούτων οὕτως ἐχόντων, καὶ ἔτι ἀναριθμήτων ἄλλων, ἃ πάντα νοῦν ὑπερβαίνει, ἄλλην μὲν ἀρχὴν τῷ λόγῳ πλάσαι, ἀντεγείρει δὲ ταύτην ἀπεναντίας τοῦ μόνου ἀγεννήτου Θεοῦ; Σύμφωνον μὲν γὰρ καὶ ἀπαράλλακτον ἀρχὴν ὀνειροπολῆσαι περιττὸν, τῆς μιᾶς ἀρκούσης· ἐναντίαν δὲ ὑποπτεῦσαι, πάντη μανικὸν, τῶν ὅλων συμφωνούντων, καὶ ποικιλίᾳ μὲν κεκοσμημένων, σοφίᾳ δὲ τοῦ ποιήσαντος τὸ χρηστὸν καὶ τὸ

Permanet igitur ac perseverat omnis fabrica in suo et ordinato motu, conservans in se immutabilem legem auctoris. Ecquis velit, si sensus animæ sanos habeat, cum hæc ita sint, in infinita alia quæ omnem mentem superant, aliud principium cogitatione fingere, et hoc soli Deo ingenito opponere? Concors enim et consentiens principium somniare supervacuum est, cum unum sufficiat; contrarium vero suspicari, furiosi prorsus est, cum universa inter se consentiant, varietate quidem ornata, in quibus sapientia veri auctoris factum est, ut sanitas et tranquillitas cum austeritate

(48) *Λαβόντων*. Ex interprete liquet hic aliquid deesse. (Quod nos restituendo ex ejusdem interpretis versione uncis inclusimus. Edit.)

Digitized by Google

appareat ; quia omnis suavitas nimis mera, nocens est et ratione aliena : severitas vero et austeritas sola, suavitatis expers, ad feritatem et inhumanitatem spectat. Utrumque autem corrigit et delectat, exhilarat et deterret : promittit suavitatem, et minatur terrorem : protendit spem donorum, et subostendit periculum suppliciorum ; ne ratio eorum qui in terris versantur, mollitia et laxitate propriarum rerum in ignaviam demergatur ; neque perpetuo metu percussa cæca fiat : sed potius ex utraque parte et ad timorem Dei et ad virtutem instituatur.

A γαληνὸν μετ' ἐμβριθείας ἐμφαινόντων· ὡς ἅπασα μὲν χρηστότης ἄκρατος λίαν, ἐπιβλαβής τε καὶ ἄλογος· ἐμβρίθεια δὲ καὶ αὐστηρότης καθ' ἑαυτὴν, χρηστότητος ἀμοιροῦσα, πρὸς ἀγριότητα καὶ ἀπανθρωπίαν ὁρᾷ. Ἑκάτερα δὲ παιδεύει τε καὶ ἡδύνει, τέρπει τε καὶ ἐκφοβεῖ· ἐπαγγέλλεται χρηστότητα, καὶ ἀπειλεῖ φοβερά· προτείνει δώρων ἐλπίδα, καὶ παραδείκνυσι τιμωριῶν κίνδυνον· ὡς ἂν ὁ λογισμὸς τῶν ἐπὶ γῆς πολιτευομένων μήτε χαυνότητι τῶν ἡδέων καταβαπτισθῇ πρὸς ἄμετρον ῥᾳστώνην, μήτε ἀδιαλείπτῳ δέει τῶν φόβων διεκπλαγεὶς πληρωθῇ· ἀλλ' ἑκατέρωθεν μετρίως παιδαγωγηθῇ πρὸς εὐλάβειάν τε καὶ ἀρετήν.

PRÆFATIO IN LIBRUM TERTIUM.

Quæ superioribus libris tum ex rebus ipsis, tum ex communibus notionibus dicta sunt, fortassis omnium qui extra Ecclesiam sunt, mentem munire possunt, ut blasphemiam Manichæi in auctorem universi non admittant. Quia vero aliam venationem contra eos qui intra Ecclesiam sunt, gravem quidem illam et periculosam meditatus est, quædam in Scripturis sanctis dicta ad suam falsam doctrinam per vim detorquens : tempus est, ut ex divinis Scripturis confutationes contra eum agitemus, ad muniendum eos qui ipsis Scripturis sanctis credunt, qui absurdis et improbabilibus earum interpretationibus interdum ab illo decipiuntur ; vario enim fallendi artificio errorem quem adjutore diabolo excogitavit, firmare nititur ; apud gentiles quidem non refellens illorum dogmata : quæ vero minora mala sunt, in majorem molem impietatis extollens, perversiorem Hellenismum introducit.

Quibus fere ad omnia consimili opinione malarum et falsarum doctrinarum circumvectus, accessionem fictionum suarum immittit : apud Christianos vero scilicet quæ Christianorum sunt, aggressus, et probabilitate nominis Christi, et verborum Scripturæ, et modestiæ specie, lupum quidem qui est ipse, intus tegit, pellem vero ovis extrinsecus indutus, efficitur falsa stella gregi : atque ita imprudentioribus et minus cordatis nocet, cui propositum est, impietatem maxime omnium novam tum a se, tum ab aliis colligere. Ut autem nullus Christianus novitatem eorum malorum quæ collegisset, expendere saltem et considerare aggrederetur, Paracletum se appellavit, usu nominis, quod non solum supra hominem, sed supra angelum est, fallaciam suam tegens ac dissimulans ; ut auctoritate appellationis probabili, homines alioqui stulti, nullo adhibito judicio, quæ dicit, amplecterentur. Aliquando etiam tanquam apostolus Jesu Christi, barbaris genere, idem genere et mente barbarus impietatem per epistolas tradit. Sed de his postea.

Ex Scripturis, quæ sunt Veteris Testamenti, illas ascribit nequitiæ, quam vocat, legem scilicet et prophetas : Evangelia vero et reliqua Novi Testamen-

B Τὰ μὲν οὖν ἔμπροσθεν ἔκ τε τῶν πραγμάτων αὐτῶν καὶ τῶν κοινῶν ἐννοιῶν εἰρημένα, πάντων ἂν ἴσως καὶ τῶν ἐκτὸς τῆς Ἐκκλησίας τὸν νοῦν ἀσφαλίσαιτο, μηδαμῶς προσίεσθαι τοῦ Μάνεντος τὴν κατὰ τοῦ Δημιουργοῦ τῶν ὅλων βλασφημίαν. Ἐπειδὴ δὲ θήραν ἑτέραν κατὰ τῶν ἀπὸ τῆς Ἐκκλησίας μεμελέτηκε δεινήν τε καὶ χαλεπὴν, ῥήσεις τινὰς τῶν ἁγίων Γραφῶν ἐκβιαζόμενος πρὸς τὴν αὐτοῦ ψευδολογίαν· ὥρα δὴ καὶ τοὺς ἀπὸ τῶν θείων Γραφῶν ἐλέγχους κατ' αὐτοῦ κινῆσαι, πρὸς ἀσφάλειαν τῶν πιστευόντων ταῖς ἀλλοκότοις καὶ λίαν ἀπιθάνοις ἑρμηνείαις ἔστιν ὅτε πρὸς τῶν ἐκείνου πλανωμένων· ποικίλως γὰρ μεθοδεύων, ἣν ἐπενόησε συνεργείᾳ τοῦ διαβόλου πλάνην, ἰσχύειν ἐπιχειρεῖ· παρ' Ἕλλησι μὲν οὐ τὰ ἐκείνων ἀνατρέπων, τὰ δὲ ἐλάττω κακὰ πρὸς μείζονα ἀσεβείας ὄγκον C ἐξαίρων, κακοηθέστερον Ἑλληνισμὸν ἐφηγεῖται.

Οἷς σχεδὸν πρὸς ἅπασαν συμπεριαγόμενος, φασὶν, ὁμοδοξίᾳ κακῶν σφαλερῶν μαθημάτων τὴν προσθήκην τῶν ἑαυτοῦ πλασμάτων παρεμβάλλει· παρὰ δὲ Χριστιανοῖς τὰ Χριστιανῶν ὄθεν μετιὼν, καὶ πιθανότητι ὀνόματός τε Χριστοῦ καὶ ῥημάτων τῆς Γραφῆς ἐπιεικείας ἐμφάσει, τὸν μὲν λύκον, ὅπερ αὐτός ἐστιν, ἔνδοθεν σκέπων, τὸ δὲ κώδιον ἔξωθεν περιτιθέμενος, ἀπάτῃ ἀστέρος τῷ ποιμνίῳ γίγνεται· καὶ οὕτω δὴ τοὺς ἧττον ἔμφρονας καταλάμπει, καὶ δὴ προθέμενος καινοτάτην ἀσέβειαν ἐρανίσασθαι παρ' ἑαυτοῦ τε καὶ παρ' ἄλλων. Ὡς ἂν μηδεὶς τῶν Χριστιανῶν ἐπεγνωκότων ἐξετάζειν γοῦν ἐπιχειροίη τὴν καινότητα τῶν D ἠρανισμένων ὑπ' αὐτοῦ κακῶν, Παράκλητον προσεῖπεν ἑαυτὸν, ὀνόματος οὐχ ὑπὲρ ἄνθρωπον μόνον, ἀλλὰ καὶ ὑπὲρ ἄγγελον, χρήσει τὸ ἀπατηλὸν σκέπων· ἵνα τῷ ἀξιοπίστῳ τῆς προσηγορίας ἀδιακρίτως οἱ καὶ ἄλλως ἀνόητοι δέχωνται τὰ λεγόμενα. Ἔστι δ' ὅτε καὶ ὡς ἀπόστολος Ἰησοῦ Χριστοῦ βαρβάροις τὸ γένος ὁ βάρβαρος καὶ γένος καὶ γνώμην τὴν ἀσέβειαν ἐπιστέλλει. Καὶ περὶ μὲν τούτων ὕστερον.

Τῶν δὲ Γραφῶν τὰς μὲν παλαιοτέρας ἀνατίθησι τῇ πρὸς αὐτοῦ λεγομένῃ κακίᾳ, νόμον τε καὶ προφήτας· τὰ δὲ Εὐαγγέλια καὶ τὰ λοιπὰ τῆς Καινῆς Διαθήκης

Digitized by Google

μοθήματα παρὰ μὲν τοῦ ἀγαθοῦ, ὡς οἴεται, δεδόσθαι φησίν. Οὐδὲ ταῦτα μὴν ὁ τῆς βλασφημίας εὑρετὴς διισχυρίζεται δι' ὅλου καθαρεύειν τοῦ, ὥς φησιν, ἐναντίου Θεοῦ· ἐνυπάρχειν δὲ καὶ τούτοις, ὥσπερ κατά τινα μίξιν, πολλὰ τῆς ὑπ' αὐτοῦ καλουμένης ὕλης· καὶ χρῆναι, ταῦτα περιελόντα, μόνα καθ' ἑαυτὰ καταλιπεῖν, ἃ τῇ τοῦ ἀγαθοῦ μερίδι λογίζεται.

Οὕτω τῶν ἁγίων Γραφῶν τὴν διόρθωσιν, ὡς οἴεται, καθ' ἑαυτὸν μεταχειριζόμενος, καὶ διὰ τοῦτο μάλιστα τολμῶν Παράκλητος εἶναι δοκεῖν, τὰ μὲν πλείονα περιγράφει, βραχέα καὶ καταλιπών, καὶ τῆς Καινῆς Διαθήκης ποθοῦντα τῶν συγγενῶν λόγων τὴν συμφωνίαν.

Οἴεται μὲν πᾶσαν ἀσφάλειαν (49) περιτεθεῖσθαι, ὡς μόνα δὴ τὰ δυνάμενα προσέλκεσθαι, πρὸς ἃ τερατεύεται καταλελοιπώς· οὐδὲν δὲ ἧττον καὶ ταῦτα σαφῶς αὐτοῦ διελέγχει τὴν ἄμετρον μανίαν, ὡς, ἐπειδὰν περὶ αὐτὰ γένηται, Θεοῦ παρέχοντος, δείξει σαφῶς ὁ λόγος.

Δεικτέον δὲ πρῶτον, ὅπως ἄλογον ποιεῖται τὴν κατὰ τῶν ἀρχαιοτέρων ἁγίων Γραφῶν βλασφημίαν, παλαιστέροις μὲν αὐτοῦ πονηροῖς ἀνδράσι καὶ ἀπὸ τῆς Ἐκκλησίας ἀποκηρυχθεῖσι κατὰ τοῦτο συνενεχθείς, τῇ δ' ἀσεβείᾳ πάντας ἐκείνους ὑπερβαλλόμενος. Εἰ μὲν οὖν, καθάπερ Ἕλληνες ἀπιστοῦσι παντελῶς ταῖς ἱστορίαις τῶν Γραφῶν, οὕτω δὴ κἀκεῖνος ἀπιστῶν ἔφασκε, μηδαμῶς ἢ ὡς ἔτυχε τὰ αὐτόθι ἱστορούμενα γεγονέναι, οὔτ' ἂν ἡμεῖς τι πρὸς αὐτὸν περὶ τούτων ἐκινοῦμεν, οὔτ' ἂν αὐτὸς μείζω τὸν ἔλεγχον διὰ τούτων ὑπέμεινεν.

Ἐπεὶ δὲ τὴν μὲν ἀλήθειαν αὐτοῖς τοῦ Ὄντος γεγονέναι προσομολογεῖ, αἰτίαν δὲ τούτων εἶναι τὴν μὴ οὖσαν κακίαν φησί· φέρε καὶ νῦν ἀποδείξωμεν, ὅπως τὰς μεγάλας ἐνεργείας ἀνατίθησι, καὶ τὰ μείζω θαύματα τῇ διαβαλλομένῃ πρὸς αὐτοῦ κακίᾳ μὴ νοῶν, ἅτε δὴ τὸν λογισμὸν τυφλώττων, τὰς παραδόξους ἐν ταῖς ἱστορίαις τοῦ Θεοῦ τοῦ δημιουργοῦ τῶν ὅλων οἰκονομίας.

Φησὶ δὲ πρὸς λέξιν αὐτὴν ἐκεῖνος, ἢ ἕτερός τις τῶν ἀπ' ἐκείνου, ἐπιγράψας τὸ κεφάλαιον περὶ τῆς ἀνθρωπίνης πρωτοπλαστίας· *Ἐπειδὴ γὰρ ἔγνωσαν οἱ ἄρχοντες, ὡς ἐκ τοῦ παραιρεῖσθαι τὸ ἁπλῶς ἐμπίπτον εἰς αὐτοὺς μέρος τοῦ φωτός, ταχὺς ἐπ' αὐτοὺς ὁ θάνατος ἥξει· τὴν εἰς τὰ σώματα τῆς ψυχῆς κάθοδον ἐμηχανήσατο, ἀναδραμεῖν μὲν αὐτὴν μηδόλως ζητοῦντες, ἀνελθοῦσαν δὲ μηδὲ τῆς ἄνωθεν λήξεως ἀξίαν εὑρίσκεσθαι, μιάσματι τῆς σαρκὸς ἀνεχομένην.*

Καὶ μετ' ὀλίγα· *Διὸ ἕκαστος αὐτῶν*, φησὶ, *τῶν τῆς ὕλης ἀρχόντων, ὃν τρόπον προείπομεν, τῆς γενομένης κινήσεως ἕνεκεν, καὶ τοῦ φανέντος πρώτου ἐπὶ τὴν λύτρωσιν τῆς ψυχῆς, τῆς θύρας πρώτου ἀνοιγείσης, ὑπ' ἐκπλήξεως ἄκων καταπέμψας τὴν ἐν αὐτῷ δύναμιν, ἐμόρφωσεν ἑαυτὸν εἰς θήραμα τῆς ψυχῆς, καὶ μίμημα αὐτοῦ ἔπλασεν ἐπὶ τῆς γῆς, τοῦ δυσαποσπάστως ἔχειν ἠνάγκασε τὰς ψυχὰς κατακηλουμένας. Καὶ πλά-*

(49) Ἀσφάλειαν. Aliter legebat interpres.

A ti a bono data esse dicit, ut putat. Sed nec hæc quidem iste inventor blasphemiæ affirmat esse ex toto a contrario Dei vacua et pura, sed esse in his multa a materia, quam vocat, admista, oportereque his ablatis sola relinquere, quæ ad partem boni reputat pertinere.

Sic correctionem sanctarum Scripturarum, ut opinatur, solus aggrediens, et hac potissimum ratione ausus videri Paracletus, plurima quidem tollit, pauca vero Novi Testamenti relinquit, quæ concentum ac concordiam cum cognatis sermonibus desiderant.

Putat quidem omnem blasphemiam eis imposuisse, ut qui illa solum reliquerit, quæ ad illa monB stra quæ fingit, trahi possint: nihilo vero minus etiam hæc ipsius amentiam, et furorem summum coarguunt, ut juvante Deo aperte disputatio, cum in eis versabitur, docebit.

Ostendendum igitur primo est quam dementer in sanctas Scripturas veteres blasphemus est, consentiens hactenus cum se antiquioribus, viris pravis et ab Ecclesia ejectis, impietate vero omnes illos superans. Si igitur sicut gentiles historiis Scripturarum penitus non credunt, sic etiam ille non credens Scripturis, nequaquam aut fortuito facta esse quæ in eis narrantur, diceret, neque nos quidquam contra eum de his disputaremus, nec ipse majorem confutationem per hæc subiret.

C Sed quia veritatem Dei in eis fuisse attestatur, causam vero horum esse ait nequitiam, quæ nihil est, age, doceamus nunc, quomodo magna opera ac magis admiranda nequitiæ quam ipse accusat, attribuit; quippe qui cæca ratione non intelligit admirabiles Dei creatoris universorum gubernationes ac providentias, quæ in historiis feruntur.

Ait igitur ad verbum sive ille, sive alius quispiam ejus discipulus, qui caput inscripsit de prima formatione humana: *Quia cognoverunt magistratus materiæ, quod, si omnino pars luminis quod in eos incidit, omnino auferretur, mors eis adventura esset, machinati sunt descensum animæ in corpora: quæ quidem ne ullo modo rediret, unde descendisset,* D *ipsi curarent, reversa vero, ut non reperiretur digna habitatione supera, utpote fœditate carnis inquinata et polluta.*

Et paulo post: *Quamobrem unusquisque eorum qui sunt magistratus materiæ, sicut diximus prius, propter motum factum, et propter eum qui primum apparuit ad redemptionem animæ, janua primum aperta, præ terrore invitus dimissa virtute quæ in eo erat, formavit seipsum ad venandam animam, et imitationem sui finxit in terra, coegitque animas delinitas, ut difficile ab ea imitatione abstraherentur. Ac primum quidem Adam ab eis formatus, ac*

Digitized by Google

fictus est instrumentum cupiditatis et esca animarum e cœlo descendentium et machina ad trudendum eas in corpora.

Primum autem considerandum est, quantam sapientiam opinione sua ascribit et attestatur magistratibus materiæ, quam omnino de ignorantia condemnat et vituperat, tanquam machinatis per carnem descensum animæ ad eos, ne privarentur lumine eis admisto, qui rursus redire animam non sinerent; sin vero rediret, indigna superna habitatione tanquam sordibus carnis polluta declararetur, quasi non posset Deus animam a se creatam integre servare, victus machinis magistratuum materiæ. Ac de his quidem adhuc dicere annon est ridiculum ?

Quia vero ait, primum quod magistratus materiæ formaverunt, esse Adam instrumentum cupiditatis, et escam supernarum animarum : didicimus hinc clare eum dicere, esse hominem formatum a materia, quæ minime est, qui materiæ et nequitiæ ubique plus tribuit simulatione accusationis. Nunc autem ipsam dicit hominem fecisse, animal omnium animalium quæ in mundo corporeo sunt, præstantissimum ac maxime regium, utpote ratione præditum et admirabile tum ratione naturæ tum institutis atque exercitationibus. Quæstionem autem ponit de universo mundo, quare factus est?

De homine autem, dum nititur demonstrare, non esse a Deo formatum, movet alias quæstiones dementes : *Quomodo*, inquit, *dedit Deus Adæ mandatum? alterum enim ex duobus necesse est : aut cognoscebat quod transgressurus esset, et sic non solum frustra et inaniter dedit, sed ipse est in culpa et reus peccati illius : aut si dicatur ignorasse, necesse est dicere, Deum ignorantia præditum esse :* ut jam mandatum quidem a nequitia, ut opinatur, datum fuerit ad insidiandum homini, et non ad ullum usum : adjutum vero magnopere fuisse, et liberatum hominem, cum credidit consilio serpentis, quem angelum Dei esse decernit. *Cæcus enim*, inquit, *erat. Cum autem gustasset velitum, cognovit se esse nudum, et tegumento invento usus est ; cognovitque bonum et malum. Sic magnam cepit utilitatem.*

Quomodo, inquit, *Deum decet, ut dicat : « Ecce Adam factus est tanquam unus ex nobis, sciens bonum et malum* [11.16]. *Nunc autem ne forte mittat manum suam, et sumat etiam de ligno vitæ, et comedat, et vivat in æternum ? » Si enim poterat recuperare immortalitatem, invidus fuit, qui ex paradiso virum ejecit, et a participatione ligni vitæ exclusit, quo participato semper immortalitatem habere poterat.*

[11.16] Gen. III, 22.

A *σμα αὐτῶν ἐστι πρῶτον ὁ Ἀδάμ, ὄργανον ἐπιθυμίας καὶ δέλεαρ τῶν ἄνωθεν ψυχῶν καὶ μηχάνημα τοῦ αὐτὰς εἰς σώματα ἐμπίπτειν.*

Σκοπητέον μὲν δὴ πρῶτον, ὅσην σοφίαν προσμαρτυρεῖ τοῖς ἄρχουσιν, ὡς οἴεται, τῆς ὕλης, ἣν ἐπ' ἀγνοίᾳ πάντη κακίζει· ὡς, ἵνα μὴ ἀφαιρεθῶσι τοῦ προσμιγέντος αὐτοῖς φωτὸς μεμηχανημένοις διὰ σαρκὸς τὴν εἰς αὐτοὺς κάθοδον τῆς ψυχῆς, ἀναδραμεῖν μὲν αὖθις αὐτὴν οὐκ ἐῶντες· εἰ δὲ καὶ ἀναδράμοι, ἀναξίαν ἀποφαίνεσθαι τῶν ἄνω μεμιασμένην σαρκί· ὡς ἀδύνατον εἶναι πάντη τῷ ἀγαθῷ τὴν παρ' ἑαυτοῦ ψυχὴν ὁλόκληρον διασώσασθαι, ταῖς μηχαναῖς τῶν ἀρχόντων τῆς ὕλης ἡττώμενον. Καὶ περὶ μὲν τούτων ἔτι καὶ λέγειν πῶς μὴ γέλως ἦ;

B Ἐπεὶ δέ φησιν, ὅτι πλάσμα πρῶτόν ἐστι τῶν ἀρχόντων τῆς ὕλης ὁ Ἀδάμ, ὄργανον ἐπιθυμίας καὶ δέλεαρ τῶν ἄνωθεν ψυχῶν· τέως μεμαθήκαμεν, ὅτι σαφῶς πεπλάσθαι πρὸς τῆς μὴ οὔσης ὕλης τὸν ἄνθρωπον λέγει, ὁ πανταχοῦ τῇ ὕλῃ καὶ τῇ κακίᾳ τὸ πλέον νέμων προσποιήσει διαβολῆς. Καὶ νῦν δὴ ἄνθρωπον αὐτὴν πεποιηκέναι λέγει, τὸ βασιλικώτατον καὶ ἀρχικώτατον πάντων δὴ τῶν ἐν τῷ σωματικῷ κόσμῳ ζώων, ἅτε δὴ μόνον λογικὸν ὑπάρχον, καὶ θαυμάσιον τῷ τε λογισμῷ τῆς φύσεως καὶ τοῖς ἐπιτηδεύμασιν. Ἐπαπορεῖ μὲν δὴ καὶ περὶ τοῦ παντὸς κόσμου, τοῦ χάριν ἐγένετο.

Περὶ δὲ ἀνθρώπου δεικνύειν ἐπιχειρῶν, ὡς οὐκ ἔστι πλάσμα Θεοῦ, κινεῖ μὲν ἀνοήτως καὶ ἕτερα. C *Πῶς δὲ καὶ ἐντολὴν ἐδίδου*, φησίν, *ὁ Θεὸς τῷ Ἀδάμ; δυοῖν καὶ θάτερον, ἢ ἐγίνωσκεν ὡς παραβήσεται, καὶ οὐ μάτην μόνον ἐδίδου, ἀλλὰ καὶ αἴτιος αὐτοῦ· ἢ ἀγνοοῦντα λέγειν, ἀνάγκη τὸν Θεὸν ἀγνοίᾳ περιβεβλῆσθαι·* ὡς τὴν ἐντολὴν δεδόσθαι μὲν, εἰς ἐπιβουλὴν δὲ τοῦ ἀνθρώπου πρὸς τῆς κακίας, ὡς οἴεται, καὶ οὐδενὸς ἑτέρου· ὠφελῆσθαι δὲ τὰ μέγιστα καὶ ἠλευθερῶσθαι τὸν ἄνθρωπον πεισθέντα συμβουλῇ τοῦ ὄφεως, ὃν ἄγγελον εἶναι τοῦ ἀγαθοῦ διορίζεται· *Τυφλὸς μὲν γὰρ ἦν*, φησί· *γευσάμενος δὲ τοῦ ἀπηγορευμένου, εἶδεν ἑαυτὸν, ὅτι γυμνὸς ἦν· καὶ σκέπῃ τῇ εὑρεθείσῃ κατεχρήσατο· καὶ ἔγνω τἀγαθόν τε καὶ τὸ κακόν. Οὕτως μάλιστα ὠφέληται, παραβεβηκὼς* (50) *τὸ πρόσταγμα τοῦ ἐπιβούλως πλάσαντος.*

D *Πῶς δέ*, φησὶ, *πρέποι Θεῷ λέγειν· « Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν; Καὶ νῦν μήποτε ἐκτείνας τὴν χεῖρα λάβῃ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. »Εἰ γὰρ ἐνῆν ἀθανασίαν ἀπολαβεῖν, φθονερὸς δὲ ὁ ἐξελαύνων τοῦ παραδείσου τὸν ἄνδρα· καὶ ἀποκλείων αὐτῷ τὴν μετουσίαν τοῦ ξύλου τῆς ζωῆς, οὗ μετέχων ἐς ἀεὶ τὴν ἀθανασίαν ἔχειν οἷός τε ἦν.*

(50) *Παραβ.* Omisit Interpres hæc verba, quæ Titi argumentum conficiunt : *Cum transgrederetur mandatum Dei, qui ipsum tanta cum sapientia creaverat.* Ridet scilicet Titus Manichæos, qui utilitatem ex peccato fluxisse autumabant. Bass.

Digitized by Google

LIBER TERTIUS.

Cap. I. *Manichæi Vetus Testamentum calumniantur : Evangelia circumcidunt.*

Ἐξεργασώμεθα δὲ καὶ τὸν περὶ τὸν νόμον μετρίως, εἰς τὸν περὶ τῆς ἀρχῆς κεκινημένοι λόγον· ἀποδέχεσθαι γὰρ νενομίκασι τὸ Εὐαγγέλιον· μέμφεσθαι δὲ ἐσπουδάκασι τῷ νόμῳ καὶ τοῖς προφήταις· καὶ πᾶσαν μὲν διαβεβλήκασι τὴν Παλαιάν, τιμήσειν δὲ ὑπονενοήκασι τὰ Εὐαγγέλια, σχηματιζόμενοι μᾶλλον τὴν τῶν Εὐαγγελίων τιμήν· ἵνα τὸν σχηματισμὸν δέλεαρ τῶν ἀπατωμένων λάβωσιν. Οὐδὲ γὰρ ἐπειδὴ συντέθειν ται τοῖς Εὐαγγελίοις, τιμᾷν ὁμολογοῦσι τὰ Εὐαγγέλια· ἀλλ' ἐπειδὴ τετίμηται τὸ ὄνομα τοῦ Ἰησοῦ, προσποιοῦνται· ἔδει γὰρ αὐτοὺς, εἴγε τὰ Εὐαγγέλια ἐτίμων, μὴ περιτέμνειν τὰ Εὐαγγέλια, μὴ μέρη τῶν Εὐαγγελίων ἐξυφελεῖν, μὴ ἕτερα προσθεῖναι, μήτε λόγῳ μήτε ἰδίᾳ γνώμῃ τὰ Εὐαγγέλια προσγράφειν. Οὐδὲ γλῶσσα ἔχει τὰ Εὐαγγέλια ταῦτα, καὶ ἀναγνώσει παραπέμπουσι· προσγεγραφήκασι γοῦν ὅσα βεβούληνται, καὶ ἐξυφελαντο ὅσα κεκρίκασι· καὶ λοιπὸν ὀνόματι, καὶ ἐν τούτῳ ψεύδονται, καλοῦσι τὸ Εὐαγγέλιον, τὸ σῶμα τοῦ Εὐαγγελίου μὴ τετηρηκότες σῶμα, ἀλλ' ἕτερον σῶμα γραμμάτων, μέχρι τοῦ ὀνόματος τοῦ Εὐαγγελίου φθάνον, πεποιηκότες ταῖς ἰδίαις βουλήσεσι. Μεῖζον γὰρ τῶν ἄλλων (51) ἠτιμάκασι τὰ Εὐαγγέλια· οἱ μὲν γὰρ οὐ δέχονται, καὶ μὴ δεχόμενοι οὐ διαφθείρουσιν, ἀλλὰ μόνον ἀποσείονται, οὐ μὲν καὶ ἐμβατεύουσι τοῖς γράμμασιν· οἱ δὲ εἰληφέναι δοκοῦντες, ἐνεβάτευσαν, ἐνεχόρευσαν, ἐνεκαπήλευσαν τοῖς γράμμασι· καὶ γοήτων ἔργα καὶ πονηρῶν δεδράκασιν. Ἐκεῖνοι ἠπίστησαν, ψιλῇ τῇ ἀπιστίᾳ κέχρηνται· ἃ μὴ πιστεύουσι, φιλολογῆσαι οὐκ ἠνέσχοντο· οὗτοι, ἐν μέσῳ γενόμενοι, λύειν τὴν ἁρμονίαν ἐπικειρήκασι· καταλύειν τὸν ῥυθμὸν τετολμήκασι τεχνασμένοις μαθήμασιν, ὑπόθεσιν ἀπάτης τὸ ὄνομα τοῦ Εὐαγγελίου παρεσκευακότες. Εἰ γὰρ ᾔδεισαν τὸ Εὐαγγέλιον, οὐκ ἠγνόουν τὸν νόμον· εἰ δὲ ἠγνόησαν τὸν νόμον, πῶς τὸν Ἰησοῦν παρεδέξαντο; δίχα γὰρ νόμου Ἰησοῦς οὐ παραλαμβάνεται· ὁ γὰρ τὸ τέλος ποθῶν τὴν ἀρχὴν περιεργάζεται· ὁ δὲ τῆς ἀρχῆς γινόμενος ὑπερόπτης κενοπαθεῖ, κενολογεῖ, πρὸς τέλος ἄφιξιν οὐκ ἔχει.

A Postquam autem de principio breviter disseruimus, pertractemus quæstionem de lege : decreverunt enim amplecti Evangelium ; legem vero et prophetas reprehendere studuerunt. Ac totum quidem Vetus Testamentum calumniati sunt, Evangelia vero honorare se suspicati sunt, honorem potius Evangeliorum simulantes ; ut esset simulatio invitamentum eorum quos deciperent. Nec enim quia assentiuntur Evangeliis, honorare se Evangelia confitentur : quin potius quia honorant nomen Jesu, fingunt honorem Evangeliorum : oportebat autem eos, si quidem Evangelia honorabant, non circumcidere Evangelia ; non demere de Evangeliis, non alia apponere, neque verbis et propria sententia Evangelia ascribere. Nec enim eorum B lingua hæc Evangelia habet, et eorum lectionem prætermittunt. Ascripserunt itaque quæcunque voluerunt, et detraxerunt quæcunque judicaverunt : et postea nomine appellant Evangelia qui corpus Evangelii non servaverunt, sed potius aliud corpus litterarum, quod usque ad nomen tantum Evangelii pertingit, propria voluntate fecerunt. Plus enim quam gentiles Evangelia inhonoraverunt : illi non recipiunt, et non recipiendo non corrumpunt, sed solum rejiciunt, non tamen calcant litteras : hi vero cum recepisse videbantur, calcaverunt, insultarunt et adulteraverunt litteras ; et quod præstigiatores et improbi faciunt, fecerunt. Illi non crediderunt solum, et quibus non crediderunt, de C eis a se disseri non patiuntur : hi vero in medium prodeuntes conati sunt concentum solvere ; modulationem doctrinis artificio fabricatis tollere ausi sunt, præparato nomine Evangelii, ut esset fallaciæ causa. Si enim Evangelium cognovissent, legem non ignorassent : quod si legem ignoraverunt, quomodo Jesum receperunt? sine lege enim Christus non recipitur : nam qui finem desiderat, principium investigat : contra vero, qui est principii contemptor, vanus est, vane loquitur, non potest in finem evadere.

Cap. II. *Lex necessaria Christianis.*

Εἰ δὲ *τέλος νόμου Χριστὸς*, ματαιοπονοῦσι, νόμου μὲν φυγάδες ὄντες, Ἰησοῦν δὲ εἰδέναι ἐπαγγελλόμενοι. Εἰ μὴ νόμος λαλήσει, ὁ Κύριος οὐκ ἐπιγινώσκεται· ἡ γὰρ σιωπὴ τοῦ νόμου, ἄγνοια τοῦ κηρυττομένου· ἡ δὲ τοῦ νόμου μάθησις, ἐπίγνωσις τοῦ προκαταγγελλομένου. Εἰ γὰρ Μωϋσέως ἤκουον, ἐπίστευον εἰς τὸν παρεληλυθότα. Ἀμέλει οὐ πιστεύεται ὁ ἐγηγερμένος,

Si autem *finis legis* est *Christus* [16], frustra laborant qui legem fugiunt, et cognitionem Jesu se habere profitentur. Nisi lex loquatur, Dominus non D agnoscitur : taciturnitas enim legis, ignoratio est prædicati : rursus vero cognitio legis, notitia est prænuntiati. Si enim Moysem audirent, crederent in eum qui venit. Sane quidem neque suscitato

[16] Rom. x, 4.

(51) Ἄλλων. Interpres legebat ἐθνῶν.

Digitized by Google

creditur, nisi lex fidem faciat audientibus. Et si quidam dicat : *Mitte Lazarum, ut nuntiet fratribus meis, ne et ipsi veniant in hunc locum tormenti ;* et respondente Abraham : *Habent Moysem et prophetas,* dicat : *Nisi quis ex mortuis resurgat, non credent ;* audiet tamen iste : *Si Moysem et prophetas non audierunt, neque si quis a mortuis resurgat, audient* [17]. O rem miram ! neque si quis a mortuis excitatus nuntium afferat, ei creditur sine lege et prophetis, imo neque Dominus Jesus apostolis apparere voluit transfiguratus, nisi adhibitis lege et prophetis ; et qui potuit testimonium a Patre ferre, non inhonoravit consortionem sanctorum : quin potius cum vellet certissimam fidem in conspectu apostolorum facere, quod in montem eos adducebat, et transfigurabatur, ostendebat Moysem et Eliam, ut testimonio esset consociatio sanctitatis illorum : et ut is qui Jesum recipit, socios ejus ne dedecoret ; ne si ejus stipatores et ministros parvifaciat, regem ipsum inhonoret.

A εἰ μὴ πίστιν ὁ νόμος τοῖς ἀκούουσιν ἐμποιήσει. Κἂν γάρ τις λέγῃ, *Πέμψον Λάζαρον, ἵνα ἀναγγείλῃ τοῖς ἀδελφοῖς μου μὴ ἐλθεῖν εἰς τὴν ὁδὸν τῆς βασάνου ταύτης* · καὶ λέγοντος Ἀβραάμ, *Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας*, εἴπῃ · *Ἐὰν μή τις ἐκ νεκρῶν ἀναστῇ, οὐ μὴ πιστεύσουσιν* · ἀκούσεται, *Εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἤκουσαν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται.* Βαβαί! οὔτε γὰρ ἡ τοῦ ἐγηγερμένου παραγγελία τῇ τοῦ νόμου καὶ τῶν προφητῶν (52).... ὁ Ἰησοῦς δίχα τῆς συνουσίας αὐτῶν οὐδὲ τοῖς ἀποστόλοις φαίνεσθαι ἠξίωσε · καὶ δυνάμενος ὑπὸ τοῦ Πατρὸς μαρτυρεῖσθαι, οὐκ ἠτίμασε τὴν συνουσίαν τῶν ἁγίων · ἀλλὰ ταῖς ὄψεσι τῶν ἀποστόλων πίστιν ἀκριβεστάτην βουλόμενος παρασχέσθαι, ὡς ἀνῆγεν ἐν τῷ ὄρει καὶ B μετεμορφοῦτο, ἐδείκνυε Μωϋσέα καὶ Ἠλίαν, ἵνα ἡ συνουσία τῆς ἁγιότητος γένηται μαρτυρία · καὶ ἵνα ὁ δεχόμενος τὸν Ἰησοῦν τοὺς συνόντας μὴ ἀτιμάσῃ, ἵνα μὴ, τοὺς δορυφόρους καὶ ὑπηρέτας εὐτελίζων, αὐτὸν ἀτιμάζων ᾖ τὸν βασιλέα.

Cap. III. *Legem perfecit Christus.*

Denique tantam curam legis et prophetarum Salvator habuit, ut nihil ex lege non perfecerit ; omnia autem quæ scripta erant, patraverit, clamaretque : *Non veni solvere legem, sed adimplere* [18] ; ingrederetur autem in templum, et turpes inde administrationes domus Dei ejecerit, ut reddens domum puram, re ipsa plenissime persuaderet se suarum ac paternarum rerum procurationem suspicere. Clamat enim : *Domus Patris mei domus orationis vocabitur ; vos autem fecistis eam speluncam latronum* [19]. Et quia sunt infinitæ Scripturæ quibus illorum absurda opinio redargui potest ; nos ne prolixe scribentes librum in longum producamus, permittemus aliis uti verborum analogiis : nos autem brevitate usi, ad ea quæ contra Scripturas dicunt, pergemus. Recipientes Evangelium non recipiunt legem, quia non totum et integrum Evangelium recipiunt ; alioqui legem reciperent, si universum Evangelium tenerent : nunc autem primo cauponati Evangelium, consentanee legem non recipiunt. Convincuntur igitur non tenere legem, propter latrocinium in Evangelio. Si autem Evangelio testimonium tribuunt, et legem non honorant, testimonium inhonorant : non jam enim est hoc legem inhonorare, sed potius non credere testanti : ac si unum quidem Evangelium testaretur, aliud vero taceret, et unius tantum dedecoratio esset ; non tacerent alia Evangelia, quæ dedecorationem unius communem ducerent.

Τοσαύτην γοῦν ἐπιμέλειαν τοῦ νόμου καὶ τῶν προφητῶν πεποίηται ὁ Σωτήρ, ὡς μηδὲν ἀτελὲς ποιῆσαι τοῦ νόμου · πάντα δὲ ἀνύειν τὰ γεγραμμένα, βοᾷν δὲ, *Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι*, εἰσιέναι δὲ ἐν τῷ ἱερῷ, καὶ τὰς ἀτόπους οἰκονομίας ἐξωθεῖν, ἵνα, τὸν οἶκον καθαρὸν ἀποδοὺς, πίστιν ἀκριβεστάτην τῷ πράγματι παράσχῃ, ὡς οἰκείων καὶ πατρῴων ἐπιμελόμενος πραγμάτων. Βοᾷ γάρ · *Ὁ οἶκος τοῦ Πατρός μου οἶκος προσευχῆς* C *κληθήσεται* · *ὑμεῖς δὲ αὐτὸν πεποιήκατε σπήλαιον λῃστῶν.* Καὶ ἐπειδὴ μυρία ἐστὶ λόγια δυνάμενα δυσωπεῖν τὴν ἄτοπον ἐκείνων δόξαν, ἡμεῖς, ἵνα μὴ λόγοις πλείοσι χρώμενοι εἰς μῆκος ἐξαγάγωμεν τὸν λόγον, τοῖς μὲν ἄλλοις ἐπιτρέψωμεν ταῖς ἀναλογίαις τῶν ῥημάτων χρῆσθαι · ἡμεῖς δὲ, συμμέτρως χρησόμενοι, πρὸς αὐτὰς τὰς ἀντιθέσεις τῶν λογίων χωρήσωμεν. Τὸ Εὐαγγέλιον παραδεχόμενοι, τὸν νόμον οὐ παραδέχονται · οὐδὲ γὰρ οὐδὲ ὁλόκληρον τὸ ἅγιον Εὐαγγέλιον παραδέχονται · ἢ γὰρ ἂν καὶ τὸν νόμον ἐλάμβανον, εἰ ὁλόκληρον τὸ Εὐαγγέλιον ἐδέχοντο · νῦν δὲ πρῶτον τὸ Εὐαγγέλιον καπηλεύσαντες (53), εἰκότως τὸν νόμον οὐ παραδέχονται. Ἐλέγχονται οὖν διὰ τὸ λελῃστευκέναι τὸ Εὐαγγέλιον. Εἰ δὲ τὸ Εὐαγγέλιον μαρτυρεῖ, καὶ οὐ τιμῶσι τὸν νόμον, ἠτιμάκασι D τὴν μαρτυρίαν · οὐκέτι γὰρ ἡ ἀτιμία τοῦ νόμου, ἀλλ' ἡ ἀπιστία τοῦ μαρτυροῦντος · καὶ εἰ μὲν ἓν τῶν Εὐαγγελίων ἐμαρτύρει, ἕτερον δὲ ἐσιώπα, καὶ καθ' ἑνὸς μόνον ἐγίγνετο ἡ ἀτιμία · οὐκ ἂν ἐσιώπα τὰ ἄλλα Εὐαγγέλια, κοινὴν ἀτιμίαν τὴν τοῦ ἑνὸς ἀτιμίαν ἡγούμενα.

[17] Luc. xvi, 28-31. [18] Matth. v, 17. [19] Matth. xxi, 13 ; Marc. xi, 17 ; Luc. xix, 46.

(52) *Τῶν προφ.* Verba desunt aliquot in Græcis ; sed sensum implevit Turrianus optime. Basn.

(53) *Καπηλ.* Illi cauponantur Evangelium, qui in tabulam illud vertunt, et cogitata sua cum gratia miscent. Sic Theodor. II Cor. II, 17, interpretatur *cauponari* verbum. Turr. — In Græco καπηλεύσαντες, vox deducta a mercatoribus qui merces adulterant et prostituunt. Pollux. *Onomast.* Id.

Digitized by Google

CAP. IV. *Lex et Evangelium de Christo consentiunt.*

Εἰ δὲ Μάρκος λέγει· *Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ*· ὁ δὲ Ματθαῖος· *Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ*· καὶ ὁ μὲν προπάτορα τῆς κατὰ σάρκα γεννήσεως οἶδε τὸν Ἀβραὰμ, καὶ τιμᾷ τὸν Δαβίδ· ὁ δὲ συνάπτει τὸ Εὐαγγέλιον τῷ νόμῳ· καὶ τοῦ Εὐαγγελίου ἀρχὴν τὸν νόμον νενόηκεν· ἀληθεύει ὁ Σωτὴρ λέγων· *Ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ*· οὐκέτι γὰρ μέχρι τοῦ νόμου ἵσταται ἡ ἀτιμία, ἀλλ' ἐπ' αὐτὸν ἀναβαίνει τὸν Σωτῆρα. Καὶ οἱ μὲν Ἰουδαῖοι ἀκουέτωσαν· *Εἰ Μωσέως ἠκούετε, ἠκούετε ἂν ἐμοῦ· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν*· οἱ δὲ Μανιχαῖοι ἀκουέτωσαν· *Εἰ τοῦ Εὐαγγελίου ἠκούετε, τοῦ νόμου ἠκούετε· περὶ γὰρ τοῦ νόμου τὸ Εὐαγγέλιον γεγράφηκεν*· ἀλλ' Ἰουδαῖοι μὲν, κάλυμμα λαμβάνοντες, οὐδὲ τὸν νόμον νενοήκασιν, οὐδὲ τὸν καταγγελλόμενον ἐπέγνωσαν· οἱ δὲ αἱρεσιῶται ὀφθαλμοὺς ἔχουσιν οὐ βλέποντας, ὦτα ἔχουσιν οὐκ ἀκούοντα· διὰ τὸ μὴ παρακύψαι εἰς τὰ Εὐαγγέλια, τῷ νόμῳ ἐμαχέσαντο· ἰδοὺ γὰρ ὁ μὲν Ἰωάννης βοᾷ· *Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.* Οἶδε τὸν μάρτυρα, καὶ οἶδε τὸν μαρτυρούμενον· καὶ τὸν μάρτυρα προγράφει· *Ὁ νόμος καὶ οἱ προφῆται μέχρις Ἰωάννου.* Οὐκοῦν ὁ Ἰωάννης μαρτυρεῖ, καὶ ὁ νόμος μάρτυρ, καὶ μαρτυρεῖται ὁ νόμος.

A Si vero Marcus ait : *Principium Evangelii Jesu Christi, sicut scriptum est in Isaia propheta*[20] ; Matthæus autem : *Liber generationis Jesu Christi, filii David, filii Abraham*[21] ; et hic quidem progenitorem Jesu secundum carnem scit esse Abraham, et David honorat ; conjungit Evangelium cum lege, et legem cognovit esse principium Evangelii ; fatetur verum Salvator, cum ait : *Qui vos spernit, me spernit*[22], non enim usque in legem evadit dedecus, et ibi residet, sed in ipsum Salvatorem redundat. Ac Judæi quidem audiant : *Si Moysem audiretis, audiretis utique me ; de me enim scripsit ille*[23]. Manichæi vero audiant : *Si Evangelium audiretis, et legem audiretis ; de lege enim scripsit Evangelium.* Verum Judæi quidem velo oculis adhibito, neque B legem intellexerunt, neque nuntiatum agnoverunt. Hæretici vero oculos habent cæcos, et aures surdas : quia non introspiciunt in Evangelium, legem oppugnaverunt. Joannes enim clamat : *Fuit homo missus a Deo, cui nomen erat Joannes : hic venit in testimonium, ut testimonium perhiberet de lumine*[24]. Cognovit testem, et cognovit de quo erat testimonium, et testem præscribit inquiens : *Lex et prophetæ usque ad Joannem*[25]. Joannes igitur testatur, et lex testis est, et testimonium legi perhibetur.

Ὅρα ἡλίκον ἀτόπημα ἡ περὶ τὰς μαρτυρίας ἀπιστία νομίζει. Καὶ τοιαῦτα τούτων φθεγξαμένων, οὐδὲ ὁ Λουκᾶς σιωπᾷ· φησὶ γὰρ τὴν αὐτὴν φωνὴν (54), C καὶ συνῳδὰ τοῖς ἄλλοις φθέγγεται, καὶ διηγεῖται, ὅτι ἄρτι μὲν ὁ Γαβριὴλ τῇ Μαρίᾳ φανεὶς ἠφίει οὐράνιον ἀσπασμὸν, λέγων· *Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· ὡς δὲ ἐκείνη ἐπὶ τῷ λόγῳ ἐταράττετο καὶ διελογίζετο ἐν ἑαυτῇ λέγουσα, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος· ἔλεγε· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν ἐνώπιον τοῦ Θεοῦ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας· καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.* Καὶ τιμᾶται Δαβὶδ, καὶ πατὴρ ὁμολογεῖται Σωτῆρος, καὶ μένει ἡ ἀρχὴ, καὶ παραδίδοται τῷ Κυρίῳ, καὶ τέλος οὐ δέχεται, τῆς D ἀρχῆς ἐν τῷ ἀτελευτήτῳ σεμνυνομένης. Καὶ ταῦτα μὲν αἱ τῶν Εὐαγγελίων ἀρχαί· ἔδει γὰρ ἡμᾶς ἀπὸ τῶν ἀρχῶν τὸν λόγον ὑφᾶναι, ἵν' οὕτω, κατόπιν τις βαδίζων τοῦ λόγου, καὶ τὴν ἀκολουθίαν καὶ τὴν ἁρμονίαν τῶν λόγων κατανοῇ ἐξ ὅλων τῶν Εὐαγγελίων.

Vide, non credere testimoniis, quantum absurdi afferat. Atque hi quidem cum talia dixerint, neque Lucas silet ; eadem enim voce usus est, et aliis evangelistis consona loquitur narratque, quod Gabriel quidem apparuit Mariæ, et cœlestem salutationem ei attulit, inquiens : *Ave, gratia plena, Dominus tecum. Quæ cum audisset, turbata est in sermone ejus, et cogitabat, qualis esset ista salutatio. Et ait angelus ei : Ne timeas, Maria, invenisti enim gratiam apud Deum : ecce concipies in utero, et paries filium, et vocabis nomen ejus Jesum. Hic erit magnus, et Filius Altissimi vocabitur : et dabit illi Dominus sedem David patris ejus : et regnabit in domo Jacob in æternum : et regni ejus non erit finis*[26]. Honoratur David, et pater ejus esse conceditur, et stat ac durat principatus ejus, traditurque Domino, et finem non habet, cujus gloria perpetua est. Atque hæc quidem sunt principia Evangeliorum : oportebat enim, ut ex principiis sermonem texeremus. Post quæ, qui pone gradiatur, consecutionem et concentum sermonum ex universis Evangeliis intelligat.

Ἐπειδὴ δὲ καὶ ἡ ἀποστολικὴ διακονία χαρακτῆρα σώζει εὐαγγελικὸν, καὶ ὁ Παῦλος οἶδε, καὶ τὴν δια-

Quia vero etiam apostoli ministri Evangelii stylum evangelicum servant, et Paulus quoque eum

[20] Marc. I, 1. [21] Matth. I, 1. [22] Luc. X, 16. [23] Joan. V, 46. [24] Joan. I, 6, 7. [25] Luc. XVI, 16. [26] Luc. I, 28-33.

(54) *Τὴν αὐτὴν φωνήν.* Eadem voce, patris scilicet, quia David patrem Christi vocavit sicut Matthæus. TURR.

Digitized by Google

novit, et ministerium passionum suarum in parte Evangelii metitur[27]; ait enim : *Secundum Evangelium meum per Jesum Christum*[28], nos neque principia Apostoli prætermittemus : quin illa commemoremus ut omnes Scripturas, et principia Scripturarum percurrentes, una eorum voce legem dispensemus. Scribens igitur Hebræis sic ait : *Multifariam multisque modis olim Deus loquens patribus in prophetis, novissime diebus istis locutus est nobis in Filio, quem constituit hæredem universorum, per quem et sæcula fecit*[29]. Hoc in loco Patrem Filii cognovit, et Patrem Filii cognoscens, non partitur rem, non tacet de antiquis, non ascribit alios prophetas, sed Deum prophetarum, et Patrem Filii. Paulus non partitus est, neque divisit; imo totum prædicat, illum quidem a prophetis adoratum, hunc vero partu editum; atque hujus quidem Patrem, qui illos habuit adoratores, et sibi supplices. Cui enim supplices sunt illi prophetæ, hujus Filius est Christus. Si autem Filium honoras, eos vero qui Patri supplicant, accusas et conviciis insectaris, ore effers quæ vis : succenset Filius; non patitur contumelia Patrem affici. Si enim Pater Filii inhonorationem suam ducit, quanto magis Filius contumeliam Patris vilitatem suam esse reputabit?

κονίαν ἑαυτοῦ τῶν παθημάτων ἐν μέρει Εὐαγγελίου μετρεῖ· φησὶ γάρ· *Κατὰ τὸ Εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ*· ἡμεῖς μηδὲ τὰς ἀρχὰς τοῦ Ἀποστόλου παραλείψωμεν, ἀλλὰ κἀκείνων εἰς μνήμην ἔλθωμεν, ἵνα, πάσας τὰς Γραφὰς καὶ ἀρχὰς τῶν Γραφῶν παρελθόντες, τῇ ὁμοφωνίᾳ τοῦ νόμου οἰκονομήσωμεν. Γράφων μὲν τοῖς Ἑβραίοις, οὕτως λέγει· *Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας*· ἐνταῦθα Πατέρα οἶδεν Υἱοῦ· καὶ Πατέρα ἐπιστάμενος Υἱοῦ, οὐ μερίζει τὸ πρᾶγμα, οὐ σιωπᾷ περὶ τῶν παλαιῶν, οὐ προφήτας ἑτέρους προσγράφει, ἀλλὰ Θεὸν προφητῶν, καὶ Πατέρα Υἱοῦ· καὶ ὁ μὲν Παῦλος οὐ μεμέρικεν, οὔτε διεῖλεν, ἀλλ' ἕνα ἢ τὸν αὐτὸν κηρύττει, ὑπ' ἐκείνων μὲν προσκυνηθέντα, τοῦτον δὲ τεκνωθέντα· καὶ τούτου μὲν γεννήτορα, ἐκείνοις δὲ προσκυνηταῖς καὶ οἰκέταις χρησάμενον· οὗ γάρ εἰσιν οἰκέται οἱ προφῆται, τούτου ἐστὶν Υἱὸς ὁ Χριστός. Εἰ δὲ τὸν Υἱὸν τιμᾷς, τοὺς δὲ οἰκέτας διαβάλλεις καὶ λοιδορεῖς, τῷ στόματι φθέγγῃ ἃ βούλει· ὁρᾷς, ὅτι ἀγανακτεῖ ὁ Υἱός· οὐκ ἀνέχεται Πατρὸς ὑβριζομένου. Εἰ γὰρ ὁ Πατὴρ τὴν τοῦ Υἱοῦ ἀτιμίαν ἰδίαν ἀτιμίαν λελόγισται, πόσῳ μᾶλλον ὁ Υἱὸς τὴν τοῦ Πατρὸς ὕβριν ἰδίαν εὐτέλειαν λογιεῖται;

Cap. V. *Variæ hæreses circa legem. Tres hæretici legem vituperant.*

Sed ut sensim pergentes, paulatim ad erubescendum compellamus, sic aggrediemur argumentari : Si Dei est lex, quare legem non tenent? Sin vero legem criminaris, cujus verba ac vox lex est? cujus potestate, quæ scripta sunt, locuta est lex? Hic partitæ sunt hæreses, nec jam uno modo sermocinantes, sed sibi repugnantes : ac Valentiniani quidem sic, Manichæi vero aliter, secus Marcion. Sputa, non verba testimonium sunt contra legem. Valentiniani quidem, Justus, inquiunt, erat Deus legis; et cum justus esset, non erat Pater Filii. Jesus, inquiunt, bonus, bonus autem et Pater; ac Pater quidem bonus; et bonum quod genitum est; Deus vero legis justus. Taliter disserentes non intellexerunt, qualem habitudinem habeat justum ad bonum; neque de eo cogitaverunt, quod si quid justum, est et bonum; et si quid bonum, est et justum. Cum autem hujusmodi cogitationes concipere non potuerint, hoc solum eos interrogemus : Si justus est Deus legis, et non est Pater Filii, non est justus Jesus : et quomodo justitiam a Filio requirimus? si non est genitus a justo, quomodo judicat? quomodo judicio decernit? quomodo commissum est ei a Patre tribunal? quomodo unicuique reddit secundum opera sua? quomodo verum est quod ait Paulus : *Iis qui secundum patientiam boni operis gloriam et honorem et incorruptionem*

Ἵνα δὲ καὶ, κατ' ὀλίγον φοιτῶντες, κατὰ βραχὺ δυσωπήσωμεν, οὕτως ἐπιχειρίσωμεν· Εἰ Θεοῦ ὁ νόμος, διατί οὐ παραδέχονται τὸν νόμον; Εἰ δὲ διαβάλλεις τὸν νόμον, τίνος ῥήματα καὶ φωνὴ ὁ νόμος; τίνος δυνάμει τὰ γεγραμμένα παρὰ τοῦ νόμου λελάληται; Ἐνταῦθα γὰρ αἱ αἱρέσεις διαιροῦνται, καὶ οὐκέτι ὁμοια διαλέγονται· ἀλλ' ἑαυταῖς μαχόμεναι· καὶ Οὐαλεντινιανοὶ μὲν ὧδε, Μανιχαῖοι ὧδε, ἑτέρωθι δὲ Μαρκίων. Πτύσματα, καὶ οὐ ῥήματα κατὰ τοῦ νόμου μαρτυροῦσι· καὶ Οὐαλεντινιανοὶ μὲν, Δίκαιος, φασὶν, ἦν ὁ τοῦ νόμου Θεός· καὶ δίκαιος ὢν, οὐ Πατὴρ ἦν τοῦ Υἱοῦ. Ἰησοῦς, φασὶν, ἀγαθός· ἀγαθὸς δὲ καὶ ὁ Πατήρ· καὶ ὁ μὲν τοῦ Υἱοῦ Πατὴρ ἀγαθὸς, καὶ ἀγαθὸν τὸ γεννώμενον, ὁ δὲ τοῦ νόμου δίκαιος· καὶ τοιαῦτα διαλεγόμενοι, οἷαν σχέσιν τὸ δίκαιον πρὸς τὸ ἀγαθὸν ἔχει οὐ νενοήκασι· καὶ ὅτι, εἴ τι δίκαιον, καὶ ἀγαθὸν, καὶ εἴ τι ἀγαθὸν, δίκαιον, οὐδ' ἐν φαντασίᾳ εἰλήφασι. Μὴ δυνάμενοι δὲ τοιαύτας φαντασίας ἔχειν, τοῦτο μόνον ἐρωτάσθωσαν· Εἰ δίκαιος ὁ τοῦ νόμου Θεὸς, καὶ οὐκ ἔστι Πατὴρ τοῦ Υἱοῦ, οὐκ ἔστι δίκαιος ὁ Ἰησοῦς· καὶ πῶς τὴν δικαιοσύνην ἀπὸ τοῦ Υἱοῦ ἀπαιτοῦμεν; Εἰ οὐ γεγέννηται ἀπὸ τοῦ δικαίου, πῶς κρίνει; πῶς δικάζει; πῶς τὸ βῆμα ἐγκεχείρισται ἀπὸ τοῦ Πατρός; πῶς ἑκάστῳ ἀποδίδωσι πρὸς ἃ ἔπραξε; πῶς ἀληθεύει Παῦλος, λέγων, *Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον*· (55) ὁ Θεὸς συνερ-

[27] Coloss. I, 24. [28] Rom. II, 16. [29] Hebr. I, 1, 2.

(55) *Ὁ Θεὸς συνεργεῖ εἰς ἀγαθόν.* In textu Paulino Rom. II. 7-9. non exstant hæc verba : neque ea sane legebat interpres. Quin et importuna huic loco videntur. Apostoli enim verbis præmittenda

Digitized by Google

γεῖ εἰς τὸ ἀγαθόν· τοῖς δὲ ἐξ ἐριθείας πειθομένοις τῇ ἀδικίᾳ, ὀργὴ καὶ θυμός· θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου, τοῦ κατεργαζομένου τὸ κακόν; Λέλυται γὰρ τὰ ῥήματα, εἰ ὁ τοῦ δικαίου ὅρος τῷ Υἱῷ οὐκ ἀποδίδοται. Εἰ δὲ τιμωρία μὲν κατὰ τῶν ἐπταικότων κεῖται, καὶ μέτρον τιμωρίας ἡ τοῦ δικαίου ἐπιστασία γίγνεται· τιμαὶ δὲ καὶ δωρεαὶ τοῖς εὐδοκιμοῦσιν ἀποταμιεύονται· καὶ σταθμίζεται ἡ τιμὴ τῇ τοῦ δικαίου ἐπικρίσει· πῶς διαστέλλονται, καὶ οὐ συστέλλονται τὴν προπέτειαν; Εἰ δὲ ὁ Μονογενὴς μὲν τοιοῦτος, οὐ τοιοῦτος δὲ ὁ Πατήρ· οὐκέτι ὅμοιος ἐξ ὁμοίου γεγέννηται· οὐκέτι εἰκὼν τοῦ γεγεννηκότος· οὐκέτι *χαρακτήρ*· οὐκέτι *ἀπαύγασμα*· οὐκέτι ὁ βλέπων τὸν Υἱὸν βλέπει τὸν Πατέρα, εἴγε μὴ *ἔσα ἔχει ὁ Υἱὸς, ἔχει ὁ Πατήρ*· καὶ βοᾷ ὁ Σωτὴρ ἐν τῷ Εὐαγγελίῳ· *Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων*. Τί πράξωμεν; νῶτα δῶμεν τῷ ῥήματι τοῦ Σωτῆρος; ἀπιστήσομεν; τῷ γεγραμμένῳ; ἢ τὸ μὲν ῥῆμα θαυμάσομεν· τῆς γὰρ ἀληθείας ἐστὶ ῥῆμα. Οὐαλεντίνους δὲ ὡς μεμηνότας καὶ δαιμονιῶντας ἔξω τῶν θεοπρεπῶν καὶ ἱερῶν συνεδρίων στήσωμεν.

A *quærunt, vitam æternam: iis autem qui sunt ex contentione, et qui non acquiescunt veritati, credunt autem iniquitati, ira et indignatio: tribulatio et angustia in omnem animam hominis operantis malum* [30]? Soluta enim sunt et evanuerunt hæc verba, si definitio justi non accommodatur et redditur Filio. Si autem iis qui deliquerunt, constitutum est supplicium, et justus qui præest, supplicium metitur; contra vero honores et munera servantur bene meritis, et honor delectu ac dijudicatione justi ponderatur: quomodo non discindunt et comprimunt petulantiam? Si autem talis quidem est Unigenitus, Pater vero non est talis; non jam ex simili similis genitus est: non jam est imago ejus, qui genuit; non *figura*, non *splendor* [31]: non jam B qui videt Filium, videt Patrem, si non *quæcunque habet Filius, habet Pater* [32]: et clamat Salvator in Evangelio: *O Pater juste, mundus te non novit, ego vero te novi* [33]. Quid agemus? terga demus verbo Salvatoris, ne credamus scripto: aut habeamus in admiratione verbum? est enim verbum veritatis. Valentinos vero tanquam insanientes et a dæmone actos extra conventus ac confessus sanctos et Deum decentes collocabimus.

Ἀλλ' ἐπειδή ἄτοπόν τι πάσχομεν τὸν κατὰ τῶν αἱρεσιωτῶν μηκύνοντες λόγον, μὴ ταύτης τῆς ὑποθέσεως ἡμᾶς ἑλκούσης, ἀνακαλεσώμεθα τὸν λόγον, καὶ ἐπὶ τὴν ὑποκειμένην ὑπόθεσιν χωρήσωμεν· καὶ ταῦτα τοῦ λυσιτελοῦς ἕνεκεν ἐσκεμμένοι, ἵνα μήτε οὗτος ὁ λόγος πάντη σεσιωπημένος ἡμῖν ὑπάρχῃ· τριχῇ γὰρ ἡ πονηρία διῃρημένη κατὰ τοῦ νόμου ἐφθέγξατο· καὶ τοσαύταις χρησαμένη διαιρέσεσι, τοσούτοις κέχρηται C καὶ τοῖς ὑπηρέταις καὶ προστάταις τῆς βλασφημίας, ᾗρημένη τοὺς ὑπηρετῆσαι δυναμένους· καὶ διὰ Οὐαλεντίνου μὲν σμικρύνειν τὸν νόμον, καὶ χωρίζειν τὸ Εὐαγγέλιον· διὰ δὲ Μαρκίωνος ἐκτρώματός τινος εἶναι τὴν τοῦ νόμου Γραφήν· διὰ δὲ Μανιχαίου, πονηροῦ τινος, ἀφεγγοῦς, ὅλον σκότους· τοιαῦτα γὰρ πράττει· τοιαῦτα ῥημάτια συντίθησι· κενολεκτεῖ διὰ συνθέσεως ῥήματα, καταπλήττων ἀκοὰς ἀγυμνάστους.

Sed quia aliquid indecorum nobis accidit, dum sermonem contra hæreticos longe protrahimus, cum nos negotium susceptum non eo trahat; revocemus sermonem, et ad propositum et institutum pergamus: his hactenus utiliter consideratis, ut sermo de istis non omnino nobis præteritus sit. Tripartita enim nequitia contra legem locuta est, totidem ministris et præfectis blasphemiæ usa, Valentino quidem ad minuendam et extenuandam legem, et separandum Evangelium; Marcione vero ad tradendum, esse Scripturam legis abortionem quamdam; Manichæo autem ad mentiendum, esse legem cujusdam mali, splendore carentis et ex toto tenebricosi. Talia enim agit, talia verba componit; vana loquitur; aures rudes et inexercitatas compositione verborum in admirationem traducens.

Cap. VI. *An adventus Filii Dei dæmoni cognitus. Angelis incognita Dei consilia.*

Διὸ τοιαῦτα ἐρωτῆσαι δεῖ· Εἰ ὁ πονηρὸς τὸν νόμον ἔγραψεν, ὁ ἀφεγγὴς ἐκεῖνος, καθόλου καὶ διόλου σκότος ὤν, πῶς ᾔδει ἔλευσιν Ἰησοῦ; πῶς ᾔδει ἄφιξιν αὐτοῦ; πῶς, μήπω τῶν πραγμάτων πεπραγμένων, D συνῆκεν ἃ ἐβουλεύσατο ὁ Θεὸς, καὶ προκατήγγειλε, καὶ προεδήλωσε; Φανεραὶ γὰρ αἱ τοῦ νόμου Γραφαὶ, ἄνωθεν μαρτυροῦσαι τὴν ἄφιξιν τοῦ Υἱοῦ. Εἰ μὲν γὰρ ἐροῦσιν, Ὁ νόμος οὐκ ἐδήλωσεν, οὔτε προφῆται προεσήμαναν, κατὰ τῶν προφανῶν φθεγγόμενοι ἐλεγχθήσονται· οὐχ ἡμῶν πλεκόντων τὸν ἔλεγχον, ἀλλ' αὐτῶν τῶν Εὐαγγελίων φανερῶς φθεγγομένων, καὶ ἄνω καὶ κάτω βοώντων· πῇ μὲν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, πῇ δέ· *Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι*. Εἰ δὲ ἐκ

Quamobrem percontari oportet: Si malus ille sine splendore, et totus et ex toto tenebræ, legem scripsit, quomodo cognovit adventum Filii? quomodo eum adesse? quomodo ante eventum rerum intellexit quæ Deus consilia ceperat, et prænuntiavit ea, et prædixit? Manifestæ enim sunt Scripturæ legis, quæ a principio adventum Filii testantur. Si enim dicent contra ea quæ in manifesto sunt, loquentes, non prænuntiasse legem, neque prophetas præsignificasse; redarguentur non a nobis nostris confutationibus, sed ab ipsis Evangeliis apertis verbis; cum ubique clamant, nunc quidem, ut impleatur quod dictum est per Isaiam prophetam, nunc vero: *Non veni solvere legem, sed implere* [33]. Si vero ex his con vi-

[30] Rom. II, 7-9. [31] Hebr. I, 3. [32] Joan. XVII, 25. [33] Matth. V, 17.

quæ paulo ante auctor dixit: *Quomodo unicuique reddit secundum opera sua? — Iis qui secundum*, etc.

Digitized by Google

cti consentiunt, quid ad hoc respondebunt? *Si enim nemo novit, quæ sunt hominis, nisi Spiritus Dei* [34]; qui autem legem scripsit, novit quæ erant in Deo, et sciebat quæcunque Deus volebat, et idcirco scripsit accurate et scienter, erat *igitur ex Deo, et Deus et in Deo;* et ideo quæcunque volebat Deus, locutus est, sciens quæ in Deo erant, et non ignorans. Si autem nemo cor nostrum novit, sed solus novit qui id fecit, et latet cor nostrum alios, non potest tamen latere Deum. Quæ autem volebat Deus, non ignorabat nequitia, sed sciebat; et hic quidem volebat, illa vero cognoscebat. quomodo non tribuunt nequitiæ magnam amplitudinem, quam non potuit celare Deus de consiliis et voluntate sua? quomodo non detrahunt Deo, qui non potuit celare nequitiam? Ac ridemus quidem viros, qui cum aliquid contra hostes moliuntur et machinantur, consilium excogitatum in apertum efferunt.

Qui talia loquuntur, et hujusmodi sermonem serunt, non vident facere se, ut ludibrio sit Deus; qui cum militet tanquam dux exercitus adversus nequitiam, consilia sua non occulte servaverit, ne nequitiæ patefierent. Quod si divinæ et angelicæ potestates non possunt intelligere, quid consilii capiat Pater, solusque Filius intelligit, et enarrat: *Deum nemo vidit unquam: unigenitus Filius qui est in sinu Patris, ipse enarravit* [35]: quomodo malæ potestates ea quæ in Deo erant, cognoverunt, cum neque divinæ potestates hæc scire possint, nisi ea tradente et enarrante Unigenito discant? Quod autem ipsa lex omnia quæ ad adventum ejus pertinent, prius narret: *Ecce*, inquit, *Virgo in utero habebit, et pariet Filium* [36]. Alius propheta non ignorat locum: *Et tu Bethleem, terra Juda, nequaquam minima es in principibus Juda* [37]. Alius locum definit, ubi positus: *Cognovit bos possessorem suum, et asinus præsepe domini sui* [38]. Alius fugam in Ægyptum, et reditum ex Ægypto: *Ex Ægypto vocavi Filium meum* [39]. Alius habitationem in ætate puerili: *Terra Zabulon et terra Nephthalim, viam maris ultra Jordanem: populus, qui sedebat in tenebris, vidit lucem magnam* [40]. Alius etiam Præcursorem non ignorat: *Vox clamantis in deserto: Parate viam Domini, rectas facite semitas ejus* [41]. Denique si quis vellet prophetias ex lege colligere, totum Evangelium componere videretur conscribendis rebus in eo gestis propheticis verbis, narrans studiose, et φιλολόγος non sine spiritu ejus disciplinas, ejus doctrinas, ejus baptisma, ejus miracula, judicium factum, proditionem Judæ, quæ in patibulo facta, fel, acetum in siti porrectum, ipsam sepulturam et monumentum, descensum ad inferos, ipsam resurrectionem, et ad extremum assumptionem. Tunc enim, quod superest, clamabit: *Tollite portas, principes, vestras, et*

A τούτου σαφῶς ἐλεγχόμενοι συντίθενται, τί ἀποκρινοῦνται; *Εἰ γὰρ οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ*, ὁ δὲ νόμον γράφων ᾔδει τὰ ἐν τῷ Θεῷ, καὶ ἠπίστατο ὅσα ἐβούλετο ὁ Θεὸς, καὶ διὰ τοῦτο γεγράφηκεν ἐξ ἐπιστασίας καὶ ἐπιστήμης ὁ γράφων· *ἆρα Θεοῦ ἦν, καὶ Θεὸς ἦν, καὶ ἐν τῷ Θεῷ ἦν*· καὶ διὰ τοῦτο ὅσα ἐβούλετο ὁ Θεὸς λελάληκε, νοῶν τὰ ἐν τῷ Θεῷ, καὶ οὐκ ἀγνοῶν. Εἰ δὲ τὴν ἡμετέραν καρδίαν οἶδεν οὐδεὶς, μόνος δὲ οἶδεν ὁ Ποιητὴς· καὶ λανθάνει μὲν ἡμετέρα καρδία τοὺς ἄλλους, οὐ δύναται δὲ λανθάνειν τὸν Θεόν· ἃ δὲ ἐβούλετο ὁ Θεὸς, οὐκ ἠγνόει ἡ πονηρία, ἀλλ' ᾔδει· καὶ οὗτος μὲν (56) ἐβουλεύετο, ἐκείνη δὲ ᾔδει· πῶς οὐ μέγα μέγεθος διδόασι τῇ πονηρίᾳ, δυναμένῃ μηδὲ τὴν βουλὴν τοῦ Θεοῦ ἀπόκρυφον ἔχειν; πῶς δὲ οὐ διαβάλλουσι τὸν Θεὸν, μὴ B δυνάμενον μήτε πονηρίαν κρύπτειν; Καὶ γελῶμεν μὲν τοὺς ἄνδρας, ὅτε τι πράττοντες κατὰ τῶν πολεμίων, εὐφώρατον ποιοῦσι τὸ σκέμμα.

Τοιοῦτον δὲ πλέκοντες λόγον, οὐχ ὁρῶσιν, ὅτι χλεύην κατὰ τοῦ Θεοῦ σκευάζουσιν· ὅτι στρατηγῶν κατὰ τῆς πονηρίας ὁ Θεὸς, τὰ σκέμματα τὰ ἴδια ἀφανῆ οὐ τετήρηκεν· ἀλλ' εἶχεν αὐτὰ εὐφώρατα τῇ πονηρίᾳ γινόμενα. Εἰ δὲ καὶ αἱ θεῖαι δυνάμεις καὶ ἀγγελικαὶ οὐ δύνανται νοῆσαι τί βουλεύεται ὁ Πατὴρ, μόνου νοοῦντος καὶ ἐξηγουμένου τοῦ Υἱοῦ· *Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο*· πῶς αἱ πονηραὶ δυνάμεις ᾔδεισαν τὰ ἐν τῷ Θεῷ; οὐδὲ τῶν θείων δυνάμεων ταῦτα δυναμένων εἰδέναι, εἰ μὴ παρ- C άδοσις μαθημάτων ἐκ τῆς τοῦ Μονογενοῦς ἐξηγήσεως παραδοθῇ; Ὅτι δὲ αὐτὸς ὁ νόμος πάντα τὰ τῆς ἀφίξεως αὐτοῦ προλαβὼν διηγεῖται· *Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν*· ἕτερος δὲ προφήτης τὸν τόπον οὐκ ἀγνοεῖ· *Καὶ σὺ, Βηθλεὲμ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα*· ἕτερος καὶ τὸν ὅρον τῆς θέσεως· *Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ*· ἕτερος δὲ καὶ τὴν εἰς Αἴγυπτον φυγὴν καὶ τὴν ἀπ' Αἰγύπτου ἐπάνοδον· *Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου*· ἄλλος τὴν οἴκησιν τὴν ἐν τῇ νέᾳ ἡλικίᾳ αὐτῷ γενηθεῖσαν· *Γῇ Ζαβουλὼν, γῇ Νεφθαλεὶμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα*· ἕτερος δὲ καὶ τὸν Πρόδρομον οὐκ ἀγνοεῖ· *Φωνὴ βοῶντος ἐν τῇ* D *ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου· εὐθείας ποιεῖτε τοὺς τρίβους αὐτοῦ*. Καὶ ὅλως εἰ βουληθείη τις, ἀναλεγόμενος τὰς ἐκ τοῦ νόμου προφητείας, ὅλον τὸ Εὐαγγέλιον συνθεῖναι, τὰ ὧδε πεπραγμένα ῥήμασι προφητικοῖς συγγράφων, φανήσεται φιλομαθής τις καὶ φιλολόγος, μὴ δίχα πνεύματος ἐξηγούμενος παιδεύματα αὐτοῦ, διδασκαλίας αὐτοῦ, βάπτισμα αὐτοῦ, σημείων ἐπιτελέσεις, τὸ γεγονὸς κρῖμα, τὴν προδοσίαν τοῦ Ἰούδα, τὴν ἐπὶ τοῦ ἱκρίου οἰκονομίαν, τὴν χολὴν καὶ τὸ ὄξος τὸ ἐν δίψῃ δεδομένον αὐτῷ, τὴν ταφὴν αὐτὴν καὶ τὸ μνημεῖον, τὴν οἰκονομίαν τὴν ἐν

[34] Rom. II, 11. [35] Joan. I, 18. [36] Isa. VII, 14. [37] Mich. V, 2. [38] Isa. I, 3. [39] Ose. XI, 1. [40] Isa. IX, 1, 2. [41] Isa. XL, 3.

(56) *Ἐβουλεύετο*. Interpres legisse videtur ἐβούλετο.

Digitized by Google

τῷ ᾄδῃ, τὴν ἔγερσιν αὐτὴν, τὸ τελευταῖον καὶ τὴν ἀνάληψιν· τότε γὰρ λοιπὸν καὶ βοήσεται· *Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης*· τότε τοῦτο προσθήσει καὶ τὸ γεγραμμένον παρὰ τοῦ Δαβίδ· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* Εἰ οὖν ὁ νόμος οὕτως ἠκρίβωσε τὴν ἄφιξιν τοῦ Υἱοῦ καὶ μακρόθεν προήγγειλεν, οὐκέτι διαβάλλεται, οὐκέτι ἄλλῳ προσγράφεται. Ὁ γεννήσας προελάλησεν· ὁ βουλευσάμενος λόγῳ προέλαβε τὰ πράγματα· Θεὸς ἐγέννησε· Θεὸς λέγει· *Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.* Θεὸς ἀπέστειλε· Θεὸς διὰ Μωσέως ἐλάλησε· *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν· αὐτοῦ ἀκούσεσθε πάντα, ὅσα ἐὰν λαλήσῃ ὑμῖν.* Ὁ Θεὸς ἐβουλεύσατο, καὶ ὁ βουλευσάμενος οὐκ ἐσιώπησε· τὴν βουλὴν προεμήνυσε, πίστιν ἐμποιῶν διὰ τῶν προμηνυθέντων· *Καλεῖται*, φησὶ γὰρ, *τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς, σύμβουλος, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος.* Καὶ τοιοῦτος μὲν ὁ τοιοῦτος ἔλεγχος.

elevamini, portæ æternales, et introibit rex gloriæ [43]; tunc adjunget hoc, quod a David scriptum est: *Dixit Dominus Domino meo, Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum* [44]. Si igitur lex adeo diligenter adventum Filii descripsit, et longinquo tempore antequam res evenirent, eas prænuntiavit, non jam accusatur, non jam alteri ascribitur. Qui genuit, prædixit. Qui deliberavit, res dicto anticipavit. Deus genuit. Deus dicit: *Filius meus es tu, ego hodie genui te* [45]. Deus misit me. Deus per Moysem locutus est: *Prophetam vobis suscitabit Dominus Deus ex fratribus vestris; ipsum audietis, quæcunque loquetur vobis* [46]. De iis ipsis omnibus Deus deliberavit; et cum deliberasset, non tacuit; consilium ac deliberationem prænuntiavit, per prænuntiata fidem faciens: *Vocatur*, inquit, *nomen ejus, Magni consilii angelus, admirabilis, consiliarius, princeps pacis, pater futuri sæculi* [47]. Atque hæc quidem confutatio sic habet.

Cap. VII. *Lex bona jubet*

Ἐπειδὴ δὲ τῷ πονηρῷ προσγράφουσι τὸν νόμον, τί φήσουσιν ἐάν τις αὐτῶν πεύσηται, εἰ ὁ πονηρὸς πονηρὰ παραινεῖ, καὶ οὐ δύναται μὴ παραινεῖν πονηρὰ, εἴποτε καὶ καλὰ παραινέσει, καὶ ἀγαθὰ συμβουλεύσει; Εἰ μὲν γὰρ ἐροῦσιν, ὅτι πέφυκε καλὰ παραινεῖν, καὶ ἀγαθὰ συμβουλεύειν, λύουσι πάλιν τὸν ἑαυτῶν ὅρον· οὐκέτι γὰρ πονηρὸς ὁ μὴ πονηρὰ παραινῶν· οὐκέτι πονηρὸς ὁ ἀγαθὰ συμβουλεύων. Εἰ δὲ οὐδεμία προαίρεσις ἀγαθὴ ἀπὸ πονηροῦ προσέρχεται, ποίας τάξεως ἐροῦσιν ἐκείνας τὰς παραινέσεις· *Οὐ πορνεύσεις· οὐ μοιχεύσεις· οὐ κλέψεις· οὐ ψευδομαρτυρήσεις;* Ποίας τάξεως ἐροῦσιν ἐκεῖνο τὸ γεγραμμένον· *Οὐ ποιήσεις σεαυτῷ εἴδωλα, οὐ παντὸς ὁμοίωμα, οὔτε ὅσα ἐν τῷ οὐρανῷ, οὔτε ὅσα ἐν τῇ γῇ, οὔτε ὅσα ἐν τοῖς ὕδασι;* Ποίας μερίδος φήσουσι τὰ προστάγματα· *Οὐκ ἐπιθυμήσεις τοῦ βοὸς τοῦ ἀδελφοῦ σου, ἢ τοῦ ὑποζυγίου, ἢ τῆς γυναικὸς, ἢ παντὸς κτήνους;* Εἰ μὲν γὰρ σεμνὰ καὶ θεῖα καὶ ἐράσμια τὰ τοιαῦτα φήσουσιν, ἐντραπήσονται ὑπὸ τῶν παραινέσεων τὸ μέγεθος τοῦ συμβεβουλευκότος ἠγνοηκότες· εἰ δὲ φαῦλα αὐτὰ ἐροῦσι καὶ διαβεβλημένα, καὶ φαῦλόν ἐστι τὸ μὴ πορνεύειν, καὶ φαῦλόν ἐστι τὸ μὴ ἐπιθυμεῖν ἀλλοτρίων, καὶ τοιαῦτά ἐστι τὰ φαῦλα· σκόπει οἷα νοήσουσιν ἀγαθά· σκόπει, ὅτι προαγωγοί εἰσι τῶν ἡδονῶν, καὶ πρόξενοι τῶν εἰδώλων, καὶ αἰσχρᾶς ἐπιθυμίας εὑρεταί· οἱ γὰρ τὸν νόμον διαβάλλοντες ὑπὲρ ἀνομίας πρεσβεύουσιν.

Quia vero legem attribuunt malo, quid dicturi sunt, si quis eos percontetur, si malus mala suadet; et non potest non suadere mala; si quandoque bona suadebit, etiam bona consilia dabit? Si enim dicant, aptum esse natura ad suadendum bona, ad dandum bona consilia, rursus definitionem suam solvunt. Non enim jam malus est, qui bona dat consilia. Sin autem nulla bona voluntas ac deliberatio a malo proficiscitur, cujus ordinis dicent esse illas suasiones ac monitiones: *Non fornicaberis; non adulterabis; non furtum facies; non falsum testimonium dices* [47]. Cujus ordinis dicent esse illud, quod scriptum est: *Non facies tibi idola, nec ullius similitudinem, neque quæcunque in cœlo, neque quæcunque in terra, neque quæcunque in aquis* [48]? Cujus partis esse illa dicturi sunt: *Non concupisces bovem fratris tui, aut subjugale, aut uxorem, aut omne jumentum* [49]? Si enim hæc honesta et divina atque amabilia esse dixerint, ipsæ monitiones efficient, ut se ipsi erubescant, qui amplitudinem ejus qui monuit, ignoraverunt. Sin vero dixerint prava esse hæc et in crimine, et pravum est non scortari, et pravum ac vitiosum est non concupiscere aliena, et hujusmodi sunt, quæ mala sunt, adverte, qualia bona esse intelligunt; et quomodo prostitutores sunt voluptatum, et conciliatores idolorum, ac turpium cupiditatum inventores. Qui enim legem accusant, pro vitio a lege alieno obeunt legationem.

Οἱ τὸν νόμον τὸν τὰς ἡδονὰς ἀναιροῦντα, τὸν τὴν ἀπάτην καταλύοντα, τὸν δεισιδαιμονίαν καταργοῦντα ἐξοστρακίζοντες, τί ἕτερον, ἢ εἰσοικίζουσι τὰς ἡδονὰς καὶ εἰσφέρουσι τὰς ἐπιθυμίας; Ἵνα ἡ ἡδονὴ ἀνέ-

Qui legem, quæ voluptates tollit, quæ fallaciam evertit, quæ superstitionem exstinguit, relegant, quid aliud faciunt quam voluptates domum introducunt, et cupiditates accersunt? Ut autem volu-

[43] Psal. XXIII, 7. [44] Psal. CIX, 1. [45] Psal. II, 7. [46] Deut. XVIII, 15, 18. [47] Isa. IX, 6. [47] Exod. XX, 14-16. [48] Ibid. 4. [49] Ibid. 17.

Digitized by Google

ptas licenter in mentes irrumpat, legem ex habitationibus ejecerunt, ne lege usi, a lege pudore afficerentur. Sed quomodo lege ejecta aures suas venales præbent cupiditatibus, apparet lex esse interfectrix nequitiæ : hi autem indocte et inerudite aggressi sunt accusare legem : ac lex quidem nequitiam odit, hi vero legem oderunt. Evertit quidem superstitionem lex, hi vero audent legem evertere. Opponamus igitur res. Si lex nequitiæ contraria est, hi autem legem oppugnant, succensent propter nequitiam, quia lex nequitiam criminatur : etenim quia non patiuntur ut accusetur nequitia, idcirco legem ipsi accusaverunt, ut accusatio nequitiæ nullas vires haberet, lege in crimen vocata. Si lex idola tollit, et multitudinem deorum solvit, hi autem tela in legem torserunt : consentaneum erat, ut multitudinem deorum denuntiarent. Ut igitur multitudo deorum confirmaretur, legis præceptum apud eos vetitum est, quod ait : *Audi, Israel, Dominus Deus tuus Dominus unus est ;* et, *Diliges Dominum Deum tuum* [50] ; et, *Ne forte aspiciens in cœlum, et videns solem, et lunam, et stellas, adores ea* [51]. Contra hæc verba tela jecerunt ; contra hæc præcepta exasperati linguam tanquam gladium acuerunt : idcirco a dæmonibus aguntur, et omnia venerantur, nec aliud sciunt quam omnia adorare : ac semper se humi sternunt, et mentem habent elatam, errantque ac vagantur sensu animi : omnia pro sua licentia verterunt in deos : vicerunt gentiles et multitudine, et vanitate, gentiles ex gentilibus oriundi, et magnitudine flagitii gentilium ignorantias illorum superantes.

A δην εἰσβάλλῃ ἐν ταῖς διανοίαις, τὸν νόμον ἐκ τῶν οἰκήσεων ἤλασαν, ἵνα μὴ νόμῳ χρησάμενοι ὑπὸ νόμου ἐντραπῶσιν. Ἀλλὰ πῶς τὸν νόμον ἀποσεισάμενοι ἀναπεπταμένας ἑαυτῶν τὰς ἀκοὰς παράσχωνται ταῖς ἐπιθυμίαις· φαίνεται δὲ ὁ νόμος κακίας ἀναιρέτης· οὗτοι δὲ ἀμαθῶς καὶ ἀπαιδεύτως διαβάλλειν τὸν νόμον ἐπικεχειρήκασιν· καὶ ὁ μὲν νόμος κακίαν μισεῖ, οὗτοι δὲ νόμον μισοῦσι· καὶ καταλύει μὲν τὴν δεισιδαιμονίαν ὁ νόμος· οὗτοι δὲ λύειν τὸν νόμον τολμῶσιν. Ἀντιθῶμεν οὖν τὰ πράγματα. Εἰ ὁ νόμος κακίᾳ ἀντίκειται, οὗτοι δὲ νόμῳ μάχονται, ἀγανακτοῦσι διὰ κακίαν, ὅτι ὁ νόμος κακίαν διαβάλλει· μὴ φέροντες γὰρ τὴν τῆς κακίας διαβολὴν, τὸν νόμον διαβεβλήκασιν, ἵνα ἡ κατὰ τῆς κακίας διαβολὴ μὴ ἰσχύῃ. B τοῦ νόμου διαβεβλημένου. Εἰ ὁ νόμος τὰ εἴδωλα ἀναιρεῖ, καὶ τὴν πολυθεΐαν καταλύει, οὗτοι δὲ ὅπλα κατὰ τοῦ νόμου κεκινήκασιν· εἰκότως πολυθεΐαν κατήγγειλαν· ἵνα γὰρ ὁ τῆς πολυθεΐας ἰσχύσῃ λόγος, τὸ τοῦ νόμου παρ' αὐτοῖς κεκώλυται παράγγελμα τὸ λέγον· Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου· καὶ, Μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην, προσκυνήσῃς αὐτοῖς. Πρὸς ταῦτα τὰ ῥήματα ὅπλα κεκινήκασι· πρὸς ταῦτα τὰ παραγγέλματα τραχυνθέντες, ὡς μάχαιραν τὴν γλῶσσαν ἠκόνησαν· διὰ τοῦτο δαιμονῶσι, καὶ πάντα τιμῶσι, καὶ οὐδὲν ἴσασιν, εἰ μὴ πάντα προσκυνεῖν· C καὶ ἀεὶ πίπτουσι χαμαὶ καὶ γνώμην ἔχουσιν ἐπηρμένην· καὶ πλανῶνται καὶ ῥέμβονται τῇ διανοίᾳ· πάντα τεθεοποιήκασιν ἐπ' ἐξουσίας· καὶ τὴν πλάνην ἐσχήκασι (57)· νενικήκασι τοὺς Ἕλληνας τῷ πλήθει, καὶ τῇ κενότητι Ἕλληνες Ἑλλήνων γεγονότες, καὶ τῷ μεγέθει τῆς αὐτῶν ἀτοπίας τὰς ἐκείνων ἀμβλύνοντες ἀγνοίας.

Cap. VIII. *Nihil flagitiosum in lege.*

Ne quis autem arte fallacissima studiose et accurate usus dicat, Simulavit lex, et quædam pulchra furata, tanquam sua protulit, cum vellet sua flagitia honestare, et partes honestatis inseruit studio obtegendi turpitudinem aliarum partium : age, excutiamus primo, utrum aliquid absurdum et flagitiosum apud legem appareat, atque ita flagitium istorum redarguatur. Secundo, si quasdam partes vitii ulciscendo dissipavit, reddens eos qui credebant, liberos ab omni parte vitii ; non jam lex simulata apparebit, quin potius inimica et hostis vitii et nequitiæ. Tertio, si quædam honesta circumseminavit, et non omnem speciem virtutis cum littera legis conjunxit, ut quædam videatur scripsisse, plura vero reliquisse ; habeat vim aliquam refutatio legis. Sin vero universa quæ honesta et decora sunt, omnino in litteris legis posita sunt : admiremur legem, et Dei legem confiteamur, dicamusque sermonem Dei esse ; in hos

Ἵνα δὲ μή τις ἀπατηλοτάτῃ τέχνῃ χρησάμενος ἐπιτετηδευμένως λέγῃ, Ἐσχημάτισατο ὁ νόμος, καὶ ἕνια τῶν καλῶν σεσυληκὼς (58), ὡς ἴδια προσηνέγκατο, σεμνῦναι τὰς ἑαυτοῦ ἀτοπίας βουλόμενος, καὶ μόρια τῶν καλῶν ἐνέσπειρε, διὰ τῶν μορίων τῶν καλῶν τῶν ἄλλα κατακρύψαι ἐσπουδακώς· φέρε πρῶτον D γυμνάσωμεν, μή τι ἄτοπον παρὰ τῷ νόμῳ φανείῃ, καὶ οὕτως ἔλεγχος τῆς ἀτοπίας αὐτῶν γιγνέσθω· δεύτερον, εἰ ἕνια τῆς κακίας μέρη ἐπεξελθὼν ἀπεσκέδασεν, ἐλευθέρους τοὺς πιστεύοντας παντὸς μορίου κακίας ἀποδείξας, οὐκέτι ἐσχηματισμένος ὁ νόμος φανείη, ἀλλ' ἐχθρὸς καὶ τῆς κακίας πολέμιος· τρίτον δὲ, εἰ ἕνια τῶν καλῶν περιέσπειρε, καὶ οὐ πᾶν εἶδος τῆς ἀρετῆς τοῖς γράμμασι συνῆψεν, ἵνα, εἰ μὲν ἕνια φανείη γεγραφηκὼς, πλείονα δὲ ἀπολελοιπὼς, ἔχῃ τινὰ δύναμιν ὁ ἔλεγχος· εἰ δὲ ὅλα διόλου τὰ καλὰ τοῖς γράμμασιν ἐπετέθη τοῦ νόμου, θαυμάσωμεν τὸν νόμον, καὶ Θεοῦ νόμον ὁμολογήσωμεν· καὶ Πατρὸς ὁμιλίαν φήσωμεν· τούτους δὲ παραγραφώμεθα, κίβδη-

[50] Deut. VI, 4, 5. [51] Deut. IV, 19.

(57) *Καὶ τὴν πλάνην ἐσχήκασι.* Hæc verba omisit interpres : *in errorem inciderunt.* Basn.

(58) *Ἕνια τῶν καλῶν σεσυληκώς. Aliqua honesta subripiens, ut turpia obtegeret.* Id.

Digitized by Google

λον γνώμην καὶ παρακεχαραγμένην ἐσχηκότας. Ὅτι μὲν οὖν οὐδὲ ἓν μόριον κακίας ἐπεσπαρμένον ἔχει, οὐδὲ μόριον κακίας ἀφῃρηκὼς, ἑτέρου ἐφείσατο· ἀλλὰ καθαρὸς μὲν ὁ νόμος καὶ ἅγιος, καὶ Θεοῦ νόμος, ὁ Παῦλος βοᾷ· ὥστε *Ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία, καὶ δικαία, καὶ ἀγαθή*· καὶ, *Οἴδαμεν γὰρ, ὅτι ὁ μὲν νόμος πνευματικός ἐστι*· τὸ γὰρ ἅγιον, καὶ πνευματικὸν, καὶ ἀγαθὸν πάσης ἀτοπίας ἀπολέλυται, καὶ οὐδεμιᾷ ἀτοπίᾳ ἀνέχεται· σεμνύνεται ταῖς ἀρεταῖς, καὶ διαλέγεται τῷ Θεῷ· ἡ γὰρ πρὸς τὸν Θεὸν ὁμιλία ἄλλης μὲν τάξεως οὐκ ἀνέχεται, τῇ δὲ τοῦ Πνεύματος ῥυθμίζεται ἐπιστασίᾳ· *Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.* Πνευματικὸς δὲ ὢν ὁ νόμος, τὴν πρὸς Θεὸν ὁμιλίαν παρασκευάζει· καὶ εἰ δύναται ὁ πνευματικὸς τὰ μὲν ἄλλα κρῖναι, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται· πόσῳ μᾶλλον ὁ νόμος ὁ πνευματικὸς, αὐτὸς μὲν πάντων τῶν ἄλλων τοὺς λόγους ἀνακρῖναι δύναται, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακριθήσεται;

A vero accusationem a lege transferamus, quorum sententia adulterina et depravata est. Quod igitur nullam partem vitii lex habet inseminatam, neque partem abstulit aliam, et alii pepercit, sed potius pura est lex et sancta, et Dei lex; Paulus clamat : *Lex quidem sancta, et mandatum sanctum et justum, et bonum* [52] ; et : *Scimus enim, quod lex spiritualis est* [53] : quod enim sanctum est, et spirituale, et bonum, ab omni turpitudine liberatum est, et nulla culpa in eo hæret, gloriaturque virtutibus, et cum Deo loquitur. Sermocinatio enim cum Deo non patitur, ut alterius ordinis sit, sed gubernatione Spiritus sancti temperatur; *Deus enim spiritus est, et qui eum adorant, in spiritu et veritate oportet adorare* [54]. Lex autem cum spiritualis sit, B sermocinationem cum Deo parat ; et si potest spiritualis alia quidem judicare, ipse autem a nemine judicatur : quanto magis lex spiritualis potest quidem aliorum omnium sermones judicare, ipsa vero a nemine judicabitur?

CAP. IX. *Lex omnem vitii speciem abstulit.*

Ὅτι δὲ καὶ πᾶν εἶδος κακίας ἀνεῖλε, καὶ οὐδὲ ἓν μόριον παρεῖδεν, ἀλλ' ἐπεξῆλθε πᾶν εἶδος κακίας ἀναιρῶν, ἀνακόπτων, δῆλον ἐκ τῶν περὶ τῆς κακίας ὅρων, τεσσάρων εἰδῶν ὄντων τῆς κακίας, ἀφροσύνης καὶ ἀκολασίας, καὶ δειλίας, καὶ ἀδικίας. Εἰ μέν τι φαυλον εἶη ὁ νόμος σεσιωπηκὼς, ἀτελὴς ὁ νόμος· εἰ δὲ ἐπεξῆλθε καὶ ἐπεξεργάσατο, πᾶν εἶδος κακίας προαναιρῶν, εἰκότως ἡ κακία συστέλλεται ὑπὸ τοῦ νόμου, μηδὲ λείψανον ἔχειν συγκεχωρημένη. Ὅπου γοῦν ἰσχύει νόμος, καὶ τῇ πειθοῖ τὰ νεῦρα δίδωσιν, οὐδὲ νοτίδα κακίας ἔστιν εὑρεῖν· ὅπου δὲ ἀτονεῖ, περιέρχεται ἡ πονηρία σκυλεύουσα καὶ κατανεμομένη ἐπ' ἐξουσίας βαδίζουσα, τῷ ἀφυλάκτῳ τῆς ψυχῆς τὴν ἐξουσίαν εὐραμένη. Βοᾷ γὰρ ὁ νόμος· *Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα·* ὅτε γὰρ πείθει νόμος, ἄνευρα γίνεται τὰ κακὰ, χαμαὶ κείμενα, καὶ μηδὲ ἀντωπῆσαι τῇ ψυχῇ δυνάμενα. *Εἰ γὰρ λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου*, πᾶν τὸ πρόσκομμα ἀνῄρηται, πεφωτισμένης καὶ διαυγοῦς τῆς καρδίας εὑρεθείσης· κἂν γὰρ τὴν νέαν ἐκείνην καὶ ὀλισθηρὰν ἔχῃ ἡλικίαν, φυλακὴν δὲ τῶν ῥημάτων τηρήσῃ, ἀδιάπτωτος διατελῶν βοήσεται· *Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.* Δύναμιν δὲ τοῦ μηδέποτε σφάλλεσθαι πορισάμενος ἑαυτῷ, τῷ κρύπτειν τὰς τοῦ νόμου μαθήσεις ἐν τῇ διανοίᾳ, φησίν· *Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι.*

Quod autem omnem speciem vitii sustulit, et nullam partem prætermisit aut neglexit, sed potius omne genus vitii vindicavit, tollens et exscindens illud; constat ex legibus ac regulis de vitio constitutis, cujus sunt species quatuor, imprudentia, intemperantia, timiditas, et injustitia. Si quid autem pravi lex reticuisset, imperfecta esset lex : sin vero ut omnes species nequitiæ præcideret, C eas vindicavit et retractavit : sequitur vitium a lege coerceri et reprimi, quæ neque reliquias ejus patitur. Ubi igitur valet et viget lex, et suasioni nervos adhibet, ibi neque humor vitii reperitur : ubi autem debilitatur, obambulat nequitia compilans et depascens, licenter gradiens, et licentiam nacta propter custodiam animæ neglectam. Clamat enim lex : *Si populus meus audisset me, Israel in viis meis si ambulasset, pro nihilo inimicos ejus humiliassem* [55]. Cum enim lex persuadet, nervos amittunt vitia humi jacentia, quæ nec animam ex adverso intueri possunt. Si enim *lucerna pedibus meis lex tua, et lumen semitis meis* [56], omnis offensio sublata est, illuminato corde et splendente ; etsi enim quis ætate illa adolescentiæ lubrica D sit, custodiam tamen verborum conservet perseverans erectus, clamabit : *In quo corrigit adolescentior viam suam? in custodiendo sermones tuos* [57]. David comparatis sibi viribus ad non labendum, abdendo in mente disciplinas legis aiebat : *In corde meo abscondi eloquia tua, ut non peccem tibi* [58].

Καὶ οὕτω τὸν νόμον ἀντὶ φρουροῦ καὶ φύλακος θέμενος, συνήσει πῶς ἕκαστον τῶν εἰδώλων τῆς κακίας ὁ νόμος ἀπελαύνει· ἀπελαύνων μὲν τὴν ἀφροσύνην, διὰ τοῦ λέγοντος γράμματος· *Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις*· ἐξοστρακί-

Atque ita qui legem pro custode adhibuerit, intelligit, quomodo lex singulas species vitii abigit et ejicit. Imprudentiam quidem per Scripturam, quæ ait : *Nolite fieri sicut equus et mulus, quibus non est intellectus* [59]. Timiditatem vero per Scripturam,

[52] Rom. VII, 12. [53] ibid. 14. [54] Joan. IV, 24. [55] Psal. LXXX, 14. [56] Psal. CXVIII, 105. [57] ibid. 9. [58] ibid. 11. [59] Psal. XXXI, 9.

Digitized by Google

quæ dicit : *Ne timueris, cum dives factus fuerit homo* [60] : *ne timeas probrum hominum, et vituperatione eorum ne vinearis : et time Deum, et valebis ; propter ipsum autem ne alium timeas.* Timiditate hic ejecta et extrusa, et robore imposito ac fortitudine immissa, lex clamat : *Justus tanquam leo confidit* [61], qui non timet neque horret jumentum. Duabus partibus vitii sublatis, imprudentia et timiditate, simul tollit intemperantiam, inquiens : *Non fornicaberis, non mœchaberis* [62]. Ubi cohibentur perturbationes, frenum temperantiæ in mente reperitur ; ac tribus exstinctis, exstinguit etiam injustitiam : *Non facies tibi pondera parva et magna ; pondera justa et æqualia sint tibi* [63].

Atque ita singulis partibus nequitiæ deletis, soluta est nequitia, quæ non potest amplius obambulare in mente. Quas igitur vitii species non sustulit lex? quas partes voluptatis non destruxit? quas timiditates, quas imprudentias non usque adeo vindicavit tollens voluptatem, ut etiam curam oculorum habuerit, auditioni non pepercerit, et linguam non neglexerit? *Posui enim oculis meis custodiam, et non intelligam super virginem* [64]. Sanctus usque ad curam oculorum procedit, ne voluptas animam titillans, eam ad concupiscendum adducat. Alius sanctus clamabat : *Ne circumspicias pulchritudinem alienam, ne voluptas cum vestibulum animæ ceperit, spem ingressus concipiat, quinimo a januis repulsa insidias suas desperet* [65]. Progrediens autem ad aures et ad linguas, vigiles et custodes membris præfecit, non cedens loco suo, quin potius clamat : *Pone, Domine, custodiam ori meo* [66] ; ne sermo turpis sine utilitate emissus, invitamentum voluptatis turpia loquenti adjungat. Habens præterea curam lumborum, prædicavit, ne mens huc et illuc agitata vincta esset. Præcepit enim : *Sic comedetis pascha, lumbi vestri erunt præcincti* [67] : ne si membra habeant discincta, facili motu prehendere possimus ; rursus vero in sic præcinctis optimum ordinem ad res gerendas et ad negotia reperiamus.

Ad hunc modum partibus voluptatis sublatis, in species vitiorum partis ratione prædita, et in species injustitiæ invasit. Si enim tollere quæ sunt alterius, et per vim tollere et invito domino, injustitia est ; et tollentem quæ aliena sunt, dare ea meretricibus, vel luxuriose consumere, species injustitiæ est : injustus est, qui honorem Deo eripiens, lignis et dæmonibus eum adhibet, et honorem Dei consumit, et in mente luxuriosus est. Nec enim ita luxuriose vivit, qui opes consumit, ut est injustus, qui magnas et affluentes divitias honoris Dei ex animo delet : quandiu enim divitiæ cognitio-

ζων δὲ τὴν δειλίαν διὰ τοῦ λέγοντος λογίου· *Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, μὴ φοβοῦ ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττῶ· καὶ φοβοῦ τὸν Θεὸν, καὶ ἰσχύσεις· πλὴν αὐτοῦ μὴ φοβοῦ ἄλλον.* Ἐνταῦθα γὰρ τὴν δειλίαν ἀποτεισάμενος, καὶ τὴν ῥώμην ἐνθεὶς, καὶ τὴν ἀνδρείαν ἐμβαλὼν, βοᾷ· *Δίκαιος ὡς λέων πέποιθεν*, ὡς οὐ φοβεῖται, οὐδὲ καταπτήσει κτῆνος. Καὶ τὰ δύο εἴδη τῆς κακίας ἀνῃρηκὼς, ἀφροσύνην τε καὶ δειλίαν, συναναιρεῖ καὶ τὴν ἀκολασίαν, λέγων· *Οὐ πορνεύσεις, οὐ μοιχεύσεις.* Ὅπου τὰ πάθη συστέλλεται, χαλινὸς σωφροσύνης ἐν τῇ διανοίᾳ εὑρίσκεται· καὶ τῶν τριῶν συνανῃρημένων, ἀναιρεῖ καὶ τὴν ἀδικίαν· *Οὐ ποιήσεις σεαυτῷ σταθμία μικρὰ καὶ μεγάλα· σταθμία δίκαια καὶ ἴσα ἔστωσάν σοι.*

Καὶ οὕτω, τῶν τῆς κακίας ἀνῃρημένων, ἡ πονηρία λέλυται, μηκέτι ἐμβατεῦσαι τῇ διανοίᾳ δυναμένη. Ποῖα οὖν ἤδη ἀτοπίας οὐκ ἀνῄρησεν ὁ νόμος; ποῖα μέρη ἡδονῆς οὐ λέλυκε; ποίας δειλίας, ποίας ἀφροσύνας οὐκ ἐπὶ τοσοῦτον ἐπεξῆλθε τὴν ἡδονὴν ἀναιρῶν, ὡς καὶ τῶν ὀμμάτων ἐπιμελήσασθαι, καὶ τῆς ἀκοῆς μὴ φείσασθαι, καὶ τῆς γλώσσης μὴ ἠμεληκέναι; *Ἐθέμην γὰρ τοῖς ὀφθαλμοῖς μου φυλακὴν, καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον.* Ὁ ἅγιος μέχρι τῶν ὀμμάτων φθάνει· ἵνα μὴ γαργαλίζουσα τὴν ψυχὴν ἡδονὴ εἰς σκελισμὸν τῆς ἐπιθυμίας ἀναγάγῃ. Ἕτερος τῶν ἁγίων ἐβόα· *Μὴ περιβλέπῃς κάλλος ἀλλότριον, ἵνα μὴ ἡδονὴ, μηδὲ τὰ πρόθυμα τῆς ψυχῆς λαβοῦσα, ἐλπίδα τῆς εἰσόδου λαμβάνῃ· ἀλλὰ καὶ τῶν θυρῶν ἀπελαθεῖσα ἀνέλπιστον τὴν ἐπιβουλὴν ἔχῃ.* Φθάνων δὲ ἐπὶ τὰς ἀκοὰς καὶ εἰς τὰς γλώττας, φρουροὺς καὶ φύλακας καὶ τοῖς μέλεσιν ἐπέθηκε, τόπον ἴδιον μὴ διδοὺς, ἀλλ' ἐβόα· *Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου·* ἵνα μηδὲ ἄτοπος λόγος δίχα τοῦ ὠφελίμου προεξελθὼν ἡδονῆς δέλεαρ τῷ τὰ αἰσχρὰ φθεγγομένῳ προξενήσῃ. Ἐπιμελόμενος δὲ καὶ τῆς ὀσφύος, τοῦ μὴ ὧδε κἀκεῖ σεισθεῖσαν τὴν διάνοιαν δεσμίαν εἶναι, προενοήσατο παραγγέλλων· *Οὕτω φάγεσθε τὸ πάσχα, αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι·* ἵνα μηδὲ τὰ μέλη ἄζωστα ἔχοντες τῇ ῥᾳδίᾳ κινήσει κατεπιχειρήσωμεν, ἀλλ' οὕτω διεζωσμένοι τάξιν τὴν πρὸς τὰ πράγματα ἀρίστην εὑρώμεθα.

Καὶ οὕτω τῶν εἰδῶν τῆς ἡδονῆς προανῃρημένων, ἐπεξῆλθε καὶ κατὰ τῶν εἰδῶν τῆς διανοίας, καὶ κατὰ τῶν εἰδῶν τῆς ἀδικίας. Εἰ γὰρ τὸ τὰ ἑτέρου λαβεῖν, καὶ βίᾳ λαβεῖν, καὶ ἄκοντος λαβεῖν, ἀδικία ἐστὶ· καὶ τὸν λαβόντα τὰ ἑτέρου ἢ ἑταίραις διδόναι, ἢ ἀσώτως καταδαπανῆσαι, εἶδός ἐστιν ἀδικίας· ἄδικος ὁ τὴν τιμὴν τοῦ Θεοῦ ἀφαιρῶν, ξύλοις δὲ καὶ δαίμοσιν αὐτὴν ἀποδιδοὺς, καὶ καταδαπανῶν τὴν τιμὴν, καὶ ἀσωτευόμενος ἐν τῇ διανοίᾳ. Οὐδὲ γὰρ οὕτως ἄσωτος ὁ καταδαπανῶν τὴν οὐσίαν, ὡς ἄδικος ὁ τὴν μεγάλην περιουσίαν, τὴν τιμὴν τοῦ Θεοῦ ἀπὸ τῆς διανοίας ἐξαφανίζων· ἐφ' ὅσον γὰρ συνέστηκεν ἡ περιουσία

[60] Psal. XLVIII, 17. [61] Prov. XXVIII, 1. [62] Exod. XX, 14, 15. [63] Levit. XIX, 35, 36 [64] Job XXXI, 1. [65] Eccli. IX, 8, 9. [66] Psal. CXL, 3. [67] Exod. XII, 11.

Digitized by Google

τῆς γνώσεως τῇ ψυχῇ, ἡ πρὸς τὸν Θεὸν διάθεσις ἀποδίδοται. Ὅταν δὲ πᾶσα καταπονηθῇ καὶ καταναλωθῇ καὶ πτωχεύσῃ, τότε λοιπὸν τὴν ἐκείνου τιμὴν εἰς ξύλα καὶ τέχνην καταφέρει. Διὰ τοῦτο καὶ ὁ Ἀπόστολος τὴν ἀδικίαν δεισιδαιμονίαν ἐπιστάμενος, ἔλεγε· *Καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία.*

Ἐπεὶ οὖν τῆς ἀδικίας τὸ χαλεπώτατόν ἐστι μέρος ἡ εἰς Θεὸν ἄγνοια, βραχυτέρα δέ ἐστιν ἡ εἰς ἀνθρώπους πλημμέλεια· καὶ εἰς δύο διαιρεῖται ἡ ἀδικία, εἴς τε τὴν εἰς Θεὸν ἄγνοιαν καὶ τὴν εἰς ἀνθρώπους πλημμέλειαν· γραφόμενος ὁ νόμος ἀμφοτέρων ἦρξατο. Καὶ πρῶτον μὲν βοᾷ· *Οὐ ποιήσεις σεαυτῷ εἴδωλα, παντὸς ὁμοίωμα*· ἵνα μὴ, τὴν τοῦ πεποιηκότος τιμὴν κατασωτευόμενος, πᾶσαν ἄρδην διαφθείρῃς· ἐχαλέπαινε δὲ εἰκότως καὶ περὶ τοῦ λαοῦ, ὅτε μοσχοποιήσας ἐβόα· *Οὗτοί οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου.* Ἐπειδὴ γὰρ τὰς τοῦ εὐεργέτου δωρεὰς τῷ μὴ δυναμένῳ κινηθῆναι προσαπένειμαν, καὶ ἦν ἀδικία χαλεπωτάτη, τὴν περιουσίαν τῆς εὐεργεσίας τοῦ πεποιηκότος τέχνῃ καὶ γλύμματι ἀποδιδόναι· καὶ ἡ ἀλήθεια κεκίνηται, καὶ ὁ νόμος γέγραπται, καὶ ἡ ἀδικία κεκώλυται, καὶ ὁ μανθάνων ἐπαιδεύετο. Καὶ οὕτω τοῦ θυμοῦ τῆς ἀδικίας προαναιρουμένου, καὶ τὴν πρὸς ἄνθρωπον ἀδικίαν συνανεῖλε.

Καὶ πρῶτα μὲν ἔρωτα χρημάτων ἐγγενέσθαι τῇ ψυχῇ οὐ βεβούληται· ἐπεὶ ἔρως χρημάτων τίκτει τὰς ἀδικίας, καὶ ἡ πρὸς τὰ χρήματα ἐπιθυμία γεννᾷ τὰς πλεονεξίας. Ἡ γὰρ ῥίζα τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· ἔσονται δὲ κλάδοι καὶ κλῶνες τῆς φιλοχρηματίας, αἱ ἀδικίαι, αἱ πλεονεξίαι· καὶ ἐπειδὴ ἀπὸ φιλοχρηματίας ἄρχεται ἡ πλεονεξία, καὶ ἀδικία προκαταλαμβάνει, προαναιρεῖ, προαπαγγέλλει· *Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν*· ἵνα μὴ τῷ ῥεύματι τῶν χρημάτων συῤῥέουσαν τὴν διάνοιαν τῷ ῥευστῷ χρήματι λαμβάνῃ. Εἰ γὰρ ῥεῖ τὰ χρήματα, καὶ στάσιν οὐκ ἔχει, εἰκότως ἀνθίσταται ἡ γνώμη, τὴν οἰκείαν στάσιν τῷ ῥευστῷ χρήματι μὴ διαφθείρουσα· καὶ ἐπειδὴ, πῃ μὲν ἡ φιλοχρηματία λυπεῖ, πῃ δὲ ἡ φιλοδοξία συλῶσα τὴν διάνοιαν, τῷ νέῳ καὶ ἀνθηρῷ τῆς δόξης ἐσχεδίασε καὶ τοῦτο τὸ πάθος· *Εἶδον τὸν ἀσεβῆ ἐπαιρόμενον καὶ ὑπερυψούμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν*· ἵνα μηδεμιᾷ ἀκμῇ ῥᾳδίως μαραινομένῃ ὑπηγμένη ἡ διάνοια τὸ ἑαυτῆς μέγεθος πιπράσκῃ· ἀλλ' ὑπερκύπτουσα ταῦτα τοῦ ἔρωτος τῆς ἀληθείας ἔχηται. Καὶ διὰ τοῦτο τὴν συμμετρίαν τιμᾷ, καὶ τὴν ἀδικίαν ἐξωθεῖ· καὶ τὰ θεῖα οἰκητήρια ἀποδίδωσι τοῖς τὴν συμμετρίαν τετηρηκόσιν.

Καὶ οὕτως βοᾷ· *Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην· λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ· ἵνα, πᾶν εἶδος φιλοχρηματίας ἐξορίσας, τόπον τῇ*

A iis Dei in animo permanent, respondet in ea charitas erga Deum. Cum autem omnes divitiæ dilapsæ et consumptæ sunt, et ad inopiam redacta est anima; relinquitur tunc, ut honorem Dei lignis et arti pictoris et sculptoris deferat. Unde Apostolus, cum sciret ipsam injustitiam esse culturam falsæ religionis, dixit: *Et avaritiam, quæ est idolorum servitus* [68].

Ergo quia teterrima pars injustitiæ est ignorantia in Deum, levius autem est delictum in homines; et in partes duas dividitur injustitia, in ignorantiam in Deum, et in delictum in homines: ab utrisque principium sumpsit lex scripta. Ac primum quidem clamat: *Non facies tibi idoli ullius similitudinem* [69]; ne scilicet si in honorem ejus qui te fecit, B luxuriosus sis, totum honorem Dei funditus labefacias. Iratus est autem populo juste, cum facto vitulo clamabat: *Hi sunt dii tui, Israel, qui te eduxerunt ex terra Ægypti* [70]. Etenim quia dona Dei illi assignabant et attribuebant, qui movere se non poterat, eratque flagitiosissima injustitia divitias beneficiorum sui auctoris arti et sculpturæ attribuere: idcirco veritas excitata, et lex scripta, et injustitia vetita est, et qui discebat, erudiebatur. Atque ita sublato prius injustitia, quæ iram Dei provocavit, injustitiam quoque in hominem sustulit.

Ac primum quidem noluit, ut amor divitiarum in anima insideret; quoniam amor divitiarum parit injustitias, et cupiditas habendi divitias generat C avaritiam. Radix enim malorum est cupiditas divitiarum; erunt autem rami et surculi cupiditatis pecuniarum, injustitia et avaritia: et quoniam a cupiditate pecuniarum incipit avaritia et injustitia, præoccupat lex, prius tollit, prius denuntiat: *Divitiæ si affluant, nolite cor apponere* [71]: ne divitiæ mentem cum fluxu divitiarum confluentem, fluxis divitiis capiant. Si enim opes fluunt, et non stant: merito resistit mens, quæ statum suum fluxis divitiis non violat; et quia tum avaritia molesta est, tum cupiditas gloriæ cujus flos in anima prædatur, erudivit, inquiens: *Vidi impium superexaltatum, et elevatum sicut cedros Libani: transivi, et ecce non erat* [72]. Ut mens nulli gloriæ quamlibet D magnæ facile flaccescenti magnitudinem suam illecta vendat; quin potius supra hæc omnia se erigens amore veritatis teneatur. Idcirco moderationem honorat, et injustitiam expellit, et divina loca ad habitandum rependit et assignat iis, qui modestiam servaverunt.

Sic autem clamat: *Domine, quis habitabit in tabernaculo tuo, et in monte sancto tuo? Qui ingreditur sine macula, et operatur justitiam: qui loquitur veritatem in corde suo* [73]; ut omni specie avaritiæ relegata, locum injustitiæ non relinquat: atque ita

[68] Ephes. v, 5. [69] Exod. xx, 4. [70] Exod. xxxii, 4. [71] Psal. lxi, 11. [72] Psal. xxxv, 33, 36. [73] Psal. xiv, 1-3.

Digitized by Google

omnem speciem injustitiæ sustulit lex. Idcirco qui secundum legem loquitur, pro veritate loquitur. Idcirco qui sunt operarii veritatis, non excandescunt, cum lex adversus vitium loquitur. Loquebatur aliquando Dominus adversus avaritiam; exasperabantur Judæi, et moleste ferebant : amor enim divitiarum asperos et duros eos adversus loquentem efficiebat. Ita profecto est, cum pædagogus cum puero ignavo et pigro disserit, odio habetur ab eo quem instruit. Omnis enim qui motus adolescentiæ a ratione aversos exscindit, in odio est propter amorem voluptatum : ob hanc causam lex in odium venit hæreticis. Quia contra perturbationes tendebat, contra peccata ambulabat, contra adamata disserebat, rem æquo animo non tulerunt.

A ἀδικίᾳ μὴ παρέχῃ· καὶ οὕτω πᾶν εἶδος ἐπεξελθὼν ἀνεῖλεν ὁ νόμος. Διὰ τοῦτο ὁ κατὰ νόμον φθεγγόμενος ὑπὲρ ἀληθείας φθέγγεται· διὰ τοῦτο οἱ τῆς ἀληθείας ἐργάται οὐκ ἀγανακτοῦσι τῷ νόμῳ κατὰ κακίας φθεγγομένῳ. Ἐλάλει ποτὲ κατὰ φιλοχρηματίας ὁ Σωτὴρ· ἐτραχύνοντο οἱ Ἰουδαῖοι· ἡ γὰρ φιλία τῶν χρημάτων τραχύτητα κατὰ τοῦ λέγοντος εἰργάζετο. Ἀμέλει ὅταν παιδαγωγὸς ῥᾳθύμῳ παιδὶ περὶ ῥᾳθυμίας διαλέγηται, μισεῖται παρὰ τοῦ παιδαγωγουμένου· πᾶς γὰρ ὁ τῆς νέας ἡλικίας τὸ πάθος ἐκκόπτων μισεῖται διὰ τὴν φιλίαν τῶν ἡδονῶν· διὰ τοῦτο μεμίσηται παρὰ τῶν αἱρεσιωτῶν ὁ νόμος. Ἐπεὶ κατὰ τῶν παθῶν ἐχώρει, κατὰ τῶν ἁμαρτημάτων ἐβάδιζε, κατὰ τῶν φιλουμένων διελέγετο· οὐκ ἤνεγκαν τὸ πρᾶγμα.

B

Cap. X. *Omnem speciem virtutis lex exponit : prudentiam, pudicitiam, fortitudinem, justitiam.*

Ut autem sermo et disputatio nostra amplissima sit, et scelus hæresis quæ injuste ad legem vituperandam se contulit, appareat : non solum quod omnes species et formas vitii sustulit, dicamus, sed reddamus insuper sermonem, quod omnem speciem virtutis lex enarrat et exponit. Si enim omnia vitia lex sustulisset, non autem omnes virtutes inseruisset, manca esset lex, relicta virtutum exstructione; quæ quidem omnia vitia cum relegasset, non jam omnes virtutes animæ despondisset. Sin vero in disputatione nostra apparent apud legem et prophetas omnes virtutes positæ, annon oportet legem Dei admirari et amplecti? Cum enim sint quatuor virtutes, prudentia, temperantia, fortitudo et justitia : omnes virtutes apud legem cernuntur. Unde qui vult esse temperatus, habet in lege disciplinas : qui studet ut sit prudens, adhibitis subsidiis legis, præclare se in rebus geret : qui vult esse fortis, instruat se præceptis legis : qui vult justitiam assequi, pondus justitiæ teneat, et nihil inæquale faciet, faciens omnia ad perpendiculum justitiæ : et qui factus est particeps prudentiæ, dicat : Dominus docuit me sapientiam, et prudentia hominis non est in me; ut hac ficta et errante ejecta et repudiata, optimam et divinam amplectatur.

Ἵνα δὲ ἔτι μεγαλοπρεπέστατοι γένωνται ἡμῖν οἱ λόγοι, καὶ φανῇ ἡ τῶν αἱρέσεων ἀτοπία, κατὰ τοῦ νόμου ἀδίκως βεβαδικυῖα, μὴ μόνον ὅτι πᾶν εἶδος κακίας ἀνεῖλεν ὁ νόμος, προσγράφωμεν τῷ λόγῳ· ἀλλ' ὅτι καὶ πᾶν εἶδος ἀρετῆς ὑφηγεῖται καὶ ἐξηγεῖται, προσαποδῶμεν τῇ ὁμιλίᾳ. Εἰ μὲν γὰρ τὰς κακίας πάσας ἀνεῖλεν ὁ νόμος, οὐ πάσας δὲ τὰς ἀρετὰς ἐνέθηκεν, ἐνέλιπεν ὁ νόμος, λειπόμενος τὴν τῶν ἀρετῶν κατασκευήν· καὶ τὰς μὲν κακίας πάσας ἐξορίσας, μηκέτι δὲ τὰς ἀρετὰς πάσας τῇ ψυχῇ μνηστευόμενος. Ἐὰν δὲ παρὰ τοῦ λόγου φανῇ, ὅτι παρὰ τῷ νόμῳ καὶ τοῖς προφήταις πᾶσαι κεῖνται αἱ ἀρεταί, πῶς οὐ θαυμάζειν δεῖ καὶ ἀποδέχεσθαι τὸν τοῦ Θεοῦ νόμον; Τεττάρων γὰρ οὐσῶν ἀρετῶν, φρονήσεως, σωφροσύνης, ἀνδρείας καὶ δικαιοσύνης, ὅλαι παρὰ τῷ νόμῳ φαίνονται αἱ ἀρεταί. Διὰ τοῦτο ὁ βουλόμενος εἶναι σώφρων ἔχει τὰ μαθήματα· ὁ σπεύδων εἶναι φρόνιμος, τὰς ἀφορμὰς τοῦ νόμου λαβών, ἀριστεύσει ἐν τῷ πράγματι· ὁ βουλόμενος εἶναι ἀνδρεῖος ἀλειφέσθω ταῖς παραγγελίαις· ὁ σπουδάζων δικαιοσύνης ἅψασθαι τὸ σταθμίον τῆς δικαιοσύνης κρατείτω, καὶ οὐδὲν ἄνισον πράξει, σταθμῷ δικαιοσύνης τὰ πάντα πράττων· καὶ φρονήσεως μὲν ἐν μεθέξει γιγνόμενος, λεγέτω· Ὁ Θεὸς ἐδίδαξέ με σοφίαν, καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί· ἵνα, τὴν πεπλασμένην ταύτην καὶ πεπλανημένην ἐξωθήσας, τὴν ἀρίστην καὶ θείαν ἀσπάσηται.

C

D

Pudicitiæ vero exempla infinita reperiet, qui legendo quæret, ut exempla pudicitiæ exprimat, et antiqua exempla ad firmamentum et robur castitatis complectatur : ut illius adolescentis in ipso flore ætatis, qui fuit a fratribus venditus et ab Ægyptio emptus; qui libertatem corporis mutavit, libertatem vero animæ immutabilem conservavit; qui exuit pallium, ne pudicitia exueretur; cui vis quidem pallium abstulit, necessitas vero non eripuit castitatem; qui maluit affligi, quam in morbum voluptatis incidere; maluit esse in vinculis, quam capi voluptate; qui invidiam turpi actioni præposuit; qui existimari, et non esse voluit : melius enim judicavit, haberi turpis, quam esse et

Σωφροσύνης δὲ ὑποδείγματα μυρία εὑρήσει ζητῶν ὁ ἀναγινώσκων, τὰ ὑποδείγματα ἐκτυπῶν, καὶ ἄλειμμα σωφροσύνης τὰ παλαιὰ ὑποδείγματα δεχόμενος τὸν νεανίαν ἐκεῖνον τὸν ἀκμαῖον, τὸν ἀπὸ τῶν ἀδελφῶν δεδομένον, καὶ ἀπὸ τοῦ Αἰγυπτίου ἐωνημένον, τὸν τὴν ἐλευθερίαν τῆς ψυχῆς διετήρησε διατετηρηκότα· τὸν ἀποδυσάμενον τὰ ἱμάτια, ἵνα μὴ τὴν σωφροσύνην ἀποδύσηται· τὸν βίᾳ μὲν τὰ ἱμάτια ἁφαιρεθέντα, ἐξ ἀνάγκης δὲ σωφροσύνης μὴ ἀποσπασθέντα· τὸν παθεῖν ἑλόμενον, ἵνα μὴ τῷ πάθει τῆς ἡδονῆς πέσῃ· τὸν ἀντὶ πάθους τῆς ἡδονῆς ἐν τάξει τῶν δεσμίων γεγονότα· τὸν ἑλόμενον δεσμώτην εἶναι, ἵνα μὴ δέσμιος τῆς ἡδονῆς εὑρεθῇ· τὸν φθόνον τῆς αἰσχρᾶς πράξεως προκρίναντα· τὸν νομισθῆναι ὃ μὴ ἦν

Digitized by Google

βουληθέντα· κάλλιον γὰρ ἐλογίσατο τὸ νομιαθῆναι αἰσχρὸν, ἢ εἶναι καὶ λανθάνειν· γινόμενος γὰρ καὶ λανθάνων, ἐδεδίει μάρτυρα τὸν Θεόν· νομισθεὶς δὲ, ἠρκεῖτο τῷ ἐπόπτῃ μαρτυροῦντι τοῖς γιγνομένοις. Καὶ τῆς μὲν σωφροσύνης ὑπόδειγμα τοῦτο.

Illos igitur deceptores et impostores in hoc etiam attendemus, quod in corpora invaserunt, et in corpus auctoris processerunt, ac contra œconomiam et dispensationem Dei linguam extenderunt ; ac contra libertatem nostram ad usum et exercitationem linguæ loqui non dubitaverunt circulatores quidam et circumforanei. Congessimus acervum verborum pravitatis istius : licet enim ex uno aliud accusare ; imo omnia deinceps persequentes, omnia inutilia et aliena existimare. Idcirco nos in omnes sermones ipsorum hucusque delapsi, ne magnitudinem libro præbeamus, his hactenus dictis terminemus, facta ex paucis aliorum indicatione, et ex dictis prius eorum confutatione confecta. Opus autem est diligentia studiosis, ut omnes præstigias prætervecti aures servent, ne a pravitate capiantur ; ut sint custodes suarum aurium, partim eas aperientes, cum verus sermo pulsat ; partim claudentes, cum falsus et dolosus, veritatem simulans laborat, ut in conclave mentis irrumpat. Multi enim ficti et simulati pulsant aures, dicentes : *Ego sum Christus* [6], et multos decipient : *Unus autem solus Christus* [7], qui est liberator, præses victoriæ, beneficus, qui dispositione pulsat, qui libertatem in ipso aditu conciliat, qui simul ut ingreditur, peccata excludit, qui in ingressu amicitiam cum Patre tribuit, qui mox ingrediens tropæa in anima ponit.

C

D

Εὐτελίσωμεν οὖν καὶ ἐν τούτῳ τοὺς ἀπατεῶνας ἐκείνους, ὅτι καὶ κατὰ τῶν σωμάτων βεβαδίκασι, καὶ κατὰ τοῦ πλάστου κεχωρήκασι, καὶ κατὰ τῆς οἰκονομίας τοῦ Θεοῦ τὴν γλῶτταν ἐξέτειναν· καὶ κατὰ τῆς ἐλευθερίας ἡμῶν λαλεῖν οὐ παρῃτήσαντο, ἀγύρται τινὲς ὄντες καὶ ἀγοραῖοι, ἄθροισμα λόγων πονηρίσς συναγηοχότες· ἔστι γὰρ τὸ ἓν ἐχόμενον τὸν ἕτερον αἰτιᾶσθαι· ἀλλὰ μὴ πάντα ἐφεξῆς ἐπεξιόντας, πάντα ἀχρεῖα καὶ ἔκφυλα ἡγεῖσθαι. Διὰ τοῦτο καὶ ἡμεῖς εἰς ἅπαντα λόγον σὺτῶν κατιόντες, μὴ πολὺ μῆκος παράσχωμεν τῷ λόγῳ, μέχρι τούτων στῶμεν, διὰ τῶν ὀλίγων καὶ τὰ ἄλλα ὑποδείξαντες, καὶ διὰ τῶν προλεχθέντων τὸν ἔλεγχον κατασκευάσαντες. Ἐπιμελείας δὲ τοῖς σπουδαίοις χρεία, ἵνα πᾶσαν γοητείαν ὑπερβεβηκότες, ἀλήπτους τὰς ἀκοὰς ἀπὸ τῆς πονηρίας διαφυλάξωσιν· ὅπως κλειδοφύλακες ὦσι τῶν ἑαυτῶν ἀκοῶν, καὶ πῇ μὲν ἀνοιγνύοντες, ὅτε κρούει ὁ ἀληθὴς λόγος· πῇ δὲ ἀποκλείοντες, ὅτε ὁ ψευδὴς καὶ πεφευακισμένος σχηματιζόμενος τὴν ἀλήθειαν εἰσβάλλειν ἐν τῷ ταμείῳ τῆς διανοίας σπουδάζει. Πολλοὶ γὰρ πεπλασμένοι καὶ ἐσχηματισμένοι τὰς ἀκουὰς κρούουσι, λέγοντες· *Ἐγώ εἰμι ὁ Χριστὸς*, καὶ πολλοὺς πλανήσουσιν· *Εἷς δὲ μόνος ἐστὶν ὁ Χριστὸς*, ὁ ἐλευθερωτὴς, ὁ τροπαιοῦχος, ὁ εὐεργετικὸς, ὁ διαθέσει κρούων, ὁ ἐλευθερίαν τῇ εἰσόδῳ μνηστευόμενος· ὁ ἅμα τῷ εἰσβαλεῖν ἐξοικίζων τὰς ἁμαρτίας, ὁ ἐν τῇ εἰσόδῳ τὴν φιλίαν τὴν πρὸς τὸν Πατέρα ἀποδιδοὺς, ὁ παραχρῆμα τῇ εἰσόδῳ τῇ ἑαυτοῦ τροπαῖα.

[6] Matth. xxiv, 23. [7] I Cor. viii, 6 ; I Tim. ii, 5.

(64) *Εἰ γὰρ ἕτερ.* Id est, si non fuisset ejusdem naturæ corpus, scilicet humanum, anima intelligente præditum. Turr.

Digitized by Google

ΤΙΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ.

Ὑπόθεσις τοῦ πρώτου λόγου.

Ὁ πρῶτος περιέχει λόγος ἔλεγχον καὶ ἀνασκευὴν τῶν μάλιστα κεφαλαίων τοῦ δόγματος τῶν Μανιχαίων, ὡς ἀλλοτρίως πάντη πρὸς τὰς κατὰ φύσιν κοινὰς ἐννοίας ἐχόντων.

Ὑπόθεσις τοῦ δευτέρου λόγου.

Ὁ δεύτερος ἀποδείκνυσιν, ὡς οὐκ ἔκ τινος τῆς γε μὴ οὔσης ἀνάρχου κακίας, καὶ ἐναντίας τῷ Θεῷ ἀρχῆς ἄνθρωπος πλημμελεῖ· καὶ ὡς οὐδὲν κατ' οὐσίαν ἐν τοῖς οὖσι κακόν· οὔτε μήν τις ἀνισότης ἐν τοῖς καθ' ἡμᾶς ἐστι· καὶ ὡς μάτην καὶ λίαν ἀσεβῶς κακίζουσι τὴν τῶν ὅλων οἰκονομίαν. Καὶ ὅλως τὸν περὶ Προνοίας ἅπαντα λόγον κεφαλαιωδῶς περιλαμβάνει, ἀποδεικνὺς, ὡς οὐδεμία ἀνάγκη δευτέραν τινὰ καὶ ἐναντίαν ἀρχὴν τῷ Θεῷ ἐκ τῶν πραγμάτων ὑπονοεῖν.

Ὑπόθεσις τοῦ τρίτου λόγου.

Ὁ τρίτος ὑπὲρ τοῦ νόμου καὶ τῶν προφητῶν ποιεῖται λόγον, ὡς παρὰ τοῦ Θεοῦ πάσης τῆς Παλαιᾶς Διαθήκης δοθείσης, καὶ ὡς οὐδὲν τῶν αὐτόθι πεπραγμένων τε καὶ λελεγμένων εὔλογόν τινα κατηγορίαν ἔχει τοῦ ποιήσαντός τε καὶ λαλήσαντος· καὶ ὡς συνῳδὰ πάντα τῇ Καινῇ Διαθήκῃ· ὡς μηδὲ ἐντεῦθεν ἀνάγκην εἶναι, δευτέραν τινὰ καὶ ἐναντίαν ἀρχὴν τῷ Θεῷ ὑπονοεῖν.

Ὑπόθεσις τοῦ τετάρτου λόγου.

Ὁ τέταρτος ἐξαιρεῖ καὶ τὴν Καινὴν Διαθήκην τῆς ἐκείνων κατὰ Θεοῦ βλασφημίας, ὡς οὐδὲ πρὸς αὐτὴν παντελῶς ἐχόντων τινὰ κοινωνίαν, καὶ ὡς μάτην ἐκβιάζονται μέρη γέ τινα ταύτης πρὸς σύστασιν τῆς αὐτῶν ἀσεβείας· καὶ ὡς ἡ κατὰ τὸν διάβολον ὑπόθεσις οὐδὲν αὐτοῖς συναίρεται πρὸς ἃ λέγουσι κατὰ Θεοῦ.

A TITI, EPISCOPI BOSTRENSIS, ADVERSUS MANICHÆOS.

Argumentum libri I.

Primus liber continet confutationem præcipuorum capitum doctrinæ Manichæorum, quæ sunt penitus aliena, et cum communibus notionibus natura insitis et anticipatis pugnantia.

Argumentum libri II.

Secundus liber docet et explanat, non peccare hominem ex quodam malo æterno et sine principio ac Deo contrario, quod quidem non est: et nullum esse malum secundum substantiam in iis quæ sunt; nec ullam inæqualitatem in nostris rebus; ac vane et valde impie gubernationem universi improbari et reprehendi. Denique omnem de Providentia disputationem summatim complectitur, docetque minime necesse esse suspicari ex rebus, ullum esse secundum principium, Deo contrarium.

Argumentum libri III.

Tertius liber pro lege et prophetis disputat: quippe cum totum Vetus Testamentum a Deo datum sit, et nihil eorum quæ in eo facta aut dicta sunt, probabilem accusationem ejus qui fecit et dixit, habeat; sintque omnia cum Novo Testamento consentientia: ut nec ex hac parte necesse sit cogitare aliquod secundum principium Deo contrarium.

Argumentum libri IV.

Quartus liber Novum Testamentum ab illorum blasphemia in Deum defendit, ut qui nullam prorsus communionem cum eo habeant, et frustra ac vane quasdam partes ejus ad constituendam suam impietatem per vim trahant; quodque id quod diabolice subjiciant, nihil eos juvat ad ea stabilienda quæ contra Deum dicunt.

SUPPLEMENTA

E *Parallelis Damascenicis* Rupefucaldinis, ad libros IV *adversus Manichæos* Titi Bostrensis episcopi.

I.

Ex Joannis Damasceni sacr. Parallel. *Opp. tom.* II, *pag.* 763, *edit. Paris.* 1712.

Τοῦ ἁγίου Τίτου ἐπισκόπου Βόστρων ἐκ τοῦ κατὰ Μανιχαίων λόγου α' (65).

Sancti Titi episcopi Bostrorum, ex libro I *contra Manichæos.*

Πῶς οὖν, φῆς, ἀναστήσεται τὸ σῶμα, εἰ σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται; οὐ τοίνυν ἐστὶ, φασὶν, νεκρῶν ἀνάστασις. Οὔτε τοῖς ἀνωτέρω διὰ πλειόνων λεχθεῖσι τὸν νοῦν οὐ παρέχουσιν, ἀλλ' ὥσπερ τινὲς ἐν διαμοναῖς πραγμάτων ἀδικωτάτων, τὸ ἑαυτοῖς προσφιλὲς εἰς τὴν ὑπόνοιαν τῆς σφε-

Quinam igitur fiet, inquis, ut corpus resurgat, si caro et sanguis regnum Dei possidere non possunt? nequaquam igitur est resurrectio mortuorum. His quæ superius copiose dicta sunt, animum non advertunt; sed, velut quidam iniquissimis in negotiis perseverantes, id quod sibi ad impietatem

(65) Ἐκ τοῦ κατὰ Μανιχ. λόγου α'. Nequaquam hæc in libris Titi Bostrensis *contra Manichæos*, ut nunc exstant ex translatione Turriani, reperi. LEQUIEN.

Digitized by Google

suam arridere suspicantur, non quod justum est, cligunt. Caro passionibus obnoxia non resurgit, inquit Apostolus, neque crassum corpus una cum ægritudinibus suis vivet. Quocirca perspicuam quæstionis interpretationem subdit : *Ecce mysterium vobis dico : omnes quidem non dormiemus, sed omnes immutabimur* [8]. Unde nos qui salvi futuri sumus, mutationem admittemus, corporibus meliore statu ac conditione donatis. Ac corpus quidem erit, quod nobis mutatione illa dabitur : at non perinde caro et sanguis cum infirmitate complicata. Non enim hoc ipso quod corpus aliquid sit, illud continuo caro quoque est. Sol plane et luna et omnis cœlestis chorus, corpus omnino sunt, nequaquam autem caro. Ejusmodi porro speciem quamdam habebit corpus quod resurget; ita ut sanctorum animæ cum corpore deinceps habitent, quod alimento corporali tamen amplius non egeat; quin nec in oblectationes, neque in molestias et dolores incidat; sed in gloriæ suæ consortem animam divinum illum cultum ullatenus transferat, finitis certaminibus, et anima decreto Dei in requiem suam digressa. Insuper vero hoc totum aperit et elucidat, ac resurrectionis rationem edisserit, dicendo : *Quoniam oportet corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem* [9]. Hinc verum sit illud : *Corruptio incorruptionem hæreditate non obtinet* [10]. Nam si quispiam hoc diceret, quod caro una cum insitis in ea affectionibus resurgens, ejusmodi sit vitam actura, ut eadem simul cum anima perpetiatur et agat, rationi consentaneum non esset, quod bona spe careret. Sin vero illud ipsum mutationem in meliorem et felicem statum accipit, hoc egregie demonstravit ita loquens : *Oportet enim corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem.* Justa quidem remuneratio est instrumenti, quod laborum animæ particeps fuit : nec vero ea damnosa est, nec laboribus obnoxia. Atqui in hac beata vita tales esse eorum qui salvandi sunt, animas oportet; ut cognatum quidem sibi corpus recipiant, non autem ipsum grave et terrenum, carnalisque cupiditatis plenum, quemadmodum antea; quando nempe necessarium erat, ut cum eis virtutis certamine probaretur. Iniquum siquidem fuisset, si corpus quod animæ laborum in hujusce vitæ functionibus consors fuit, præmiorum ejus retributione non donaretur.

τέρας ἀσεβείας, οὐ τὸ δίκαιον αἱροῦνται. Οὐκ ἔστι σὰρξ ἐμπαθὴς ἀνισταμένη, φησὶν ὁ Ἀπόστολος, οὐδὲ παχὺ σῶμα αὖθις μετὰ τῶν παθῶν πολιτεύεται (66). Διὸ ἐπάγει σαφῆ ἑρμηνείαν τῆς ἐπαπορήσεως· *Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα·* ὥστε μεταβολὴν ἕξομεν οἱ σωθησόμενοι ἐπί τινα κρείττονα σωμάτων κατάστασιν. Καὶ σῶμα μὲν ἔσται τὸ ἐκ μεταβολῆς διδόμενον ἡμῖν, οὐκέτι δὲ σὰρξ καὶ αἷμα ἀσθενείᾳ συμπεπλεγμένα. Οὐ γὰρ εἴ τι σῶμα, πάντως καὶ σάρξ. Ἥλιος γοῦν καὶ σελήνη καὶ πᾶς ὁ οὐράνιος χορὸς, σῶμα μὲν καθόλου τυγχάνει, σὰρξ δὲ οὐδαμῶς. Τοιαύτην τινὰ ἰδέαν λήψεται τὸ ἀνιστάμενον σῶμα, ὥστε τὰς τῶν ἁγίων ψυχὰς συνοικήσειν σώματι λοιπὸν, οὐκέτι γε τροφῆς δεομένῳ σαρκικῆς, οὐκέτι δὲ ἡδοναῖς τε καὶ λύπαις, καὶ ἀλγηδόσι περιπίπτοντι, ἀλλ' εὖ μάλα ὁμοδόξῳ τῇ ψυχῇ προσάπαν τὴν ἔνθεον λατρείαν μηδέποτε ἀνατείνοντι, πεπαυμένων τῶν ἀγωνισμάτων, καὶ πρὸς ἀνάπαυλαν τῆς ψυχῆς ἀνακεχωρηκυίας δόγματι Θεοῦ. Ἐπὶ δὲ τούτοις σαφηνίζει ἅπαντα τὸν λόγον, καὶ τὸν τρόπον τῆς ἀναστάσεως ἐξηγεῖται λέγων· *Ὅτι δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.* Ἀληθὲς ἂν εἴη τό· *Ἡ φθορὰ τὴν ἀφθαρσίαν οὐ κληρονομεῖ.* Εἰ μὲν γάρ τις τοῦτο ἔλεγεν, ὅτι ἡ σὰρξ ἅμα τοῖς ἐμφύτοις πάθεσιν αὖθις ἀναστᾶσα ζήσεται, τὰ αὐτὰ πάσχουσά τε καὶ δρῶσα (66') ἅμα τῇ ψυχῇ, ἦν ἂν ἄλογος οὐκ ἔχουσα ἀγαθὴν ἐλπίδα· εἰ δὲ μεταβολὴν αὐτὸ δὴ τοῦτο λαμβάνει κρείττονος καὶ μακαρίας ἕξεως, ὅπερ δεικτικῶς σημαίνει, φάσκων· *Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.* Δικαία μὲν τοῦ συγκαμόντος ἐργαλείου τῇ ψυχῇ ἡ ἀπόδοσις, οὐκ ἐπιζήμιος δὲ καὶ ἔτι ἐπίπονος ταύτῃ. Ἀλλ' ἐν τῷ μακαρίῳ (βίῳ) ταύτας ἔσεσθαι τῶν σωζομένων τὰς ψυχὰς ἀπειληφυίας μὲν τὸ σύμφυτον αὐταῖς σῶμα, οὐ μέντοι βαρὺ καὶ γεῶδες, καὶ σαρκικῆς ἐπιθυμίας γέμον, καθάπερ τὴν ἀρχὴν, ὅτε δὴ προσῆκον ἦν τῷ ἀγῶνι τῆς ἀρετῆς ἐνευδοκιμῆσαι ταύταις. Ἀδικία γὰρ, εἰ μὴ τὸ συμπονῆσαν τῇ ψυχῇ σῶμα κατὰ τήνδε τὴν πολιτείαν ἀποδῴη συναπόλαυσιν.

II.

Ibid. vag. 747.

Sancti Titi episcopi Bostrorum, ex libro II contra Manichæos.

Dicendum igitur est, hominem a Conditore rerum in vitam productum esse, ut nihil aliud negotiaretur, nisi pietatem ac virtutem. His enim

Τοῦ ἁγίου Τίτου ἐπισκόπου Βόστρων.

(67) Ῥητέον τοίνυν, ὅτι πρὸς τοῦ δημιουργήσαντος ὁ ἄνθρωπος εἰς τὸν βίον παρήχθη, ἐμπορευσόμενος ἕτερον οὐδὲν ἢ μόνον εὐσέβειαν καὶ ἀρετήν. Ταῦτα

[8] I Cor. xv, 51. [9] ibid. 53. [10] ibid. 50.

(66) *Πολιτεύεται.* An πολιτεύσεται?
(66') forte leg. δρῶσα Edit.
(67) *Ῥητέον.* Hoc fragmentum reperitur in *Parallelis* infra Littera π, tit. xxv, ubi pro ἐμπορευσόμενος legitur ἐμπορευόμενος. Hæc porro spectare noscuntur ad librum II, leguntur enim supra § VII, ejusdem libri : ubi quoque altera lectio ἐμπορευόμενος occurrit.

Digitized by Google

γὰρ κτησάμενος, καλῶς ἂν διανήξαιτο τόνδε τὸν βίον· ἀμελήσας δὲ τούτων, χαλεπῶς ἂν διαβαπτισθείη πλανώμενος.

A comparatis, recte ævum istud transmeaverit : si n vero neglexerit, errore suo gravi casu submergetur.

III.

Ibid. pag. 788.

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ Περὶ Προνοίας.

Sancti Titi, ex libro De Providentia, *ex libro* II contra Manichæos.

(68) Πρὸς δὲ τοῖς ἅπασι τῶν συνήθως ὑπὸ Θεοῦ δεδομένων κοινῇ πᾶσιν ἀνθρώποις εἰ μηδεμία τίς ἐστιν ὅτε συνέβαινε κώλυσις, φορᾷ φύσεως ἄν τινος ἀμεταβλήτου τὴν χορηγίαν αὐτῶν ἠθέλησαν ἄνθρωποι, καὶ οὐκ ἄν, δεχόμενοι ταῦτα, χάριν ὡμολόγησαν τῷ Θεῷ, οὐκ ἂν δὲ ᾔτησαν ἔχοντες. Στεροῦνται τοιγαροῦν ἐνίοτε πρὸς ὀλίγον, ἵνα αἰτήσωσι· καὶ δέχονται αὖθις, ἵνα χάριν ὁμολογήσωσι τῷ χορηγοῦντι, γινώσκοντες, ὡς αὐτός γέ ἐστιν ὁ παρέχων, καὶ οὐ φύσις ἄλλη τίς ἐστι παρὰ τὸν Θεὸν, ἄκριτός τε καὶ ἀμεταμέλητος, ἡ χορηγοῦσα. Βούλεται δὲ ὁ Θεὸς εἰδέναι χάριν αὐτῷ, ἵνα ἀξιώτεροι τοῦ λαμβάνειν παρ' αὐτοῦ γένωνται, οὐχ ἵνα τι καρπώσηται εἰς ἑαυτόν. Βούλεται γὰρ τὰ ἀγαθὰ τούτους αἰτεῖν, ἵνα, δεχόμενοι, αἴσθησιν τοῦ χορηγοῦντος ἔχωσιν. Χαίρει μὲν γὰρ τὰ παρ' ἑαυτοῦ διδοὺς, χαίρει δὲ μᾶλλον ἀξίοις διδούς· ὡς τῆς φιλανθρωπίας τρόπον τινὰ ἀτιμαζομένης, εἰ μὴ πρὸς εὐαισθήτους γένοιτο.

Præter hæc omnia, nisi quæ a Deo universis hominibus perinde concedi solent, identidem impediri contingeret immobilis cujusdam naturæ impetu ; horum largitionem nihil curassent homines, nec iis obtentis Deo gratias agerent, neque bonum compotes facti, ullatenus precarentur. Ad tempus igitur aliquod donis privantur, ut exorent; rursumque accipiunt, ut largitori confiteantur, agnoscentes ipsum esse qui tribuit, nec alteram quamvis præter Deum naturam esse, quæ indiscriminatim et sine pœnitentia subministret. Vult itaque Deus sibi gratiam haberi, ut homines evadant digniores qui ab ipso accipiant, non ut sibi ipsi emolumenti quidpiam redeat. Vult enim ut bona postulent, quibus acceptis largitorem sentiant. Gaudet enim dando quæ sua sunt ; sed gaudet amplius dignis impartiendo : ac si benignitas ipsius modo quodam dedecoraretur, nisi in eos qui bene affecti sunt, impenderetur.

B

IV.

Ibid. pag. 783.

Τοῦ ἁγίου Τίτου, ἐκ τοῦ Περὶ Προνοίας.

C *Sancti Titi, ex libro* De Providentia, *ex libro* II contra Manichæos.

(69) Οὐκ ἐχρῆν, ὡς ἔοικε, κατὰ τοῖς πᾶσιν ὑπάρχειν τοῦ Θεοῦ τὰ τεκμήρια, καὶ τὸν ἄῤῥητον καὶ ἀκατάληπτον νοῦν πάντη γνώριμον εἶναι ἀνθρώποις· ὅπου γε καὶ βασιλέως ἀνθρώπου καὶ ἀρχόντός ἐστιν, ὅτι τὰ πλεῖστα τῶν βουλευμάτων κρύπτεται, ὡς καὶ τὸ πραττόμενον ἄδηλον εἶναι, ὅτῳ λόγῳ πράττεται. Οὐ τοίνυν θαῦμα, εἰ ἄνθρωποι μὴ χωροῦσιν ὅλως τῆς διοικήσεως τοῦ Θεοῦ τὸν λόγον, οἷς ἁρμόττει καὶ δίχα τοῦ πολυπραγμονεῖν ὑπείκειν τε καὶ ἡσυχάζειν, καὶ ἥκιστα ἀνταίρειν κατὰ τῆς ἀῤῥήτου διοικήσεως. Πολλάκις γὰρ οὐδὲ τεχνίτην, εἴτουν οἰκοδομίας, ἢ ναυπηγίας, ἢ χαλκευτικῆς ἔμπειρον, αἰδούμενοι περιεργαζόμεθα, ποιοῦντά γε τὸ οἰκεῖον ἕκαστον· ἀλλὰ τῇ πείρᾳ καταπιστεύσαντες, ἐκδεχόμεθα τὸ ἔργον ἰδεῖν. Ἔστι δὲ καὶ ὅτε σφαλλομένῳ οὐκ ἐπαισθανόμεθα. Τί δ' ἂν εἴποιμι περὶ τῆς ὑπὲρ πάντα νοῦν σοφίας τοῦ Θεοῦ ; ἣν προσῆκε, καὶ νοοῦντάς τε καὶ μὴ νοοῦντας, ἐκπλήττεσθαί τε καὶ τιμᾷν. Εἰ δέ τις, διὰ τὸ μὴ καταλαμβάνειν τὸν λόγον τῶν πλειόνων τῶν πρὸς τοῦ Θεοῦ γινομένων, ἐκπέσοι πρὸς ἀτοπίαν τῆς τοῦ Θεοῦ δόξης (70) ἀθλιώτατος, καὶ πάλιν

D

Minime consentaneum erat, ut videtur, Dei consilia pervia omnibus fieri, et inexplicabilem illam atque incomprehensibilem mentem omni ratione hominibus exploratam esse : quando vel regis qui homo est, ac principis pleraque consilia occulta sunt, ita ut obscurum sit quam ob causam agatur id quod agitur. Nihil mirum igitur, si homines divinæ gubernationis rationem non capiant; quibus conveniat, posita curiositate, cedere et conticere, nec prorsus adversus ineffabile regimen illud obmurmurare. Enimvero sæpe accidit, ut neque ab artifice, sive domus struendæ, sive compingendæ navis, sive æris fundendi perito, ejus reverentia aliquid inquiramus, dum ille quodvis opus suum facit ; sed ejus experientiæ fidem habentes, opificium videre præstolamur. Quinimo, quandoque etiam illius errata non animadvertimus. Quid itaque dicam de Dei sapientia, quæ mentem omnem excedit? quam, sive intelligamus, sive non intelligamus, nos oportuit admirari ac venerari. Quod si quispiam, ex eo quod multarum quæ a Deo fiunt,

(68) *Πρὸς δὲ τοῖς ἅπ.* Excerpta sunt hæc ex lib. II Titi Bostrensis, § XV, ubi rectius legitur, πρὸς δὲ τούτοις ; atque ita legisse videtur interpres. Uterque locus conferatur.

(69) *Οὐκ ἐχρῆν*, κ. τ. λ. Auctor *Parallelorum* ista descripsit ex lib. II, § XXVIII.

(70) *Πρὸς ἀτοπίαν τῆς τοῦ Θεοῦ δόξης.* Leg. π. ἀ. τ. κατὰ τοῦ Θεοῦ δ. Apud Titum lib. II, § XXXIII, sic legitur, πρὸς ἀτόπους κατὰ Θεοῦ δόξας. Quæ rectius quam Billius ita reddidisse videtur Turrianus : *Si quis.... non assequitur, decidat in absurdas de Deo opiniones.*

Digitized by Google

rationem non comprehendat, in hanc miser vecordiam contra Dei gloriam cadat; tum ille rursus amentiam prodet suam, ceu qui obcæcati sensus sui ducatum sequatur.

A ἀνόητος ὁ τοιοῦτος, ὡς αὐτῇ γε τῇ τυφλώσει τῆς ἰδίας διανοίας ὁδηγῷ χρώμενος.

V.

Ibid. pag. 785.

Sancti Titi episcopi Bostrorum, ex libro IV contra Manichæos.

Fides in Deum cognitio Dei est, quæ ex visibili creatura rerumque naturalium cogitationibus parta, cum benevolentia et amore erga ipsum per virtutis ac vitii scientiam eidem gratissima est.

Τοῦ ἁγίου Τίτου ἐπισκόπου Βόστρων ἐκ τοῦ λόγου δ'.

Ἔστιν ἡ κατὰ Θεὸν πίστις γνῶσις Θεοῦ, διά τε τῆς ὁρωμένης δημιουργίας καὶ τῶν φυσικῶν ἐννοιῶν μετ' εὐνοίας καὶ ἀγάπης τῆς πρὸς αὐτὸν κατ' ἐπιστήμην ἀρετῆς καὶ κακίας εὐαρεστοῦσα Θεῷ.

ΤΙΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΒΟΣΤΡΩΝ

ΕΙΣ ΤΑ ΒΑΙΑ.

—

TITI BOSTRENSIS EPISCOPI ORATIO IN RAMOS PALMARUM.

—

I. Ut immensa abyssus, aquarum fontes copia scaturit, iique jugi impetu decurrentia flumina regerunt, quæ terram obeuntia, irrigent, ut iis illa irrigua, panem in cibum fructificet, vinumque ad lætitiam hominum; eaque illi annona potiti, Scripturæ illud adimplent: *Edent pauperes et saturabuntur, et laudabunt Dominum qui requirunt eum* [11]; sic quoque ineffabilis Domini nostri Jesu Christi benignitas, ex suæ bonitatis ac benignitatis immensa abysso, sacras nobis solemnitates in quibus nostram operatus est salutem, ceu fontis venas profluit: sancti autem Spiritus gratia in solemnitatibus efficax, implet *fluminis impetus* [12]: deiferos utique viros, *doctrinam* habentes *in docendo* [13]; qui spiritalem ac rationalem humani generis terram lustrantes, Ecclesiam sanctam lætificent; *civitatem* illam *Regis magni* Jesu Christi [14], juxta quod scriptum est: *Fluminis impetus lætificant civitatem Dei* [15]. Ecclesia denique lætificata ac delectata a pinguedine cordis [16], regnantem in ipsa Dominum laudat atque glorificat. Age itaque, ut et hodie quod ipse de se ipso per sanctos prophetas suos prædixit, eloquamur, eam pro virili nostra parte nostram scrutemur salutem quam nobis Rex noster festa hac luce molitus est. Age exquiramus cujusnam gratia Regem eum nedum homines laudaverint, sed et angelicæ virtutes.

B Ὥσπερ ἡ ἀμέτρητος ἄβυσσος βρύει ἀφθόνως τὰς πηγὰς τῶν ὑδάτων, καὶ αἱ πηγαὶ ἀποβλύουσιν ἀκρατήτους ποταμούς· οἱ δὲ ποταμοὶ ἐπισκέπτουσι τὴν γῆν, καὶ μεθύσκουσι αὐτὴν, τοῦ καρποφορῆσαι ἄρτον εἰς βρῶσιν, καὶ οἶνον εἰς εὐφροσύνην τῶν ἀνθρώπων· οἱ δὲ ἄνθρωποι, ἀπολαύοντες, πληροῦσι τὸ γεγραμμένον· *Φάγονται πένητες, καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν*· οὕτως καὶ ἡ ἄφατος φιλανθρωπία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ τῆς ἀμετρήτου ἀβύσσου τῆς ἀγαθότητος καὶ φιλανθρωπίας αὐτοῦ πηγάζει ἡμῖν τὰς ἁγίας ἑορτὰς, ἐν αἷς τὴν σωτηρίαν ἡμῶν εἰργάσατο· καὶ αὐτὸς μὲν ἑορτὰς πηγάζει· ἡ δὲ χάρις τοῦ ἁγίου Πνεύματος ἡ ἐνεργοῦσα ἐν ταῖς ἑορταῖς *τὰ ὁρμήματα τοῦ ποταμοῦ* πληροῖ· λέγω δὴ τοὺς θεοφόρους C ἄνδρας, τοὺς *διδασκαλίαν ἐν τῇ διδασκαλίᾳ* κεκτημένους· καὶ αὐτοὶ ἐπισκέπτονται τὴν νοητὴν καὶ λογικὴν γῆν τῆς ἀνθρωπότητος, εὐφραίνοντες τὴν ἁγίαν Ἐκκλησίαν, ἥτις ἐστὶ *πόλις τοῦ μεγάλου βασιλέως* Ἰησοῦ Χριστοῦ, κατὰ τὸ γεγραμμένον· *Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ*. Ἡ δὲ Ἐκκλησία, εὐφραινομένη καὶ ἡδυνομένη ἀπὸ πιότητος καρδίας, αἰνεῖ καὶ δοξολογεῖ Κύριον τὸν ἐν αὐτῇ βασιλεύοντα. Φέρε δὴ καὶ σήμερον εἰπεῖν, ὃ προανεφώνησεν αὐτὸς περὶ ἑαυτοῦ διὰ τῶν ἁγίων αὐτοῦ προφητῶν, ἐρευνήσωμεν πρὸς τὴν δύναμιν ἡμῶν τὴν σωτηρίαν, ἣν ὁ βασιλεὺς ἡμῶν ἐπραγματεύσατο ἡμῖν ἐν ταύτῃ τῇ ἑορτῇ· φέρε κατανοήσωμεν ἕνεκεν τίνος βασιλέα αὐτὸν ὕμνησαν οὐ μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ αἱ ἀγγελικαὶ δυνάμεις.

II. Causa igitur ejusmodi cantici, juxta quod videbatur, Lazari suscitatio fuit, quemadmodum ait Evangelium: *Cogitaverunt autem Judæi, ut et Lazarum interficerent, quia multi propter illum abibant*

D Ἡ αἰτία οὖν τῆς ὑμνῳδίας ἡ ἔγερσις Λαζάρου ἦν κατὰ τὸ φαινόμενον, καθὼς φησι τὸ Εὐαγγέλιον· *Ἐβουλεύσαντο δὲ Ἰουδαῖοι, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν· ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον*

[11] Psal. XXI, 27. [12] Psal. XLV, 5. [13] Rom. XII, 7. [14] Psal. XLVII, 3. [15] Psal. XLV, 5. [16] Isa. LV, 2.

Digitized by Google

τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. Καὶ αὕτη ἐστὶν ἡ αἰτία τῆς δοξολογίας τῶν πιστῶν - κατὰ τὸ φαινόμενον· λεληθότως δὲ καὶ κρυπτῶς ἡ ἔγερσις πάσης τῆς ἀνθρωπίνης φύσεως. Καὶ ὥσπερ [τοὺς ἀνθρώπους] τὸ τοῦ Λαζάρου σημεῖον καὶ ἔγερσις ἐκείνη ὑμνολογεῖν ἐποίησε τοὺς ἀνθρώπους τὸν Κύριον, οὕτως καὶ τοὺς ἁγίους ἀγγέλους δοξολογεῖν παρεσκεύασε τὸ σημεῖον τῆς ἐγέρσεως πάσης τῆς ἀνθρωπίνης φύσεως· καὶ ὅσον μείζων ἡ τῶν πάντων ἔγερσις τῆς ἐγέρσεως Λαζάρου, τοσοῦτον καὶ ἡ δόξα τότε μειζοτέρα. Καὶ ἡ μὲν συνείδησις τῶν βοώντων, ἐξισταμένη τῷ θαύματι, ἐκίνει αὐτοὺς δοξάζειν· ἡ δὲ θεία οἰκονομία τὴν ἔγερσιν (71) πάσης τῆς ἀνθρωπίνης φύσεως λεληθότως ἐκίνει οὐ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τοὺς ἀγγέλους, θαυμάζειν τὸν Ἰησοῦν. Εἶδον γὰρ, ἀληθῶς εἶδον, καὶ ἔμαθον, καὶ κατεσοφίσθησαν σοφίαν, ἣν οὐκ ᾔδεισαν, αἱ ἀγγελικαὶ δυνάμεις διὰ τῆς Ἐκκλησίας τῶν πιστῶν ἐκφαινομένην ἀπὸ τοῦ Θεοῦ τὰ πάντα κτίσαντος, τὴν πρὸ τῶν αἰώνων ἐν αὐτῷ κεκρυμμένην· λέγω δὴ τῶν διδαχῶν, καὶ ἐπαγγελιῶν, καὶ θαυματουργιῶν τοῦ Κυρίου Ἰησοῦ, καθὼς που ὁ θεσπέσιος Παῦλός φησιν· *Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ.* Μανθάνουσι γὰρ αἱ ἄνω δυνάμεις, ἅπερ οὐδέπω εἶδον, οὐδὲ ἤκουσαν. Κτίσματα γάρ εἰσι· καὶ τὸ κτίσμα οὐκ ἔστιν, ὃ μὴ χρείαν ἔχει μαθεῖν. Ἀλλ' οὐδὲ τὰ μέλλοντα γενέσθαι γινώσκουσιν, εἰ μή τι δ' ἂν ὑπὸ τῆς ἁγίας καὶ σεπτῆς καὶ προσκυνητῆς Τριάδος μυηθῶσιν. Ἔμαθον οὖν καὶ ἐπ- εβεβαιώθησαν τὴν ἀνάστασιν τοῦ Ἀδὰμ, θεωρήσαντες τὸν Θεὸν ἐγείραντα τὸν υἱὸν τῆς χήρας. Ὡς χήρα γὰρ ἐγένετο ἡ γῆ, ἀποθανόντος τοῦ πρωτοπλάστου αὐτῆς υἱοῦ. Ἰδόντες δὲ αὐτὸν πάλιν ἐγείραντα τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου, κατεσοφίσθησαν, ὅτι καὶ τὴν Εὔαν μετὰ τοῦ Ἀδὰμ ἐγερεῖ. Πάλιν ἀναστήσας τὸν παῖδα τοῦ ἀλλοφύλου ἑκατοντάρχου, ἐδίδαξε καὶ [εἰς] τοῦτο, ὅτι καὶ τὰ ξένα ἔθνη ἐγερεῖ. Ἰδοὺ τρεῖς διαφοραὶ τῶν νεκρῶν. Ἐγείραντος δὲ τὸν Λάζαρον τὸν τεταρταῖον νεκρὸν, καὶ τεταρταῖον ἐκ τοῦ μνημείου, τὸν ὑπὸ τεσσάρων στοιχείων συσπασθέντα, τὸν ὀζέσαντα, τὸν σαπέντα, τὸν ὑπὸ σκωλήκων κυριευθέντα, ἐγνωρίσθη ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ταῖς ἐπουρανίοις, καὶ τοῖς ἐπιγείοις, ὅτι πᾶσαν τὴν ἐκ τεσσάρων συσταθεῖσαν ἀνθρωπότητα ἐγερεῖ, κἂν ὤζεσεν ἐν τῇ ἁμαρτίᾳ τῆς παραβάσεως· κἂν ἐσάπη ἐν τῇ ἀσεβείᾳ τῆς εἰδωλολατρείας· κἂν ὡς ὑπὸ σκωλήκων, ὑπὸ δαιμόνων κατεκυριεύθη, *καὶ ἐζωγρεύθη εἰς τὸ ἐκείνων θέλημα.* Ταῦτα οὖν ἰδόντες οἱ ἄγγελοι κρυπτῶς, καὶ ἄνθρωποι φανερῶς, ἐξέστησαν, ἐξεθαμβήθησαν, καὶ ἤρξαντο βοᾷν καὶ λέγειν· *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.* Οὐχ ὡς σημειοφόρον δὲ μόνον ἐπῄνουν, ἀλλὰ καὶ ὡς βασιλέα ὅτι ἠχμαλώτευσε πᾶσαν τὴν ἀπ' αἰῶνος ὑπὸ τοῦ διαβό-

ex Judæis, et credebant in Jesum [17]. Et hæc quidem manifesta ratio laudationis illius fidelium : occulta autem ac abditior resurrectio est universæ naturæ hominum. Ac sicut signum Lazari ejusque suscitatio hominum animos ad celebrandum canticis Dominum excitavit, sic et signum suscitandi universi humani generis angelos sanctos ad laudandum permovit. Quantum vero totius universitatis hominum resurrectio, Lazari unius suscitationi præcellit; tantum quoque gloria ac laudatio id temporis præstabit. Ac conscientia quidem clamantium hominum miraculo excitata ad laudandum movebat, divina autem providentia nedum homines, sed et angelos ad Jesu admirationem ob naturæ totius futuram resurrectionem occulte instigabat. Viderunt enim, viderunt re vera didicerunt, ac quam nescirent sapientiam edoctæ sunt cœlestes virtutes per fidelium Ecclesiam [18], ab universorum creatore Deo, in quo ante sæcula abscondita esset, novum elucentem; eam nimirum quæ in Domini Jesu doctrinis ac promissionibus miraculisque consistit, quemadmodum admirabilis Paulus quodam loco dicit : *Ut innotescat nunc principatibus et potestatibus per Ecclesiam, multiformis sapientia Dei* [19]. Docentur enim supernæ virtutes necdum ab ipsis visa auditave. Etenim sunt creaturæ; nec ulla sit creatura, cui non doctrina necessaria sit. At neque noverunt futura, nisi quid sancta ac adoranda Trinitate docente acceperint. Didicerunt ergo, certumque argumentum futuræ resurrectionis Adami acceperunt, videntes filium viduæ a Deo suscitatum [20]. Protoplasto enim terræ filio mortuo, ea tanquam vidua effecta est. Rursus autem videntes suscitatam archisynagogi filiam [21], sapienter intellexerunt Evam quoque cum Adamo suscitandam. Tum vero suscitato puero centurionis alienigenæ [22] hoc abunde Deus docuit, fore ut externas quoque gentes suscitaret. En tibi tres mortuorum differentias. At Lazarum suscitando quartum mortuum, quatriduanum illum a sepulcro, elementis quatuor distrahentibus, olentem, putrem, vermibus mancipatum; notum factum est principatibus ac cœlestibus potestatibus terrenisque hominibus, fore ut tandem Deus universam hominum naturam elementis quatuor constantem suscitaret, quanquam illa in prævaricationis peccato feteret, quanquam in idololatriæ impietate putruisset, quanquam ei dæmones instar vermium dominarentur, *et captivam tenerent, ad suam ipsorum voluntatem* [23]. Cum hæc ergo angeli arcana ratione, homines autem conspicua cernerent, vehementius admirati obstupuerunt, cœperuntque clamare ac dicere : *Hosanna in altissimis* [24]. Porro laudabant, non ut tantum signiferum, sed ut etiam regem; quod omnem

[17] Joan. XII, 10. [18] Ephes. III, 10. [19] ibid. [20] Luc. VII, 11. [21] Matth. IX, 18; Marc. V, 22; Luc. VIII, 42. [22] Matth. VIII, 5. [23] II Tim. II, 26. [24] Matth. XXI, 9.

(71) Τὴν ἔγ. Deest διὰ.

Digitized by Google

quam a sæculo diabolus morsque captivitatem subjectam habuissent, ipse captivasset [28]. His enim ac similibus de causis, eum divini prophetæ regem prædicant.

III. Quia porro præfati prophetæ convivæ sunt rationalium animorum ; ac sicut menses annui spatii circulo per partes humana corpora alunt, ita et ii, nos quoque per partes, seu potius communiter instructis epulis, dum interim festa agimus, seu etiam ubique, fidelium alunt animos ac divinis doctrinis Christianos inebriant, juxta quod eorum aliquis dicit : *Inebriabuntur ab ubertate domus tuæ* [29]. Venite, audiamus, et narrabunt nobis omnes qui diligunt regnum Dei, quid de eo prophetet magnus Zacharias, gloriosus ille inter prophetas. Intelligamus quid fausti nuntii præco ferat, multis sæculis præcurrens regno. Venite, atque ut convivæ rationales, fruamur verbis procedentibus de ore Dei, per spiritalem convivam Zachariam ; cui obtigerit, ut suis nos epulis festa hac luce exciperet ; quemadmodum ait Dominus : *Non in solo pane vivet homo, sed in omni verbo quod procedit de ore Dei* [27]. Nam quia homines tristitiam oderunt, amant vero gaudium, incipit a gaudio clamare, dicens : *Gaude vehementer, filia Sion. Gaude vehementer*, inclamat captivitati propheta [28]. *O altitudo divitiarum sapientiæ et scientiæ Dei* [29]. Quamobrem *gaude?* et quamobrem *vehementer* delectare et gaude? Quia venit qui convertat te, sicut olim prædixit pater Regis qui convertit te ; *In convertendo Dominus captivitatem Sion, facti sumus sicut consolati : tunc repletum est gaudio os nostrum, et lingua nostra exsultatione* [30]. Gaude, inquit, velut postliminio reversa a captivitate dæmonum et sæculi hujus potestate, ad cœlestem illam Jerusalem, quam pater tuus Abraham exspectabat, uti ait quodam loco beatus Paulus : *Vos autem accessistis ad Sion montem et civitatem Dei virentis, Jerusalem cœlestem et multorum millium angelorum frequentiam, et ecclesiam primitivorum qui conscripti sunt in cœlis, et judicem Deum vivum, et spiritus justorum perfectorum* [31]. *Unde fugit dolor, [tristitia et gemitus* [32] : *Ubi justorum omnium lætantium habitatio est* [33]. Tunc delectare et jucundare et gaude vehementer filia, hujus utique, Sion. Cur vero, inquit, vehementer gaudebo, o propheta? *Gaude*, quia non ultra doloribus illis mancipanda sis : *vehementer* autem, eo quod liberator tuus haud habeat uti alii reges, sed sit rex æternus, et cujus regnum æternum sit, quemadmodum ait Gabriel angelus ad ejus matrem ac virginem Mariam : *Et regni ejus non erit finis* [34] : ac sicut ejus regnum æternum est, ita salus tua æterna erit. Propter hoc ergo, *Gaude vehementer ; prædica, filia Sion.* Quid prædicabo, o propheta? Prædica

λου καὶ τοῦ θανάτου αἰχμαλωτισθεῖσαν αἰχμαλωσίαν. Ἕνεκεν τούτων καὶ τῶν τοιούτων βασιλέα αὐτὸν κηρύττουσιν οἱ θεῖοι προφῆται.

Ἐπειδὴ δὲ οἱ προειρημένοι προφῆται ἑστιάτορες τῶν λογικῶν ὑπάρχουσι· καὶ ὥσπερ οἱ μῆνες τοῦ ἐνιαυτοῦ κατὰ μέρος τρέφουσι τὰ ἀνθρώπινα σώματα, οὕτως καὶ οὗτοι κατὰ μέρος ἡμᾶς, μᾶλλον κοινῶς τρέφουσι κατὰ ἑορτὴν, ἢ καὶ πάντοτε τὰς ψυχὰς τῶν πιστῶν, καὶ μεθύσκουσι ταῖς θείαις διδασκαλίαις Χριστιανοὺς, καθώς που εἷς ἐξ αὐτῶν φησι· *Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου.* Δεῦτε ἀκούσωμεν, καὶ διηγήσονται ἡμῖν πάντες οἱ ἀγαπῶντες τὴν βασιλείαν τοῦ Θεοῦ, τί περὶ αὐτῆς ἡμῖν προφητεύει ὁ μέγας Ζαχαρίας, ὁ ἔνδοξος ἐν προφήταις. Συνίωμεν ὃ κῆρυξ εὐαγγελίζεται, προτρέχων τῆς βασιλείας πρὸ πολλῶν τῶν χρόνων. Δεῦτε, ἀπολαύσωμεν, ὡς λογικοὶ δαιτύμονες, τὰ διὰ στόματος Θεοῦ ἐκπορευόμενα ῥήματα διὰ τοῦ πνευματικοῦ ἑστιάτορος Ζαχαρίου· αὐτῷ γὰρ ἔλαχε θρέψαι ἡμᾶς ἐν τῇ ἑορτῇ ταύτῃ· καθώς φησιν ὁ Κύριος, ὅτι *Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.* Ἐπειδὴ γὰρ ἡ λύπη παρὰ τοῖς ἀνθρώποις μισητὴ τυγχάνει, ποθητὴ δὲ ἡ χαρά· ἀπὸ χαρᾶς ἄρχεται βοᾷν λέγων· *Χαῖρε σφόδρα, θύγατερ Σιών. Χαῖρε σφόδρα*, βοᾷ ὁ προφήτης πρὸς τὴν αἰχμαλωσίαν. *Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ!* Διὰ τί *χαῖρε;* καὶ διὰ τί *σφόδρα* τέρπου καὶ εὐφραίνου; Ὅτι ἥκει ὁ ἐπιστρέφων σε, καθὼς προανεφώνησεν ὁ Πατὴρ τοῦ ἐπιστρέφοντός σε βασιλέως λέγων· *Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών, ἐγενήθημεν ὡς παρακεκλημένοι· τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως.* Χαῖρε, φησὶν, ὅτι ὑπεστράφης ἐκ τῆς αἰχμαλωσίας τῶν δαιμόνων, καὶ ἐκ τῆς ἐξουσίας τοῦ αἰῶνος τούτου, εἰς τὴν ἄνω Ἱερουσαλὴμ, ἣν ἐξεδέχετο ὁ πατήρ σου Ἀβραὰμ, καθώς που ὁ μακάριος Παῦλός φησιν· *Ὑμεῖς δὲ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν τοῖς οὐρανοῖς, καὶ κριτῇ Θεῷ ζῶντι, καὶ πνεύμασι δικαίων τετελειωμένων· ὅθεν ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός· ἔνθα πάντων τῶν δικαίων εὐφραινομένων ἐστὶν ἡ κατοικία.* Τότε τέρπου καὶ εὐφραίνου, καὶ χαῖρε σφόδρα, θύγατερ, ταύτης τῆς Σιών, δῆλον. Καὶ διὰ τί φησι, Σφόδρα χαίρω, ὦ προφῆτα; *Χαῖρε*, διότι οὐκέτι ὀδύναις ἐκείναις αἰχμαλωτεύσῃ· *σφόδρα* δὲ, διότι οὐχ ὡς οἱ λοιποὶ βασιλεῖς, οὕτως ὁ ῥυόμενός σε· ἀλλὰ βασιλεὺς αἰώνιος, καὶ αἰωνία αὐτοῦ ἡ βασιλεία, καθώς φησιν ὁ ἄγγελος Γαβριὴλ πρὸς τὴν μητέρα αὐτοῦ καὶ παρθένον Μαριάμ· *Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος·* καὶ καθὼς αἰωνία αὐτοῦ ἡ βασιλεία, οὕ-

[28] Psal. LXVII, 19 ; Ephes. IV, 8. [29] Psal. XXXV, 9. [27] Matth. IV, 4. [28] Zach. IX, 9. [29] Rom. XI, 33. [30] Psal. CXXV, 1, 2. [31] Hebr. XII, 22, 23. [32] Isa. LI, 11. [33] Psal. LXXXVI, 7. [34] Luc. I, 33.

Digitized by Google

τως αἰωνία σου ἡ σωτηρία. Διὰ τοῦτο οὖν *Χαῖρε σφόδρα· κήρυττε, θύγατερ Ἰερουσαλήμ.* Τί κηρύσσω, ὦ προφῆτα; Κήρυττε τῷ βασιλεῖ σου, τῷ κατελθόντι ἀπὸ τῶν ὑψωμάτων τοῦ οὐρανοῦ σῶσαί σε, εὐχαριστίαν, δοξολογίαν, ὑμνολογίαν. Κήρυττε *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις*, ὅθεν παρεγένετο σῶσαί σε· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.* Καὶ σκόπει μοι τὸν εὐαγγελιστὴν, πῶς διπλοῦν τὸν Χριστὸν κηρύττει. Ἐν τῷ γὰρ λέγειν, *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις*, τὴν ὑψηλὴν τῆς θεότητος φύσιν δηλοῖ· ἐν δὲ τῷ λέγειν· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*, τὴν τῆς ἀνθρωπότητος οὐσίαν σημαίνει· τὸ εὐλογημένον σπέρμα, ὃ εὐλογήθη ὁ εὐλογημένος Ἀβραὰμ, ἐν τῷ σπέρματι αὐτοῦ εὐλογηθῆναι πάντα τὰ ἔθνη τῆς γῆς. *Εὐλογημένη*, φησὶν, *ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ.*

A

B

Ἀναλάβωμεν πάλιν τὴν φωνὴν τὴν προτέραν, καὶ ὥσπερ μασθὸν προφητικὸν ἐκπιέσωμεν· ἔτι γὰρ ἔχει γάλακτος. Φησὶ γάρ· *Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυττε, θύγατερ Ἰερουσαλήμ.* Καὶ τίνος ἕνεκεν *θύγατερ Σιών*, καὶ οὐ Σιών; καὶ *θύγατερ Ἰερουσαλήμ*, καὶ οὐ Ἱερουσαλήμ; Πρόσεχε συνετῶς, παρακαλῶ. Ὥσπερ γὰρ τὰ ὀνόματα τῶν βοτανῶν, καὶ τῶν πετεινῶν, καὶ τῶν τετραπόδων, καὶ τῶν ἀνθρώπων, κατὰ τὴν διαφορὰν τῆς μορφῆς καὶ τῆς δυνάμεως οὕτω καὶ τὸ ὄνομα κέκτηται, οὕτως ἑκάστη κεραία τῶν θείων λογίων ἰδίαν δύναμιν καὶ θεωρίαν κέκτηται. Οὐκοῦν ἐρευνήσωμεν, τί δήποτε τὴν νῦν πιστὴν Ἰερουσαλὴμ πρῶτον καλεῖ ὁ προφήτης θυγατέρα Σιών [κήρυττε, θύγατερ Ἰερουσαλήμ]. Φησὶ γὰρ· *Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυττε, θύγατερ Ἰερουσαλήμ.* Σιὼν ἑρμηνεύεται *διῳκῶσα.* Ἔστι δὲ αὕτη ἡ συναγωγὴ τῶν δικαίων καὶ προφητῶν· τῶν ἀπ' αἰῶνος μέχρι τῆς Χριστοῦ παρουσίας· διῳκήσαντες ἐνωθῆναι καὶ εὐαρεστῆσαι τῇ θείᾳ καὶ προσκυνητῇ οὐσίᾳ τῆς θεότητος, καθὼς φησιν ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος· *Ἵνα γένωνται θείας κοινωνοὶ φύσεως.* Οὗτοι, ζητοῦντες τὸν Χριστὸν καὶ διῳκῶντες, ἐκλήθησαν Σιών, καθὼς εἷς ἐξ αὐτῶν ἔλεγεν· *Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα.* Ὅταν δὲ ἐπέτυχον καὶ ἤγγισαν, μᾶλλον δὲ *ὤφθησαν καὶ ἐθεώρησαν τὸ πρόσωπον αὐτοῦ*· οὕτω γὰρ λέγει ἑτέρα ἔκδοσις· ἐγένοντο Ἱερουσαλὴμ, ὁρῶντες Θεὸν, καὶ σκοπευτήριον πάσης τῆς γνώσεως. Θυγατέρα δὲ ταύτης Σιὼν καλεῖ τοὺς διὰ τῆς πίστεως διῳκῶντας, καὶ διὰ τῆς ἐργασίας τῶν ἐντολῶν τοῦ Εὐαγγελίου, ζητοῦντας εὑρεῖν τὸν Κύριον, τὸν ἐν αὐτοῖς κεχρυμμένον, καθὼς φησι τὸ ἅγιον Πνεῦμα· *Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.* Καὶ ὅταν ἐπιτύχωσι, καλοῦνται θυγάτηρ τῆς προειρημένης Ἱερουσαλήμ, θεωροῦντες τὸν Θεὸν, καὶ σκοποῦντες τὴν πνευματικὴν γνῶσιν. Παρακαλῶν δὲ ὁ προφήτης διὰ τοῦ πνεύματος τὸν Θεὸν ἀναδεῖξαι τὴν τοιαύτην Σιὼν καὶ Ἱερουσαλήμ, φησί· *Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπαρχῆς.* Οὐκ-

C

D

regi tuo, qui venit de excelsis cœlorum ut te salvet, gratiarum actionem, glorificationem, laudum cantica. Prædica *Hosanna in altissimis* [35], unde is te salvaturus advenit: *Benedictus qui venit in nomine Domini* [36]. Tu vero mihi evangelistam considera, ut duplicem Christum prædicet. Dicendo enim, *Hosanna in altissimis*, sublimem naturam divinitatis ostendit; dicendo autem: *Benedictus qui venit in nomine Domini*, substantiam designat humanitatis: semen, inquam, illud benedictum, quod benedictus Abraham in benedictionem accepit, ut in semine ejus benedicerentur omnes gentes terræ [37]. *Benedictum*, inquit, *quod venit regnum patris nostri David* [38].

IV. Resumamus priorem vocem, ac velut prophetica ubera exprimamus: quippe adhuc lac habent. Ait siquidem: *Gaude vehementer, filia Sion; prædica, filia Jerusalem.* Quorsum vero, *filia Sion*, non Sion? Quorsum *filia Jerusalem*, non Jerusalem? Quæso attendas sapienter. Quemadmodum enim olera, volucres, quadrupeda animalia atque homines, pro varia forma atque virtute, alia atque alia acceperunt nomina, sic sane singuli divinorum eloquiorum apices, virtutem propriam ac sensum spiritalem habent. Scrutemur ergo, quamobrem propheta, fidelem Jerusalem, primum appellet filiam Sion; subindeque filiam Jerusalem. Nam ait: *Gaude vehementer, filia Sion; prædica, filia Jerusalem.* Sion exponitur *sitiens.* Hæc porro justorum ac prophetarum congregatio est, qui fuerunt a sæculo usque ad Christi adventum: qui nimirum uniri sitierunt, ac placere divinæ adorandæque divinitatis substantiæ, quemadmodum ait Petrus apostolorum princeps: *Ut divinæ efficerentur consortes naturæ* [39]. Hi, inquam, Christum quærentes ac sitientes appellati sunt Sion, quemadmodum eorum aliquis ait: *Sitivit anima mea ad Deum fortem vivum* [40]. Ubi autem adepti sunt ac accesserunt, seu potius *viderunt ac contulti sunt faciem ejus;* sic enim habet alia editio; facti sunt Jerusalem Deum videntes, ac totius scientiæ specula. Hujus porro Sion filiam vocat, fideles in Domino qui sitiunt per fidem, quique exsequendo evangelica præcepta, Dominum in eis occultatum invenire quærunt, uti ait Spiritus sanctus: *Hæc est generatio quærentium Dominum, quærentium faciem Dei Jacob* [41]. Ubi autem consecuti sunt, vocantur filia prædictæ Jerusalem, videntes Deum ac scientiam spiritalem speculantes. Porro propheta Deum obsecrans in spiritu, ut eam Sion ac Jerusalem exhiberet, ait: *Memor esto congregationis tuæ, quam possedisti ab initio* [42]. Ergo cum hac matre tua, tu Sion *Gaude vehementer, filia* cœlestis *Jerusalem*: clama cum tua illa matre: *Hosanna in*

[35] Matth. xxi, 9. [36] ibid. [37] Genes. xviii, 18. [38] Marc. xi, 10. [39] II Petr. i, 4. [40] Psal. xli, 3. [41] Psal. lxxiii, 2. [42] ibid.

Digitized by Google

altissimis : Benedictus qui venit in nomine Domini.

V. Quid vero ait Evangelium : *Cum appropinquassent Hierosolymis, et venissent Bethphage* [43] ? Idcirco enim ivit in cœnaculum, ad montem Olivarum (quod est Ecclesia fidelis populi), ut eum manducarent. *Tunc misit* Dominus *duos ex discipulis suis.* Sunt hi, chori duo, prophetarum scilicet et apostolorum. Apostoli enim cum docerent gentes, secum habebant a Deo inspirata oracula prophetarum quæ Christo testimonium perhiberent, quomodo vidit magnus inter prophetas Ezechiel : *Rota*, inquit, *in rota, volans ac currens* [44]. Dicens Jesus : *Ite in castellum quod contra vos est*, misit eos in universum gentium orbem : hactenus enim gentiles contrarii erant fideli Ecclesiæ Judaici populi. Porro opportuno eos tempore misit in castellum gentium, quod contra erat : quippe illud paratum erat, ut præfatos duos choros prophetarum ac apostolorum reciperet. Et ut *ei pullum adducerent* ; nempe gentes, super quas ascenderet ac regnaret, juxta quod Psalmista ait : *Regnavit Deus super gentes : Dominus sedens super sedem sanctam suam* [45]. *Super quem nemo unquam hominum sedit* [46]. Nam neque Deum sessorem habebant ac regnantem super eas, neque legem neque prophetas. *Solvite*, inquit, *illum, et adducite mihi.* Apostoli enim a tenebris gentes absolverunt : hoc est, a Dei ignorantia, ab errore, a peccato, ab alieni servitute, a potestate tenebrarum principis sæculi hujus [47] : adduxeruntque ad eorum creatorem ac opificem Dominum. Ac ecce, super eas sedet regnatque, uti super cherubim, clamantes atque dicentes : *Hosanna in altissimis : Benedictus qui venit in nomine Domini ; pax in cœlo, et gloria in altissimis.* Sic enim Lucas ait [48]. Cur is vero, *Pax in cœlo*, dicit ? Nunquid enim angeli non habebant in cœlo pacem ? Habebant sane, ac plane habebant pacem in se ipsis : illam nimirum pacem, *quæ exsuperat omnem sensum* [49], quemadmodum sapientissimus Paulus ait : habebant in cœlo pacem ; haud tamen cum hominibus habebant. Cœlum per se ipsum pace gaudebat. Ut autem angeli universum humanum genus Lazari signo congregatum viderunt, gentesque solutas pulli instar, ad auctoris servitutem accedentes ac regnum ; cœlum quoque pacis fœdera cum hominibus iniit, clamaveruntque unanimiter, atque dixerunt, *Benedictus qui venit in nomine Domini : pax in cœlo, et gloria in altissimis. Et imposuerunt super pullum vestimenta.* Significant hæc, quam ipse eis dedit gratiam in gentibus [50], per quam Jesum super eas sedere fecerunt : nec id solum, sed et per proprias quoque eorum virtutes, quemadmodum significat sacer Evangelista dicens : *Alii autem sternebant ve-*

οὖν μετ' αὐτῆς τῆς μητρός σου Σιών, *Χαῖρε σφόδρα, θύγατερ Ἰερουσαλὴμ* ἐπουρανίου· μετὰ τῆς μητρός σου βοῶσα· *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Καὶ τί φησι τὸ Εὐαγγέλιον· *Ὅτε ἤγγισαν εἰς Ἰερουσαλὴμ, καὶ ἦλθον εἰς Βηθφαγῆ ;* Ἵνα γὰρ φάγωσιν αὐτὸν οἱ πιστοὶ, ἤρχετο ἐν τῷ ὑπερῴῳ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν (ὅ ἐστιν ἐκ τοῦ λαοῦ πιστὴ Ἐκκλησία). *Τότε ὁ Κύριος ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ·* οἵτινές εἰσι δύο χοροὶ τῶν προφητῶν καὶ ἀποστόλων. Μαθητεύοντες γὰρ τὰ ἔθνη οἱ ἀπόστολοι, εἶχον μεθ' ἑαυτῶν τὰ θεόπνευστα τῶν προφητῶν λόγια, τὰ μαρτυροῦντα τῷ Χριστῷ, ὃν τρόπον ἐθεώρησεν αὐτοὺς Ἰεζεκιὴλ ὁ μέγας ἐν προφήταις· *Τροχὸς*, φησὶν, *ἐν τροχῷ, πετόμενος καὶ τρέχων.* Λέγοντος πρὸς αὐτοὺς τοῦ Ἰησοῦ· *Πορευθέντες εἰς τὴν κατέναντι κώμην· ἀπέστειλεν* αὐτοὺς εἰς πᾶσαν τὴν οἰκουμένην τῶν ἐθνῶν· ὅτι ἐναντίοι ἦσαν τέως τῆς ἐκ τοῦ λαοῦ πιστῆς Ἐκκλησίας. Καιρῷ γὰρ εὐθέτῳ ἀπέστειλεν αὐτοὺς εἰς τὴν κατέναντι κώμην τῶν ἐθνῶν· ἑτοίμη γὰρ ἦν δέξασθαι τοὺς προειρημένους δύο χοροὺς τῶν ἀποστόλων καὶ προφητῶν. *Καὶ ἀγαγεῖν πρὸς αὐτὸν τὸν πῶλον·* οἵτινές εἰσι τὰ ἔθνη· τοῦ ἐπιβῆναι καὶ βασιλεῦσαι ἐπ' αὐτά, καθὼς φησιν ὁ Ψαλμῳδός· *Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη· Κύριος κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ· ἐφ' ᾧ οὐδεὶς ποτε ἀνθρώπων κεκάθικεν.* Οὐδὲ γὰρ Θεὸν εἶχον ἐπιβαίνοντα καὶ βασιλεύοντα ἐπ' αὐτὰ, οὐδὲ νόμον οὐδὲ προφήτας. *Λύσαντες αὐτὸν*, φησὶν, *ἀγάγετέ μοι.* Ἔλυσαν γὰρ τὰ ἔθνη οἱ ἀπόστολοι ἀπὸ τῆς σκοτίας, τουτέστι τῆς τοῦ Θεοῦ ἀγνωσίας, ἀπὸ τῆς πλάνης, ἀπὸ τῆς ἁμαρτίας, ἀπὸ τῆς δουλείας τοῦ ἀλλοτρίου, ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους, τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου· καὶ ἤγαγον πρὸς τὸν κτίστην καὶ δημιουργὸν αὐτῶν Κύριον. Καὶ ἰδοὺ κάθηται ἐπ' αὐτὰ, καὶ βασιλεύει ὡς ἐπὶ τῶν χερουβὶμ, κράζοντα καὶ λέγοντα· *Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις.* Οὕτω γάρ φησιν ὁ Λουκᾶς. *Εἰρήνη ἐν τῷ οὐρανῷ*, τίνος ἕνεκεν λέγει ; Οὐκ εἶχον οἱ ἄγγελοι εἰρήνην ἐν τῷ οὐρανῷ ; Ναί· καὶ πάνυ εἶχον ἐν ἑαυτοῖς τὴν εἰρήνην· *εἰρήνην τὴν ὑπερέχουσαν πάντα νοῦν*, καθὼς φησιν ὁ σοφώτατος Παῦλος· εἶχον εἰρήνην ἐν οὐρανῷ· *ἀλλὰ* μετὰ τῶν ἀνθρώπων οὐκ εἶχον. Ὁ οὐρανὸς εἰρήνην εἶχε καθ' ἑαυτόν. Ὅταν δὲ ἴδον οἱ ἄγγελοι πᾶσαν τὴν ἀνθρωποτητα ἀγειρομένην διὰ τοῦ σημείου τοῦ Λαζάρου, καὶ τὰ ἔθνη λυόμενα δίκην τοῦ πώλου, καὶ ἐρχόμενα εἰς τὸ βασιλεύεσθαι ὑπὸ τοῦ δημιουργοῦ αὐτῶν· τότε εἰρηνεύθη καὶ ὁ οὐρανὸς μετὰ τῶν ἀνθρώπων, καὶ ὁμοθυμαδὸν ἔκραζον καὶ ἔλεγον· *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις. Καὶ ἐπέθηκεν ἐπάνω τοῦ πώλου τὰ ἱμάτια·* ἅτινα σημαίνουσι τὴν χάριν τὴν παρ' αὐτοῦ δοθεῖσαν αὐτοῖς ἐν τοῖς ἔθνεσι, καὶ δι' αὐτῆς ἐπεβίβασαν τὸν Ἰησοῦν ἐπ' αὐ-

[43] Matth. xxi, 1. [44] Ezech. i, 17. [45] Psal. xlix, 9. [46] Marc. xi, 2. [47] Ephes. ii, 2. [48] Luc. xix, 38. [49] Philipp. iv, 7. [50] alat. ii, 8.

Digitized by Google

τά· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ διὰ τὰς ἰδίας ἀρετὰς, καθὼς σημαίνει ὁ εὐαγγελιστὴς, λέγων· Ἄλλοι δὲ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν (72) ἐν τῇ ὁδῷ. Εἰς τοῦτο δὲ τὰς ἰδίας ἀρετὰς, ἃς συνέζευξαν χάριτι, αἰνίττεται, ὡς φανερῶς λέγει ὁ θεσπέσιος Παῦλος· *Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχωμεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν ἐν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ.* Ἕως δὲ [τούτου] τὰ τῆς χάριτος. *Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν ἡμῶν, εἰδότες, ὅτι θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐκ αἰσχύνει· ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται εἰς τὰς καρδίας ἡμῶν διὰ Πνεύματος ἁγίου, τοῦ δοθέντος ἡμῖν.* Τὸ δὲ, *Ἐν τῇ γῇ ὑπεστρώννυον*, ὅτι σωματικῶς καὶ φανερῶς καὶ αἰσθητῶς ἐθεωροῦντο αἱ ἀρεταὶ αὐτῶν ἐνώπιον τῶν ἐθνῶν, καθὼς καὶ ἐν ἑτέρῳ πού φησι πρὸς ταῦτα λέγων ὁ Ἀπόστολος· *Ὅσα εἴδετε ἐν ἐμοὶ καὶ ἠκούσατε καὶ παρελάβετε, ταῦτα πράξατε.* Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν.

A *stimenta sua in via.* Per hoc enim proprias eorum virtutes quas gratiæ conjunxerunt, indicat, quemadmodum admirabilis Paulus aperte ait : *Justificati ergo ex fide pacem habeamus ad Deum per Dominum nostrum Jesum Christum : per quem et habemus accessum per fidem in gratiam istam, in qua stamus, et gloriamur in spe gloriæ Dei* [81]. Hactenus quæ spectant ad gratiam. *Non solum autem, sed et gloriamur in tribulationibus nostris : scientes quod tribulatio patientiam operatur ; patientia autem probationem ; probatio vero spem ; spes autem non confundit : quia charitas Dei diffusa est in cordibus nostris per Spiritum sanctum qui datus est nobis* [82]. Quod autem ait, *Sternebant in via*, eo dictum sit, quod eorum virtutes coram gentibus corporaliter palamque ac B sensibili ratione aspectandæ proponerentur, uti etiam alio quodam loco ad idem ait Apostolus : *Quæ vidistis in me et audivistis et accepistis, hæc agite* [83]. Verum ad propositum revertamur

Οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, μετὰ αἴνων καὶ κλάδων ἐλαιῶν καὶ βαΐων· οἵτινες σημαίνουσι τὴν πρακτικὴν ἐργασίαν τοῦ ἔξω ἀνθρώπου· καὶ βάϊα φοινίκων, οἵτινες μηνύουσι τὴν πνευματικὴν καὶ πρακτικὴν καὶ γνωστικὴν καὶ καθαρὰν τοῦ ἔσω ἀνθρώπου ἐργασίαν. *Ἔκραζον λέγοντες· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.* Ἐν ἀληθείᾳ γὰρ πάντες οἱ ὄχλοι τῶν δικαίων καὶ προφητῶν καὶ ἱερέων, οἵτινές εἰσιν οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες, πίστει κράζουσι, καὶ λέγουσιν· *Ὡσαννὰ* C *τῷ υἱῷ Δαβίδ· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις·* ὡς ὁ εὐαγγελιστὴς φησι· *Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου, λέγοντος· Εἴπατε τῇ θυγατρὶ Σιών.* Πρὸς τίνας λέγεις, *Εἴπατε*, ὦ προφῆτα ; Ἰδοὺ σὺ κηρύττεις· ἰδοὺ σὺ λέγεις. Ἐγὼ, φησὶν, ἐπεθύμουν ἰδεῖν καὶ ἀκοῦσαι· οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ *πολλοὶ προφῆται καὶ δίκαιοι.* Ἀλλὰ καὶ τοῖς εὑρισκομένοις καὶ μαθητευομένοις, καὶ θεωροῦντας (73) καὶ ἀκούοντας τοῦ βασιλέως Σιὼν λέγω, ἵνα εἴπωσι καὶ κηρύξωσιν· *Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι.* Καὶ οὐκ εἶπε ψιλῶς, *ἔρχεται· ἀλλ' ἔρχεταί σοι·* τουτέστι, σοῦ γενέσθαι, καὶ ἐν σοὶ οἰκῆσαι. *Ἰδοὺ ὁ* D *βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων.* Σώζων ἀπὸ τῆς δουλείας τοῦ ἐχθροῦ τοὺς πιστεύοντας ἐπ' αὐτόν. *Πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον υἱὸν ὑποζυγίου·* τουτέστι ταπεινόφρων, καὶ ἐν τῇ ταπεινοφροσύνῃ αὐτοῦ *ἐξολοθρεύων τὰ ἅρματα τῆς βασιλείας Ἐφραΐμ·* τουτέστι τοῦ διαβόλου, ὃς ἐβασίλευσεν ἐπὶ τὸν Ἰσραὴλ καὶ ἐπὶ τὰ ἔθνη. Ἐξωλόθρευσε δὲ καὶ κατὰ τὸ γράμμα καὶ τὴν βασιλείαν τοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ ἐπαύθη. *Καὶ ἵππον*, φησὶν, *ἐξ Ἰερουσαλήμ·* τουτέστι πᾶσαν τὴν ὑπερηφανίαν τῆς

VI. *Turbæ autem quæ præibant et quæ sequebantur clamabant*, cum laudibus et ramis olivarum atque palmarum. Significant olivarum rami actuosam operationem exterioris hominis : rami autem palmarum, spiritalem activamque ac contemplativam atque puram hominis interioris operationem. *Clamabant dicentes : Hosanna in altissimis.* Re vera enim omnes turbæ justorum, et prophetarum ac sacerdotum, quos intelligimus præeuntes atque sequentes, fide clamant, dicuntque : *Hosanna filio David : Benedictus qui venit in nomine Domini : Hosanna in altissimis :* quemadmodum sacer evangelista ait : *Hoc autem totum factum est, ut adimpleretur quod dictum est per prophetam, dicentem : Dicite filiæ Sion.* Quibusnam propheta ais, *Dicite?* En ipse prædicas : en ipse dicis. Ego, inquit, desiderabam videre et audire : nec ego tantum, sed et *multi prophetæ et justi* [84]. Verum dico, cum inventuris ac discipulis, tum iis qui vident ac audiunt Regem Sion, ut dicant ac prædicent : *Dicite filiæ Sion : Ecce rex tuus venit tibi.* Non nude dixit, *venit :* sed, *venit tibi :* hoc est, ut sit tuus, et habitet in te. *Ecce rex tuus venit tibi justus et salvans.* Salvans ab inimici servitute credentes in eum. *Mansuetus, et sedens super pullum filium subjugalis :* hoc est, humilis, suaque humilitate *dispergens currus regni Ephraim* [85] ; hoc est diaboli, qui regnaverat super Israel et super gentes. Sed et ad litteram, regnum quoque populi Judæorum disperdidit, illudque jam desiit. *Et equum de Jerusalem :* hoc est, omnem eorum principatus superbiam humili pullo suo. Porro, Jacob cum benediceret Judam, factamque ad Abraham ac Isaac patres suos benedictionem, quæ est Christus declararet, ait : *Alligans ad vitem pullum*

[81] Rom. v, 1, 2. [82] ibid. 3, 5. [83] Philipp. iv, 9. [84] Matth. xiii, 17. [85] Zach. ix, 10.

(72) *Αὐτῶν.* Apud Matthæum xxi, 8, ἑαυτῶν.

(73) *Καὶ θεωρ.* Forte καὶ πρὸς θεωρ.

Digitized by Google

Ὅθεν, ἐγὼ αὐτὸς ἰώμενος τὴν σφαλερὰν ἐκείνην ἔννοιαν, σπεύσω καὶ γάμοις ὁμιλῆσαι καὶ παιδοποιήσασθαι, πρὸς τὸ καὶ τοὺς ἐξ ἐμοῦ γενομένους κήρυκας ἀναστῆναι τῆς δικαιοσύνης.

Cap. XL, Vers. 4. De vallibus loquitur non quasi fuerint a Domino occupandæ, sed animas affatur altius effossas, et deorsum in inferno jacentes, et peccatis humiliatas; quippe quæ funestis et exitialibus cogitationibus liberatæ, super montes exaltandæ sunt.

Φάραγγα ἐκληπτέον, οὐχ ὡς μέλλοντος τοῦ Θεοῦ ἐπιβαίνειν αὐταῖς, ἀλλὰ πρὸς τὰς κατορωρυγμένας ψυχὰς, καὶ κάτω που εἰς τὸν ᾅδην κειμένας, τεταπεινωμένας τε ταῖς ἁμαρτίαις, λέγει· ταύτας γὰρ ἀπαλλαγείσας τῶν ὀλεθρίων τούτων καὶ ἐπικινδύνων λογισμῶν ὑπὲρ τὰ ὄρη ταπεινοῦσθαι (6) καιρός.

Vers 8. Confitetur hic ipse propheta, vel verbi minister, carne se obcæcatum rationem accedere non potuisse. Mox evanescet, adjecit, omnis humana opinio; verbum autem Dei finem nunquam accipiet, sed manet in æternum vera usque prænuntians.

Δεικνὺς, ὡς καὶ αὐτὸς ὁ προφήτης ὁ ὑπηρετούμενος τῷ λόγῳ, ὑπὸ τῆς σαρκὸς ἐπισκιαζόμενος τὸν νοῦν, χωρῆσαι οὐ δεδύνηται· καὶ γὰρ καὶ πᾶσα ὑπόληψις ἀνθρωπίνη ταχέως παύσεται, οὐ μὴν τὸ λόγιον τοῦ Θεοῦ παύλαν ποτὲ λήψεται· ἀλλὰ πέρα τελεῖ, ἀληθεύοντα τῆς (7) ἐπαγγελίας εἰς αἰῶνα.

C

Vers. 12. Multi quidem sunt, qui de judiciis Dei dubitant, et de Providentia tum omnem rerum naturam tum singula quæque regente, et de summa scientia quam nil latere potest, quæ omnes mente complectitur. Quibus confutandis propheta singula Deo investiganda esse declarat; ex visibilibus et in universum a mundi elementis disce Dei virtutem.

Πρὸς τὰς ἐν διανοίᾳ πάλιν φύσεις ἀμφισβητήσεις περὶ τῶν κριμάτων καὶ τῆς προνοίας τῆς τοῦ Θεοῦ διὰ πάντων διηκούσης, καὶ καθ' ἕνα ἕκαστον, καὶ ὡς οὐκ ἔστι τῶν λανθανόντων τὸν Θεὸν, ἀλλὰ διὰ πάντων διαβαίνουσα ἡ τοῦ Θεοῦ γνῶσις· τὰ ἑκάστου ἀνιχνεύειν προϋπαντῶν ὁ λόγος ἐκδιδάσκει, ὅτι ἐκ τῶν ὁρωμένων, καὶ ἐκ τῶν τοῦ Θεοῦ καθολικώτερον στοιχείων ἐκδιδάσκου τοῦ Θεοῦ δύναμιν.

Vers. 16, 17. Rursus occurrit propheta mente disceptantibus. Nolite putare vos memoratum Deum per sacrificia placaturos, quasi istis ei opus esset, cujus verbo omnia facta sunt. Num « sufficiet Libanus » et silva qua obsidetur, aut « sufficient omnia quadrupedia ad holocaustum, » cui cunctæ gentes, juxta ipsius effatum, « quasi nihilum sunt » in nihilum redutantur

Πάλιν πρὸς τοὺς ἐν διανοίαις λογισμοὺς προσυπαντᾷ ὁ λόγος· ὅτι τοῦτον τὸν Θεὸν τὸν προμηνυθέντα διὰ τῶν εἰρημένων ἴσως λογιεῖσθε θυσίαις ἐξιλεοῦσθαι, μὴ σκοπήσαντες, ὡς οὐκ ἐν χρείᾳ τούτων καθέστηκεν, οὗ τῷ λόγῳ τὰ πάντα γεγένηται· « ἐπαρκέσει οὖν Λίβανος » καὶ ἡ ἐν τούτῳ ὕλη; « ἀρκέσει δὲ εἰς ὁλοκάρπωσιν πάντα τὰ τετράποδα, » ᾧ πάντα τὰ ἔθνη κατὰ τὸ ὑποβληθὲν ὑπόδειγμα « ὡς (8) ἥκειν εἰς γνῶσιν, » οὐδὲν ἐλογίσθη

D

Cap. XLI, Vers. 1. Animos alloquitur languentes et doloribus afflictos. Licet enim vobis, qui cupiditatibus insenuistis et voluptatibus, depressas istis spirituales vires relevare, et velut senectutem, ea deponere, quæcunque fuerint libidinibus fracta et prope confecta. Quos insulas optime vocat; nam sicut insulæ, medio in mare fluctibus circumluun-

Πρὸς τὰς μὴ ἰσχυούσας ὀδύναις τε πραττούσας ψυχὰς συμβουλία προσάγεται· ὅτι ταύτῃ δυνατὸν ὑμᾶς τὰς ἐγχρονισάσας ἐν τοῖς πάθεσι καὶ παλαιωθείσας ἐν ταῖς ἡδοναῖς, ἔν τε τούτοις κατασυρείσας ἀναλαβεῖν τὰς ἑαυτῶν ψυχικὰς δυνάμεις· καὶ ὥσπερ γῆρας ἀποθέσθαι τὰς ἐν τοῖς πάθεσι παλαιωθείσας καὶ ὥσπερ νεκρωθείσας· ἃς καὶ νήσους ὁ

(6) Potius ὑψοῦσθαι aut πληροῦσθαι.
(7) Potius τάς.
(8) Forte οὐχ.

Digitized by Google

λόγος καλεῖ, καθ' ὁμοίωσιν τῶν νήσων τούτων, αἳ ἐν μέσῳ τῷ πελάγει ἑστήκασιν περικλυζόμεναι, μὴ μέντοι καταποντιζόμεναι· οὕτω καὶ αἱ ψυχαὶ ὑπὸ τῶν ἐν τῷ κόσμῳ πραγμάτων, οὐ μὴν ἀλλὰ καὶ σωματικῶν παθῶν, ἀλμυρῶν ὄντων, ἐπικλύζονται· ἀπεκδύσασθαι τοίνυν ταύτας τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύσασθαι τὸν νέον, καὶ ὁ Ἀπόστολος παοακελεύεται.

A tur, non vero submerguntur; ita animi nostri humanis negotiis, præsertim vero corporalibus cupiditatibus, quæ et salsæ sunt, agitantur. — Eadem ratione hortatur nos Apostolus, ut veterem hominem exspoliantes novum induamus [14].

Περὶ Κύρου λέγει, ὃν δικαίως ἐπήγειρε Βαβυλῶνι.— Ὑπέταξεν αὐτῷ πολλοὺς, ἵνα καθέλῃ Βαβυλῶνα δικαίως.

VERS. 2. De Cyro agitur, quem jure in Babylonem suscitavit. — Multos ipsius imperio subjecit, ut merito Babylonem everteret.

Τὴν σχέσιν τὴν ἑαυτοῦ πρὸς αὐτὸν Ἰσραὴλ τὸν κατὰ προκοπὴν λεχθέντα ἐνταῦθα ὑπομιμνήσκει ὁ Θεὸς, παῖδα αὐτὸν ἀποκαλῶν, οὐκ ἐξ ὠνῆς κτηθέντα, οὐδ' ἀλλότριον περιποιηθέντα, ἀλλ' ὡς υἱὸν ὑπὸ πατρὸς προσληφθέντα, ὃν καὶ Ἰακὼβ καλεῖ, ἐκείνου ὄντα διάδοχον, καὶ ἐν τῷ κλήρῳ τῶν ἐκείνου τελοῦντα.

VERS. 8. Affectus suos in Israel memorat hic Deus, hoc est in ipsos Israelitas. Puerum eum vocat, non pecunia emptum, non ab alieno in sua receptum, sed ut Filium a Patre susceptum; quem et Jacob dicit [15] quod hic Patris hæres, eadem sortitus.

Τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν αὐτοῖς γινομένην, καὶ τὴν κατὰ τῶν ἐχθρῶν ἄμυναν ἐκδιδάσκων, αὐτοὺς θαῤῥεῖν παρακελεύεται· Ἐγὼ γὰρ, φησὶν, ἐθέμην σε οὕτως ἰσχύειν κατὰ τῶν ἐχθρῶν, ὡς ἂν τροχοὺς σιδηροῦς πριστηροειδεῖς καταλάβῃς, καὶ πάντα τὰ ἔθνη σου ὑποδεδηκὼς εἰς τὸ καταπατῆσαι αὐτά· τὰ τοίνυν αἰρόμενα φρυάγματα ὡς ὄρη καὶ τοὺς ὑψαύχενας λογισμοὺς βουνοῖς παραβαλλομένους οὕτω πατήσεις καὶ εἰς οὐδὲν ἀποδείξεις, ὡς κόνει παραβάλλεσθαι· ὃ δὴ καὶ γέγονεν ἐπὶ τοῦ Ἀσσυρίου· μηδὲ γὰρ πολεμήσαντος τοῦ Ἰσραὴλ, μηδὲ ἀντιπαραταξαμένου τούτου, ὤφθη τὸ πεδίον νεκρῶν πλεπληρωμένον, Χριστοῦ χειρὶ κρυφαίᾳ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνελόντος· ὡς τὸν Ἰσραὴλ μόνον εἰς θέαν ἐκβῆναι τοῦ οὕτω μεγάλου παραδόξου, ἐπευφραινόμενον ἐπὶ τῇ οὕτω παρὰ τοῦ Θεοῦ ἀντιλήψει.

VERS. 15. Cum eos a Deo adjutos docet, et contra hostium incursus defensos, fiduciam ipsis renovat. Ego, inquit, tantum tibi in hostes robur contuli, ut rotas ferreas in serrarum modum accepisse sis visus, et gentes omnes tibi conculcandas tradidi. Insolentiam velut montes consurgentem et superbas mentes sicut colles elatas, ita triturabis, et in nihilum rediges, ut cum pulvere componantur. Quod quidem in Assyrios factum est: nam nec pugnante Israel, nec aciem ordinante, videre erat campum late corporibus constratum, cum ipse Christus manu sua centum et octoginta quinque millia prostravisset, ita ut nihil aliud Israelitarum fuerit, præter ad contemplandum tantum prodigium egredi, et de tanto Dei studio exsultare.

Τὰ καταληψόμενα αὐτοὺς τοὺς ἐχθροὺς αὐτῶν διαγορεύει ὁ λόγος.

VERS. 17. Calamitates hostibus imminentes denuntiat propheta.

Τὴν τοῦ Ἀσσυρίου καὶ τὴν τῶν Αἰγυπτίων ἔφοδον γνώμῃ αὐτοῦ γεγενῆσθαι ὑπαγορεύει· Οὐδὲ γὰρ, φησὶν, οὗτοι εἰσῆλθον ἄν, εἰ μή γε αὐτὸς ἀνεδίδου αὐτοῖς κατὰ συγχώρησιν· ὡς ἐμοὶ τοίνυν διακονούμενοι, ἰσχύουσι καθ' ὑμῶν ὡς κατὰ πηλοῦ ὄν πατεῖν μελλήσουσι. Παρέστω τοίνυν καὶ τῶν ἐθνῶν τις πρὸ αἰώνων ὅλων τὰ μέλλοντα ἔσεσθαι προλέξων· καὶ δειξάτω, ὡς οἷοί τε ἔσονται προαπαγγεῖλαι ὥσπερ ἰδίους ὅρους εἰς ἔργον μέλλοντας προχωρήσειν· καὶ γὰρ οἱ δαίμονες, κἂν προλέγωσί τινα, οὐκ αὐτῶν ἔργα προλέξουσιν, ἀλλ' ἀλλοτρίας πράξεις μηνύουσιν· οὐ τοίνυν οὗτοι ἀπαγγέλλουσί τι ἴδιον, οὐδὲ ἔξουσιν ἀκροατὰς τοὺς διακρίνοντας τὸ ψεῦδος ἀπὸ τοῦ ἀληθοῦς.

VERS. 26. Assyriorum et Ægyptiorum incursus Deo jubente factos fuisse declarat. Non fuissent, ait, hanc terram ingressi, nisi hoc ipse concedissem. Donec igitur mihi inservierint, valebunt adversus vos ut in lutum quod conculcaturi sunt. Procedat ideo vel ex gentibus qui futura ante omnia sæcula prædicet. Ostendit eos esse dæmones qui ventura prædicerent quasi fuissent ab ipsis definita; nam vel si forte quid prænuntiaverint, non sua opera, sed aliena referent. Non est igitur quod suum aliquid annuntient, nec habent auditores qui falsa e veris possent distinguere.

Τῶν ὑπὸ τοῦ Θεοῦ ἐξ ἀρχῆς παρασχεθέντων τῇ Ἱερουσαλὴμ ὡς ἀνῆπτο παντὶ τῷ κόσμῳ θεογνωσίας λαμπτὴρ· καὶ ὡς ἐκεῖσε ἡ τοῦ Θεοῦ χάρις μυρίοις συνθήμασι κατακεκοσμημένη ὑπομιμνήσκει αὐτούς· ὅθεν καὶ ὡς πάλιν μετὰ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον τῶν αὐτῶν ἠξιοῦτο· οὐ μὴν ἀλλὰ καὶ ἐπὶ

VERS. 27. Quæ ipse Deus a principio Jerusalem præparaverit, ut lampas veræ fidei totum terrarum orbem illuminet, quot et quantis eos exornaverit beneficiis, memorat; nec minora se de captivitate reducibus largiturum denuntiat. Præprimis vero prædicit insuper, Salvatoris gratiam in Sion prin-

[14] Coloss. III, 9, 10. [15] Gen. XV, 4.

Digitized by Google

cipio venturam. et ita omnes dein invasuram gentes.

τούτοις προαγορεύει τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίαν ἐκεῖθεν ἀρξαμένην, καὶ οὕτως ἐπὶ πάντα τὰ ἔθνη τῆς ἑαυτοῦ χάριτος διαβάσης.

Cap. XLII, Vers. 10. Quo enim modo et nunc propheta, ubi de Salvatore nostro audierit, ad ditandos nos et ad salvandas animas nostras venturo, tanta Dei misericordia animo exsultans, laudes Dei et gloriam celebraturus exsurgit; ita et alios cantatum provocat. Non primum nunc regnat perspectus nobis et agnitus Deus, sed primum nunc extenditur in extremas omnium terrarum partes antiqua ejus potestas, cœlestibus accepta, et apud ipsos etiam prius jam celebrata. Apostolorum ordinem designant homines illi, circa navigatorum munus versantes a quibus primum hæc doctrina confitenda erat.

Ὥσπερ οὖν καὶ νῦν προφήτης καταλαβὼν τὴν σωτηριώδη παρουσίαν τοῦ Σωτῆρος ἡμῶν ἐπὶ κέρδει ἡμετέρῳ γενησομένην, καὶ ἐπὶ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν, ἀγαλλιασθεὶς τὴν ψυχὴν ἐπὶ τῇ τοσαύτῃ τοῦ Θεοῦ φιλανθρωπίᾳ, ἀπάρχεται τῶν ὕμνων καὶ τῆς δοξολογίας· τὸ δ' αὐτὸ καὶ ἄλλους ποιεῖν προτρέπεται· οὐδὲ γὰρ ὁ φανησόμενος καὶ γνωρισθεὶς ἡμῖν Θεὸς, νῦν τοῦ ἄρχειν ἤρξατο, ἀλλὰ προούσης αὐτοῦ τῆς κυριότητος, καὶ ἐν τῷ ἄνω κρατούσης, καὶ παρ' ἐκείνοις δοξαζομένης, εἰς τὰ ἀπανταχοῦ γῆς πέρατα φανερωθήσεται πρῶτον· ταύτης τῆς γνώσεως ἀπαρχομένων τῶν παλαιῶν ἐκείνων ἔργον ἐχόντων τὴν θάλατταν πλέειν, ἐδηλοῦτο τὸ τάγμα τῶν ἀποστόλων.

Vers. 11. Per locos habitatores locorum intendit, qui primi Salvatorem nostrum Dominum nostrum Jesum Christum excepturi erant et cultu prosecuturi. Dum de deserto loquitur, ad animas alludit, miseriis fe' penuriis oppressas, vera Dei scientia destitutas. Merito etiam Cedar memorat, hoc nos docens animas, quæ prius contra venientem Salvatorem reluctatæ fuerint, postea ad saniora revocatas, cum veneratione eum excepturas esse. Nam spectabat Cedar ad genus Esau, Jerusalem hostile, ipsiusque legibus usque infensum.

Ἐκ τῶν τόπων τοὺς οἰκήτορας ἐνταῦθα σημαίνει, οἳ καὶ πρῶτοι ἤμελλον ἐπιγινώσκειν τὸν ἡμέτερον Σωτῆρα τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, καὶ προσκυνοῦντας δοξάζειν. Ἔρημον δὲ νῦν λέγει, ἀναφέρων τὸν λόγον εἰς τὰς ψυχὰς, αἵτινες ἐρημίαν ἐταλαιπώρουν θεογνωσίας ἐστερημέναι. Ἀναγκαίως δὲ καὶ τῆς Κηδὰρ μνημονεύει· διὰ τούτου διδάσκων ἡμᾶς, ὅτι αἱ ἀπομαχόμεναι πρὸς τὴν παρουσίαν τοῦ Σωτῆρος ψυχαὶ, ὕστερον ἐπεγνωκυῖαι, ὁμολογήσουσι τὸ σέβας· καὶ γὰρ καὶ ἡ Κηδὰρ χωρίον ἦν τοῦ γένους τοῦ Ἡσαῦ, ὃ διετέλει ἀπομαχόμενον τῇ Ἱερουσαλὴμ, καὶ ἐναντιούμενον τοῖς ταύτης νομίμοις.

Vers. 13. Adventum Salvatoris et hic manifestius indicat, qui pacem nobis afferet, et, ad vindictam semetipse commovens, inimici vires et superbiam conteret. Nam hostem et inimicum nostrum non aggreditur, quasi fuisset zelo affectus; vacuus enim ab omni humano affectu, utpote Deus, semetipse ad vindictam commovebit; quod et carne suscepta, fecit. Nam eum infremuisse spiritu [16] narrant evangelistæ, liberum ejus arbitrium declarantes; nam lacrymas effudit, et corpus fatigatum [17] sensit, affectus istos haud invitus perpessus, sed libens iis corpus suum subjecit. Homines quidem nos lacrymas profundimus, non quando voluerimus; sed quia illæ corporei affectus sunt, illis vel inviti movemur; de Deo autem non eadem valent, sed ipse ad nutum cuncta gerit, et in hostes eadem potestate gaudet.

Τὴν τοῦ Σωτῆρος ἐπιδημίαν καὶ ἐνταῦθα τρανῶς ὑπαγορεύει, ὃς ἡμῖν μὲν εἰρήνην βραβεύει, καθελεῖ δὲ πᾶσαν δύναμίν τε καὶ ἀλαζονείαν τοῦ ἐχθροῦ, ἑαυτὸν κινήσας πρὸς ἐκδικίαν· οὐδὲ γὰρ ὡς πάθος ὑπομένων ζηλοτυπίας, χωρήσει κατὰ ἐχθροῦ καὶ πολεμίου ἡμῖν· ἀλλ' ἐλεύθερος ὢν παντὸς πάθους ἀνθρωπίνου ἅτε Θεὸς ἑαυτὸν κινήσει πρὸς ἄμυναν· καθὼς καὶ ἐν σαρκὶ φανεὶς πεποίηκε· τῷ γὰρ, *ἐνεβριμήσατο τῷ πνεύματι*, σημειοῦνται οἱ εὐαγγελισταὶ, δηλοῦντες τὸ ἑκούσιον τῆς γνώμης· δάκρυον γὰρ ἐξέχεε, καὶ κάματον ὑπέμενε σωματικὸν, τὰ πάθη οὐκ ἀκουσίως ὑπομένων, ἀλλ' ἐπ' ἐξουσίας τῷ σώματι ἐπιτάττων. Ἐπὶ γὰρ ἡμῶν τῶν ἀνθρώπων δάκρυα μὲν ἐκχεῖται, οὐχ ὅτ' ἂν θέλωμεν, σώματος δὲ ὄντα φυσικὰ πάθη, καὶ ἀκουσίως ταῦτα ὑπομένομεν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' ἐπ' ἐξουσίας πάντα ποιῶν, καὶ κατὰ τῶν ἐχθρῶν τῇ αὐτῇ δυνάμει χρήσεται.

Vers. 17. Confusione dicit eos confundendos pro peccatis merito, et tales futuros, qualia simulacra eorum, uti scriptum est: « Similes illis fiant qui faciunt ea [18]. » Quod si contumeliam ducitis similes fieri idolis vestris, recordemini potius, quanto vosmetipsi deprimitis pro dominis eos et diis habentes.

Τῆς κατ' ἀξίαν τῶν ἁμαρτημάτων αἰσχύνης ἀξίους εἶναι αὐτοὺς φάσκει· καὶ τοιούτους ἔσεσθαι, οἷά περ καὶ τὰ σεβάσματα αὐτῶν, κατὰ τὸ γεγραμμένον· « Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά· » εἰ δὲ ὕβριν ἡγεῖσθε τὸ ἐξομοιοῦσθαι τοῖς σεβάσμασιν ἑαυτῶν, πολὺ πρότερον κατὰ νοῦν λάβετε, ὡς ἑαυτοὺς ἀτιμάζετε, δεσπότας αὐτοὺς καὶ θεοὺς ἐπιγραφόμενοι.

Vers. 18. Sensus cum habeatis, recogitate quæ

Τοίνυν τὰ αἰσθητήρια κεκτημένοι, τὸν σκοπὸν τοῦ

[16] Joan. xi, 33. [17] ibid. 35; Luc. xix, 41; Joan. iv, 6. [18] Psal. cxiii, 8.

Digitized by Google

καλοῦντος ὑμᾶς ἐννοήσατε· ὡς εἰς οὐράνιον πολιτείαν κέκλησθε, καὶ εἰς ἀγγέλους τελεῖν παρεσκευάσθε· οὐδὲν ἕτερον παρ' ὑμῶν ἀπαιτῶν, ἢ τὴν ἐξ εὐνοίας αἴνεσιν· ἥνπερ παραλιπόντες, ἐκδεδώκατε ἑαυτοὺς τῷ πονηρῷ, καὶ γεγόνατε ἐκείνου αἰχμάλωτοι, παγιδεύοντες αὐτοὺς ἐν συνειδήσει, καὶ εἰδωλοποιοῦντες ἐν τοῖς οἴκοις ὑμῶν· ἀπὸ γὰρ κακῶν ἐννοιῶν εἰς ἔργον προκεχώρηκεν ὑμῖν τὰ ἐπιτηδεύματα· διόπερ, αἰχμαλωσίᾳ τῇ τε κατὰ σῶμα καὶ ψυχῇ ὑποβληθέντες, οὐχ ἕξετε τὸν ἀντιλαμβανόμενον ὑμῶν· τῶν γὰρ πολεμίων ἐπελθόντων, οἱ νομισθέντες παρ' ὑμῖν εἶναι θεοὶ οὐ μὴ ἐξέλωνται ὑμᾶς, οὐδὲ τὰ παρὰ τῶν πολεμίων διαρπαγέντα ἀποκαταστήσουσιν ὑμῖν.

Τῆς ἐξ Αἰγύπτου ἐλευθερίας ὑπομιμνήσκει· δεικνὺς, ὡς, Ὅλα ἔθνη τιμωρησάμενος, ὑμῶν ἀντικατηλλαξάμην, ἐκείνους μὲν κακώσας καὶ ἀπωλείᾳ παραδοὺς, ὑμῖν δὲ βοήθειαν νείμας.

Πάλιν ἐνταῦθα ὑπομιμνήσκει, ὅτι οὐχ ὡς οἰκείοις πόνοις δόξαν ἑαυτοῖς περιεποιήσαντο, οὐδὲ ἰδίᾳ δυνάμει τῶν ἐθνῶν περιεγένοντο, ἀλλὰ τοῦ Θεοῦ ἀπανταχοῦ καὶ τούτων ἐρημούντων ἐνεργοῦντος κατὰ τῶν ἐναντίων· ἐλομένου γάρ μου συντελεῖν σε εἰς λαὸν ἐμὸν, ἀπρονόητος οὐ μεμένηκας.

Ὅτι ἡ ἔρημος νοτίδων θείων τυγχάνουσα ψυχὴ μετὰ τὴν παρουσίαν τοῦ Σωτῆρος πλημμυρεῖ θείων διδαγμάτων, ὃς τὴν καθ' ἕκαστον ἄνδρα καὶ κοινῇ τὴν Ἐκκλησίαν ἴσα ποταμοῖς ἐπαρδεύετο τοῖς θείοις διδάγμασιν· ὁμοίως δὲ νοήσεις καὶ τὰ ἑξῆς, ἁρμόζων ἕκαστον τῶν λεχθέντων εἰς τὴν ἐν ψυχαῖς θεωρίαν.

Τὴν ἄνωθεν καὶ ἐκ παλαιῶν χρόνων γενομένην αὐτῶν πρόνοιαν παρὰ τοῦ Θεοῦ ὑποδείκνυσιν· οὐ γὰρ νῦν ἠρξάμην προνοεῖν ὑμῶν· οὐδὲ ἡνίκα τὴν ἀπ' Αἰγύπτου ἔξοδον ἐποιεῖσθε, θυσίας ὑμᾶς ἀπῄτησα· οὐδὲ μετὰ καμάτων τοὺς ἐναντίους χειροῦσθαι συνεχώρησα· ἀλλὰ καὶ ταῦτα προσφέρειν μετὰ ταῦτα ἐνέδωκα, ἀποστῆσαι βουλόμενος εἰδώλων, καὶ ὑμῖν προφάσεις δωρημάτων παρασχέσθαι· οὐ γὰρ ἐν χρείᾳ τούτων καθέστηκα.

Ὑπομιμνήσκει, ὡς καὶ κοινῇ τοῦ γένους καὶ ἰδίᾳ ἑκάστου ποιητὴς καθέστηκεν· ἀλλὰ καὶ διὰ κοιλίας μέμνηται διήκουσαν πρόνοιαν, ζωοπλαστοῦντος αὐτοῦ πάντας ἡμᾶς ἐν τῇ νηδύϊ τῆς μητρὸς, καὶ τὸ εἶναι ἡμῖν διδόντος.

Ἐνταῦθα τὸ « οὐκ ἦσαν (9) οἱ πλάττοντες, » οὐ παρὰ τὸ μὴ εἶναι τοὺς ταῦτα ἐργαζομένους, ἀλλὰ παρὰ τὸ μὴ δύνασθαι βοηθεῖν τοῖς θεραπεύουσιν αὐτὰ, ὡς μὴ ὄντες· καὶ γὰρ καὶ ἡνίκα ἡ χώρα τοῖς Ἰσραηλίταις ἐκληροδοτεῖτο, πολλῶν ὄντων σεβασμάτων, οὕτως ἀνῃροῦντο καὶ ἐξεωθοῦντο τῶν τόπων τὰ ἔθνη, ὡς τὴν μὲν ἐκείνων ἀδυναμίαν καὶ οὐθένειαν δείκνυσθαι, φανεροῦσθαι δὲ τὴν τοῦ Θεοῦ δεσποτείαν.

Ἄβυσσον εἰρήκασι τὴν Ἐρυθρὰν θάλασσαν, ἐρημωθεῖσαν παοιόντων τῶν Ἰσραηλιτῶν· ποταμοὺς δὲ

A sit mens vocantis. Ad cœlestem civitatem vocati estis, et in angelorum consortium destinati; nihil a vobis deposcit Deus, præter grati animi laudes. Quas autem denegantes, malo vos ipsos dedistis, illius captivi facti estis, conscientiam obdurescentes, et idola in domibus vestris constituentes; actu enim perfecistis, quæ prius mente studueratis. Quapropter et corpore et animo in captivitatem redacti, non habebitis qui vos liberet. Nam hostibus vos invadentibus, non protegent vos illi, qui dii esse reputantur, nec rapta ab hostibus vobis restituent.

Cap. XLIII, Vers. 3. Liberationem ex Ægypto commemorat. Gentes cunctas pœnis afficiendo com-
B mutationem vestram feci, inquit, illos quidem calamitatibus et exitio affligens, vos autem auxilio meo fovens.

Vers. 4. Iterum hic declarat, ipsos non laboribus suis gloriam adeptos esse, nec sua virtute fugavisse hostes, sed Deum ubique, et per se adversarios quosque repulisse. Ego enim te eligerem ut te populum meum facerem, imprudens vero non perseverasti.

Vers. 19. Deserta facta hominis anima, et divinis cogitationibus vacua, post Salvatoris adventum divinis doctrinis replebitur, qui singulos homines et universam Ecclesiam quasi fluminibus cœlestibus doctrinis irrigavit; similiter et cætera
C interpretaberis, verba singula ad animarum naturam referens.

Vers. 22. A principio et ab antiquis temporibus se peculiari eos providentia fovisse, declarat Deus· Non nunc primum vestri curam gessi, nec decedentibus vobis ex Ægypto, victimas a vobis exegi, nec hostes vobis cum laboribus vincendos tradidi. Sed postea victimas ideo excepi, ut ab idolis abstineatis, et beneficia largiendi occasiones mihi præbeatis: istis enim non indigeo.

Cap. XLIV, Vers. 2. Memorat Deus se totius gentis, et singulorum hominum creatorem exstare; et quemque nostrum vel in utero matris jam providentia coluisse, cum omnes nos in ventre plasma-
D verit, et vita donaverit.

Vers. 9. Hic verba ista: « Non erant qui formabant, » non declarant eos reapse non exstitisse, qui idola sculpebant, sed eos idola colentibus prodesse non potuisse, quasi non fuissent. Nam terram Israelitis usurpantibus, non defuerunt sane idola, possessione tamen sua gentes spoliatæ sunt et expulsæ: quibus simul et idolorum imbecillitas demonstratur et impotentia, Dei vero apparet imperium.

Vers. 27. Abyssus mare Ærythræum designat, transeuntibus Israelitis desolatum; flumina vero

(9) Communius legunt: Οὐκ ἦχουσαν· sed Alex. Ald. C. ἦσαν.

Digitized by Google

refacta Jordanem iisdem transeuntibus jussu Dei dehiscentem.

CAP. XLV, VERS. 9. Per ea quæ fieri non possunt informat eos ad sapientiam, suadens ut æquo animo excipiant quæcunque fuerunt a Deo ad salvandas gentes destinata: quo enim modo lutum figulum non redarguet, nec impedient nati quominus et alios generet pater ardens pueros, et impii esset hominis parturientem matrem reprehendere: ita nec vos, inquit, hanc legem Deo statuatis, ut in vos tantum gratiam suam effundat.

VERS. 11. Committite mihi causam vestram, et a salute non aberretis. Non mihi opus erit exhortationibus et commendationibus vestris, ut cura et providentia creaturas meas foveam, quæ pro filiis et filiabus habuerim. Nec feci cœlum et terram ut usui mihi essent, ut cœlum pro throno, et terram pro scabello haberem, ut illis involverer quæ voluntate mea ipsa continentur; sed in vestram utilitatem cuncta disposui. Præsertim vero stellarum cursus et stationes dirigit voluntas mea: nec angelis licet, dum hæc ita reguntur, otio se dedere, sed laudes mihi tribuerunt ab ipsis debitas; cunctis igitur a me ordinatis, nec terrenæ me effugiunt. Sic apparebit Cyrus rex et pietate in me insignis et recta professus. Non latebit scientiam meam tempore suo natus, non arbitrio suo, sed nutu meo vitam disponet, reditum vobis ex captivitate concedet, et Jerusalem denuo ædificabit, non pretio a vobis dato, sed jubente voluntate mea.

ξηρανθέντας τὸν Ἰορδάνην εἰρήκασιν, ἀναχαιτίσαντα ἐπὶ τῇ αὐτῶν παρόδῳ προστάξει Θεοῦ.

Ἀπὸ τῶν μὴ ἐνδεχομένων γίνεσθαι σωφρονίζει αὐτοὺς, παιδεύων εἶχειν τοῖς παρὰ τοῦ Θεοῦ ἐπὶ σωτηρίᾳ τῶν ἐθνῶν μέλλουσι χαρισθήσεσθαι· ὅνπερ γὰρ τρόπον οὔτε πηλὸς ἐπιδιατάξεται τῷ πλάστῃ, οὔτε τέκνα κωλύσει πατέρα σπεύδοντα καὶ ἑτέρων τέκνων γενέσθαι πατέρα, καὶ μητέρα κυοφοροῦσαν αἰτιᾶσθαι, οὕτως ἀσεβοῦς ὄντος· οὐδ' ὑμεῖς, φησὶ, τῷ Θεῷ ἐπιδιατάξεσθε εἰς ὑμᾶς μόνους περιστῆναι τὰ τῆς αὐτοῦ χάριτος.

Ἐμοὶ ἐπιγράψατε τὴν ὑμετέραν φροντίδα, καὶ οὐ μὴ διαμάρτητε σωτηρίας· οὔτε γὰρ τῆς ὑμῶν δεηθήσομαι ὑπομνήσεως ἢ παρακλήσεως, ὥστε ἐμὰ ποιήματα ἃ ἐν υἱοῖς καὶ θυγατράσι κατειλεγμένα τυγχάνει, ἐπιμελείας καὶ φροντίδος ἀξιωθῆναι· οὐδὲ γὰρ οὐρανὸν καὶ γῆν κατασκευάζων ὡς ἐμοὶ χρείαν συντελέσοντα ἐποίουν, ἵνα ᾖ μοι θρόνος ὁ οὐρανὸς, γῆ δὲ ὑποπόδιον, καὶ ἐν τούτοις περιέχωμαι, ὁπότε τῷ ἐμῷ θελήματι ταῦτα συνέχεται, ἀλλ' εἰς ὑμετέραν χρείαν ὑφιστῶν· οὐ μὴν ἀλλὰ καὶ ἀστέρων δρόμους καὶ στάσεις τὸ ἐμὸν βούλημα ἰθύνει· καὶ γὰρ γινομένων αὐτῶν, ἄγγελοι ἡσυχάζειν οὐκ ἠνέσχοντο, ἀλλὰ τὸν ἐπ' αὐτοῖς αἶνον ὀφειλόμενόν μοι ἀποδεδώκασι. Πάντων τοίνυν ὑπ' ἐμοῦ κυβερνωμένων, οὐδὲ τὰ ἐπὶ τῆς γῆς ἐκπέφευγον· ἀλλὰ καὶ Κῦρος ὁ βασιλεὺς εὐσεβῶν τὰ πρὸς ἐμὲ καὶ εὖ πράσσων ἔγνωσται· καὶ οὔποτε λήσεται τὴν ἐμὴν γνῶσιν κατὰ χρόνους ἰδίους γεννώμενος, καὶ οὐκ οἰκεία προαιρέσει εὖ βιώσων, ἀλλὰ τῷ ἐμῷ νεύματι, καὶ τὴν κάθοδον ὑμῖν τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἀποδώσει, καὶ τὴν Ἱερουσαλὴμ οἰκοδομήσει, οὐ χρήματα παρ' ὑμῶν κομιζόμενος, ἀλλὰ τῷ ἐμῷ νεύματι εἴκων.

VERS. 14. Rursus ad confundendos eos memoriam rerum revocat in Ægypto gestarum et miraculorum a Deo contra Ægyptios pro liberando populo editorum. Illi quidem laboraverunt obstupefacti; vos vero a peccatis non recessistis, sed vanis vestris negotiationibus defatigamini. *Et paulo post:* Negligentibus autem vobis Deum et curam Dei abnuentibus, apparebit Filius unigenitus, qui voluntatem meam perficiet, et omnibus Israel erit; maxime vero Judas erit ille, in quo vota faciant, per quem beneficia mea sortiantur, et salutem consequantur. Qua enim ratione complebitur illud: « Ex Ægypto vocavi Filium meum [19]. » Judæi enim nomen Filii fastidiverunt, et multitudine beneficiorum meorum converti noluerunt; unigenitus vero Filius præstantem illam vocem sibi optime vindicavit; nam cum post defunctum Herodem ex Ægypto rediret, rectissime intellectum est de ipso illud effatum: « Ex Ægypto vocavi Filium meum. »

Πάλιν τῶν ἐν Αἰγύπτῳ ἐπονειδεῖ [-ίζει] τὴν μνήμην, καὶ τῶν ἐκεῖ θαυματουργηθέντων ὑπὸ τοῦ Θεοῦ κατὰ τῶν Αἰγυπτίων ἐπὶ τῇ τοῦ λαοῦ ἐλευθερίᾳ ὑπόμνησις· ὡς ἐκεῖνοι μὲν πληττόμενοι κεκμήκασιν, ὑμεῖς δὲ ἁμαρτάνοντες οὐκ ἐνδεδώκατε· ἀλλὰ καὶ ταῖς ἑαυτῶν ἐμπορίαις ἐματαιοπονεῖτε. *Καὶ μετ' ὀλίγα·* Ὑμῶν δὲ ἀμελούντων, καὶ τὴν παρὰ τοῦ Θεοῦ κηδεμονίαν ἀποστρεφομένων, παρέσται ὁ μονογενὴς Υἱὸς πληρώσων τὸ ἐμὸν θέλημα, καὶ τοῖς πᾶσιν Ἰσραὴλ γινόμενος· οὐ μὴν ἀλλὰ καὶ Ἰούδας, ἐν ᾧπερ προσεύξονται· δι' οὗ καὶ τῶν ἐμῶν ἀπολαύσουσιν ἀγαθῶν, καὶ σωτηρίας τεύξονται· καὶ γὰρ τὸ, « Ἀπ' Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου, » τοῦτον τὸν τρόπον ἐπληροῦτο· Ἰουδαίων μὲν τὸ Υἱοῦ ὄνομα ἀθετησάντων, καὶ μηδὲ τῷ πλήθει τῶν παρασχεθέντων αὐτοῖς ἐκδυσωπηθέντων· τοῦ δὲ μονογενοῦς Υἱοῦ οἰκειωσαμένου κυρίως ῥωννυμένην φωνήν· ὅτε γὰρ ἀπ' Αἰγύπτου μετὰ τὸν Ἡρῴδου θάνατον ἐπανῄει, ἠρμόζετο κυρίως ἐπὶ αὐτοῦ τὸ λεχθέν· « Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. »

VERS. 16. Referuntur hæc in Cyrum regem; qui enim voluerint ei resistere, nihil aliud proficient, sed confundentur; intendunt etiam Israel, cujus in manus omnes tradentur. — Insulas hic vocat ipsas insularum regiones. Insula dicitur et ipsa

Λαμβάνεται μὲν τὸ ῥητὸν καὶ εἰς Κῦρον τὸν βασιλέα, ὅτι οἱ τούτῳ βουλόμενοι ἀντιστατεῖν, οὐδὲν ἕτερον ὀνήσουσιν, ἢ αἰσχύνην ἀπενέγκονται· νοεῖται δὲ καὶ εἰς τὸν Ἰσραὴλ, ὡς πάντας ὑποχειρίους ἕξουσι. — Νήσους ἐνταῦθα καλεῖ καὶ αὐτοὺς τοὺς

[19] Osee. XI, 1; Matth. II, 15

Digitized by Google

τόπους τῶν νήσων· νῆσος δὲ καὶ ἡ Ἱερουσαλὴμ λέγεται, συνεχομένη μὲν πανταχόθεν ὑπὸ τῶν περικυκλούντων αὐτὴν ἐθνῶν, περικλυζομένη δὲ καὶ ὑπὸ τῶν τοῦ λαοῦ ἁμαρτιῶν ὧν ἡμάρτανον, εἰς τὰ ἔθη τῶν ἐθνῶν ἐκπίπτοντες, καὶ εἰς εἰδωλολατρείαν ὀλισθαίνοντες. Ἀναχαινίζεσθαι τοίνυν προτρέπεται· μάλιστα μὲν πρωτοτύπως αὐτὴν τὴν Ἱερουσαλήμ, οὐ μὴν ἀλλὰ καὶ πάντα τόπον τῶν ἐθνῶν καὶ ἀναλαμβάνειν ἑαυτοὺς εἰς θεογνωσίαν, καὶ πραγματεύεσθαι ἑαυτοῖς σωτηρίαν αἰώνιον, προστρέχοντας τῇ τοῦ Θεοῦ χάριτι.

A Jerusalem, utpote quæ gentibus undique circumfluentibus circumdatur; circumluetur etiam populi peccatis quibus a Deo defecerunt, ad mores gentium delapsi, et ad ipsum idolorum cultum. Ut innoventur ideo monet eos; præsertim vero Jerusalem et quamlibet gentium regionem hortatur, ut excipiant veram de Deo doctrinam, et Deo gratias exhibentes, salutem sibi operentur.

Πρὸς τὴν οὕτω μεγάλην ἐπαγγελίαν, καὶ τὴν ἐγειρομένην τοῖς ἀκούουσιν ἀμφισβήτησιν, ἀπὸ ἀξιοπίστων τῶν τοῦ Θεοῦ ἔργων νουθετεῖν ἔοικεν ὁ λόγος· Οὗτος γὰρ, φησὶν, ὁ ταῦτ' ἐπαγγελλόμενος Θεός ἐστιν, ὁ καὶ οὐρανὸν ποιήσας, καὶ γῆν δείξας ἔργον γενομένην τῆς ἑαυτοῦ προλαβούσης ἐννοίας· καὶ ταύτην χωρίσας ἀπὸ τῶν ὑδάτων συναχθέντων εἰς συναγωγάς. Ὁ τοίνυν τῶν φύσεων τούτων ποιητὴς οὔποτε παύσεται φιλανθρωπευόμενος· οὐδὲ γὰρ ἀνθρώπους εἰς τὸ εἶναι παρήγαγεν, ἵν' ἔχῃ οὓς τιμωρήσηται, καὶ ἔρημον τούτων τὴν γῆν ἀποφήνῃ, ἀλλ' ἵνα οἰκοῦντας εὐεργετῇ, καὶ μετανοοῦντας σώζῃ, καὶ ἐπιγινώσκοντας αὐτὸν διδάξῃ.

B

Vers. 18. Ad confirmandam tantarum rerum prædicationem, et tollendas audientium dubitationes, præstantissima Dei opera commemorat propheta. Qui ista denuntiat idem est, inquit, ac ille qui cœlum fecit, et terram extrinsecus ostendit mente prius divina excogitatam, et eam ab aquis distinxit in congregationes suas coactis. Rerum autem istarum conditor, usque perseverabit homines studio suo persecuturus; non enim vita eos donavit ut haberet quos puniret, aut terram præberet ab istis vacuam, sed ut posset terrarum insulas fovere, et pœnitentiam agentes servare, et agnoscentes eum docere.

Οἱ τοίνυν ἐκ τῶν ἐθνῶν Θεὸν ἐπεγνωκότες καὶ σωτηρίας ἄξιοι ἀναδειχθέντες, συστρέψαντες ἑαυτοὺς, καὶ κατὰ νοῦν συσκοπησάμενοι, τὸ ἄτοπον συνίδετε, ὅτι οἱ ἐπ' ὤμων φέροντες τὰ ἑαυτῶν σεβάσματα, καὶ βοήθειαν τούτοις νέμοντες, οὐ μετ' οὐ πολὺ πλεῖν μέλλοντες, καὶ μακρὰν ὁδὸν στελλόμενοι, παρ' ἐκείνων ἐπάνοδον ἐπιζητοῦσι, καὶ σωτηρίαν αὐτοῖς χορηγεῖσθαι ἠλπίκασι· δέον τὸ ἄτοπον συνιδεῖν, ὅτι ὁ ἔμψυχος καὶ ἑαυτῷ ἐπαμύνειν δυνάμενος, παρὰ τοῦ ἀβοήθου καὶ ἀναισθήτου οὐδὲν τῶν καλῶν ἀπώνασθαι δύναται (10).

C

Vers. 20. Igitur ex gentibus qui Deum novistis, et salute digni declarati estis, conversi et animo vobiscum reputantes absurditatem illam perpendite: quod ii qui simulacra ab se culta humeris gestant ipsisque opem ferunt, haud diu post navigaturi, et longum iter emensuri; ab iis salutem sibi et reditum concessum iri sperent; cum oporteret rei absurditatem intelligere, quando quidem qui animatus est et opem sibi ferre valet, ab eo qui nihil juvare potest et sensu caret nihil boni percipere valet.

Τὸ ἀκοινώνητον τῆς τοῦ Θεοῦ φύσεως καὶ ἀσύγκριτον κἂν τούτῳ σημαίνεται· μηδενὸς ἄλλου οὕτω τὸ εἶναι κεκτημένου, μόνου δὲ ὄντος ἀγενήτου, καὶ τὸ δίκαιον ἑκάστῳ νέμοντος. — Ἰησοῦς δέ ἐστι σωτηρία Θεοῦ, κατ' αὐτὸ τὸ ὄνομα· καὶ ὁ Σωτὴρ Θεὸς ἐν αὐτῷ, καὶ αὐτὸς ἐν Θεῷ· οὐ δὴ τὸν ἑαυτῷ Θεὸς ἀφορίζει ἑαυτοῦ καὶ τοῦ εἶναι, ἀλλὰ τὸν ἔξω καὶ ἐν ἑτέρᾳ δυνάμει δικαιοσύνης καὶ σωτηρίας· οὐ γάρ ἐστιν οὐδὲν τοιοῦτον ἀλλότριον τοῦ μονογενοῦς Θεοῦ, τῆς μόνης πηγῆς τῶν ἀγαθῶν· ἓν γὰρ τὸ ἀγαθὸν καὶ τὸ ἐξ αὐτοῦ ταὐτὸ, ὡς εἰκὼν ἀληθινή τε καὶ φυσική.

D

Vers. 21. Dei naturam cum alia contendi et comparari non posse declaratur hic, cum non alius eodem modo τὸ esse possideat, cum unus ingenitus sit, et suum cuique largiatur. Jesus autem est salus Dei, quod nomen ipsum testatur; et Salvator Deus in ipso, et ipse in Deo, quem enim in se non a se et ab esse excludit, sed alienum et in alio justitiæ et salutis ordine constitutum; non est enim justus et Salvator præter unigenitum Deum, unum boni cujusque fontem; unum est enim bonum, et quod ex eo itidem, ut vera et naturalis imago.

Ὁ σωτηρίας χορηγὸς καὶ ζωῆς αἴτιος σώζεσθαι πάντας προτρέπεται, καὶ ἐν βεβαίῳ δεδέχθαι τὰ τῆς εἰς αὐτοὺς γενομένης ἐπαγγελίας. Ἐπειδὴ γὰρ ἡ κλῆσις καὶ Ἰουδαίοις σωτηρίαν ἐμνηστεύετο, καὶ ἔθνη τῆς αὐτῆς δωρεᾶς ἠξίου καὶ πάντας ἁπανταχόθεν τῇ τοῦ Θεοῦ προστρέχοντας δωρεᾷ σώζεσθαι εὐηγγελίζετο· εἰ γὰρ ὁ Ἰσραὴλ μετὰ τὸ τοσαῦτα ἁμαρτῆσαι χάριτος ἐδεήθη, πολλῷ μᾶλλον μέγα ὂν τὸ λεγόμενον ἠπιστεῖτο, ὡς μόνον ἕως ῥημάτων τοῦτο δεχθησόμενον, οὐχὶ δὲ καὶ εἰς ἔργον προχωρῆσαν. Πᾶσαν τοίνυν ἀμφισβήτησιν τοῖς καλουμένοις ἐπὶ

Vers. 22. Salutis princeps et vitæ auctor ut omnes salvi fiant hortatur, et sermonem ejus ad ipsos delatum studio suscipiant. Vocatione enim salutem Judæis despondebat, et gentes eodem munere dignas declarabat, et omnes denuntiabat salvandos, utpote qui ex omnibus terrarum partibus Dei gratia excitarentur. Quod autem Judæis post tot ac tanta peccata venia opus erat, eo magis tantis promissis diffidebant, quasi verbis tantum profitenda essent, re vero nunquam perficienda. Qua de causa, ut dubitationes quasque gentium ad

(10) Fragmentum hoc Heracleotæ editum legitur etiam apud Montfauconium in *Græca palæographia* pag. 317.

Digitized by Google

salutem vocatarum tolleret Deus, juramentum adhibuit, et eo quidem utitur cum hominibus disceptans, quo quam firmissimam sibi apud homines fidem faceret.

VERS. 25. Quicunque in hac vita de peccatis suis pœnitentiam non agent, et, ingrato animo decepti, Christum confiteri noluerint (confundentur).

VERS. 26. Justificabuntur vero et glorificabuntur per omnem vitam suam qui Christum agnoscere, justitiam operari et verum semen Israel effici studuerint.

CAP. XLVI, VERS. 1. Hic memorat Deus omnia certo perfici, quæcunque ab eo fuerunt decreta; de idolis vero non idem valere, sed ea omnium coram oculis prostranda esse. Agnoscat quisque vestrum verba mea non vanam esse jactationem, sed certam rerum mox eventurarum prædictionem a Deo factam; nam cum nuntiaret Deus Abraham semen ex eo egressurum, et terram occupaturum, dicente isto : « Secundum quid sciam? » ratus patriarcham, auditis calamitatibus ad sapientiam instruendum esse, prædixit generis servitutem, et post quadraginta et quinquaginta annos liberationem [10] : quæ omnia eventu confirmata sunt, licet non fuerit qui prædictorum exsecutionem urgeret.

VERS. 2. Vestra omnia in captivitatem tradita, onus erunt elephantium et jumentorum quibus abducenda imponentur. Imo fatigabuntur et viri sculptilia portantes. Eo quoque istorum imbecillitatem confitebuntur, cum ea portantes fatigantur, et deos ferentes deficiunt, a quibus potius recreandi erant, si qui dii fuissent.

VERS. 3. Deducit eos ad intelligenda ipsius verba, commendatis patriarcha et gloria ejus; cujus genus esse gloriantur, imitentur et mores oportet. Cum reliquiæ Israel sitis, relictæ tribus tantum duæ, cæteris decem in captivitatem abductis, non vos deseram, si pœnitentiam egeritis.

VERS. 5. Quis sit ille error indicat orationis contextus. Nam insitam vobis habentes, inquit, imaginem meam, ad facienda idola descendistis, quasi per ea me veneraturi, ut animis vestris impressam speciem jam per effigiem expressam oculis intueri possitis.

VERS. 6. Ut ære dato deum vobis faciant; ego vero mercedem a vobis nullam deposco, gratia contra et misericordia vobis quæque largior, et quæ non erant vita dono.

VERS. 8. Omnimodis rationibus revocat eos ad sapientiam et ad recordationem tum peccatorum quæ ipsi admiserint, tum benefactorum quibus eos Deus continuo exornavit, ut de delictis suis conscii facti, et seipsos, tanquam suis operibus mor-

[10] Gen. xv, 8, 13.

A σωτηρίᾳ λύων, ὅρκον ἐπάγει, καὶ τούτῳ συγκέχρηται, ὡς ἀνθρώποις διαλεγόμενος, ᾧ μάλιστα τὸ συμπέρασμα πάσης ἀμφισβητήσεως αἴτιον ἐπιλύεται τοῖς ἀνθρώποις.

Οἱ μὴ ἐν τῷ βίῳ τουτῳ μετανοήσαντες μεν ἐφ' οἷς ἥμαρτον, ἀγνωμονοῦντες δὲ, καὶ πρὸς τὴν τοῦ Χριστοῦ ὁμολογίαν.

Δόξης δὲ καὶ εὐθυμοσύνης πληρωθήσονται ἅπαντα τὸν ἑαυτῶν βίον· ἐπεγνωκότες μὲν τὸν Χριστὸν, δικαιοσύνης δὲ ἐργάται καταστάντες, καὶ ἀληθινὸν σπέρμα τοῦ Ἰσραὴλ χρηματίσαντες.

Ἐνταῦθα ὑπομιμνήσκει αὐτοὺς ὁ Θεὸς, ὡς τὰ μὲν αὐτοῦ πάντα ἀδιαλείπτως τελούμενα μένει· τὰ δὲ τῶν εἰδώλων οὐχ οὕτως, ἀλλὰ πεπτωκότα ὀφθήB σεται. Καὶ ἐμοὶ ἕκαστος συσκοπείτω, ὡς οὐ κόμπος τὰ ῥήματα, ἀλλὰ προαγορεύσεις γιγνόμεναι παρὰ Θεοῦ ἀκολουθούντων πραγμάτων· καὶ γὰρ τοῦ Θεοῦ ἐπαγγελλομένου τῷ Ἀβραὰμ ζήσειν αὐτοῦ τὸ σπέρμα, καὶ κληρονομήσειν τὴν γῆν, κἀκείνου ἐπειπόντος, «Κατὰ τί γνώσομαι,» ὅτι ταῦτα ἔστι; ἐγνωκότος τῇ ἀκοῇ τῶν λυπηρῶν σωφρονίσθαι τὸν προπάτορα. προεῖπε καὶ τὴν τοῦ γένους δουλείαν καὶ τὴν μετὰ τετρακόσια πεντήκοντα ἔτη ἐσομένην ἐλευθερίαν αὐτῶν· ἅπερ πάντα, μηδενὸς ὄντος τοῦ ἐκ τῆς προρρήσεως ἀπαιτοῦντος τὴν ἔκβασιν τῶν πραγμάτων, ἐπληροῦτο.

Ἅπαν ὑμῶν αἰχμαλωσίᾳ παραδεδομένον ἔσται φορτία ἐλεφάντων καὶ ὑποζυγίων, ἐν τῷ ἀπάγεσθα C αὐτοῖς ἐπιτιθέμενα· οὐ μὴν ἀλλὰ καὶ αὐτοὶ οἱ ἄνδρες οἱ ταῦτα κομίζοντες κοπωθήσονται· κἂν τούτῳ τὴν ἀσθένειαν τούτων ὁμολογοῦντες, ὅτι ταῦτα βαστάζοντες κοποῦνται, καὶ Θεὸν φέροντες ἀσθενοῦσιν, ὅπου γε ἔδει ἐπικουφίζεσθαι τῶν πόνων, εἴ γε θεοί τινες ὑπῆρχον.

Ἐπανάγει αὐτοὺς πρὸς συναίσθησιν τῶν λεχθέντων, τοῦ προπάτορος μνημονεύων καὶ τῆς ἐκείνου δόξης· καὶ ὅτι, ἐκείνου αὐχοῦντες εἶναι γένος, τὸν ἐκείνου ζηλοῦν τρόπον ὀφείλουσιν. Εἰ γὰρ λεῖμμα τοῦ Ἰσραὴλ τυγχάνετε, δύο περιλειφθεῖσαι φυλαὶ, τῶν ἄλλων δέκα εἰς αἰχμαλωσίαν ἀπαχθεισῶν, οὐ μὴ περιόψομαι ὑμᾶς μετανοήσαντας.

Τὴν πεπλανημένην αὐτῶν δόξαν τῇ διατριβῇ τοῦ λόγου ἐπιδείκνυσιν· Ὡς ἔχοντες γὰρ, φησὶν, ἐμὴν ὑποβεβλημένην ὑμῖν εἰκόνα, ἐπὶ τὸ ποιεῖν εἴδωλα D ἤλθετε, ὡς διὰ τούτων θεραπεύσοντες· ἵνα τὴν ἐν διανοίαις ἐγγενομένην ὑμῖν φαντασίαν ἐν ὁρωμένοις ἔχητε τιμᾷν.

Ἵνα Θεὸν ὑμῖν ἀναπλάσῃ ἐπὶ μισθοῖς γενόμενον· ἐμοῦ μὴ μισθοὺς ἀπαιτοῦντος, χάριτι δὲ πάντα παρέχοντος καὶ ἀγαθότητι, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάντα δωρουμένου.

Ἀπανταχόθεν συγκροτεῖ αὐτοὺς εἰς νῆψιν καὶ εἰς κατανόησιν ὧν τε αὐτοὶ μετῆσαν, καὶ ὧν Θεὸς ἀπαύστως αὐτοὺς εὐεργετεῖ· ἵνα, ἐν συναισθήσει γινόμενοι ἐπὶ τοῖς πεπλημμελημένοις αὐτοῖς, καὶ ὡς ἐπὶ νεκρῷ τοῖς ἰδίοις ἔργοις κατάγοντες δάκρυα, οὐ

Digitized by Google

τιμωρίας ἀπολαύσωσι, στενάξαντες δὲ μόνον, ἴασιν δέξωνται, οὐδὲν ἐπαιτοῦντος τοῦ Θεοῦ ἢ συναίσθησιν μόνον.

A tuos, lugentes, non pœnas dent, sed piis gemitibus sanentur. Nam nil aliud repetet a vobis Deus nisi animi conversionem.

Τί γὰρ ἐμοῦ καλοῦντος οὐ πάρεστι, πάντων τῷ ἐμῷ νεύματι ἡνιοχουμένων; καὶ γὰρ καὶ πτηνὰ ἀπ' ἐσχάτου τῆς γῆς καλούμενα πάρεστι· καὶ Κῦρον δὲ τὸν βασιλέα ἡ ἐμὴ ἐξουσία ἄγει, τῷ ἐμῷ νεύματι εἴκοντα· οὐ μὴν ἀλλὰ καὶ πάντα ἄνθρωπον τὰ ἐμὰ φρονοῦντα, ἐμὲ ἕξει καὶ εὐθύνοντα αὐτῷ τὰς ὁδούς· εἰ δὲ καὶ ἀνθρώπων μηδεὶς εὑρεθείη τὸ ἐμὸν θέλημα μετιών, τὸ τηνικαῦτα τὸν ἐμὸν Υἱὸν ἀποστελῶ, τουτέστι τὸν Χριστὸν, πᾶσαν τὴν πατρικὴν πληροῦντα ἔννοιαν, καὶ ἐν τῇ ἰδίᾳ αὐτοῦ αὐτουργίᾳ δεικνύντα ἐμὰς ἐννοίας.

Vers. 11. Quid enim non aderit, vocante me, cum omnia nutui meo inserviant? Quod si avem ab extremis terris vocavero, aderit. Cyrus quoque rex imperio meo regitur, paret jussis meis. Imo omnis homo qui mea sentit, me habebit viarum ducem. Quando vero jam non homo reperietur qui faciat voluntatem meam, tunc Filium meum mittam, hoc est Christum qui mentem patriam per omnia perficiat, et operibus suis, quid ipse desiderem declarabit.

Αἰτιᾶται αὐτοὺς, οὐχ ὡς τὸ μόριον τοῦ σώματος ἀποβεβληκόσι τὴν καρδίαν, ἀλλ' ὡς τὸ κριτικὸν αἰσθητήριον ἑκοντὶ ἐπικρυψαμένους· ὃ καὶ αἴτιον ὑμῖν γέγονε ἀπωκίσθαι. Ὅθεν ἐπάξω τὴν δίκην μετ' ἀληθείας, σωτηρίαν ὑμῖν μνηστευομένην· καὶ γὰρ πᾶσα κόλασις κατὰ τὸν τοῦ κολάζοντος σκοπὸν ὄνησιν φέρει τοῖς κολαζομένοις, δίκην ἰατροῦ προσάγοντος βοήθημα κάμνοντι· κἂν πικρὸν ᾖ τὸ διδόμενον παρὰ τοῦ ἰατροῦ, ἀλλ' ὅμως ὑγείας αἴτιον ἔσται τῷ δεχομένῳ αὐτό· τούτῳ γὰρ τῷ σκοπῷ καὶ ἡ νομικὴ αὐτοῖς πόλις ἀφωρίζετο, καὶ τὰ παρὰ τοῦ Θεοῦ νόμιμα δόξαν παρεῖχεν αὐτοῖς τηροῦσιν αὐτά.

B

Vers. 12. Arguit eos non quod cor perdiderint corporeum, sed quod sponte animi lumen exstinxerint; nam propterea a me defecistis. Ideo justas a vobis pœnas repetam, saluti vobis futuras; nam omni pœna Deus utilitati nostræ consulit, medici ad exemplar morbum curantis. Licet amara sint quæ a medico præbentur, ægros tamen in sanitatem restituunt : eadem ratione regebatur legalis eorum civitas, et instituta Dei gloriam præstabant observantibus ea.

Πάλιν πρὸς τοὺς Χαλδαίους μετάγει τὸν λόγον, καὶ τὴν καταληψομένην αὐτοὺς δίκην προαγορεύει.

Cap. XLVII, Vers. 1. Rursus ad Chaldæos verba facit, et imminentem ipsis vindictam præ-nuntiat.

Πρὸς τὸν Ἰσραὴλ ποιεῖται τοὺς λόγους· ὅτι Τοσοῦτον ἀφέξεις τοῦ τὸν Ἀσσύριον φοβηθήσεσθαι ἐμοὶ πειθόμενος, ὡς μήτε τούτοις μήτε ἄλλοις τισὶ παραδοῦναι ὑμᾶς.

C

Vers. 3. Israel alloquitur : Quod si mihi confideris, jam non erit cur Assyrios reformides, nam ego te ultra nec illis, nec aliis tradam.

Ἀπανταχοῦ τὰ τῆς ἑαυτοῦ χρηστότητος ἐνδεικνύμενος ὁ Θεὸς, μὴ σεσιωπηκέναι φάσκει, μηδὲ ἐπὶ τοῖς τούτων κακοῖς ἀδιηφορηκέναι, ἀλλ' ἀεὶ ἁμαρτάνοντας ἐλέγχων, καὶ τὰ ὀφειλόμενα ταῖς αὐτῶν ἁμαρτίαις ἐπιτίμια προλέγων, οὐχ ἵνα τιμωρήσηται (ἦ γὰρ ἂν καὶ σιωπῶν ἐπῆγε τὴν ὀργὴν), ἀλλ' ἵνα φοβήσας καὶ σωφρονίσας τῇ ἀπειλῇ, ἕξει μετανοοῦντας καὶ πειθομένους αὐτῷ. — Πάλιν προπατόρων μνήμη καὶ ὀνόματος προκοπῆς κατὰ ψυχὴν, ὅπερ σημαίνει ὁ Ἰσραὴλ· ἵν' οἱ αὐχοῦντες γένος, καὶ τρόπον ἑαυτοῖς οἰκειώσωσι, καὶ εὔνοιαν τὴν ἐκείνων μιμησάμενοι, ἐθίσωσιν ἑαυτοὺς εἰς τὸ ἀκούειν τοῦ Θεοῦ.

Cap. XLVIII, Vers. 1. Omnimoda bonitatis suæ documenta præbens Deus, se nunquam tacuisse profitetur, nec delicta eorum æquo animo tulisse, sed usque peccantes arguisse, et debitas peccatis eorum denuntiasse pœnas, non ut eos puniret (alioquin tacitus eos ira oppressisset), sed ut minis eos deterrens et ad saniora revocans, populum haberet corde contritum et fidelem. Rursus patriarchas commendat et virtutem spiritualem, quam designat nomen Israel, ut genus jactantes Patrum, mores quoque imitentur eorum, et eodem studio flagrantes, Dei in servitio ipsi quoque assuescant.

D

Τοιοῦτος ἐτύγχανες καὶ ἄνωθεν, ἀπολείψας μὲν τοὺς ἐν τῇ φύσει σοι καταβληθέντας νόμους, ἐν πλαξὶ δὲ λιθίναις ἀναγκάσας γράψαι ταῦτα, ὡς καὶ Μωϋσῆς ὑμῖν ὠνείδιζε, καὶ τὸ ἀναιδὲς ὑμῶν ἀπέσκωψεν.

Vers. 3. Talem te præbuisti vel a principio; derelictis legibus, quæ natura vobis fuerant insitæ, leges a me extorsistis lapideis tabulis inscriptas; quod jam Moyses vobis exprobravit, et contumeliæ vertit.

Πάλιν τὴν προσποίητον αὐτῶν ἐλέγχων ὁμολογιαν, ἐπαναλαμβάνει τὰ παρ' ἐκείνων λεγόμενα λέγων· « Μὴ εἴπῃς· Ναὶ, γινώσκω αὐτά· » κἂν γὰρ ὡς εἰδότες προσποιεῖσθε, ἀλλὰ γοῦν ἐπ' αὐτῶν τῶν πράξεων φωραθήσεσθε, μήτε ἐπιστάμενοι, ἀκολούθως τῷ γεγραμμένῳ ἐν τῷ Εὐαγγελίῳ, τὸ, « Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασι-

Vers. 7. Rursus fictam eorum fidem reprehendens, dicta eorum refert : *Ne dicas*, inquit : *Etiam novi ea.* Licet ea novisse contendatis, ipsa opera vestra vos ea ignoravisse confirmabunt, sicuti scriptum est in Evangelio : *Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum* [21]; ore quidem et lingua me confitemini, non

[21] Matth. VII, 21.

Digitized by Google

autem hæc affectu et animi studio sentitis. A λείαν τῶν οὐρανῶν· » κατὰ προφορὰν μὲν τῷ λόγῳ ὁμολογοῦντων, μὴ μὴν διαθέσει καὶ ἀγάπῃ ψυχῆς ταῦτα φρονούντων.

Vers. 10. Noli dicere te propter argentum et ære dato a me fuisse venditum; nam potius tu temetipse vendidisti, non propter pecuniam quidem, sed propter admissa tua peccata. Nec imbecillitatis me incuses prodigiorum memor, quæ fuerunt in Ægypto edita, et servitutis vestræ apud Ægyptios. Nunc tamen eruam te ex captivitate propter nomen meum, ne tradito te peccatorum causa, et omni spe destituto, idola gloriam meam usurpent, impotentiæ me arguentia, quasi vobis libertatem largiri non possem.

Παραδεδόσθαι δὲ οὐ φήσεις ὡς ἐμοὶ ἐκτιννύων χρέος, οὐδ' ὡς ἀργύριον μοῦ κομιζομένου· ἐπιγράψεις δὲ ἑαυτῷ σαυτὸν πεπρακὼς, ἀντὶ ἀργυρίου τὰς σαυτοῦ ἁμαρτίας προέμενος· οὐ γὰρ ἐμῆς ἀσθενείας καταδραμεῖς τῶν ἐν Αἰγύπτῳ μνημονεύσας καὶ τῆς Αἰγυπτιακῆς δουλείας μνησθείς· ἀλλὰ καὶ νῦν δι' ἐμαυτὸν τὴν ἐπάνοδόν σοι τὴν ἐκ τῆς αἰχμαλωσίας χαριοῦμαι, ἵνα μὴ, παραδεδομένου σου διὰ τὰς ἁμαρτίας, σφετερίσωνται τὴν ἐμὴν δόξαν τὰ εἴδωλα, ἀδυναμίας μου καταδραμόντα, ὡς μὴ δυνηθέντα ὑμῖν ἐλευθερίαν χαρίσασθαι.

Vers. 12. Quæ quidem ad populum dicuntur; sed ad hominem quemlibet recte ea retuleris. B Hortatur igitur Deus audientes, ut dicta intelligant, et condignos exinde excipiant fructus. Idem enim sum moribus qui natura; ut immutari naturæ meæ non est, ita nec mentis nec morum; sed idem remaneo et immotus in sempiternum bonitate mea insignitus, qua et a principio cuncta edens, per Filium ea in lucem protuli, et per ipsum conservo. Manus enim et dextera dicitur unigenitus Filius, patriæ mentis minister; unde vere sapientia Dei exstat unigenitus Filius et patriam mentem operibus suis declarat.

Τὰ μὲν λεγόμενα πρὸς τὸν λαὸν, μετάγεται δὲ καὶ εἰς πάντα ἄνθρωπον. Ὁ τοίνυν Θεὸς παραινεῖ εἰς συναίσθησιν τῶν λεγομένων ἔρχεσθαι τοὺς ἀκούοντας, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν καρποῦσθαι· Ὁ αὐτὸς γάρ εἰμι τὸ ἦθος, ὥσπερ οὖν καὶ τὴν φύσιν· καὶ ὡς οὐκ ἔνεστιν ἐν τῇ φύσει τὴν τροπὴν δέξασθαι, οὕτως οὐδὲ ἐν τῇ γνώμῃ τε καὶ τῷ ἤθει, ἀλλ' ὁ αὐτὸς εἰς ἀεὶ ὢν, ἀπὸ ἀγαθότητος γνωρίζομαι, ἀφ' ἧς καὶ τὴν ἀρχὴν τὰ πάντα ἐτεκτηνάμην, ἐν Υἱῷ ταῦτα δείξας, καὶ δι' αὐτοῦ ὑποστησάμενος. Χεὶρ γὰρ καὶ δεξιὰ ὁ μονογενὴς Υἱὸς λέλεκται, πληρωτὴς ὢν τῶν πατρικῶν ἐννοιῶν, ὡς εἶναι κυρίως σοφίαν τοῦ Θεοῦ τὸν μονογενῆ Υἱὸν, σαφηνίζουσαν τὰς πατρικὰς ἐννοίας ἐν τοῖς ὑπ' αὐτοῦ γινομένοις ἔργοις.

Vers. 14. Rursus homines superbos jubet, congregatis gentibus accedere, et recordari se ab alio non accepisse istas prædictiones, nec alium prænuntiavisse quæ longum post temporis intervallum evenient, nisi ipsum totius universi Deum, qui imminentes illis calamitates denuntiat, et ad saniora conversos denuo solatur.

Πάλιν τοὺς μέγα φρονοῦντας ἐν γνώσει τῶν ἐθνῶν παρεῖναι προτρέπεται, καὶ κατὰ νοῦν ἐκλαμβάνειν, C ὡς οὐ παρ' ἑτέρου ταύτας τὰς προαγορεύσεις ἐξειλήφεσαν, οὐδέ τις τὰ μετὰ πολλοὺς χρόνους γενησόμενα προὔλεγεν, ἀλλ' αὐτὸς ἦν ὁ τῶν ὅλων Θεὸς καὶ προλέγων τὰ καταληψόμενα αὐτοὺς δυσχερῆ, καὶ πάλιν μετατιθεμένων ἀνακαλούμενος.

Vers. 15. Memorat hic Deus Israelitas votorum suorum factos esse compotes. Quippe qui a Chaldæis totics oppressi et prælio fusi quam ardentissime cladem eorum fieri desiderabant. Cui desiderio respondens benigne Deus, declarat se non justa agentes defendisse, sed propter genus amatos servavisse contra Chaldæorum incursus.

Ὑπομιμνήσκει αὐτοὺς ἐνταῦθα τῆς οἰκείας αὐτῶν ἐπιθυμίας εἰς ἔργον προχωρησάσης. Τῶν γὰρ Χαλδαίων θλιβόντων ἀεὶ τὸν Ἰσραὴλ καὶ ἐπιτιθεμένων αὐτοῖς ἐν παρατάξεσιν, ἐπιθυμία ἦν τοῦ Ἰσραὴλ τούτους παρὰ τοῦ Θεοῦ διαφθαρῆναι· ὁ τοίνυν Θεὸς, ἀπὸ ἀγαθότητος καὶ τοῦτο εἰς ἔργον ἐκβῆναι συγχωρήσας, ὑπομιμνήσκει αὐτοὺς, ὡς οὐ δικαιοπραγούντων αὐτῶν ἀντελάβετο, ἀλλ' ἀγάπῃ τῇ περὶ τὸ γένος, τοὺς Χαλδαίους τοῦ πολεμεῖν ἐκώλυσεν.

Vers. 16. Hic describit prophetæ sermo Domini affectus. Quæ enim ad populum non in angulis dicta sunt aut in abscondito, sed coram omnibus et palam prolata fuerunt. Nam certam habens ipse horum notitiam ad vos locutus sum et nunc non cesso idem faciens pro vestra salute; Dominus enim misit me, et afflat Spiritus sanctus.

Ἐνταῦθα τοῦ προφήτου οἱ λόγοι Δεσποτικὸν ἔθος μιμούμενοι· λελέχθαι γὰρ ταῦτα λέγει πρὸς τὸν λαὸν οὐ κατὰ γωνίας οὐδὲ ἐν παραβύστῳ, ἀλλὰ πρὸς πάντας καὶ ἐν τῷ φανερῷ. Καὶ γὰρ αὐτὸς ἐγὼ, ἀλήρητον ἔχων τὴν τούτων γνῶσιν, ἐποιούμην τοὺς πρὸς ὑμᾶς λόγους· τὸ δ' αὐτὸ καὶ νῦν ποιῶν οὐ παύομαι πρὸς ὑμετέραν ὠφέλειαν· Θεὸς γάρ ἐστιν ὁ πέμπων, ὑπηχοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου.

Vers. 17. Ingratos illorum animos rursus increpans servitutis depulsionem memorat. Age, inquit, Conditorem tuum non agnovisti, dirigenti et plasmanti te non mente inservisti, num et eruentem te ex Ægypto fastidies? Ego vero qui istud effeci, idem adhuc sum: nullam prætermisi occasionem tibi ea commendandi quæ saluti esse potuerint,

Πάλιν ἐντρέπων αὐτοὺς διὰ τὴν προσοῦσαν αὐτοῖς ἀγνωμοσύνην, λυτρώσεως μέμνηται. Ἔστω γὰρ, φησὶν, ὦ Ἰσραὴλ, ποιοῦντα οὐκ ἐγίνωσκες, δημιουργοῦντι καὶ πλάττοντί σε οὐ παρηκολούθεις τῇ γνώσει, μηδὲ λυτρουμένου σου ἐξ Αἰγύπτου οὐκ ἠσθάνου; Ὁ τοίνυν τὸ τέλειον εὐεργετήσας εἰμὶ ὁ αὐτός· μηδένα καιρὸν παραλελοιπὼς νουθεσίας τῶν συντελούντων

Digitized by Google

σοι πρὸς σωτηρίαν, ἀλλ' αὐτεξούσιόν σε πεποιηκὼς ὑφηγησάμην, καὶ τὰ πρακτέα καὶ τὰ συμφέροντά σοι ὑπέδειξα· καὶ ταύτην ὁδεύσαντά σε τὴν τρίβον, ἐκκλίνας ἀπὸ τῆς ἐναντίας προξενούσης σοι θάνατον.

Καὶ τόπον καὶ τρόπον ἀμείβειν αὐτοὺς συμβουλεύει, τοῦτο μὲν μετανισταμένους ἐκ τῆς Βαβυλῶνος καὶ καταλαμβάνοντας τὴν Ἱερουσαλὴμ, τοῦτο δὲ μηδὲν ἐπάγεσθαι αὐτοὺς τοιοῦτο ἔθος Χαλδαϊκὸν συμβουλεύων, προσανέχοντας εἰδωλολατρείᾳ καὶ οἰωνισμοῖς καὶ ταῖς ἄλλαις Χαλδαϊκαῖς πλάναις. *Καὶ μετ' ὀλίγα·* Ὁ δὴ ἁρμόσει καὶ ἐπὶ πάντων τῶν ἐθνῶν τῶν ἁπανταχοῦ γῆς ὄντων, καὶ τὰ ἄκρα τῆς γῆς κατειληφότων, εὐαγγελιζομένου αὐτοῖς τοῦ σωτηρίου λόγου καὶ τῆς ψυχικῆς ἐλευθερίας τὴν λύτρωσιν ἣν ἐλυτρώσατο αὐτοὺς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐν αἰχμαλωσίᾳ πράττοντας, καὶ ὑπὸ τὴν τυραννίδα τοῦ διαβόλου ὄντας.

Λέγει δὲ, ὅτι, Εἰ καὶ οὗτοι οὐδεμίαν ὠφέλειαν ἐδέξαντο, ἀλλ' οὖν ἐγὼ τὸ οἰκεῖον ἔργον πεπλήρωκα· καὶ τοῦτο δῆλόν ἐστι τῷ Θεῷ.

Πρὸς τὸ παρὰ τῆς Ἱερουσαλὴμ κακῶς γυμνασθὲν κατὰ τοῦ Θεοῦ ὡς ἐπιλαθομένου τῆς Ἱερουσαλὴμ καὶ τοῦτο ἁρμόζει, διδασκομένης, ὡς οὐ λήθῃ δουλεύει τὸ Θεῖον, οὐδὲ ῥᾳθυμίᾳ προσανέχον ἀπρονόητα καταλιμπάνει τὰ ἑαυτοῦ ποιήματα· εἰ γὰρ παύσεται Θεὸς διανοούμενος περὶ ἡμῶν, καὶ ἀποπέσοιμεν τῆς αὐτοῦ μνήμης, παύσεται ἡμῶν καὶ τὸ εἶναι· τῆς γὰρ ἐννοίας τῆς ἐφ' ἡμῖν παυσαμένης, ἀφ' ἧς καὶ προσεληλύθαμεν, ἀκολουθεῖ συνανελεῖσθαι ἡμῶν καὶ τὸ εἶναι.

Ἀπανταχοῦ ἀναίτιον ἑαυτὸν τῆς τούτων ἀποστασίας δείκνυσιν ὁ Θεὸς, ἑλκόντων μὲν καὶ ἀποσπώντων ἑαυτοὺς καὶ ἀναξίων δεικνύντων τῆς αὐτοῦ κηδεμονίας· ἐκ δὲ τοῦ ἐναντίου τὸν Θεὸν ἀγαθὰ ἐπ' ἀγαθοῖς, καὶ δωρεὰς ἐπὶ δωρεαῖς προστιθέντος.

Ἐμοῦ μὲν δι' ἐλέγχων τε καὶ ἐπιτιμήσεων, οὐ μὴν ἀλλὰ καὶ παρακλήσεων ἐπανάγοντος πρὸς ἑαυτὸν, ὑμῶν μηδὲ ὡς ἀκοῆς ἐπιστρεφομένων· οὐ παρὰ τὸ μὴ κεκτῆσθαι ἀκοὰς, ἀλλὰ παρὰ τὸ ἐθελοκωφίαν νοσεῖν.

Ἀλλ' ἀδυναμίας μου καταγνωσεσθε, φησὶν, ὡς μὴ ἐπαρκοῦντος εἰς τὴν ὑμῶν βοήθειαν, μηδὲ δυναμένου ἐξελέσθαι ὑμᾶς τῆς τῶν ἐπικρατησάντων τυραννίδος· ἀλλ' οὐκ ἂν εἴποιτε τοῦτο, πεῖραν αὐτοὶ τῆς ἐμῆς δυνάμεως ἐσχηκότες· τοῦτο μὲν ξηραίνοντος θάλασσαν καὶ ὑμῖν βατὴν αὐτὴν παρασκευάζοντος γενέσθαι, καὶ τὰ παραπλήσια τούτου.

Ταῦτα δὲ καὶ ἔσται, ἐάν περ βούλωμαι· καὶ σκότος ἐκεῖνο τὸ ἀφεγγὲς ἐπιβαλῶ οὐρανῷ, τὴν τῶν ὅλων μηνύων συντέλειαν, ἐν ᾗ καὶ τὸ πᾶν ἀφανισθήσεται, καὶ οἱ βίοι εὐθυνθήσονται, καὶ τὸ πρὸς ἀξίαν ἕκαστος ἀπολημφθήσεται.

Σῆτα ἐνταῦθα τὰς ἁμαρτίας λέγει τὰς παρ' αὐτῶν γινομένας· αἵτινες, παρ' αὐτῶν ἐσχηκυῖαι τὸ εἶναι, οὐχ ἑτέρους ἀδικήσουσιν, ἀλλ' αὐτοὺς ἐκείνους τοὺς ταῦτα ἐργασαμένους· ὥσπερ γὰρ τὸ ἱμάτιον αὐτὸ τὸν σκώληκα γεννᾷ, καὶ πάλιν τροφὴ αὐτοῦ γίνεται, οὕ-

A sed liberum te constitui, me duce, me usque declarante quid tibi agendum, quid tibi profecturum; et dum hac in via ambularis, ab altera recessisti qua mortem consequuntur.

Vers. 20. Ut locum simul et mores immutent consulit; alios quidem dum relicta Babylone, Jerusalem repetant; alios vero, dum devitatis Chaldæorum moribus, ab idolis abstineant, et ab auguriis et cæteris hujusce generis moribus. *Paulo post:* Quæ etiam apte ad omnes gentes referentur ubique terrarum degentes, vel extremas terras occupantes, cum ipsis verbum salutis prædicatur, et spiritualis libertas, liberatio scilicet qua nos liberavit unigenitus Dei Filius in captivitate et sub potestate diaboli oppressos.

B

§ Cap. XLIX, Vers. 4. Etiamsi nihil utilitatis ex verbis meis perceperitis, inquit propheta, opus meum peregero; labor meus coram Deo innotescet.

Vers. 15. Jerusalem immerito Deum arguente, quasi fuisset ejus oblitus, aptissime respondet, divinum numen non esse oblivioni obnoxium, nec segnitie victum creaturas suas providentia sua destituere. Quod si enim nobis Dei providentia deseri accideret, et de memoria ejus excidere, continuo evanesceret vita nostra. Nam recedente illa mente qua in lucem editi sumus, et nobis pereundum esset.

C

Cap. L, Vers. 1. Declarat Deus se nulla ratione defectionem illorum fovisse, cum ipsi se tradiderint, et perdiderint, et cura ejus indignos præstiterint, Deo bona super bona adjiciente, et dona super dona.

Vers. 2. Ego vero reprehensionibus et pœnis, præsertim vero exhortationibus ad me revocabam, vos vero non audistis; non quod defuerint vobis aures, sed quod sponte eas obstruxistis.

Imbecillitatis me arguitis, inquit, quasi vos juvare, aut ab hostium tyrannide liberare non valerem; nolite ita loqui, toties meam potestatem experti. Nonne mare desertum feci et inter fluctus vobis iter paravi, et innumera alia edidi miracula?

D

Vers. 3. Quæ faciam si libuerit. Obscuris cœlum induam tenebris, hoc est rerum omnium modos definiam, et tunc omnia evanescent, et vita cujusque pensabitur, et quisque accipiet pro meritis.

Vers. 9. Tineam vocat hic peccata ab ipsis admissa. Quippe quæ ab iis parta non alios lædent, nisi ipsos parentes suos. Ut vestimentum tineam gignit et ab eo deinde corrodetur, ita et peccata nobis officiunt, ex nobis orta. Quæ autem patiun-

Digitized by Google

tur, qui se indociles in Deum et ingratos præbent.

Cap. LI, Vers. 2. Mitiore nunc sermone eos increpat, et velut procul a justitia remotos, alloquitur, et a Domino abalienatos, ut eos ad fidem deducat. *Et paulo post :* Qui igitur genus vestrum ista docui qui ex parvo tantum effeci, et tantis vos exornavi donis, qua ratione nunc non clementer excipiam pœnitentiam agentes et me agnoscentes?

Vers. 3. Non dicuntur hæc exaggerandi gratia. Qui enim non lætitia et exsultatione omnimoda replerentur animi illi, qui intima pace fruuntur, spe cœlestium florent, et cum Deo conjunguntur?

Vers. 4. Opem nunc omnibus affert, principibus æque ac populo. Non enim anteponit eos qui imperio præsunt, nec denegat auxilium inter gregarios militantibus, sed omnes animas eadem pensans trutina, communia facit obedientiæ præmia. Omnes ideo æque hortatur ut auribus attendant.

Vers. 5. Illuminabit cunctas gentes, omnes populos Dei notitia illustrabit, ut in eum sperent qui est brachium meum. Insulas hic vocat ipsos locos, præsertim vero Ecclesias; nec immerito ea ad animos retuleris voluptatibus velut sale circumlutos, et vanis in hac vita opinionibus agitatos.

Vers. 6. Fide digna documenta præbet, quibus de potestate divina diffidentes convincat, cœlum et terram. *Et paulo post :* Adhibita nunc præstanti animorum vi, pennata mente, ad cœlum evoletis et discatis quam firmiter sit constitutum, licet sicut fumus esse videatur. Et terram quam solidam existimatis perditione perdam, et omnia veterascent : permanebit autem salutare meum verbum in sempiternum, et ii tantum quibus cum eo permanere et in sæcula ire libuerit.

Vers. 7. Timete potius opprobrium et contemptum Dei. Quæ enim ex hominibus sunt, istis quotidie pereuntibus, ipsa simul peribunt; sola manet spes in Christum, perdurans cum eis qui salutare sunt consecuti.

Vers. 9. Jerusalem ut recipiat suadet quæcunque negligentia perdiderit; est enim tibi fortitudo, qua indutus valida videri poteris; recordare te non aliam esse ab illa Jerusalem, cujus ad nutum dehiscentes inter fluctus iter mare permisit, ut ex Ægypto liberati transitum haberent; cui inservierunt elementa; quæ vel in deserto rerum omnium copia abundavit. Noli igitur vires tuas prodere, nec animi virtuti torporem inducere, sed exsurge ad cœlestes spes, et, recepta fiducia, bonis te operibus exornes.

A τως καὶ αἱ ἁμαρτίαι, παρ' ἡμῶν γενόμεναι, ἡμᾶς βλάπτουσιν· ἀλλὰ ταῦτα πάσχομεν δι' ἀνηκοΐαν καὶ ἀνευλάβειαν τὴν πρὸς τὸν Θεόν.

Ἠθικώτερον νῦν τὴν ἐπιτίμησιν πρὸς αὐτοὺς ποιεῖται, καὶ ὡς μακρὰν τοῦ δικαίου ἀφεστηκόσι καὶ τοῦ Κυρίου ἀλλοτριωθεῖσιν, ὑφηγεῖται τοὺς λόγους, ἐνάγων αὐτοὺς πρὸς πίστιν. *Καὶ μετ' ὀλίγα* · Ὁ τοίνυν τῷ γένει τῷ ὑμετέρῳ ταῦτα ἐνδειξάμενος, καὶ ἐκ μικρᾶς προφάσεως αὐξήσας, καὶ εὐλογίαν πλήρώσας, πῶς οὐχὶ νῦν εὔπορος ἔσομαι τῷ μετανοοῦντι καὶ ἐπιγινώσκοντί με;

Οὐχ ὑπερβολικῶς ταῦτα [εἴρηται]· πῶς γὰρ οὐκ εὐφροσύνης καὶ πάσης χαρᾶς πληρωθήσονται ἐκεῖναι αἱ ψυχαί, αἱ μὴ στασιάζουσαι πρὸς ἑαυτὰς, ἀλλ' αἱ ἐν ταῖς ἐλπίσι τοῦ Θεοῦ εὐθηνούμεναι καὶ αὐτῷ ἀνακείμεναι

B Καὶ νῦν τοῖς πᾶσι τὴν ἐπικουρίαν κομίζει, μὴ φυλοκρινῶν ἄρχοντας τῶν ἀρχομένων· οὐδὲ γὰρ προκρίνει τῶν ἐν ὑπηκόοις τεταγμένων, οὐδὲ ἀποκλεισθήσεται τῆς ὠφελείας ὁ ἐν ὑπηρέταις τελῶν, κοινὰς δὲ κεκτημένος τῶν ψυχῶν τὰς δυνάμεις, κοινὸν δὲ τὸν ἔρανον τῆς ὑπακοῆς νομίζει· ἐξ ἴσου παρακαλῶν πάντας προσέχειν τὸν νοῦν.

Φωτιεῖ μὲν πάντα τὰ ἔθνη, καταυγάσει δὲ εἰς θεογνωσίαν πάντας λαοὺς, ὡς εἰς αὐτὸν κεκτῆσθαι τὰς ἐλπίδας ὄντα βραχίονά μου. Νήσους δὲ ἐνταῦθα καλεῖ καὶ αὐτοὺς τοὺς τόπους, οὐ μὴν ἀλλὰ καὶ τὰς Ἐκκλησίας· ἐκλάβοις δὲ καὶ εἰς τὰς ψυχὰς, δίκην ἁλμυροῦ ῥεύματος περικλυζομένας ὑπὸ τῶν ἡδονῶν

C καὶ τῶν ἐν τῷ βίῳ τούτῳ ψευδῶν δοξῶν κυμαινούσας.

Ἀξιόπιστα δυσωπήματα προβάλλεται εἰς πίστωσιν τῆς αὐτοῦ δυνάμεως τοῖς ἀπιστοῦσιν, οὐρανὸν καὶ γῆν. *Καὶ μετ' ὀλίγα* · Νῦν γοῦν ποτε ταῖς οἰκείαις τῶν ψυχῶν ἐνεργείαις χρησάμενοι, πτερώθητε τὴν διάνοιαν, καὶ οὐρανῷ προσεγγίσαντες, αὐτὸν ἐκεῖνον καταμανθάνετε, ὡς ἐκ καπνοῦ ὅσον ἦκεν εἰς ὄψιν, ἀκμητὶ συνεστησάμην· καὶ γῆν ταύτην τὴν πάγιον ὑμῖν εἶναι δοκοῦσαν φθορᾷ παραδώσω, καὶ τὰ ἐν κόσμῳ παρελθεῖν ποιήσω· μόνῳ ἑκάστῳ ἀϊδίου διαμένοντος τοῦ σωτηρίου θεσπίσματος· ᾧ καὶ συμπαραμένειν καὶ συνδιαιωνίζειν ἔοικεν.

Φοβήθητε δὲ μᾶλλον φαυλισμὸν καὶ ὀνειδισμὸν παρὰ Θεοῦ ὑμῖν γινόμενον· ὁ γὰρ παρὰ ἀνθρώπων γινόμενος ἐκείνοις συναπολεῖται, αὐτῶν ὑφ' ἑαυτῶν

D φθειρομένων· μόνη δὲ μένει ἡ εἰς τὸν Χριστὸν ἐλπὶς, συνδιαιωνίζουσα τοῖς τὸ σωτήριον τοῦτο παραδεξαμένοις.

Ἀναλαμβάνειν τὴν Ἱερουσαλὴμ παρακελεύεται, ἃ ἀμελείᾳ προΐδωκε· πρόσεστι γάρ σοι ἰσχὺς, καθ' ἣν δυνήσῃ, σεαυτὴν συναγαγοῦσα, ἰσχυρά τις ὀφθῆναι· τοῦτο λογισαμένη, ὅτι οὐκ ἄλλη τις παρ' ἐκείνην τυγχάνεις τὴν Ἱερουσαλὴμ, ᾗ ὑπεῖξε θάλασσα ὁδὸν σοι ἀνατέμνουσα, ἵν' οἱ ἀπ' Αἰγύπτου ἐλευθερωθέντες διαβαίνειν ἔχωσιν· ᾗ ἐδορυφόρει τὰ στοιχεῖα, καὶ ἣν διεδέχετο ἡ ἐν ἐρήμῳ ἀνενδεὴς χορηγία. Μὴ τοίνυν τὰς ἑαυτῆς δυνάμεις προδῷς, μηδὲ κοιμίσῃς τὰς ψυχικὰς ἐνεργείας· ἀλλ' ἐξανάστηθι πρὸς οὐρανίους ἐλπίδας· καὶ ἀναλαβοῦσα τὸ θαρρεῖν, ἀγαθαῖς πράξεσιν ἑαυτὴν κατακόσμησον.

Digitized by Google

Εἰ γὰρ καὶ πατὴρ καὶ μήτηρ ὑπηρέται τῆς γενέσεως γεγόνασιν, ὡς φιλίας σοι καὶ συγγενείας προφάσεις παρέχοντες, ἀλλ' ὅμως οὐκ ἀτονίᾳ τῆς δυνάμεως τοῦτο συνεχώρησα· οὔτε γὰρ τὴν ἀρχὴν πλάττων τὸν Ἀδὰμ τούτων ἐδεήθην, ἀλλὰ θελήσει ὑπεστησάμην καὶ δυνάμει τῇ ἐμῇ.

Καὶ τῶν προγεγονότων εἰς μνήμην αὐτοὺς ἄγει, καὶ εἰς τὸ αὖθις θαῤῥεῖν αὐτοὺς προτρέπεται· Οὔτε γὰρ, φησὶν, οἱ ἀπειλοῦντες, καὶ κατὰ σοῦ μαιμάσσοντες, ἠδυνήθησαν ἀντιστῆναί σοι, ἐμοῦ ἐπαμύνοντος· οὐδέτεροι ἰσχύσουσιν, ἐμοῦ ῥᾳδίως τούτους εἰς φυγὴν τρέποντος.

Διδασκόμεθα δὲ ἐκ τούτου, ὡς καὶ οἱ τάραχοι, καὶ αἱ ἐπαναστάσεις τῶν ἐθνῶν, καὶ τὰ δυσχερῆ τῶν πραγμάτων, καὶ οἱ πειρασμοὶ, κατὰ συγχώρησιν τοῦ Θεοῦ γίνονται· ὧν ἐνεργούντων, χρὴ τὸν νήφοντα ἐπὶ τὴν τοῦ Θεοῦ καταφεύγειν βοήθειαν, καὶ παρ' ἐκείνου αἰτεῖσθαι τὴν τούτων ἀπαλλαγήν.

Πάλιν διὰ τῆς παρακλήσεως τὴν ἑκούσιον αὐτῆς πτῶσιν σημαίνει· οὐκ ἂν γὰρ οὐδὲ διαναστῆναι αὐτὴν προετρέπετο ὑπ' ἄλλου κατεχομένην, ἀλλὰ τῷ κατέχοντι ἐπετίμα· ἀλλ' ἐπειδὴ ἑκούσιον πτῶσιν ὑπομεμένηκει, διαναστῆναι αὐτὴν παρακελεύεται.

Ὥσπερ τινὰ χοῦν ὃν συνέλεξο ἀπὸ τοῦ πτώματος, ἔκτεινον καὶ ἀπόῤῥιψον· καὶ τοὺς δεσμοὺς, οἷς σεαυτὴν κατεδέσμευσας, λῦσον ἀποσπάσασα ἑαυτὴν τοῦ ζυγοῦ τῆς ἀδικίας, ᾧ ἑκοῦσα τὸν σαυτῆς τράχηλον ὑπέβαλες· καὶ ἀξίαν ἑαυτὴν ἀπέφηνας αἰχμαλωσίας, ἀφ' ἧς ῥυσθήσῃ μετανοοῦσα· οὐδὲ γὰρ τὴν ἀρχὴν παρεδόθης ὑπ' ἐμοῦ ὡς ἀργύριον εἰληφότος, ἀλλὰ ταῖς οἰκείαις ἑαυτῆς ἁμαρτίαις ἐπράθης· ἅπερ συγχωρήσω σοι μετανοούσῃ, καὶ ἀνακαλέσομαι τῆς αἰχμαλωσίας.

Τὸ δὲ εἰς Ἀσσυρίους ἄκοντας ἀπαχθῆναι ἐμὴν ἔχει συγχώρησιν, αἰτίαν δὲ ὑμετέραν· οὐκ ἂν γὰρ οὐδὲ τούτοις παρέδωκα, μὴ τῶν ἁμαρτημάτων ὑμῶν προδεδωκότων ὑμᾶς· ὅτι δὲ ῥᾴδια ἔσται καὶ ἡ ἀπὸ τούτων ἀπαλλαγὴ, γνώσεσθε μετανενοηκότες.

Ἢ γὰρ οὐχὶ καὶ Ῥαψάκης ἀτονώτερόν με τῶν λεγομένων παρ' αὐτοῖς θεῶν εἶναι νενόμικε λέγων· Μὴ ὑμᾶς ἀπατάτω Ἐζεκίας· « Μὴ ὁ Θεὸς ὑμῶν ῥύσεται ὑμᾶς; μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν; » Ταύτης τοίνυν τῆς βλασφημίας ὑμεῖς αἴτιοι γεγένησθε, μοχθηροῖς ἤθεσι κωλύσαντές με εὐεργετῆσαι ὑμᾶς.

Τὴν ἐν τοῖς μετὰ ταῦτα ἐπίσκεψιν τοῦ λαοῦ δηλοῖ διὰ τῶν λεγομένων· ἥτις καὶ παρουσία δικαίως ἂν λέγοιτο· οὐ τῆς οὐσίας αὐτοῦ τόπον ἐκ τόπου μετιούσης, ἀλλὰ τῆς ἐνεργείας καταδήλου γινομένης· τότε γὰρ καὶ παρεῖναι ἡμῖν λέγεται ὁ Θεὸς, ὅτ' ἂν ἑαυτοὺς πρὸς τὸ ὑποδέξασθαι αὐτὸν ἀξίους ἀποφήνωμεν τοῖς καλοῖς ἤθεσιν· ὥσπερ οὖν ἀπεῖναι, μεταβαλλομένων εἰς τὸ ἐναντίον, μὴ εὐδοκιμοῦντος ἐπαναπαύεσθαι ὑμῖν διὰ τὰ μοχθηρὰ ὑμῶν ἤθη.

Ὡς γὰρ κατάδηλον τοῖς πᾶσιν ἡ ὥρα τῆς ἡμέρας, καθ' ἣν ἐκλάμψας ὁ ἥλιος καταλάμψει πάντα τὰ ὄρη·

A Vers. 13. Opera quidem et patris et matris genitus es, ut amicitia tecum et cognatione conjungerentur, non quasi deficienti meæ potestati supplerent. Non enim mihi illis in principio opus fuit, cum plasmabatur Adam, sed voluntate ac virtute mea ipse eum effeci

Vers. 14. Res præteritas in memoriam eorum revocat, et ita fractos animos reficit; nam causam tuam agente me, non valuerunt, inquit, tibi resistere, qui minis te et furore urgebant; neque alii magis proficient, facile eos in fugam vertam.

Vers. 15. Docet hic nos turbamenta, et rebelliones gentium, et rerum angustias, et sollicitationes ad malum, non sine Dei numine fieri; quibus instan-
B tibus, prudenter te ad Dei auxilium recipies, ut liberationem ab eis depreceris.

Cap. LII, Vers. 1. Rursus declarat, dum eos exhortatur, libenter ipsos in calamitates esse delapsos. Quod si enim ab alio quovis opprimerentur, non eos exsurgere juberet, sed argueret opprimentem; nunc vero cum voluntate sua in malis detineantur, ut exsurgant apte suadet.

Vers. 2. Pulverem excute, et abjice, quem cadens collegisti; et quibus temetipse devinxisti, solve vincula, exuto jugo cui collum tuum libenter subjeceras; ita quam tibi promerueras captivitatem per pœnitentiam solves. Non enim olim, ære
C accepto, a me venundati estis, sed propter ipsorum vestra peccata; quæ tamen pœnitentiam agentibus ignoscam, et vos de captivitate revocabo.

Vers. 4. Vos violenter in Assyrios abductos fuisse meo quidem permisso, vestra autem culpa factum est; non enim vos illis tradidissem, nisi vos prius peccata vestra prodidissent; quam facilis autem sit ab istis liberatio, conversis animis, experiemini.

Vers. 5. Nonne me Rhapsaces debiliorem existimavit idolis, quæ apud gentes dii habentur? Ne vos decipiat Ezecias, aiebat: « Nunquid vos Deus vester erueret? Nunquid eruerunt dii gentium, unusquisque suam regionem [a]? » Propter vos ita
D deridetur et « blasphematur nomen meum, » qui pravis moribus beneficia mea a vobis depellitis.

Vers. 6. Quibus verbis indicat Deus se populi curam postea gessurum; quod etiam adesse optime dicitur, non transeunte sane natura ab uno loco in alium locum, sed vim suam manifestius declarante. Nam tunc quoque nobis adesse Deus dicitur, quando bonis moribus nos suscipiendo Deo dignos præbemus; ita et abesse, quando a recta via deflectentibus nobis, propter depravatos mores, acquiescere non dignatur.

Vers. 7. Quemadmodum lux diei omnibus conspicitur, qua sol effulgens montes cunctos illustrat,

[a] IV Reg. XIX, 32, 33.

Digitized by Google

ita splendidus erit et illustris meus ad vos adventus, tanta vos lætitia et exsultatione efferemini. Quo studio auditum pacis et felicitatis accepissetis, eo salutem vobis evangelizantes suscipietis, ita ut, vita vestra sapientius instituta, rex vester vocari digner. Illic miratur quoque spiritus propheticus pedes præconum Evangelium prædicantium, quibus gentes cunctas perlustrati, definitum sibi curriculum confecerunt. Lucidi erant pedes eorum, utpote qui fuerant ab ipso Salvatore loti. Super montes ferri dicuntur, propter præstantiam et sublimitatem evangelicæ doctrinæ. Pacem evangelizabant, pacem scilicet cum Deo prædicantes, ab omnibus tum prope, tum procul de gentibus excipiendam; et Christum Dei commendantes, qui divisa in unum conjunxit, et murum medianum separationis, inimicitias nempe omnes, in carne sua solvit.

Vers. 11. Ut animis suis consulant hortatur eos, affectibus pravis et Chaldaicis immutatis, potius quam locis; ne iisdem moribus immorentur suadet, quibus donec indulserint, immundi videbuntur.

Vers. 15. Reges placido tacitoque ore Deum adorabunt. Cæci quidem remanebunt et indociles, qui legem acceperant, et vaticinia audierant prophetarum, et prophetias cognoverant de Salvatore prolatas; gentes contra, quibus nihil annuntiatum fuit nec revelatum, sola fide Dei scientiam consequentur, et eorum quæ Deus de unigenito Filio suo disposuit.

Cap. LIII, Vers. 1, 2, 3. Quis credat? innuit propheta. Cui revelabitur doctrina de unigenito Dei Filio? Eamdem nos quasi parvulum humilem descripsimus, quasi radicem deficiente humore attenuatam. Tam humilis profecto ei species, ut cum nulla alia conferri possit, ut minime virtutem illam decere videatur, qua tot ac tanta prodigia edita fuerunt.

Vers. 5. Ingravescente in dies hominum nequitia, et nihil intentatum intemeratumque relinquente, pœna nos et vindicta manebat. Quæ vero nobis merita supplicia unigenitum Verbum in terram nostram delapsum, legem omnem et justitiam perficiens, peccato vero nulli obnoxium, sponte subiit; ea voluntate, ut ex ingratis nos gratos Deo redderet et amicos. Ipse quidem pœnas omnes et opprobria pro nobis pertulit; nos autem per fidem cum eo compatimur, per gratiam cum eo commorimur et salvamur.

Vers. 6. Tradidit eum Deus, sponte scilicet oblatum, non vi coactum. Nam Apostolus quoque eadem voce utitur ad libertatem et voluntatem Patris declarandam. « Sic enim Deus dilexit mundum, ut Filium suum unigenitum traderet pro nobis[22]. »

[22] Joan. III, 16.

A οὕτως φανερὰ καὶ ἐπίδοξος ἔσται ἡ παρ' ἐμοῦ εἰς ὑμᾶς ῥοπή· χαρᾶς τε καὶ ἀγαλλιάσεως οὕτω πληρωθήσεσθε· καθάπερ τὴν ἀκοὴν εἰρηνικήν τε καὶ ἡδεῖαν δεχομένοις, οὕτω τε ἐξάκουστος ἔσται ἡ ὑμετέρα λύτρωσις, καὶ ἑαυτοὺς ἐπιδώσετε πρὸς διόρθωσιν, ὡς καὶ ἐμὲ αὐτὸν βασιλέα ὑμῶν ἀξιῶ καλεῖσθαι. — Ἐν τούτοις τὸ πνεῦμα τὸ προφητικὸν, τῶν κηρύκων τοῦ Εὐαγγελίου τοὺς πόδας ἀποθαυμάζει, δι' ὧν πεποίηνται δρόμον ἐκπεριελθόντες τὴν εἰς πάντα τὰ ἔθνη περίοδον· ὡραῖοί τε αὐτῶν ἦσαν οἱ πόδες διὰ τὸ κεκαθάρθαι, ὡς ἂν τοῦ Σωτῆρος αὐτοὺς ἀπονίψαντος· ἐπὶ δὲ ὀρέων ἔτρεχον, διὰ τὸ μετέωρον καὶ ὑψηλὸν τοῦ εὐαγγελικοῦ κηρύγματος· εἰρήνην δὲ κατήγγελλον ἀνθρώποις, εὐαγγελιζόμενοι τὴν πρὸς Θεὸν εἰρήνην, ἣν τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς εὐηγγελίζοντο, δη-
B λοῦντες τὸν Χριστὸν τοῦ Θεοῦ τὸν ποιήσαντα τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντα, τὴν ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ.

Ψυχικὴν αὐτοὺς ἐπιμέλειαν ἑαυτῶν ποιεῖσθαι παρακελεύεται, καὶ πρὸ τῶν τόπων μετανίστασθαι τῶν μοχθηρῶν ἰδεῖν (11) καὶ Χαλδαϊκῶν, καὶ μὴ μολύνεσθαι ἐν ἐκείνοις τοῖς ἤθεσιν, ἐν οἷς ἑαυτοὺς ἐνδεδωκότες, ἀκάθαρτοι ὀφθήσονται.

Οἵ τε βασιλεῖς μεθ' ἡσυχίας καὶ σιωπῆς προσκυνοῦντες, τυφλωττόντων καὶ ἀνηκόων μενόντων τῶν καὶ νόμον δεξαμένων καὶ προφητῶν προαγορεύσεις ἐπακουσάντων, καὶ τὰς περὶ τοῦ Σωτῆρος προφητείας ἐγνωκότων· τῶν δὲ ἐθνῶν τῶν μηδὲν μήτε ἑωρακότων μήτε ἀκηκοότων, μόνον δὲ πίστει προ-
C δεδραμηκότων εἰς τὴν θεογνωσίαν, καὶ εἰς τὴν περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ κατάληψιν.

Ἀντὶ τοῦ, Τίς πιστεύσει καὶ τίνι ἀποκαλυφθήσεται ὁ περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ λόγος; Οἱ γὰρ ἡμέτεροι λόγοι πρὸς τὸν αὐτὸν γινόμενοι ὡσπερεὶ παιδίου εὐτελοῦς εἶχον, καὶ ῥιζης οὕτως ἀτόνου, ὡς ἐν σπάνει νοτίδος ἀποκειμένης· αὐτὸ δὲ τὸ εἶδος αὐτοῦ οὕτως εὐτελὲς, ὡς πολὺ ὑποδεδηκέναι τὰς τῶν λοιπῶν ὄψεις, οὐ μὴν ἀλλὰ καὶ τὴν ἐνέργειαν τῆς δυνάμεως, δι' ἧς τὰ σημεῖα ἐτελεῖτο

Ἀκμασάσης τῆς τῶν ἀνθρώπων κακίας, καὶ πᾶν εἶδος παρανομημάτων ἐργασαμένης, τιμωρία καὶ κόλασις ἐπήρτητο· ἥντινα δίκην χρεωστουμένην ἡμῖν, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἐλθὼν εἰς τὸν καθ' ἡμᾶς κόσμον, καὶ πάντα νόμον, καὶ πᾶσαν δι-
D κσιοσύνην πληρώσας, ἁμαρτίᾳ τε μὴ ὑποπεσὼν, ἑκοντὶ δέχεται· ἵν' ἡμῖν μεταβάλῃ τὴν κόλασιν εἰς εἰρήνην τε καὶ εὐμένειαν· αὐτοῦ μὲν τῇ πείρᾳ ὑπελθόντος τὰς ὕβρεις καὶ τὰς κολάσεις, ἡμῶν δὲ πίστει οἰκειουμένων τὰ πάθη, καὶ συναποθνησκόντων χάριτι καὶ σωζομένων.

Παραδεδόσθαι δὲ αὐτὸν ἀκούων, μὴ ἀνάγκην καθυπόπτευε, τὸ δὲ ἑκούσιον νόει. Καὶ γὰρ ὁ Ἀπόστολος τῷ ὀνόματι τούτῳ κέχρηται, αὐθεντίαν καὶ βούλησιν Πατρὸς μηνύων· « Οὕτω γὰρ ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν μονογενῆ Υἱὸν αὐτοῦ παραδοῦ-

(11) Forte ἰδεῶν vel ἰδίων.

Digitized by Google

καὶ ὑπὲρ ἡμῶν. » Ἐκοντὶ τοίνυν ὑπομείνας τὰ πάθη, σωτῆν φέρει, νόμον ἡμῖν ὑπομονῆς ἑαυτὸν παρεχόμενος.

Τὸ ἑκούσιον τοῦ Σωτῆρος ἐν τῇ πείρᾳ τῶν οἰκονομουμένων σημαίνεται· ὡς γὰρ πρόβατον ἀγόμενον εἰς θυσίαν, ἢ ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν, ἀνάγκῃ τε δαμαζόμενα οὐδὲ βληχᾶσθαι τὸ ἐνδόσιμον ἔχει· οὕτως αὐτὸς ἑκὼν ἐν τῷ πάσχειν ἀπεσιώπα.

Τὴν παράνομον καὶ ἄδικον κρίσιν δηλοῖ, τῆς ἀληθείας κρυβείσης. Τὴν μετὰ τὴν ἀνάστασιν γενομένην δόξαν, καὶ τὴν ἐγγενῆ αὐτοῦ ἀξίαν, ἣν ἡ τῶν οἰκονομηθέντων ὑπέδειξε πεῖρα, τίς ἔσται ἱκανὸς λόγῳ φράσαι; αὐτοῦ μὲν θανάτῳ ὑποβαλλομένου, πάντων δὲ εἰς ἀφθαρσίαν χάριτι αὐτοῦ ζωοποιουμένων, καὶ πίστει λυτρουμένων. Διττῶς νοεῖται· τοῦτο μὲν, ὅτι ἐδέησεν ἀναγκαίως γενέσθαι τὴν παρουσίαν τοῦ Σωτῆρος διὰ τὰ ἡμέτερα παρανομήματα· οὐκ ἂν γὰρ χώραν ἔσχεν ἡ τοῦ Σωτῆρος ἐνδημία, ἡμῶν μὴ ἐν παρανομίαις ἐξετασθέντων· τοῦτο δὲ, ὅτι ὑπ' αὐτῶν τῶν ἀνομιῶν εἰς τὸν θάνατον ἤχθη.

Ὅσον μὲν ἦκεν εἰς ἑαυτὴν τὴν φωνὴν ἀνεξετάστως λαμβανομένην, κατάρας καὶ οὐκ εὐλογίας εἶναι δοκεῖ ἔμφασις· ἢν δέ τις τὸν ἐναποκείμενον νοῦν ἀνιχνεύειν ἐθελήσῃ, εὑρήσει πέλαγος φιλανθρωπίας ἐναποκείμενον· τοὺς γὰρ πονηροὺς καὶ ἐν πλούτῳ αὐχοῦντας καὶ καταδεδικασμένους θανάτῳ, ὅσον ἦκεν, ἐκ τῶν αὐτοῖς εἰργασμένων ῥύσεται, πιστεύοντας καὶ παραδεχομένους τὸν θάνατον τοῦ Σωτῆρος, ὃς ἔσται αὐτοῖς ἀντικατάλλαγμα καρπουμένοις ἀντὶ ταφῆς καὶ θανάτου ζωὴν αἰώνιον καὶ ἄφθαρτον ἀθανασίαν.

Τὸ ἄδικον ἐμπαροινίαν τοῦ διαβόλου δηλοῖ, ἣν ἐπὶ τοῦ Σωτῆρος ἡμῶν ἐπεδείξατο· μηδεμιᾶς γὰρ ἁμαρτίας εὑρεθείσης ἐν τῇ κατὰ σάρκα αὐτοῦ πολιτείᾳ, ἀλλ' ἀναμαρτήτου μεινάσης τῆς σαρκὸς, οὕτως ὡς κατὰ ἐνόχου ἁμαρτίας γενομένης ἐπῆγε τὸν θάνατον, δεικνὺς τὴν ἑαυτοῦ ἀρχέκακον κακίαν· ἀνθ' ὧν εὔλογος λύτρωσις γίνεται τοῖς ὑπὸ ἁμαρτίαν πίπτουσιν.

Ὥσπερ τὰ ἡμῖν χρεωστούμενα παθήματα αὐτὸς ἀναδεξάμενος ᾠκειώσατο, οὕτω καὶ τὴν ἐκ πίστεως γινομένην ἡμῖν κάθαρσιν αὐτὸν δεδέχθαι φάσκει. — Ἐνταῦθα δόσιν οὐ τὴν ἐν θυσίαις φάσκει, ἀλλὰ τὴν σὺν αἰσθήσει καὶ μετανοίᾳ· ἦν ἐν ταῖς ἁμαρτίαις ποιούμενοι, ἴασιν ἐδέχοντο ψυχικὴν, οὐ μόνον τὴν ἐνταῦθα ζωὴν ἑαυτοῖς πραγματευόμενοι.

Ἐπειδὴ ἔτι κέρδος οἰκεῖον ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τίθεται τὴν ἡμετέραν σωτηρίαν, διόπερ καὶ σῶμα ἀνέλαβε, καὶ τὰ ὑπὲρ ἡμῶν ὑπέστη πάθη· ἀναγκαίως καὶ πόνον αὐτοῦ ἀφαιρεῖσθαι φάσκει ὁ αὐτοῦ Πατὴρ τὴν ἡμετέραν ἴασίν τε καὶ κάθαρσιν· καὶ φῶς αὐτῷ δεῖξαι τὸν ἡμέτερον φωτισμὸν, καθ' ὃν κατηυγαζόμεθα πρὸς θεογνωσίαν καὶ ἐπίγνωσιν, ἀμειβομένων τῶν ἠθῶν ἐπὶ τὸ βέλτιον, καὶ μεταπλαττομένων τῇ τοῦ Θεοῦ συνέσει. Τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ κατ' ἐντολὴν πατρικὴν πάντα πράττον-

A Cruciatus autem sponte acceptos metus pertulit, ut se nobis velut legem patientiæ præberet.

Vers. 7. Quanta voluntate Salvator redemptionis opus perfecerit, indicat. Quemadmodum ovis ad victimam ductus, aut agnus coram tondente [81] ne cessitate victi, balandi occasionem non habent, ita ipse mediis in cruciatibus sponte silet.

Vers. 8. Iniquum et injustum fore judicium declarat, veritate oppressa. Gloriam post resurrectionem a Christo adeptam, et nativam ejus dignitatem, quæ in Incarnatione effulsit, quis poterit sermone complecti? Quippe qui, morte oppressus, omnibus gratia sua vitam immortalem largitur e. B salutem. Duplici de causa hæc dicuntur : Primum quidem quia propter peccata nostra Salvatore indigemus, nec fuisset cur veniret Salvator, nisi peccatis fuissemus obruti; deinde quia ab ipsis iniquitatibus ad mortem ductus est.

Vers. 9. Quæ ad verbum inconsiderate accipienti maledictiones esse videbuntur, non benedictiones. Quod si vero latentem mentem investigare volueris, reperies in hoc sermone misericordiæ oceanum. Nam pessimos et divitiis gloriantes, ac morte damnatos, quantum in eo erit, ab operibus eorum liberabit, dummodo in ipsum credant, et Salvatoris mortem excipiant, quæ illis præmio erit; pro sepultura ac morte vitam æternam et incor- C ruptibilem immortalitatem largietur.

Indicat hic quam contumeliose diabolus in Salvatorem debacchatus sit. Nam, licet nullum repertum sit in carnali ejus vita peccatum, et pura remansisset ejus caro atque integra, diabolus tamen eum, velut peccatorem, morte affecit, summam suam nequitiam declarans. Qua ratione jugum feliciter solutum est peccato inservientibus.

Vers. 10. Ut meritas nobis pœnas iste Christus suscipiens pro nobis pertulit, ita dicitur et munditiam, nobis per fidem adeptam, Deo acceptabilem fore. — Hic dari sibi jubet non victimas, sed cul- D tum animi conscii et contriti, quo peccatores non corpoream tantum vitam, sed et spiritualem sanitatem consequerentur.

Vers. 11. Cum salutem nostram onus esse suum reputaverit unigenitus Dei Filius, et ideo carnem susceperit ac pro nobis sit passus, recte dicit Pater se nati dolores auferre, nos sanando et mundando; adjicit se ostendere ei lucem, illam scilicet qua illuminati ad scientiam et intelligentiam Dei illustramur, moribus in melius conversis et juxta Dei præcepta informatis. Unigenito Dei Filio, cum Patris mandata perficienda essent, et omnis ejus mens fideliter implenda, necesse erat ut Salvator

[81] Isa. LIII, 7.

Digitized by Google

mantili se cingeret, et aquam infunderet in labellum, cunctaque servorum munera subiret. Quæ omnia Filius studio præstitit, cibum suum esse asserens, ut faciat voluntatem Patris [28].

A τος, καὶ τῇ ὑπακοῇ πληροῦντος πᾶσαν ἔννοιαν, ἀκόλουθον καὶ τὸ περιεζῶσθαι λέντιον τὸν Σωτῆρα, καὶ ὕδωρ βαλεῖν εἰς τὸν νιπτῆρα, καὶ τὴν πρὸς πάντα δουλείαν ἀναδέξασθαι· οἷς πᾶσι γενομένοις ἐκ προθυμίας παιδὸς, βρῶσιν δὲ λογιζομένου ὑπηρετεῖσθαι τοῖς τοῦ Πατρὸς θελήμασι.

Vers. 12. Possessio Filii vocantur quicunque in eum credunt, nec immerito eosdem antea diaboli spolia fuisse dixeris. Cum unigenitus Dei Filius mirabili incarnatione sua omnes ad Patris et Filii agnitionem deduxerit, ab erroribus et imperio diaboli liberatos, quem fortem esse errantes prius existimabant, recte nos ab eo possideri dicimur participes ejus effecti, spoliato diabolo, cui inservire videbamur.

Κληρονομία Υἱοῦ λέγονται πάντες οἱ πιστεύοντες εἰς αὐτὸν, ὥσπερ καὶ προγεγενῆσθαι σκῦλα δικαίως, ἄν τις εἴποι τοῦ διαβόλου. Ἐπειδὴ τοίνυν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τῇ θαυμαστῇ οἰκονομίᾳ πάντας ᾠκειώσατο εἰς τὴν Πατρὸς καὶ Υἱοῦ γνῶσιν, ἀποσπάσας τῆς πλάνης καὶ τῆς τυραννίδος τοῦ διαβόλου, ὃν ἰσχυρὸν ἡγοῦντο εἶναι οἱ τὸ πρὶν πλανώμενοι· ἀναγκαίως τούτους κεκληρονομῆσθαι φάσκει μερίδα αὐτοῦ γεγενῆσθαι, σκυλευθέντος τοῦ δοκοῦντος αὐτοὺς B κρατεῖν διαβόλου.

Cap. LIV, Vers. 1. Quæ per anagogiam de singulis animis valent sui incuriosis; præsertim vero de vocatione gentium quæ, Salvatore adveniente, augendæ et multiplicandæ erant.

Vers. 2. Quæ quidem ad ipsam Jerusalem referenda, post captivitatem augendam; rectius vero ad ipsas ecclesias quotidie dilatatas et amplificatas, accedentibus quoscunque gratia Dei permoverit; intelliges etiam ea de quacunque anima egregie mandata Dei perficiente.

Ταῦτα κατὰ ἀναγωγὴν καὶ εἰς ἑκάστην ψυχὴν ἐκληπτέον, ἀμελήσασαν ἑαυτῆς· οὐ μὴν ἀλλὰ καὶ εἰς τὴν κλῆσιν τῶν ἐθνῶν αὐξηθέντων καὶ πληρωθέντων ἀπὸ τῆς τοῦ Σωτῆρος παρουσίας

Καὶ ταῦτα ἐπ' αὐτῆς τῆς Ἱερουσαλὴμ ἐκληπτέον, αὐξομένης μετὰ τὴν αἰχμαλωσίαν· κυριώτερον δὲ ἐπ' αὐτῶν τῶν Ἐκκλησιῶν ὀσημέραι πλατυνομένων καὶ ἐπίδοσιν λαμβανουσῶν διὰ τῶν προστιθεμένων τῇ χάριτι τοῦ Θεοῦ· νοεῖται δὲ καὶ εἰς ἑκάστην ψυχὴν συντελοῦσαν εἴς τι τῶν τῆς ἀληθείας καλῶν.

Vers. 3. Loquitur hic sensu anagogico de gentibus, ab Israel non ut pereant quidem possidendis, sed ut una fide credentes cum ipso salventur. C

Λέγει δὲ καὶ κατὰ ἀναγωγὴν περὶ τῶν ἐθνῶν τῶν μελλόντων μὴ εἰς θάνατον κληρονομεῖσθαι ὑπ' αὐτῶν, ἀλλ' εἰς περιποίησιν καὶ σωτηρίαν κοινῇ πιστευσάντων τῶν ἐθνῶν.

Vers. 7. Cuncta se mala oblivioni traditurum indicat. Sic enim inquit: Condonabo negligentias tuas, ut jam non amplius tibi earum memoriam ex probrem, quod facere solent qui lapsas mulieres ad tempus rejiciunt.

Τὸ ἀμνησίκακον τοῦ Θεοῦ καὶ ἐν τούτῳ δηλοῦται· οὕτω γάρ φησι· Συγχωρήσω τὰ πλημμελήματά σοι, ὡς μηδὲ εἰς ὑπόμνησιν αὐτῶν ποτε ἐλθόντα ὀνειδίσαι· καθάπερ ποιοῦσιν οἱ γυναῖκας ἁμαρτούσας ὀλίγον ἀποῤῥίψαντες.

Vers. 11. Inclementiam hic declarat Chaldæorum. Quippe qui, munus cum accepissent a Deo Israelitas propter peccata puniente, sua etiam invidine graviores in eos pœnas excogitaverunt et intenderunt.

Τῆς ἀπανθρωπίας ἐνταῦθα κατηγορεῖται τῶν Χαλδαίων, λαβόντων μὲν παρὰ τοῦ Θεοῦ τὸ ἐνδόσιμον τοῦ τιμωρήσασθαι τοὺς Ἰσραηλίτας διὰ τὰ πλημμεληθέντα αὐτοῖς, ἰσχὺ δὲ ἰδίᾳ λογισαμένων καὶ ἐπιτεινόντων αὐτοῖς τὰ δεινά.

Vers. 17. Nil profecturos hostium incursus dicit, ipso Jerusalem protegente; non enim valebit omne vas hostile in vos; vosmetipsi superabitis.

Τὴν παρὰ τῶν πολεμίων ἔφοδον τῆς αὐτοῦ ῥοπῆς παρούσης αὐτοῖς ἀδυνατήσειν λέγει· οὐδὲ γὰρ πᾶν σκεῦος πολεμικὸν ἰσχύσει καθ' ὑμῶν· ὑμεῖς περιγε- D νήσεσθε ὑμῶν.

Cap. LV, Vers. 2. Paratus est Dominus ad ducendos homines, ad eos bonis donandos misericors Deus; nec dona temporaria modo hic se nobis largiturum annuntiat, sed et æterna in cœlo; nihil aliud a nobis deposcet, nisi animum gratum et docilem, docenti consentientem, et vocanti cum studio respondentem.

Ἕτοιμος ὢν πρὸς τὰς χορηγίας ὁ Δεσπότης, καὶ βρύων τοῖς ἀγαθοῖς ὁ φιλάνθρωπος Θεός· οὐ μόνον γὰρ τὰ ἐνταῦθα ἀγαθὰ ἐπαγγέλλεται δώσειν, ἀλλὰ καὶ τῶν μετέπειτα αἰωνίων δωρεῶν τὴν ἀπόλαυσιν· οὐδὲν ἕτερον ἀπαιτεῖ ἢ εὐγνώμονα ἀκροατὴν, συνιέντα μὲν τὰ λεγόμενα, προστρέχοντα δὲ τῷ καλοῦντι μετ' εὐνοίας.

Vers. 3. Auribus attendere dum jubet, non sensus corporis intendere videtur. Nam oculis attendentes, iisdem audire non valemus; nec auribus attendenti, iisdem videre licet. Quod etiam de cæteris corporis sensibus valet. Quo constat cum

Τὸ προσέχειν ὠσὶν ὡς ἦκεν εἰς τὰς τοῦ σώματος αἰσθήσεις ἀνακόλουθον εἶναι δοκεῖ· ὀφθαλμοῖς γὰρ προσέχοντες, τοῖς αὐτοῖς καὶ ἀκούειν οὐ δυνάμεθα· καὶ ὠσὶν ἀκούοντες, τούτοις βλέπειν οὐχ οἷοί τέ ἐσμεν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸ

[28] Joan. IV, 34.

Digitized by Google

σῶμα αἰσθήσεων· ὡς ἐκ τούτου δείκνυσθαι συμβουλεύειν αὐτοῖς προσέχειν κατὰ τοὺς τῆς διανοίας ὀφθαλμοὺς, καθ' οὓς καὶ ἀκούειν δυνατόν· ἁπλῇ γάρ τις οὖσα ἡ ψυχὴ καὶ μονοειδὴς τὴν φύσιν, μιᾷ δυνάμει τό τε ἀκούειν καὶ ὁρᾷν κέκτηται.

A nobis consulere, ut oculis animi attendamus, quibus et audire fas est; simplex enim cum sit natura animus et incompositus, una eademque facultate audit ac videt.

Ἀλλ' ἴσως στενοχωρεῖ ὑμᾶς, καὶ κωλύει αὐτῷ προσφυγεῖν τὸ πλῆθος τῶν ἁμαρτιῶν καὶ τὸ εἰς αὐτὸν ἠσεβηκέναι· ἀλλ' οὐδέ που μέγα κώλυμα ὑμῖν φανεῖται, εἰ τὸν αὐτοῦ ἔλεον ἄφατον ὄντα ἐνθυμηθῆτε. Οὐ γὰρ τοσαῦτα ἔσται ὑμῶν τὰ κακὰ, ὡς νικῆσαι καὶ ὑπερβαλεῖν τὴν αὐτοῦ φιλανθρωπίαν· πολὺς γὰρ ὢν ἐν οἰκτιρμοῖς, πολλὴν καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν ποιήσεται· καὶ οὕτως ὑμᾶς καθαροὺς ἀποδείξει, ὡς μηδὲ ἴχνος σώζεσθαι τῶν προτέρων ὑμῶν ἁμαρτημάτων.

Vers. 7. Impediunt te fortasse peccata tua atque in Deum impietas, et vetant ne ad ipsum confugias. Quod si autem misericordiam ejus perpenderis, jam nihil te impedire valebit; non enim ea erunt peccata tua, quæ benignitatem ejus vincere et superare possint; multus ipse in misericordia, multa quoque peccata dimittet, et ita vos mundos efficiet, ut ne vestigium quidem priorum delictorum remaneat.

Τὴν ἐπὶ ταῖς ἐντολαῖς τοῦ νόμου εὐοδίαν παρέξειν αὐτοῖς ἐπαγγέλλεται Θεὸς, μόνον εἰ ἑαυτοὺς ἐργάτας αὐτῶν δεῖξαι ἐθελήσουσιν, αὐτοῦ χορηγοῦντος ἰσχὺν πρὸς τὸ ἐπιτελέσαι ταύτας. Οὐ μὴν ἀλλὰ καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας ἄνοδον οὕτως ἔδοξεν αὐτοὺς τοὺς ἀφιέντας τοσαύτην ἀναλαβεῖν προθυμίαν τῆς τούτων ἐκπομπῆς, ὡς μετὰ δορυφορίας καὶ ὁδηγήσειν· ὅπερ ἐπὶ Κύρου τοῦ βασιλέως Περσῶν ἐπληροῦτο, τρανουμένης τῆς τοῦ Θεοῦ ῥοπῆς· καὶ ἐπ' αὐτῶν τῶν ὀρέων ἐν τῇ τούτων κινήσει τὴν ἀγαλλίασιν δεικνύντων, ἔτι μὴν καὶ ἄλλων σημείων παρακολουθούντων· ὥσπερ γὰρ ἐπὶ τὴν ἔρημον διιόντων ὑπεχώρει ἡ Ἐρυθρὰ θάλασσα, οὕτως, ἐξιόντων ἀπὸ τῆς αἰχμαλωσίας, ἱστορεῖται τὸν Τίγριν ποταμὸν ποδὶ αὐτοὺς διαβεβηκέναι, καθὰ καὶ ὁ Ἰορδάνης· καὶ τοσαύτην μεταβολὴν τὰ ὄρη λαβεῖν, ἀντὶ τῆς καταλαβούσης ἐκ τῶν πολεμίων ἐρημίας, ὡς καὶ δένδρων ξένων παρὰ τὰ ὄντα ἐκδοῦναι βλάστην· καὶ τὴν τοῦ Θεοῦ εὐμένειαν ἐκ τῆς τῶν ὀρέων μεταβολῆς δειχθῆναι· ὡς πάντα συντελεῖ εἰς τὴν τοῦ Θεοῦ δύναμιν, καὶ τὴν ἐκείνου μήνυσιν.

B Vers. 11. Prosperas vias observantibus legem se daturum denuntiat, vires ad perficienda mandata præstans, dummodo legis factores se præbere velint. Præsertim vero hoc Deo placuit ut qui captivitatem ex Ægypto soluturi erant, summo studio opus suum perficerent, ipsi Israelitarum iter dirigerent et præsidio tuerentur. Quod quidem, Deo jubente, Cyri Persarum regis ope factum est; ipsis montibus de hac migratione exsultantibus, et aliis quoque apparentibus signis. Nam sicut desertum accedentibus mare Erythræum transire licuit, ita e captivitate egressi siccis pedibus flumen Tigrim trajecisse narrantur, ut olim Jordanem, refertur quoque montes, ab hostibus antea vastatos, tunc a Deo fuisse ita immutatos, ut non suis tantum, sed et exoticis arboribus florerent. Qua montium immutatione benigne comprobavit Deus cuncta ipsius in manibus contineri, et mente dirigi.

C

Οὐ τοίνυν ὠνητὰ τὰ παρὰ Θεοῦ, ἀλλὰ προῖκά τε καὶ χωρὶς ἀργυρίου ταῦτα λήψεσθε· οὐδὲ γὰρ οἴνου χρεία εἰς σπονδὴν, καὶ στέατος εἰς θυσίαν· ἃ καὶ ταῦτα ἀργυρίου ὠνούμενοι, οὐδὲν πλέον ἀποφέρεσθε εἰς δνησιν ἢ κόπον, ἢ μόχθον, μὴ ὄντων ἱκανῶν δυσωπημάτων.

Vers. 13. Non igitur ære dato, sed gratis et sine pecunia dona Dei consequemini; non vini libaminibus, aut victimarum adipe indigetis; quibus enim, et aliis pretio emptis, non plus proficietis, quam laboribus et defatigatione; hæc enim non sufficiunt ad flectendum Deum

Ὑμεῖς, φησὶν, οἱ ἀλλογενεῖς, οἱ τῷ Θεῷ ἀνακείμενοι, καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ βιοῦντες, μὴ λογίσησθε ἑαυτοὺς μακαριότητος ἐπιτεύξεσθαι καὶ τοῦ κλήρου τῶν ἁγίων· ἀλλ' ἐπιστάμενοι, ὡς τρόπος ὑμᾶς συνάπτει τῷ Ἀβραὰμ, καὶ οὐ γένους ἀγχιστεία, ἠθῶν ἐπιμέλειαν ποιεῖσθε, καὶ Θεῷ δουλεύειν σπεύδετε, καὶ οὐ φυλοκρινηθήσεσθε τοῦ γένους τῶν δικαίων.

Cap. LVI, Vers. 3. Vos, inquit, alienigenæ, qui Deo appositi estis, et ad præcepta ejus vitam instruitis, ne putetis vos beatitudinem consecuturos D et hæreditatem sanctorum; sed hoc recordati, quod moribus cum Abraham conjungimini, non generis cognatione, morum curam geratis, studiose Deo inserviatis, et non separemini a genere justorum.

Ἐπάγει αὐτοὺς εἰς κατανόησιν διὰ τούτων τῶν τοῖς δικαίοις ὀφειλομένων ἀμοιβῶν.

Cap. LVII, Vers. 1. Deducit eos ad pœnitentiam memoria bonorum justis destinatorum.

Πάλιν ἐκ προσαγωγῆς εἰς συναίσθησιν αὐτοὺς τῶν ἰδίων πλημμελημάτων ἀγαγεῖν βούλεται, φθεγγομένους μὲν ἀδεῶς κατὰ τοῦ δικαίου, ἀπρονοήτως δὲ τοῦ βίου τούτου νομίζοντας ἀπαλλάττεσθαι· ὑποδεικνὺς αὐτοῖς ὡς ἠρνήθησαν μὲν τὸ σωματικὸν εἶδος τῶν ἁγίων· τῇ δὲ τῶν τρόπων μοχθηρίᾳ ὡκείωσαν ἑαυτοὺς μοιχοῖς τε καὶ πόρνοις· μὴ ἀναλογισάμενοι, ὡς, αὐτοὶ ὄντες ἀπωλείας ὄξιοι, κακίζειν ἐπειράθησαν

Vers. 3. Ulterius progressus iterum eos ad agnoscenda peccata adducere studet, justum procaciter increpantes, et eum inconsulte de vita ablatum existimantes. Indicat eos corpoream speciem sanctorum negavisse, et morum pravitate se ipsos consociavisse cum adulteris et meretricibus. Perditione digni cum essent, temere viros lacessere conati sunt qui de recto curare et De

Digitized by Google

intendere studebant. Idolorum fautores, quibus pueros super montes et petras deferebant immolandos, Dei vindictam vitaturos sperabant

Vers. 15. Quibus nominibus benigne Deus significat se esse Excelsum; ipsi enim quantum in eis erat, Deum humilem effecerant, idolis consentiendo. Præsertim vero sanctum se esse contendit, cum illi nomen ejus pravis cogitationibus et inhonestis operibus profanarent. Ego vero sanctus sum, et sanctis congaudeo, et sanctos homines efficio, vires eorum augendo, et mentes erigendo ad sublimiora, dummodo se ope mea dignos præbere, et contritam humiliatamque voluntatem præstare videantur; nam talibus ego vitam æternam largior.

Vers. 16. Ulcisci eo sensu Deus dicitur, quod peccatores ideo malis afficiat, ut se quisque ad bonam frugem recipiat; quod facit Deus, misericordia nobis parcens.

Vers. 17. In ipsis etiam pœnis repetendis misericordiam suam declarat Deus, dum multa peccantes paucis affligit.

Cap. LVIII, Vers. 1. Rem leviter perpendentibus lætari videntur impii in voluptatibus suis; at in dies ad perniciem propius accedentes, vera lætitia carent; non enim est alia lætitia præter eam, quæ per labores et tribulationes vitam æternam operatur. Justi autem vera lætitia replentur; quippe qui opere ea perficiunt quæ intendunt, et ideo placida mente fruuntur ac tranquilla.

Vers. 9. Quæ quidem hominibus peragenda sunt, vitam suam et mores suos recte instruentibus.

Cap. LIX, Vers. 5. Pleraque consiliorum, quæ verbis locuti sunt, ut ova aspidum nondum matura, aut tela araneæ quæ nullius usus est, plus damni afferunt quam utilitatis. Quod si autem forte ea, velut fota, opere perficient, nonne merito eos cum hominibus conferres, ovum aspidis frangentibus, et in eo regulum reperientibus? Qui scilicet anguis est venenatus et mortiferus.

Vers. 10. Quæ hoc sensu accipies: quemadmodum nihil eorum quæ obversantur cernere poterit, qui oculis licet præditus luce caret, aut qui lucem adeptus, oculis destituitur, ita necesse est ut qui mente aliquid complecti voluerit, doctrina illustretur ex divinis Scripturis desumpta.

Vers. 11. Tantus erit eis gemitus et ululatus, quantus urso catulos amissos lugenti; aut etiam quantus columbæ quæ natura continuo fremit.

Vers. 17. Salutem, quam pœnas dantes per pœnitentiam et docilitatem homines sibi operantur, suscipere dicit Deum, et velut indumentum, eorum

A τοὺς τοῦ δικαίου ἐπιμελομένους καὶ Θεῷ προσανέχοντας· εἰδώλοις γὰρ προσκυνοῦντες, καὶ τούτοις προσάγοντες τὰ ἑαυτῶν τέκνα εἰς σφαγὴν ἐπί τε τῶν ὀρέων καὶ τῶν πετρῶν, τὴν τοῦ Θεοῦ δίκην διαφεύγειν ὑπελάμβανον.

Διὰ τούτων ὅλων τῶν ὀνομάτων ἡ τοῦ Θεοῦ εὐμένεια δηλοῦται, ὅτι τε ὕψιστός ἐστιν· εἰ καὶ, ὅσον ἦκε τὸ αὐτῶν μέρος, ταπεινὸν πεποιήκασι, συγκρίνοντες εἰδώλοις τε καὶ δαίμοσιν· οὐ μὴν ἀλλὰ καὶ ἅγιος, τούτων βεβηλούντων τὸ αὐτοῦ ὄνομα κακαῖς ἐνθυμήσεσι καὶ πράξεσιν οὐ καλαῖς· ἀλλ' ὅμως αὐτὸς ἅγιος
B ὢν καὶ ἁγίοις χαίρων, κἀκείνους ἁγιάζων, ἐπιῤῥωνύς αὐτῶν τὴν δύναμιν, καὶ ἐγείρων αὐτῶν τὰ φρονήματα, μόνον εἰ φανείησαν ἑαυτοὺς παρέχοντες ἀξίους, καὶ τὴν ἑαυτῶν θέλησιν δεικνύντες συντετριμμένην καὶ τεταπεινωμένην· καὶ γὰρ καὶ ζωὴν αἰώνιον τοῖς τοιούτοις χορηγήσω.

Ἐκδικία δὲ καὶ κατ' ἄλλον τρόπον λέγεται, τὸ τὸν ἁμαρτάνοντα παραδοθῆναι σκυθρωποῖς πρὸς τὸ αὐτόν τινα παρ' ἑαυτοῦ παιδευθῆναι· ταῦτα ποιεῖ Θεὸς, φιλανθρωπίᾳ φειδόμενος τοῦ ἡμετέρου γένους.

Τὴν φιλανθρωπίαν ἑαυτοῦ ὁ Θεὸς καὶ ἐν ταῖς τιμωρίαις ἐνδείκνυται, ἡμῶν μὲν πολλὰ ἁμαρτανόντων, αὐτοῦ δὲ ὀλίγα παιδεύοντος.

Κἂν γὰρ οἱ ἀσεβεῖς τῷ δοκεῖν δοκῶσι χαίρειν ἐν ταῖς ἑαυτῶν ἡδοναῖς τρεφόμενοι, ἀλλά γ' οὖν εἰς ἀπωλείας τέλος καταστρέφοντες, οὐ τὴν ἀληθινὴν χαρὰν χαίρουσι· μόνη γὰρ κυρίως ἂν εἴη χαρὰ ἡ ἐκ καμάτων τε καὶ θλίψεων ζωὴν αἰώνιον πραγματευομένη. Ἀλλὰ καὶ χαρᾶς τῆς ἀληθινῆς πληροῦνται
C οἱ δικαιοπραγοῦντες, εἰς ἔργον αὐτοῖς προχωροῦντος τοῦ σκοποῦ, καὶ ἀταράχου μενούσης τῆς ψυχῆς, καὶ γαληνιαζούσης ἐν ἑαυτῇ.

Καὶ ταῦτα ῥυθμιζόντων αὐτοὺς εἰς βίον τὸν ἐνάρετον, καὶ τρόπων εὐθύτητα ὑφηγεῖται.

Τὰ γὰρ πλεῖστα τῶν ἐπιθυμημάτων αὐτῶν ὧν συνελέξαντο ὥσπερ ὠὰ ἀσπίδων ἀτελεσφόρητα, καὶ ὡς ἱστὸς ἀράχνης εἰς οὐδὲν συντελῶν μένει, βλάβην αὐτοῖς μᾶλλον ἢπερ ὠφέλειαν φέροντα· εἰ δὲ καὶ συμβαίη ταύτας τὰς ἐννοίας ὥσπερ διαθερμανθείσας εἰς πράξεις προκόψαι, οὐκ ἔοικεν ἐκείνοις τοῖς κλάσασι μὲν ὠὰ ἀσπίδος, βασιλίσκον δὲ ἐν αὐτοῖς (12) εὑροῦσι; καὶ αὐτό ἐστι ἰοβόλον καὶ θανατηφόρον ἑρπετόν.

D Καὶ τοῦτο δὲ σκοπητέον, ὅτι, ὥσπερ ὀφθαλμῶν ὄντων, εἰ μὴ παρείη φῶς, καὶ φωτὸς ὄντος, εἰ μὴ ὧσιν ὀφθαλμοὶ βλέποντες, ἀδύνατόν ἐστι τὰ ὑποκείμενα καθορᾶν· οὕτως ἀνάγκη καὶ τὸν βουλόμενόν τι διανοεῖσθαι νοῦν, μὴ ἐκ τῶν θείων Γραφῶν ἀρυόμενον σοφίαν, διαμαρτεῖν.

Τοσοῦτος δὲ ἔσται ὁ στεναγμὸς καὶ ἡ παρ' αὐτῶν οἰμωγὴ, ὅσην ἄρκτος ἀπολέσασα τὰ ἑαυτῆς τέκνα οἰμώξει· οὐ μὴν ἀλλὰ καὶ περιστερὰ ἀδιαλείπτως φυσικῶς βρύχουσα.

Τὴν ἐκ τῆς μετανοίας καὶ συνέσεως πραγματευομένην σωτηρίαν τοῖς τιμωρουμένοις οἰκειοῦσθαι τὸν Θεὸν φάσκει, καὶ ἐνδύεσθαι ὥσπερ τι ἔνδυμα τὴν

(12) Potius αὐτῷ.

Digitized by Google

τούτων δικαιοσύνην· οὐ μὴν ἀλλὰ καὶ ὥσπερ τι κράνος καὶ θώρακα περιτίθεσθαι φάσκει τὸν Θεὸν, τὰς τῶν ἀνθρώπων δικαιοπραγματείας· τὰ δὲ ἐπὶ Θεοῦ εἰληπται παραμυθίαν φέροντα τοῖς ἀκροαταῖς· καὶ ἐπεγείρει αὐτῶν τὰ φρονήματα, ὡς δυναμένων αὐτῶν καὶ ἔνδυμα Θεοῦ γενέσθαι, δικαιοσύνην μετιόντων.

A justitiam induere. Imo quasi lorica et galea, inquit, circumdabitur Deus bonis hominum operibus. Quæ quidem de Deo referuntur, ut audientes excitent, et mentes eorum erigant, recordantium se justitiam colendo Dei indumentum posse fieri.

Προειδέναι χρὴ τὸ ἦθος τὸ δεσποτικὸν, ὅτι πάντα δι' ἀγαθότητα προλέγει· ὡς, ὅταν ἀπειλῇ μὲν, ἵνα, φοβηθέντες τὰ σκυθρωπὰ, ἐπιστρέψαντες καὶ μετανοήσαντες ἀπαλλαγῶσι τῆς πείρας τῶν δεινῶν· ἢ πάλιν ἐπαγγέλλεται τὰ ἀγαθὰ, ἵνα ταῖς ἐπαγγελίαις ἐπιῤῥώσῃ τῶν δικαιοπραγούντων τὰς ψυχὰς, πρὸς τὸ μᾶλλον ἔχεσθαι τῆς πρὸς τὸν Θεὸν ἐλπίδος. Ἀλλ' οὐδέ που καὶ ἀνάγκην ἔχει Θεὸς πληροῦν ταῦτα· ἢ γὰρ μετανοησάντων ἀνῆκε τὸν θυμὸν, ἢ, μὴ ἐμμεινάντων τοῖς καλοῖς, οὐ τελειώσει τὰ ἐπαγγελθέντα καλὰ, ἡμῶν παρεχόντων τὰς αἰτίας τῷ Θεῷ τοῦ πληροῦν τὰ ἐπαγγελθέντα κακά.

Cap. LX, Vers. 8. Præ oculis habendus est Dei mos propter benignitatem ventura prædicentis. Nunc minas intendit, ut diris perterriti, per pœnitentiam et animorum conversionem imminentia sibi mala avertant; nunc autem bona promittit, ut justorum animos promissis confirmet, et flagrantiori in Deum studio incendat. At nulla unquam lege ad hæc perficienda cogitur. Nam illis pœnitentiam agentibus, iram ponit; et his a recta via deflectentibus, prædicta bona non largitur: ipsi nos auctores sumus Deo prænuntiata mala immittendi.

B

Καὶ ταῦτα δὲ καθ' ἱστορίαν ζητοῦντι ἔνεστιν εὑρεῖν· τοῦτο μὲν Κύρου ἀνοικοδομοῦντος τὴν Ἱερουσαλὴμ, καὶ μετ' αὐτὸν Δαρείου· οὐ μὴν ἀλλὰ καὶ Ἀλεξάνδρου τὸν ἱερατικὸν στόλον θεασαμένου, καὶ μεταβαλλομένου τὸν θυμὸν εἰς προσκύνησιν.

Vers. 10. Quæ an reapse perfecta sint quærentem, historia apertissime docebit: primum cum Cyrus et post hunc Darius Jerusalem ædificaret; deinde etiam cum Alexander, sacram pompam miratus, pro irato amicissimum se præberet.

Ὅπερ ἦν, καὶ ἐπὶ τῆς νυνὶ καταστάσεως τῶν Ἐκκλησιῶν δηλοῦται· πάντες γὰρ ἀπανταχόθεν ταύταις προσοίσουσι τὰς ἀπαρχάς.

Vers. 13. Quod olim evenit, et nunc quoque de Ecclesiis constituendis valet; quibus enim undequaque gentes primitias afferunt.

Ἐπισκόπους λέγει τοὺς ἐπιστατοῦντας τοῦ λαοῦ, οὓς καὶ δικαιοσύνης ἐραστὰς μέλλειν ἔσεσθαι προῦλεγεν.

Vers. 17. Episcopos vocat principes populi, quos et justitiæ inservituros prædicebat.

C

Ἔθος τοῖς προφήταις, προαναθεωροῦσι τὸ μέλλον, ἐπὶ μὲν τῶν σκυθρωπῶν ἀνιᾶσθαι καὶ πενθεῖν, ἐπὶ δὲ τῇ τῶν ἀγαθῶν θεωρίᾳ ἣν εὐαγγελίζονται τῷ λαῷ, κἂν ἀναισθητῶσιν οἱ ἀκούοντες αὐτοὺς, προεορτάζειν καὶ προεστιᾶσθαι κατὰ ψυχὴν, πεῖσμα βέβαιον κεκτημένους τῆς τῶν δειχθέντων θεωρίας. — Βλέπων τοίνυν ὁ προφήτης πρὸς τὸν Χριστὸν, ὡς ἔνδυμα αὐτοῦ ἐγεγόνει· πᾶς γὰρ ὁ ἐνδυσάμενος Χριστὸν, ἱμάτιον σωτηρίας ἐνεδύσατο, καθ' ὃ καὶ τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν κατακοσμεῖ. Κἀκείνην τὴν διάθεσιν πλήρων, ἣν ἂν πληρώσῃ νεανίσκος πρὸς παρθένον, ἔχαιρε καὶ εὐωχεῖτο κατὰ ψυχὴν, ὡς τῷ Χριστῷ συνὼν, κἀκεῖνον ἐνδεδυμένος, καὶ χιτῶνα αὐτὸν ἔχων εὐφροσύνης.

Cap. LXI, Vers. 10. Mos est prophetis venturæ prospicientibus, de miseriis quidem lugere et contristari, de bonorum autem contemplatione, quæ populo nuntiant, etiamsi audientes fidem denegaverint, lætari et spiritu exsultare, certam habentes ipsi rerum significatarum fiduciam. — Prospectatum igitur Christum propheta, ut vestimentum, induit; quicunque enim Christum induerit, vestimento salutis vestitus est, quo etiam sanctam suam Ecclesiam exornat. Ac iisdem affectibus permotus quibus sponsus in sponsam movetur, spiritu lætatur et exsultat, haud secus ac si cum Christo conjungeretur, Christum induisset, et tunicam eum habuisset lætitiæ.

Τοὺς σπερματικοὺς λόγους σημαίνει, τοὺς ὥσπερ ἐν γῇ τῇ ψυχῇ ἐναποκειμένους, καὶ ὡς κῆπον αὔξοντα τὰ ἐν αὐτῷ σπέρματα, καὶ οὐκ ἔξωθεν οὐδὲ ἀλλαχόθεν ἐπεισφέροντα σπέρματα, ἀλλ' ὥστε γῆν ἔχουσαν λόγον καὶ ὁδοποιοῦσαν εἰς Χριστόν· ὥσπερ ἐν σώματι ὀφθαλμοὶ συγγένειαν ἔχουσι πρὸς τὸ φῶς, καὶ ἀνατείλαντος ἡλίου εὐθέως τὸ συγγενὲς ὁρῶμεν, οὕτω, τοῦ Σωτῆρος ἡμῶν ἐπιλάμψαντος, τὴν κεχρυμμένην ἐν ἡμῖν ἐπιτηδειότητα πρὸς δικαιοσύνην ἐκλάμψωμεν, τὸ σκοτεινὸν ἀποθέμενοι τῆς ψυχῆς ἦθος. Ἀγαλλίασιν δὲ λέγει ἐνώπιον τῶν ἐθνῶν ἐξαπλούμενος.

D

Vers. 11. Seminales sermones intendit animis velut terræ commissos; et cum horto collatos semina sua efferente, non exotica aut aliena inducente; cum terra ratione prædita et viam ad Christum patefaciente. Quo enim modo oculi intima cognatione cum luce conjunguntur, et orto sole, statim hæc cognatio apparet, ita illuminante nos Salvatore, tenebrosis animæ moribus illustratis, splendebit in nobis latens ad justitiam habilitas. Exsultationem dicit se in conspectu gentium multiplicaturum.

Τοῦ προφήτου κατὰ ψυχὴν ἑστιαθέντος διὰ τὰ τῷ λαῷ ἐπαγγελθέντα· οὐ μὴν ἀλλὰ καὶ τούτων ἀμελούντων τὴν εἰς τὰ ἔθνη φθάνουσαν χάριν προαναφωνήσαντος, ἀκολούθως οὐδὲ τῆς Σιὼν ἐπιμελεῖσθαι

Cap. LXII, Vers. 1. Spiritu exsultat propheta propter bona populo denuntiata; prædicit profecto vel invitis Israelitis gratiam a Deo in gentes diffundendam, non ideo tamen Sion negligendam, aut

Digitized by Google

derelinquendam Jerusalem ; næc autem illuminanda erat ab eo propter divina de ipsa consilia, et dona ipsi largita. Etenim properantibus apostolis Evangelium gentibus prædicare jussit Salvator, ut ad oves prius irent, quæ perierunt domus Israel [16].

Vers. 2. Nomen novum dicitur nomen Christianorum ; sæpius idem innuit. Etenim baptizatus baptismo salutis, renovata tota ipsius conditione, novo quoque nomine vocatur fidelis. Judæus novum illud nomen impugnat. Dicat igitur, juxta Isaiæ prophetiam, novum nomen quale sibi fuerit impositum. At non habet quod indicet. Restat igitur ut nomen illud Christianorum nomen sit, a Christo desumptum, quod ipse nobis Dominus imposuit, gentes nomine suo nobilitans.

Vers. 3. Ex variis floribus serta corona et diadema regni cœtum apostolorum designant, qui Ecclesiarum principes fuerunt et simul genere Israelitæ ; quibus novum nomen apte conveniebat, cum commune genus cum iis haberent.

Vers. 4. Voluntas vocantur qui Dei voluntatem faciunt ; vos et diligere dicitur, sicut habitans juvenis cum virgine. Hoc vero non marcentem, sed florentem conditionem designans ; nam sponsus sponsam cohabitatione protegit.

Vers. 6. Hodiernam Ecclesiarum constitutionem indicat ; populo tota die et tota nocte mandata Dei custodiente ; tota nocte docentibus presbyteris veram de Deo doctrinam, ac Dei laudes et memoriam celebrantibus.

Cap. LXIII, Vers. 1. Edom vocat filios Esau ; Bosoz vel Bosra dicitur caro (13). Vir igitur iste cum fortitudine et violentia vobiscum justo calculo litigabit, pœnas a vobis repetens. Litigat Deus enim cum hominibus, quando vocat eos in judicium, ut doceat se legitima vindicta uti, nos autem ipsi auctores esse supplicia in nos inferendi. Nam, vel vindictam exigens, omnia ad salutem nobis procurandam facit, ut a peccatis cessemus, et pœnitentiam agentes salvemur, aut mundemur pœnarum judicio. *Et paulo post :* Vere admiratione stupebunt spirituales virtutes, cum videbunt Deum suum, cum corpore in cœlos ascendentem, et rubentem sanguine, et crucis stigmatibus transfixum ; et victoriam de morte relatam ; et gratiam hominibus largitam ; et peccatorum remissionem. Nam hominibus propter peccata sua morte damnatis, Salvator noster ipse pro nobis mortem subiit, ut nobis immortalitatem operaretur. *Et paulo post :* Quod si angelos exsultavisse audieris, noli illos ignorantiæ arguere ; noverant enim Salvatoris consilia ex quo in terram delapsus carnem suscepit ;

A φησιν, οὐδὲ τὴν Ἱερουσαλὴμ ἐᾶκενα. λέγει, ἀλλὰ καὶ ταύτην καταυγασθήσεσθαι ὑπ' αὐτοῦ διά τε τὴν πρὸς αὐτὴν ἄνωθεν σχέσιν καὶ διὰ τὰ δοθέντα αὐτῇ σεμνά· καὶ γὰρ τῶν ἀποστόλων σπευδόντων εἰς τὰ ἔθνη τὸ κήρυγμα ἐξαγαγεῖν, ὁ Σωτὴρ πρότερον αὐτοὺς ποιεῖσθαι τὸ κήρυγμα παρεκελεύετο πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

Ὄνομα καινὸν λέγεται τὸ ἡμῶν τῶν Χριστιανῶν· πολλαχῶς δὲ τοῦτο νοεῖται· καὶ γὰρ ὁ βαπτισθεὶς βάπτισμα σωτήριον ὄνομα ἕτερον ὀνομάζεται, ὁ πιστὸς, ἀνακαίνισιν δεχόμενος τῆς ὅλης αὐτοῦ καταστάσεως. Ἀλλ' ὁ Ἰουδαῖος μάχεται πρὸς τὸ καινὸν τοῦτο ὄνομα· εἰπάτω τοίνυν, κατὰ Ἡσαΐου προφητείαν, ὄνομα καινὸν ἐπιτεθὲν αὐτῷ· ἀλλ' οὐκ ἔχει δεῖξαι· ἄρα τοίνυν τὸ Χριστιανῶν ἐστιν, ἀπὸ τοῦ B Χριστοῦ γνωριζόμενον, ὃ ὁ Κύριος ἡμῖν τέθεικεν, ἀπὸ τοῦ οἰκείου ὀνόματος σεμνύνων τὰ ἔθνη.

Ἐκ διαφόρων ἀνθῶν πλάκεις, καὶ διάδημα βασιλείας τὸ τάγμα τῶν ἀποστόλων τυγχάνει, οἳ καὶ τῶν Ἐκκλησιῶν προήχθησαν, ὄντες κατὰ γένος Ἰσραηλῖται, οἷς καὶ ἥρμοσε τὸ ὄνομα τὸ καινὸν, κοινωνίαν ἔχουσι πρὸς τὸ γένος.

Θέλημα τοίνυν καλοῦνται οἱ τὸ θέλημα αὐτοῦ πεποιηκότες, οὓς καὶ ἀγαπᾷν λέγει, ὡς συνοικῶν νεανίσκος παρθένῳ. Τοῦτο δὲ οὐ φθορὰν σημαίνει, ἀλλ' ἀκμάζουσαν σχέσιν· καὶ γὰρ τηρεῖ ἐν τῷ συνοικεσίῳ τὴν παρθένον.

Τὴν νυνὶ κατάστασιν τῶν Ἐκκλησιῶν ἐμφαίνει· μεθ' ἡμέραν τε καὶ νύκτωρ μελετῶντος τοῦ λαοῦ τὰς C ἐντολὰς τοῦ Θεοῦ· ἐκδιδασκόντων τε ἱερέων τὰ περὶ Θεοῦ δι' ὅλης νυκτὸς, αἰνούντων τὸν Κύριον καὶ αὐτοῦ μνημονευόντων.

